


ANDOVER-HARVARD LIBRARY
AH 5HEJ $







Η

ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ.



Η
ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ

ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ

ΜΕΧΡΙ ΤΗΣ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ Τῌ ΚΑΠΝΙΚΑΡΕᾼ

1843.

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ

ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ, V

ΠΕΡΙΕΧΩΝ

ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ

ΜΕΧΡΙ ΤΗΣ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ Τῌ ΚΑΠΝΙΚΑΡΕᾼ

1843.

ΟΙΚΟΥΜΕΝΙΟΥ ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΑΣ

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΙ ΕΙΣ ΤΑΣ

ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ

ΜΕΧΡΙ ΤΗΣ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1843.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΓΑΛΑΤΑΣ

ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

ΕΠΙΣΤΟΛΗΣ.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

Σελ.

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΤΙΤΟΝ

ΕΠΙΣΤΟΛΗΣ.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

ΕΠΙΣΤΟΛΗΣ.

Η
ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΓΑΛΑΤΑΣ

ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ῥώμης, ἑωρακὼς αὐτοὺς ἤδη καὶ διδάξας. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Διδαχθέντες καλῶς οἱ Γαλάται παρὰ τοῦ ἀποστόλου, καὶ πιστεύσαντες γνησίως εἰς τὸν Χριστὸν, ἀποδημήσαντος τοῦ ἀποστόλου, ὑφηρπάσθησαν παρά τινων, ὥςε περιτέμνεσθαι. Ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστολος, γράφει πρὸς αὐτούς. Καὶ πρῶτον μὲν μαρτυρεῖ αὐτοῖς, περὶ ἧς εἶχον πίστεως καὶ γνησίας ἐν Χριστῷ διαθέσεως· μέμφεται δὲ ὡς ἀνοήτως πράξαντας καὶ μεταβαλλομένους αὐτούς. Ἔπειτα διαλαμβάνει περὶ τοῦ νόμου καὶ τῆς κατὰ τὸν Ἀβραὰμ πίστεως· καὶ ἀποδείκνυσιν ἔκ τε τοῦ νόμου καὶ τῶν γυναικῶν τοῦ Ἀβραὰμ, ἀλληγορήσας αὐτὰς, μέχρι καιροῦ δεδόσθαι καὶ τὴν σκιὰν καὶ τὴν περιτομὴν, καὶ ἀργεῖν αὐτὰ λοιπὸν τῇ τοῦ Χριστοῦ παρουσίᾳ. Καὶ οὕτως ἀποδείξας, παραγγέλλει λοιπὸν αὐτοῖς, μηκέτι προσέχειν τοῖς ἀπατήσασιν, ἀλλὰ μᾶλλον ἔχεσθαι τῆς ἐν Χριστῷ πίστεως, καὶ γινώσκειν, ὅτι ἡ ἐν Χριστῷ χάρις καταργεῖ τὴν κατὰ σάρκα περιτομήν. Καὶ οὕτω πάλιν εἰς τὰ ἤθη παραινέσας καὶ διδάξας, τελειοῖ τὴν ἐπιστολήν.

ΑΛΛΗ.

Τὸ μὲν προοίμιον, καὶ πᾶσα σχεδὸν ἡ ἐπιστολὴ, θυμοῦ γέμει· ἡ δὲ αἰτία αὕτη· Τινὲς τῶν ἐξ Ἰουδαίων πιστευσάντες, καὶ ἔτι τῷ πατρῴῳ νόμῳ κατεχόμενοι, ἔπεισαν πολλοὺς τῶν ἐν Γαλατίᾳ πιστῶν περιτέμνεσθαι, καὶ σάββατα τηρεῖν, καὶ νουμηνίας. Ἔπειθον δὲ, λέγοντες, μὴ δεῖν τῷ Παύλῳ πείθεσθαι, τῷ χθὲς καὶ σήμερον φανέντι, ἀλλὰ μᾶλλον τοῖς ἀμφὶ τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην. Οὗτοι γὰρ, ἔφασκον, μετὰ Χριστοῦ γενόμενοι, οὐ κωλύουσι περιτομήν. Καὶ ἀληθῶς μὲν ἐκεῖνοι συγκαταβάσει πρὸς Ἰουδαίους χρώμενοι, οὐκ ἐκώλυον περιτομήν· οὗτοι ὅμως, ἀποκρύπτοντες τὴν αἰτίαν, ὅτι διὰ συγκατάβασιν οὐ κωλύουσιν, ἐκ τοῦ γινομένου μόνου ἐδελέαζον αὐτοὺς εἰς περιτομὴν, καὶ τὸν Παῦλον ἐξηυτέλιζον, φάσκοντες, οὐ τοῦ Χριστοῦ, ἀλλὰ τῶν μαθητῶν εἶναι μαθητὴν, τοὺς δὲ περὶ Πέτρον καὶ τοὺς λοιποὺς, αὐτοῦ τοῦ Χριστοῦ. Ἔπειτα ἔλεγον, ὅτι αὐτὸς ὁ Παῦλος φαίνεται ἀλλαχοῦ περιτεμών· τί δήποτε οὖν ὑμᾶς οὐ περιτέμνει; (Ἦν γὰρ τῷ ἀληθεῖ ὁ Παῦλος τὸν Τιμόθεον οἰκονομικῶς περιτεμὼν (α).) Πρὸς ταῦτα οὖν γράφει· καὶ εὐθέως ἐκ προοιμίων πρὸς ἐκεῖνο ἀποτείνεται, ὅτι οὐκ ἀνθρώπων, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ ἦν μαθητής.

(α) Πράξ. Ιϛ', 1—3.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η
ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ, ἀπόστολος, οὐκ ἀπ' ἀνθρώ-
πων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ
καὶ Θεοῦ πατρὸς, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν,
2 καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ, ταῖς ἐκκλησίαις
3 τῆς Γαλατίας, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ
4 πατρὸς, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ
δόντος ἑαυτὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως
ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ,
5 κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ᾧ ἡ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐθέως ἀναιρεῖ τὸ εἶναι ἀνθρώπων μαθητής· ἀπόστολος γάρ εἰμί, φησιν, οὐκ ἀπ' *ἀνθρώπων* ἐγχειρισθεὶς τὴν ἀποστολὴν, *οὐδὲ δι' ἀνθρώπου,* ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ εἰς τοῦτο ἐλθὼν τὸ ἔργον. [Ἐβάπτισε μὲν γὰρ αὐτὸν Ἀνανίας (α)· ἀλλ' οὐκ ἐκεῖνος πρὸς τὴν πίστιν ἐκάλεσεν, ἀλλ' ἀπ' οὐρανοῦ ὁ Χριστός. Διὰ τί δὲ οὐκ εἶπε, Παῦλος κλητὸς, ἀλλ', *ἀπόστολος*; Διότι περὶ τούτου πᾶς ἦν ὁ λόγος, λεγόντων, ὅτι ὑπ' ἀνθρώπων ἀπόστολος κεχειροτόνητο. Πρὸς τοῦτο οὖν ἐνίσταται, δεικνὺς, ὅτι οὐκ ἔστι τοῦτο (1).] *Ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ πατρός.*] Καὶ μὴν αἱ Πράξεις, ὑπὸ τοῦ Πνεύματος

(α) Πράξ. Θ', 18. (1) Ἐκ τοῦ Θεοφυλάκτου.

δηλοῦσιν αὐτὸν ἀφορισθῆναι εἰς τὴν ἀποστολὴν (α). Δῆλον οὖν, ὅτι **μία ἐξουσία Υἱοῦ, καὶ Πνεύματος, καὶ Πατρός.** Σημείωσαι δὲ τὸ, *Διὰ*, ἐπὶ πατρὸς καὶ υἱοῦ κείμενον, καὶ πρῶτον τὸν υἱὸν ὀνομασθέντα. *Τοῦ ἐγείραντος αὐτόν.*] Ὑπὲρ τῆς εἰς τὸν πατέρα τιμῆς τοῦτο εἴρηται, καὶ διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν. (1). *Ἐκ νεκρῶν.*] Εὐκαίρως τῆς οἰκονομίας καὶ τοῦ θανάτου ἐμνήσθη τοῦ Κυρίου, ἵνα, τῶν τοῦ Χριστοῦ εὐεργεσιῶν ὑπομνήσας, τούτῳ γοῦν τῷ τρόπῳ πείσῃ αὐτοὺς, μηκέτι τῷ νόμῳ προσέχειν, τῷ μηδὲν ὑπὲρ αὐτῶν εἰσενεγκόντι· ἀλλὰ τῷ Χριςῷ, τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἀναστάντι· καὶ ὅτι τὸ τοιούτου ἀφίςασθαι εὐεργέτου, μεγάλης ἀγνωμοσύνης. *Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί.*] Τί δή ποτε νῦν πάντων μέμνηται τῶν ἀδελφῶν; Ὅτι οἱ διαβάλλοντες αὐτὸν ἔλεγον, μόνον τὸν Παῦλον κατὰ καινοτομίαν τὴν περιτομὴν κωλύειν. Βούλεται οὖν δεῖξαι, πολλοὺς τῶν τοιούτων δογμάτων ὄντας κοινωνούς. *Ταῖς ἐκκλησίαις τῆς Γαλατίας.*] Ὅρα τοῦ θυμοῦ τὴν ἔνδειξιν! Οὐ γὰρ εἶπεν, ὡς εἰώθει, *τοῖς ἀγαπητοῖς*, ἢ, *τοῖς ἡγιασμένοις*, ἤγουν, *ταῖς ἐκκλησίαις τοῦ Θεοῦ*, ἀλλὰ, *ταῖς ἐκκλησίαις τῆς Γαλατίας.* [Ἐπεὶ δὲ καὶ διεςασίαζον, εἰκότως καὶ πολλὰς ἐκκλησίας τούτους ὀνομάζει· ἅμα δὲ καὶ ἐντρέπων αὐτοὺς, συνάγει εἰς ἓν διὰ τοῦ ὀνόματος τούτου. Οἱ γὰρ εἰς πολλὰ διῃρημένοι, οὐ δύνανται ταύτῃ καλεῖσθαι τῇ προσηγορίᾳ, ἣ συμφωνίαν δηλοῖ (2).] *Χάρις ὑμῖν καὶ εἰρήνη.*] Ἐπειδὴ γὰρ ἐκινδύνευον τῆς χάριτος ἐκπεσεῖν ἐκ τοῦ προσέχειν τῷ νόμῳ, ταύτην αὐτοῖς ἐπεύχεται. Καλῶς δέ φησι, *καὶ εἰρήνη*· ἦσαν γὰρ ἐκπολεμωθέντες πρὸς Θεὸν, τῇ τῶν νομικῶν ἐνταλμάτων παρατηρήσει.

(α) Πραξ ΙΓ', 2. (1) «Λέγεται αὐτὸν ἐγεῖραι ὁ πατὴρ, καὶ διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν, καὶ διότι εἰς τὸν πατέρα πάντα ἀναφέρονται, ὅσα ὁ υἱὸς ποιεῖ. Οὐ γὰρ δήπου αὐτὸς ἑαυτὸν ἐγεῖραι ἀδύνατος ἦν, ὃς καὶ τοῖς εἰς αὐτὸν πιστεύουσι δέδωκεν ἐξουσίαν νεκροὺς ἐγείρειν ἀπὸ σκιᾶς μόνης τῶν σωμάτων αὐτῶν.» Θεοφύλακτος. «Καὶ μὴν ἡ εἰς αὐτὸν πίστις, καὶ τὰς σκιὰς τῶν εἰς αὐτὸν πιστευόντων ἀνιστᾶν ἐποίησε νεκροὺς (Πραξ. Ε. 15.).» Χρυσόστομος. Ἴδε. Πραξ. ΙΓ', 30. Α' Κορ. Γ', 14. (2) Ἐκ τοῦ Θεοφυλάκτου.

Ἀπὸ θεοῦ πατρός.] Ὁ θεὸς πατὴρ ὑμῶν ἐγένετο. Πόθεν δ' ἔχετε καλεῖν πατέρα τὸν θεόν; οὐκ ἀπὸ τοῦ βαπτίσματος; Τί οὖν ἔχεσθε τοῦ νόμου; *Τοῦ δόντος ἑαυτόν.*] Ἰδοὺ ἑαυτὸν ἔδωκεν. Οὐκ ἄρα ὡς δοῦλος ὑπούργησεν. Ὅταν οὖν ἀκούσῃς, ὑπὸ τοῦ πατρὸς αὐτὸν δεδόσθαι, τὴν εὐδοκίαν καὶ τὴν θέλησιν νόει τοῦ πατρός. *Ὅπως ἐξέληται ἡμᾶς.*] Ἔδωκεν ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἐξαλείφων τε τὰ πρότερα, καὶ πρὸς τὸ μέλλον συντηρῶν. *Ὅπως* γάρ, φησιν, *ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ*, τουτέστιν, ἐκ τῶν πονηρῶν πράξεων καὶ τῆς διεφθαρμένης προαιρέσεως· ταύτην γὰρ *αἰῶνα* καλεῖ *πονηρόν*, οὐ τὸν χρόνον ἢ τὰς ἡμέρας, ἄπαγε! Οὕτω γὰρ καὶ ἡμεῖς λέγειν εἰώθαμεν, ὅτάν τι τῶν ἀδοκήτων ἡμῖν συμβῇ, Κακὴν ἔσχον ἡμέραν· οὐ τὸν καιρόν, ἀλλὰ τὴν περίστασιν, καὶ τὴν πρᾶξιν διαβάλλοντες. Οὐ γὰρ ἵνα ἡμᾶς ἀποκτείνῃ, καὶ ἐκβάλῃ τῆς παρούσης ζωῆς, διὰ τοῦτο ἀπέθανεν ὁ Χριστός· ἀλλ' ἵνα τῶν πονηρῶν πράξεων ἀπαλλάξῃ τοῦ λοιποῦ. Διὰ δὲ τοῦ εἰπεῖν, *τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ*, ἔδειξεν, ὅτι τὸ κακὸν οὐκ ἀγέννητον, οὐδὲ ἀΐδιον, ἀλλὰ πρόσκαιρον. *Κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν.*] Ἐπειδὴ γὰρ ἔλεγον ἐκεῖνοι, μὴ δεῖν ἐᾶν τὸν νόμον, ὡς ὑπὸ θεοῦ δοθέντα, δείκνυσιν, ὅτι καὶ τὸ τῷ Χριστῷ πιστεῦσαι, θέλημα τοῦ πατρός ἐςι. Κατὰ τὸ θέλημα γὰρ τοῦ πατρὸς ἔδωκεν ἑαυτὸν ὁ Χριςός. Ὁρᾷς, ὅτι οὐδαμοῦ ἐπιταγὴ τοῦ πατρὸς πρὸς τὸν υἱὸν λέγεται, ἀλλὰ μόνη σύννευσις (1). *Τοῦ πατρὸς* δὲ *ἡμῶν* εἰπών, τοῦ βαπτίσματος ὑπομιμνήσκει. Τί οὖν ἔχεσθε τοῦ νόμου; *Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας.*] Ἐνθυμηθεὶς διὰ τῶν εἰρημένων τὰς ἀφάτους εὐεργεσίας τοῦ θεοῦ, ἐξ ὧν κατεκρίνοντο οὗτοι, ἀφιέντες τὸν εὐεργετήσαντα Χριστόν· εἶτα ἐκπλαγεὶς ταύτας· οὐ γὰρ ἦν αὐτὰς ἐξειπεῖν· εἰς δοξολογίαν κατέπαυσε τὸν λόγον.

---

(1) «Ὁρᾷς, ὅτι οὐκ εἶπε, Κατ' ἐπιταγὴν τοῦ πατρός, ἀλλά, Κατὰ τὸ θέλημα, τουτέστι, τὴν εὐδοκίαν.» Θεοφύλακτος.

6 Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ
καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον
7 εὐαγγέλιον· ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν
οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι
8 τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. Ἀλλὰ καὶ ἐὰν ἡμεῖς
ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ
εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε.] Δύο τὰ ἐγκλήματα, τό, τε *μετατίθεσθε*, καὶ τὸ, *ταχέως*· ὥστε μηδὲ χρόνου δεῖσθαι τοὺς ἀπατῶντας. Ὅρα δὲ ἀκρίβειαν! Ἐπειδή, τοῦ νόμου ἐχόμενοι, ᾤοντο δυσωπεῖν τὸν πατέρα, δείκνυσιν, ὅτι ὁ τοῦ Χριστοῦ καὶ τοῦ εὐαγγελίου ἀφιστάμενος, καὶ τοῦ πατρὸς ἀφίσταται· αὐτὸς γὰρ ὁ πατήρ, φησιν, ἐκάλεσεν ὑμᾶς εἰς τὴν χάριν τοῦ υἱοῦ αὐτοῦ. Ὁ μὲν γὰρ υἱὸς παρέχει τὴν ἄφεσιν τῷ ἰδίῳ αἵματι, χάριτι καὶ οὐ μισθῷ· ὁ δὲ πατήρ, πρὸς ταύτην καλεῖ· τὸ δὲ πνεῦμα, συνευδοκεῖ. Κοινὴ γὰρ ἡ εἰς ἡμᾶς εὐεργεσία τῆς ἁγίας καὶ μακαρίας Τριάδος. *Εἰς ἕτερον εὐαγγέλιον.*] Τὴν γὰρ ἑαυτῶν ἀπάτην, οἱ τὰ σάββατα καὶ τὴν περιτομὴν τηρεῖν πείθοντες τοὺς Γαλάτας, *εὐαγγέλιον* ἐκάλουν, διὰ τοῦ ὀνόματος μᾶλλον δελεάζοντες. *Ὃ οὐκ ἔστιν ἄλλο.*] Ὅπερ, φησίν, ἓν μόνον ἐστί, τὸ τὴν ὀρθοδοξίαν περιέχον, ὃ ἐγὼ ἐκήρυξα, καὶ οὐκ ἔστιν ἄλλο παρὰ τοῦτο. *Εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς.*] Εἰ μὴ ἄρα τινὲς ὑμᾶς διαταράσσουσι, διαστρέψαι τε βουλόμενοι ὑμᾶς, καὶ μεταστρέψαι τὸ τοῦ Χριστοῦ εὐαγγέλιον (1). *Ἀλλὰ καὶ ἐὰν ἡμεῖς.*] Ἵνα μή τις εἴπῃ, ὅτι κατὰ κενοδοξίαν τὸ ἴδιον συγκροτεῖ κήρυγμα, πρῶτον ἑαυτὸν ἀναθεματίζει, εἴπερ παραποιῆσαί τι ἐν τῷ εὐαγγελίῳ βουληθείη. Ἐπειδὴ δὲ καὶ εἰς ἀξιώματα κατέφευγον, καὶ τοὺς περὶ Πέτρον προέφερον καὶ Ἰάκωβον,

(1) «Καὶ μὴν οὐχ ὅλον τὸ εὐαγγέλιον ἀνέτρεπον, ἀλλὰ τὴν περὶ τοῦ σαββάτου μόνον καὶ τῆς περιτομῆς ἐντολὴν παρεισῆγον. Ἀλλ' ὅμως δείκνυσιν, ὅτι καὶ ὁ μικρόν τι παραποιήσας, τὸ ὅλον εὐαγγέλιον ἀνατρέπει· ὥσπερ καὶ ὁ τοῦ βασιλικοῦ νομίσματος μικρόν τι περικόψας, τὸ ὅλον νόμισμα κίβδηλον εἰργάσατο.» Θεοφύλακτος.

διὰ τοῦτο καὶ ἀγγέλων ἐμνήσθη· φησὶ γάρ· *Η ἄγγελος ἐξ οὐρανοῦ.*] Ὡς εἰ ἔλεγε· Μή μοι εἴπῃς Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον· ἀλλ' εἰ καὶ αἱ ἄνω δυνάμεις παρατρέψαιεν τὸ εὐαγγέλιον, ἀνάθεμα ἔστωσαν. Ταῦτα δέ φησιν, οὐχ ὡς ἕτερόν τι τῶν περὶ τὸν Πέτρον κηρυσσόντων· οὔτε γὰρ αἱ ἄνω δυνάμεις· ἀλλὰ βουλόμενος ἀποῤῥάψαι τὰ στόματα τῶν ἀπατεώνων, τῶν διὰ τοῦ ἀξιώματος τῶν ἀμφὶ τὸν Πέτρον ἀπατώντων αὐτούς. *Παρ' ὃ εὐηγγελισάμεθα.*] Τὸ, παρ' ὃ, δηλοῖ, τὸ ὁσονδήποτε μικρὸν τοῦ κηρύγματος. Οἷον, οὐχ ὅτι ἐὰν ἐναντία καταγγέλλωσιν, ἀλλὰ κἂν μικρόν τι εὐαγγελίζωνται παρ' ὃ εὐηγγελισάμεθα.

9 Ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω· Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα
10 ἔστω. Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

Ἵνα μὴ νομίσωσι, δι' ὀργὴν καὶ κατὰ συναρπαγὴν ταῦτα εἰρηκέναι, μὴ οὕτω δὲ κατὰ ἀλήθειαν διακείμενον, δευτεροῖ τὸ ῥῆμα, πείθων, ὡς τοῦτο κέκριται καὶ πεπαγίωται παρ' αὐτῷ. *Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν θεόν;*] Εἶτα, ἵνα μὴ νομίσωσιν, ὅτι αὐτοὺς βούλεται πεῖσαι, παρ' ἄλλοις δὲ ἄλλα κηρύττειν· (διέβαλλον γὰρ αὐτὸν οἱ ἀπατεῶνες, ὅτι παρὰ μὲν ἄλλοις περιτομὴν κηρύσσει, παρ' ἑτέροις δὲ ἄλλό τι·) καὶ ἀναπέσωσιν, ὥσπερ κολακευόμενοι, φησί· Μὴ νομίζητε νῦν, ὅτι ὑμᾶς πληροφορῆσαι βουλόμενος, ταῦτα διῆλθον. Τὸν θεὸν θέλω πληροφορῆσαι· ἐπεὶ μήτε ἀνθρώποις θέλω ἀρέσαι· τοιγαροῦν, οὔτε ὑμῖν (1). *Ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν;*] Οὐ διὰ τὸ κολακεῦσαι

(1) « Μέλλει ἀπολογίσασθαι περὶ ὧν ἐγκαλεῖται. Ἵνα τοίνυν μὴ ἐπαρθῶσιν αὐτοὶ, ὡς τῷ διδασκάλῳ δικάζοντες, φησί· Μὴ νομίζητε, ὅτι ὑμῖν ἀπολογοῦμαι, ἢ ὑμᾶς ζητῶ πεῖσαι· ἀλλὰ πρὸς τὸν θεόν μοι ὁ πᾶς λόγος. Ὅθεν οὐδὲ ταῦτα γράφω, τῆς παρ' ὑμῖν ἐφιέμενος δόξης, καὶ ἵνα μαθητὰς ἔχοιμι· ἀλλὰ τῷ θεῷ ἀπολογούμενος ὑπὲρ τῶν δογμάτων, καὶ οὐκ ἀνθρώποις ἀρέσκειν θέλων. » Θεοφύλακτος.

καὶ ἀρέσαι ὑμῖν ταῦτα εἶπον, φησίν· *εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.*] Κατασκευάζει, ὅτι οὐκ ἀνθρώποις ἀρέσκειν σπουδάζει. Καὶ πῶς ἂν ἢ αὐτοὺς κολακεύσειεν, ἢ ἄλλα παρ' ἄλλοις κηρύξειεν; Εἰ γὰρ ἠβουλόμην ἀνθρώποις ἀρέσκειν, ἄρα καὶ τοῦ ἰουδαϊσμοῦ ἀντειχόμην, καὶ φίλων, καὶ συγγενῶν οὐ κατεφρόνουν, καὶ οὐκ ἄν, πάντα καταλιπών, τῷ Χριστῷ προσέδραμον.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Μετὰ τὸ προοίμιον διήγησις τῆς ἑαυτοῦ μεταστάσεως ἀπὸ τοῦ ἰουδαϊσμοῦ κατὰ ἀποκάλυψιν.

11 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον, τὸ
εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρω-
12 πον· οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον
αὐτό, οὔτε ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰη-
13 σοῦ Χριστοῦ. Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστρο-
φήν ποτε ἐν τῷ ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν
ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἐπόρθουν
14 αὐτήν· καὶ προέκοπτον ἐν τῷ ἰουδαϊσμῷ ὑπὲρ πολ-
λοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως
ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων.

Βούλεται δεῖξαι αὐτοῖς, ὅτι μετέστη κατ' ἀλήθειαν ἀπὸ τοῦ νόμου, καὶ διὰ τοῦτο μέμνηται τοῦ προτέρου βίου καὶ τῆς ἀθρόας μεταβολῆς· δεικνύς, ὅτι οὐκ ἂν μετέστη ἀθρόον, εἰμὴ θειοτέραν τινὰ πληροφορίαν ἔσχε. Διὸ καί φησιν, ὅτι οὐ παρ' ἀνθρώπων, παρ' αὐτοῦ δὲ τοῦ Χριστοῦ παρέλαβε τὸ κήρυγμα. Διὸ καί φησιν· *Ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον.*] Κατὰ θεὸν γάρ ἐστι, τουτέστι, κατὰ θεοῦ ἀποκάλυψιν (1). *Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου*

(1) « Οὐκ ἄνθρωπον ἔσχον διδάσκαλον, ἀλλ' αὐτοῦ τοῦ Χριστοῦ γέγονα μαθητής » Θεοφύλακτος.

παρέλαβον αὐτό.] Τοῦτο γὰρ ἔλεγον οἱ διαβάλλοντες αὐτὸν, ὅτι ὁ Παῦλος παρὰ ἀνθρώπων παρέλαβε τὸ κήρυγμα, καὶ οὐχ ὥςπερ οἱ ἀμφὶ Πέτρον παρὰ τοῦ Χριστοῦ· οὐ γὰρ αὐτήκοος ἐγένετο τοῦ Χριστοῦ. Διὸ ἔλεγον, οὐ δεῖ αὐτῷ πείθεσθαι. Φησὶν οὖν, ὅτι αὐτὸς ἐκεῖνος ἀπεκάλυψέ μοι τὸ εὐαγγέλιον, ὃ καὶ τοὺς περὶ Πέτρον μαθητεύσας. *Ἠκούσατε γάρ.*] Εἶτα, ἐπειδὴ τὴν γενομένην αὐτῷ ἀπὸ Χριστοῦ ἀποκάλυψιν ἠγνόουν οἱ Γαλάται, βούλεται, ἐκ τοῦ δεῖξαι ἑαυτὸν πρότερον διώκτην, καὶ νῦν ἐξαίφνης μεταβεβλημένον, κατασκευάσαι, ὅτι, εἰ μὴ θεία τις αὐτῷ ἀποκάλυψις ἐγεγόνει, οὐκ ἂν οὕτω μετεβλήθη ταχέως· ἵνα ἐκ τούτου πεισθέντες, Χριστοῦ εἶναι αὐτὸν μαθητὴν, μὴ καταφρονῶσιν αὐτοῦ. *Τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ ἰουδαϊσμῷ.*] Οὐκ ἂν δὲ ἀπὸ Παλαιστίνης εἰς Γαλατίαν ἠκηκόεισαν, εἰ μὴ σφοδρὸς ἦν διώκτης (1). Τίς δὲ χρεία τῆς ἀναμνήσεως τῆς *ἐν τῷ ἰουδαϊσμῷ* ἀναστροφῆς; Ἵνα πάντως δείξῃ, ὅτι οὐ προλήψει δουλεύει, ἀλλ' ἀληθείᾳ. Οὐ γὰρ μισήσας τὸν νόμον, ὑπέδραμε τὴν χάριν· (ἐξεδίκει γὰρ αὐτόν·) ἀλλ' εὑρὼν τὸ τέλειον, ἀπέστη τοῦ νόμου. *Καὶ ἐπόρθουν αὐτήν.*] Οὐκ ἐδίωκον μόνον, φησὶ, καὶ μεθ' ὑπερβολῆς πάσης· ἀλλὰ καὶ καταστρέψαι καὶ ἀφανίσαι αὐτὴν προῃρούμην· τοῦτο γὰρ τὸ, *καὶ ἐπόρθουν αὐτήν. Καὶ προέκοπτον ἐν τῷ ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας μου.*] Ὑπὲρ πολλοὺς συνηλικιώτας μοῦ *προέκοπτον* ἐν τῇ πορθήσει τῶν ἐκκλησιῶν, τουτέστιν, ἐπεδίδουν ἀεὶ πρὸς τὸ χαλεπώτερος εἶναι. *Ἢ προέκοπτον,* τουτέστι, καὶ ἔντιμος ἤμην διὰ τοῦτο παρὰ τοῖς Ἰουδαίοις. Τί οὖν τὸ αἴτιον τὸ αἱρήσασθαί με ἐξαίφνης πόλεμον πρὸς αὐτοὺς, τοὺς τιμῶντας με καὶ ἀγαπῶντας; Οὐδὲν ἄλλο ἢ ἡ ἀποκάλυψις τοῦ Χριστοῦ. *Περισσο-*

(1) «Οὐδὲν ὑμᾶς λέληθε τῶν κατ' ἐμέ· εἰ γὰρ πολλοῖς σταθμοῖς ἀφεστήκατε τῶν Ἰουδαίων, ἀλλ' οὖν ἡ φήμη διέδραμε πάντοσε, καὶ δῆλα τὰ κατ' ἐμὲ πεποίηκεν ἅπασιν· ὅτι πάλαι δυσμενὴς τῆς ἐκκλησίας καὶ προφανὴς ἤμην πολέμιος, σκοπὸν ἔχων, ἐκ βάθρων ἀνασπᾶσαι τὰ ταύτης θεμέλια» Θεοδώρητος.

τέρως ζηλωτὴς ὑπάρχων.] Προέκοπτον· ἐπειδὴ λίαν ἤμην ζηλωτὴς τῶν πατρικῶν μου παραδόσεων. Ὥστε, φησιν, οὐδέποτε κατὰ κενοδοξίαν ἐποίουν, ἃ ἐποίουν, ἀλλὰ κατὰ ζῆλον Θεοῦ, εἰ καὶ πεπλανημένον. Ὁ οὖν μηδὲ τότε κατὰ κενοδοξίαν τὶ ποιῶν, πῶς ἂν νῦν μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας ἐκήρυττον ψευδῆ, ἵνα ἀνθρώποις ἀρέσω, καὶ μὴ ἐκεῖνα, ἅτινα ἀπὸ Χριστοῦ παρέλαβον;

15 Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς, ὁ ἀφορίσας με ἐκ κοιλίας
μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ,
16 ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγε-
λίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσα-
νεθέμην σαρκὶ καὶ αἵματι·

Ο *ἀφορίσας με ἐκ κοιλίας μητρός μου.*] Εἰ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἀφώριστο πρὸς τὸ κήρυγμα, καὶ ἐξελέλεκτο παρὰ Θεοῦ, πάντως διά τινα θείαν οἰκονομίαν τὸν μεταξὺ χρόνον ἐγκατελείφθη ἐν τῷ ἰουδαϊσμῷ· ἵνα δηλαδὴ ἡ οὕτως αὐτοῦ ἀθρόα μεταβολὴ πολλοὺς πιστώσηται καὶ ἐπισπάσηται. Ἀφώρισε δὲ αὐτὸν ὁ Θεὸς, οὐ κατὰ ἀποκλήρωσιν, ἀλλὰ κατὰ πρόγνωσιν τοῦ ἄξιον εἶναι. *Καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ.*] Αὐτὸς μὲν διὰ τὴν ἀρετὴν ὡς σκεῦος ἐκλογῆς ἐκλήθη (α)· μετριοφρονῶν δὲ λέγει ἑαυτὸν, χάριτι κεκλῆσθαι, ὡς εἰ εἶπεν· Ἀνάξιόν με ὄντα καὶ ἀνεπιτήδειον, χάριτι κέκληκεν ὁ Κύριος. *Ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ.*] Ὁ πατήρ με, φησὶν, ἐκάλεσεν, ἐπὶ τῷ ἀνακαλύψαι μοι τὸν υἱὸν αὐτοῦ. *Ἐν ἐμοὶ* δὲ εἶπε, δεῖξαι θέλων, ὅτι οὐ λόγῳ μόνον ἔμαθεν, ἀλλὰ καὶ νῷ καὶ καρδίᾳ, οἷον εἰς τὸν ἔσω ἄνθρωπον τῆς γνώσεως ἐνιζησάσης, καὶ τοῦ Χριστοῦ ἐν αὐτῷ λαλοῦντος. *Ἵνα εὐαγγελίζωμαι αὐτόν.*] Ἀπεκάλυψέ μοι τὸν υἱὸν, οὐχ ἵνα αὐτὸν ἴδω μόνον, ἀλλ' ἵνα καὶ εἰς ἄλλους ἐξενέγκω. Οὐ γὰρ τὸ πιστεῦσαι μόνον, ἀλλὰ καὶ τὸ χειροτονηθῆναι, παρὰ τοῦ Θεοῦ γέγονεν. Πῶς οὖν λέγετε, ὅτι παρὰ ἀνθρώπων παρέλαβον καὶ

(α) Πραξ. Θ', 15.

ἐδιδάχθην τὸ κήρυγμα; Ὁρᾷς, ὅτι ὁ καλέσας αὐτὸν πατὴρ, καὶ ἀποκαλύψας αὐτῷ τὸν υἱὸν αὐτοῦ, αὐτὸς αὐτὸν κήρυκα καὶ ἀπόστολον ἐχειροτόνησε; *Ἐν τοῖς ἔθνεσιν.*] Οὐχ ἁπλῶς δὲ, *ἵνα εὐαγγελίζωμαι αὐτὸν, ἀλλ' ἐν τοῖς ἔθνεσιν.* Ὥστε, πῶς ἂν τοῖς ἔθνεσι κηρύξαιμι περιτομήν; *Εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι.*] Εὐθέως οὐκ ἀπέκλινα εἰς ἄνεσιν καὶ ἡδυπάθειαν, οὐ δ', ὡς μέγα τι κατωρθωκὼς, εἰς ῥᾳστώνην καὶ ὀλιγωρίαν ἀνέπεσα· ἀλλὰ σύντονον τὸν τοῦ εὐαγγελίου δρόμον ἐποιούμην. Ἢ οὕτως· Οὐ προετιμησάμην ἰδεῖν συγγενεῖς, ἢ οἰκίαν, ἢ συνήθεις, ἢ πατρίδα, ἀλλὰ πάντα λιπών· (οὐδὲ γὰρ ἐν τούτοις τῶν περὶ Πέτρον καὶ Ἰωάννην ἐλαττοῦμαι (α)·) εὐθέως εἰς Ἀραβίαν καὶ εἰς Δαμασκὸν καὶ εἰς τὸ κήρυγμα ἔτρεχον.—*Οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι.*] Οὐκ ἦλθον εἰς λόγους, φησὶ, τοῖς ἀποστόλοις περὶ τοῦ κηρύγματος· (τούτους γὰρ σάρκα καὶ αἷμα καλεῖ, ἀπὸ τῆς φύσεως αὐτοὺς ὀνομάζων·) ἀρκεσθεὶς τῇ θείᾳ ἀποκαλύψει. Τοῦτο δέ φησι, δεικνὺς, ὅτι οὐ παρὰ τῶν μαθητῶν ἔμαθε τὸ κήρυγμα, ἀλλὰ παρ' αὐτοῦ τοῦ Χριστοῦ· οἱ γὰρ διαβάλλοντες αὐτὸν ἔφασκον, ἀνθρώπων αὐτὸν εἶναι, καὶ οὐ Χριστοῦ, μαθητήν.

17 Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ
ἀποστόλους, ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πά-
18 λιν ὑπέστρεψα εἰς Δαμασκόν. Ἔπειτα μετὰ ἔτη
τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα, ἱστορῆσαι Πέτρον,
19 καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. Ἕτε-
ρον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰμὴ Ἰάκωβον,
τὸν ἀδελφὸν τοῦ Κυρίου.

Σαφέστερον αὐτὸ εἶπε, δεικνὺς, ὅτι οὐ παρὰ τῶν ἀποστόλων ἐδιδάχθη, ἀλλὰ παρ' αὐτοῦ τοῦ Χριστοῦ. *Οὐκ ἀνῆλθον*, φησιν, *εἰς Ἱεροσόλυμα*, πρὸς τὸ θεάσασθαι *τοὺς πρὸ ἐμοῦ ἀποστόλους*, καὶ μαθεῖν τι ἐξ αὐτῶν. Ταῦτα δὲ λέγει, οὐκ ἀπονοού-

(α) Ματθ. ΙΘ', 27.

μενος, ἀλλ' ἵνα δείξῃ τοῦ οἰκείου κηρύγματος τὸ ἀξίωμα. Ἀνῆλθε μὲν γὰρ εἰς Ἱεροσόλυμα ἀπὸ Δαμασκοῦ, ὡς δηλοῦσιν αἱ Πράξεις (α)· ἀλλ' οὐκ ἐπὶ τῷ μαθητεῦσαι, ἀλλ' ἐπὶ τῷ καὶ αὐτὸν κηρύσσειν τὸν Χριστὸν, καὶ τὴν πίστιν διδάσκειν· καὶ γὰρ ὃν τρόπον εἰς Ἀραβίαν ἀπῄειν, φησὶ, κηρύξων, καὶ πάλιν εἰς Δαμασκὸν, τὸν αὐτὸν τρόπον καὶ εἰς Ἱεροσόλυμα. Μετὰ δὲ ἔτη τρία τοῦ κηρύσσειν με καὶ διδάσκειν, ἀνῆλθον εἰς Ἱεροσόλυμα, ἰδεῖν Πέτρον, οὐ μαθεῖν τι παρ' αὐτοῦ· ἤδη γὰρ ἐγὼ εὐηγγελιζόμην καὶ ἐκήρυσσον. *Ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν.*] Τὰς πόλεις εἰπὼν, ἐν αἷς ἀπῆλθε, τὰ ἐκεῖ γενόμενα αὐτῷ κατορθώματα σιωπᾷ, ὅπερ πολλῆς ἦν ταπεινοφροσύνης. *Ἱστορῆσαι Πέτρον.*] Ὅρα ταπείνωσιν! Μετὰ τοσούτους καὶ τοιούτους ἀγῶνας, ἀπῄει ἱστορήσων Πέτρον, τιμῶν ὡς μείζονα (1). *Καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε.*] Καὶ τὸ προσμεῖναι δὲ πρὸς αὐτὸν, τῆς περὶ Πέτρον τιμῆς ἕνεκεν ἐγένετο. Ὅρα δὲ, πῶς ἀσφαλῶς λέγει· *Ἐπέμεινα*, φησὶ, *πρὸς αὐτὸν*, ἤτοι μετ' αὐτοῦ· οὐ μὴν δὲ ἐδιδάχθην. *Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον.*] Ὁ μὴ ἰδών τινα, πῶς ἂν ἔμαθε παρ' αὐτῶν; *Τὸν ἀδελφὸν τοῦ Κυρίου.*] Ὁ Ἰάκωβος οὐκ ἦν κατὰ σάρκα ἀδελφὸς τοῦ Κυρίου, ἀλλ' ἐνομίζετο· πλὴν ἵνα αὐτὸν ἐπάρῃ, ἀδελφὸν καλεῖ τοῦ Κυρίου (2).

(α) Πραξ. Θ', 26.

(1) «Μετὰ τοσαῦτα καὶ τοιαῦτα κατορθώματα, μηδὲν Πέτρου δεόμενος, μηδὲ τῆς ἐκείνου φωνῆς, ἀλλ' ἰσότιμος ὢν αὐτῷ, ὅμως ἀνέρχεται, ὡς πρὸς μείζονα καὶ πρεσβύτερον, οὐχ ὡς μαθησόμενός τι παρ' αὐτοῦ, οὐδὲ ὡς διόρθωσίν τινα δεξόμενος, ἀλλὰ διὰ τοῦτο μόνον, ὥστε ἰδεῖν αὐτὸν, καὶ τιμῆσαι τῇ παρουσίᾳ. Ἱστορῆσαι γάρ, φησι, Πέτρον· καὶ οὐκ εἶπεν, ἰδεῖν Πέτρον, ἀλλ', ἱστορῆσαι Πέτρον, ὅπερ οἱ τὰς μεγάλας καὶ λαμπρὰς πόλεις καταμανθάνοντες λέγουσιν. Οὕτω πολλῆς ἄξιον ἡγεῖτο σπουδῆς εἶναι καὶ τὸ μόνον ἰδεῖν τὸν ἄνδρα.» Χρυσόστομος.

(2) Α' Κορ. Θ', 5 —Ὁ Θεοφύλακτος λέγει τὸν Ἰάκωβον, υἱὸν τοῦ Κλοπᾶ. «Πῶς δὲ ἦν τοῦ Κλοπᾶ; Ἄκουε. Κλοπᾶς καὶ Ἰωσὴφ ἀδελφοί· τοῦ δὲ Κλοπᾶ ἄπαιδος τελευτήσαντος, ὁ Ἰωσὴφ ἐξανέστησεν αὐτῷ σπέρμα, καὶ ἔτεκε τοῦτον, καὶ τοὺς ἄλλους αὐτοῦ ἀδελφοὺς, καὶ Μαρίαν, ἣν τοῦ Κλοπᾶ οὖσαν, ἀδελφὴν τῆς τοῦ Κυρίου μητρὸς τὸ εὐαγγέλιον εἶπεν (Ἰωαν. ΙΘ', 25)· ὡς τοῦ Ἰωσὴφ μᾶλλον πατρὸς κηδεμονίαν πρὸς τὴν παρθένον, ἢ ἀνδρὸς διάθεσιν διασώσαντος.»

«Ἀδελφὸς τοῦ Κυρίου ἐκαλεῖτο μὲν [ὁ Ἰάκωβος], οὐκ ἦν δὲ φύσει· οὔτε μὴν, ὥςτινες ὑπειλήφασι, τοῦ Ἰωσὴφ υἱὸς ἐτύγχανεν ὢν, ἐκ προτέρων γάμων γενόμενος· ἀλλὰ τοῦ Κλωπᾶ μὲν ἦν υἱὸς, τοῦ δὲ Κυρίου, ἀνεψιός· μητέρα γὰρ εἶχε τὴν ἀδελφὴν τῆς τοῦ Κυρίου μητρός.» Θεοδώρητος.

20 (Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ, ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ
21 ψεύδομαι.) Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συ-
22 ρίας καὶ τῆς Κιλικίας. Ἤμην δὲ ἀγνοούμενος τῷ
προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας, ταῖς ἐν
23 Χριστῷ· μόνον δὲ ἀκούοντες ἦσαν· Ὅτι, ὁ διώκων
ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε
24 ἐπόρθει· καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

Ἃ *δὲ γράφω ὑμῖν, ἰδοὺ, ἐνώπιον τοῦ θεοῦ, ὅτι οὐ ψεύδομαι.*] Λέγω ὑμῖν ἐνώπιον τοῦ Κυρίου, ὅτι οὐ ψεύδομαι. Ὁρᾷς, πῶς, καθάπερ ἐπὶ δικαστηρίου μέλλων εὐθύνας ὑπέχειν, οὕτως ἐπαγωνίζεται τούτῳ τῷ λόγῳ, ὡς ἂν ἀξιόπιστος δοκῇ; Καὶ γὰρ ἐκινδύνευε, μὴ εἶναι ἀξιόπιστος πρὸς τὸ κήρυγμα, ὡς ἀνθρώπων, καὶ οὐ τοῦ Χριστοῦ μαθητὴς ὤν. *Εἰς τὰ κλίματα τῆς Συρίας.*] Μετὰ τὸ ἰδεῖν Πέτρον, πάλιν εἴχετο τῆς πρὸς τὰ ἔθνη ὁδοῦ. Πρὸς τὰ μέρη, φησι, τῆς Συρίας καὶ τῆς Κιλικίας· πρὸς αὐτὰ γὰρ ἀπέσταλτο. *Ἤμην δὲ ἀγνοούμενος.*] Τοσοῦτον, φησὶν, οὐκ ἐκήρυξα τοῖς ἐκ περιτομῆς πεπιστευκόσι, τὸ δεῖν περιτέμνειν· (τοῦτο γὰρ οἱ διαβάλλοντες ἔλεγον, ὅτι τοῖς ἐξ Ἰουδαίων πιστεύουσι, περιτομὴν κηρύσσει·) τοσοῦτον οὖν, φησὶν, οὐκ ἐκήρυξα τοῖς ἐν τῇ Ἰουδαίᾳ χριστιανοῖς, ὅτι καὶ ἠγνόουν μου τὸ πρόσωπον.—Ἢ οὕτω· Παρὰ Πέτρου οὐκ ἔμαθον· ἀλλὰ μόνον εἶδον αὐτόν. Παρὰ Ἰακώβου οὐκ ἔμαθον· κἀκεῖνον γὰρ μόνον εἶδον. Ἄλλον τῶν ἀποστόλων οὐκ εἶδον. Ἀλλὰ μὴ ἀπό τινος ἑτέρου ταπεινοτέρου καὶ οὐχ οὕτως ἐπισήμου προσώπου; Καὶ πῶς τοῦτο χώραν ἔχει, μαθεῖν ἐξ ἐκείνων, οἳ οὐδὲ τὸ πρόσωπόν μου ἑωράκασιν; *Ἀγνοούμενος* γὰρ *ἤμην τῷ προσώπῳ ταῖς ἐν Χριστῷ ἐκκλησίαις τῆς Ἰουδαίας.* Οἱ γὰρ λοιποὶ ἐδέοντο διδασκαλίας, ἀλλ' οὐκ ἐδίδασκον. Οὐκοῦν, οὐκ ἀπ' ἀνθρώπου ἔμαθον.—*Ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας.*] Ταῖς ἀμφὶ τὴν Συρίαν καὶ Κιλικίαν κειμέναις ἐκκλησίαις, ταῖς ἐξ Ἰουδαίων ἐπιστρεψάσαις πρὸς τὸν Κύριον· τοῦτο γὰρ δηλοῖ τὸ, *ἐν Χριστῷ. Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν.*) Καὶ τοῦτο

ταπεινοφροσύνης. Οὐ γὰρ εἶπεν, ὅτι ἐπῄνουν με, ἢ ἐδόξαζόν με, ἀλλά, *τὸν θεόν*, φησίν, *ἐδόξαζον*. Ὅλον γὰρ τὸ κατ' ἐμέ, φησι, τῆς χάριτος ἦν τοῦ Θεοῦ. *Ἐν ἐμοί*.] Τουτέστι, δι' ἐμέ. —*Ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν*, οὐχὶ τὸν δεῖνα, ἢ τὸν δεῖνα διδάσκαλον, ἀλλ' αὐτὸν τὸν Θεόν· αὐτὸς γὰρ ἦν ὁ ἀποκαλύψας ἐμοί, καὶ διδάξας με τὸ κήρυγμα (Φωτίου).

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς τῶν ἀποστόλων ἐπιμαρτυρήσεως εἰς τὴν ἐν πίστει ζωήν.

Κεφ. II, 1 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλα-
2 βὼν καὶ Τίτον. Ἀνέβην δὲ κατὰ ἀποκάλυψιν, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι· (κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι·) μήπως εἰς κε-
3 νὸν τρέχω, ἢ ἔδραμον. Ἀλλ' οὐδὲ Τίτος, ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι.

Τοῦ μὲν τὸ πρῶτον ἀνελθεῖν εἰς Ἱεροσόλυμα, Πέτρον εἶπεν εἶναι τὴν αἰτίαν· τοῦ δὲ τὸ δεύτερον (1), τὴν ἀποκάλυψιν· *Ἀνέβην γάρ*, φησι, *κατὰ ἀποκάλυψιν. Μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον*.] Τούτους ἐπήγετο μάρτυρας τοῦ ἰδίου κηρύγματος, ὅτι ἀρεστὸν ἔδοξε τοῖς ἀποστόλοις. *Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν*.] *Ἀνεθέμην*, οἷον, ἐκοινωσάμην, εἰς ἐξέτασιν αὐτοῖς προεθέμην τὸ εὐαγγέλιον, *ὃ κηρύσσω*, τουτέστι, τὸ δίχα περιτομῆς. Καὶ τίνος ἕνεκεν, μὴ παρὰ τὴν ἀρχὴν ἀνέθετο αὐτοῖς τὸ εὐαγγέλιον, ἀλλὰ μετὰ τοσαῦτα ἔτη; Ἐπειδὴ πολλοί, ὁρῶντες τοὺς ἀμφὶ

(1) Η περὶ ἧς ὁ λόγος ἐνταῦθα ἄνοδος τοῦ Παύλου ἐστὶν ἡ Πραξ. ΙΕ', 2, καὶ ἑξῆς, παρὰ τοῦ Λουκᾶ περιγραφομένη.

Πέτρον συγχωροῦντας περιτομὴν, τὸν δὲ Παῦλον μὴ συγχωροῦντα, ἐσκανδαλίζοντο, ὡς διαφωνίας οὔσης ἐν τῷ κηρύγματι, τὸ Πνεῦμα τὸ ἅγιον ἀπεκάλυψεν αὐτῷ τὴν ἐν Ἱερουσαλὴμ ἄνοδον, ἵνα πεισθῶσιν οἱ σκανδαλιζόμενοι, ὅτι διαφωνία μὲν οὐδεμία ἐν τῷ κηρύγματι, οἰκονομία δὲ μᾶλλον τὸ συγχωρεῖσθαι τὴν περιτομήν. *Κατ' ἰδίαν δὲ τοῖς δοκοῦσιν.*] Ἐπειδὴ οἱ ἐξ Ἰουδαίων πιστεύσαντες ἐν Ἱερουσαλὴμ ἐσκανδαλίζοντο, εἴ τις περιτομὴν κωλύει, τὸ δὲ τοῦ Παύλου κήρυγμα ἀνῄρει αὐτὴν, ὅπως αὐτοὺς ἀσκανδαλίστους τηρήσῃ, κατ' ἰδίαν αὐτοῖς ἀνέθετο τὸ κήρυγμα. Τὸ δὲ, *τοῖς δοκοῦσιν*, οὐκ ἀναιροῦντός ἐστι τὸ εἶναι τοὺς περὶ Πέτρον μεγάλους· ἀλλ' ὡς ἄν τις εἴποι, *Τοῖς οὖσι τι*, δηλαδὴ, τοῖς κορυφαίοις (1).—Διὰ τί *κατ' ἰδίαν* ἀνέθου αὐτοῖς τὸ εὐαγγέλιον; Ἵνα μὴ, φησὶν, ἔμπροσθεν πάντων ἀναθεὶς, σκανδαλίσω νεοπαγεῖς ὄντας τότε τοὺς ἐκ περιτομῆς, καὶ ἀποστῆναι αὐτοὺς παρασκευάσω διόλου τῆς πίστεως τοῦ Χριστοῦ, καὶ ἀπολέσω τὸν δρόμον μου, καὶ κενὸς δειχθῇ ὁ ἀγών μου καὶ ἡ σπουδή μου. Πῶς γὰρ οὐκ ἔστιν εἰς κενὸν τρέχειν, καὶ δεδραμηκέναι, ὅταν, τρέχων ἵνα σώσω, ἑτέρους πάλιν διὰ τῆς ἀπερισκέπτου ἀκριβείας ἀπολλύω; Πῶς οὖν νῦν, καὶ δημοσίᾳ ἐλέγχει; ὅτι προκοπὴ ἦν, καὶ ὅτι καὶ δόγμα τινὲς τὴν οἰκονομίαν ἐτόλμων ποιεῖν (Φωτίου). — *Μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον.*] Οὐ γὰρ ἵνα ἐγὼ μάθω, *μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον*· (ᾔδειν γὰρ ἐκ τῆς ἀποκαλύψεως τοῦ Χριστοῦ τὴν ἀκρίβειαν τοῦ κηρύγματος·) ἀλλ' ἵνα μάθωσιν οἱ διαστασιάζειν με τοῖς περὶ Πέτρον ὑπονοοῦντες, ὅτι οὐκ εἰς κενὸν τρέχω, ἢ ἔδραμον. Ἢ τὸ, *μή πως*, δύναται καὶ κατ' ἐρώτησιν εἰρῆσθαι, ὡς διαβεβαιωτικὸν ὂν τοῦ, ὅτι οὐκ εἰς κενὸν τρέχω, ἢ ἔδραμον, ἀλλὰ πάντα σὺν

(1) «Δοκοῦντας δὲ λέγων, οὐκ ἀναιρεῖ τὸ εἶναι αὐτοὺς μεγάλους, ἀλλὰ μετὰ τῆς ἑαυτοῦ καὶ τὴν κοινὴν ἁπάντων ψῆφον τίθησιν· ὥσπερ καὶ περὶ ἑαυτοῦ εἶπεν· Ὅτι δοκῶ κἀγὼ πνεῦμα θεοῦ ἔχειν (Α' Κορ. Ζ', 40')· οὐχ ὡς ἀναιρῶν τὸ ἔχειν, ἀλλὰ τὴν κοινὴν ὑπόληψιν εἰσάγων. Τοῖς δοκοῦσιν οὖν, τουτέστι, τοῖς μεγάλοις, τοῖς ἐνδόξοις.» Θεοφύλακτος.

ἀσφαλείᾳ ἔπραττον καὶ προνοίᾳ (Φωτίου).—*Ἀλλ' οὐδὲ Τίτος, ὁ σὺν ἐμοὶ, Ἕλλην ὤν.*] *Ὁ σὺν ἐμοὶ*, φησιν, ἀνελθὼν εἰς Ἱεροσόλυμα Τίτος, *Ἕλλην ὤν*, τουτέστιν, ἀκρόβυστος, οὐκ ἠναγκάσθη παρὰ τῶν ἀποστόλων περιτμηθῆναι· ὅπερ ἔλεγχος ἦν, μηδὲ τοὺς περὶ Πέτρον κηρύσσειν περιτομὴν, κατὰ δὲ συγκατάβασιν, διὰ τοὺς ἐξ Ἰσραὴλ πιστοὺς, συγχωρεῖν τὴν περιτομήν.—ΑΛΛΩΣ. Οὐδὲ Τίτον, φησὶ, καίτοι ἐπίδηλον ὄντα ἐξ Ἑλληνικῆς σπορᾶς γεγεννημένον, οὐδὲ τοῦτον ἠνάγκασαν οἱ ἀπόστολοι περιτμηθῆναι, καίτοι παρόντας ὁρῶντες καὶ τοὺς ψευδαδέλφους. Τὸ γὰρ, *ἀλλ' οὐδὲ*, ἀπὸ κοινοῦ ἐκληπτέον· οἷον· *Ἀλλ' οὐδὲ Τίτος ἠναγκάσθη περιτμηθῆναι·* οὐδὲ διὰ τοὺς παρεισάκτους ψευδαδέλφους. Τί οὖν; Διὰ τί τὸν Τιμόθεον περιέτεμεν, εἰ λόγον οὐ ποιεῖται τῶν ψευδαδέλφων; Οὐδ' ἐκεῖνον διὰ τούτους περιέτεμε, μὴ γένοιτο! ἀλλ' ἵνα κερδήσῃ τοὺς δι' ἀσθένειαν λογισμῶν σκανδαλιζομένους. Τοῖς μὲν γὰρ ἀσθενοῦσι, δεῖ συγκαταβαίνειν, ἐπὶ θεραπείᾳ πρᾳείᾳ τοῦ ἀῤῥωστήματος· τοῖς δ' ἐκ κακουργίας καὶ πονηρᾶς γνώμης ὁρμωμένοις, οὐδὲ τὸ ἐλάχιστον ὑπείκειν. Οὗτοι γὰρ, οὐ μόνον οὐ δέονται θεραπείας, κρείττονος ἁπάσης θεραπείας τοῦ πάθους αὐτοῖς ἐνστηριχθέντος· ἀλλὰ καὶ τοὺς πλησίον ζητοῦσι τῆς οἰκείας νόσου ἀναπλῆσαι· διὸ οὐδὲ πρὸς ὥραν αὐτοῖς εἴξαμεν. Καὶ ταύτην τὴν γνώμην ὁ θεῖος ἀποφαίνεται Παῦλος (Φωτίου).

4 Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους· οἵ τινες
παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν,
ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώ-
5 σωνται· οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ,
ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς.

Οὐδὲ, ἐπειδὴ οἱ ψευδάδελφοι παρῆσαν, ἠνάγκασαν, φησὶν, οἱ ἀπόστολοι Τίτον περιτμηθῆναι (1)· ὅπερ ἦν δεῖγμα τοῦ μὴ νομο-

(1) « Ὁ Δὲ σύνδεσμος πρὸς τὴν τοῦ λόγου συνθήκην περιττός· ἔστι γὰρ ἡ διάνοια τῶν ῥητῶν αὕτη· Οὐδὲ Τίτος, καίτοι Ἕλλην ὢν, ἠναγκάσθη περιτμηθῆναι διὰ τοὺς παρεισάκτους ψευδαδέλφους, καὶ τὰ ἑξῆς. » Θεοδώρητος.

θετεῖν τοὺς ἀμφὶ Πέτρον τὴν περιτομήν. *Ψευδάδελφοι* δὲ ἦσάν τινες ἐν σχήματι ἀδελφῶν χριστιανῶν, περιτομὴν κηρύσσοντες, οὐχ ὡς οἱ περὶ Πέτρον διὰ συγκατάβασιν καὶ οἰκονομίαν, ἀλλ' ὡς νόμον ἐκδικοῦντες τὸ πρᾶγμα. Καὶ οἱ μὲν ἀπόστολοι, παρ' Ἰουδαίοις τοῦτο μόνον συνεχώρουν· ἐκεῖνοι δὲ καὶ ἐν τοῖς ἔθνεσι περιτομὴν ἐνομοθέτουν· οὗτοι γὰρ ἦσαν οἱ Γαλάτας διαθορυβοῦντες. Οὐδὲ αὐτῶν οὖν, φησι, παρόντων, οἷς ἔργον περιτομὴν κηρύσσειν, ἠναγκάσθη Τίτος περιτμηθῆναι. *Οἵ τινες παρεισῆλθον.*] Οἱ ψευδάδελφοί, φησι, λαθραίως παρεισέδυσαν, κατασκοπῆσαι ἡμῶν ζητοῦντες τὴν ἐν Χριστῷ ἐλευθερίαν, ἵνα ἡμᾶς πάλιν τῷ ζυγῷ τοῦ νόμου ὑποβάλωσι, καὶ ταῖς ἰουδαϊκαῖς παρατηρήσεσι· τὸ γὰρ μὴ τούτοις ὑποκεῖσθαι, *ἐλευθερίαν*, λέγει. Ὅρα δὲ, πῶς ἔδειξεν αὐτοὺς πολεμίους, καὶ ἐπὶ λύμῃ τῆς πίστεως εἰσεληλυθότας, τῷ τε εἰπεῖν, *παρεισῆλθον*, τὴν λαθραίαν αὐτῶν καὶ ἐπίβουλον εἴσοδον δηλῶν, καὶ τῷ εἰπεῖν, *κατασκοπῆσαι*· ὁ γὰρ κατασκοπῶν, ἐπὶ βλάβῃ καὶ ἐπιβουλῇ κατασκοπεῖ. *Ἵνα ἡμᾶς καταδουλώσωνται.*] Οἱ μὲν γὰρ ἀμφὶ Πέτρον συνεχώρουν τὴν περιτομὴν, ἵνα κατὰ μικρὸν ὑποκλέψωσι τῆς δουλείας τοῦ νόμου· οὗτοι δὲ, *ἵνα καταδουλώσωσιν* (1). *Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν.*] Διὰ τοῦτό, φησιν, οὐκ εἴξαμεν αὐτῶν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ κηρυχθέντος παρ' ἐμοῦ πρὸς ὑμᾶς εὐαγγελίου μείνῃ ἀσάλευτος καὶ βεβαία. Τίς δὲ *ἡ ἀλήθεια* αὐτοῦ; Τὰ ἀρχαῖα παρῆλθε· Καὶ εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις (α)· καὶ ὅτι ὁ νόμος κατήργηται· καὶ ὅτι τοὺς περιτεμνομένους Χριστὸς οὐ προσίεται, οὐδὲ ὠφελεῖ οὐδέν. Τῇ *ὑποταγῇ.*] Οὐκ εἶπε, τῇ διδαχῇ, ἀλλὰ, *τῇ ὑποταγῇ*, δηλῶν αὐτοὺς σπουδάζειν, ὑποτάξαι καὶ καταδουλῶσαι πάλιν τῷ νόμῳ.

---

(1) « Περιεσκόπουν γὰρ, τίνες εἰσὶν ἀκρίβευστοι, ἔχοντες τὴν ἐλευθερίαν τὴν ἐν Χριστῷ, τουτέστι, μὴ ὑποκείμενοι τῷ νόμῳ, ἵνα ἐπιλάβωνται, καὶ ἀναγκάζωσι περιτμηθῆναι, καὶ πάλιν ἡμᾶς ὑπαγάγωσι τῇ δουλείᾳ τοῦ νόμου, ἧς ἡμᾶς ἠλευθέρωσε Χριστός. » Θεοφύλακτος.

(α) Β' Κορ. Ε', 17.

6 Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, (ὁποῖοί ποτε ἦσαν,
οὐδέν μοι διαφέρει· πρόσωπον θεὸς ἀνθρώπου οὐ
λαμβάνει·) ἐμοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέ-
7 θεντο· ἀλλὰ τοὐναντίον, ἰδόντες, ὅτι πεπίστευμαι
τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος
8 τῆς περιτομῆς· (ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀπο-
στολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη·)

Εἰ φανερῶς ἔλεγεν ὁ Παῦλος, ὅτι οἰκονομικῶς τὴν περιτομὴν συγχωροῦσιν οἱ ἄλλοι ἀπόστολοι, ἀπεφοίτησαν ἂν αὐτῶν οἱ τῇ περιτομῇ χαίροντες ἐξ Ἰουδαίων πιστοὶ, ὅτι μὴ τῇ ἀληθείᾳ ἐδέχοντο τὴν περιτομὴν, ἀλλ' οἰκονομίᾳ καὶ συγκαταβάσει. Ὅθεν οὐκ ἀνακαλύπτει νῦν τὴν οἰκονομίαν ὁ Παῦλος· ἄλλως δὲ μεθοδεύει τὸν λόγον, ὡς ἂν ἀπομαχόμενος τοῖς περὶ Πέτρον· ὅτι, φησὶ, λόγον δώσουσιν ὧν κηρύσσουσι θεῷ· τοῦτο δὲ λέγει διὰ τὴν ἐκείνων ἀσθένειαν. *Ἀπὸ δὲ τῶν δοκούντων* εἶναί τι.] Ἀπὸ τῶν δοκούντων εἶναι μεγάλων, δηλαδὴ, τῶν ἀμφὶ Πέτρον· *ὁποῖοί ποτε ἦσαν*, εἴτε εὐαρεστοῦντες θεῷ, εἴτε οὔ, διὰ τὸ συγχωρεῖν τὴν περιτομήν· ἐγώ, φησιν, οὐ διαφέρομαι οὐδέν· οἶδα γὰρ, ὅτι λόγον ἕκαστος δώσει θεῷ, καὶ οὐκ ἂν αὐτοὺς ὁ θεὸς ἐρυθριάσοι διὰ τὸ εἶναι κορυφαίους· *πρόσωπον* γὰρ *θεὸς ἀνθρώπου οὐ λαμβάνει* (1)· *Ὁποῖοί ποτε ἦσαν*.] Ὅρα δέ· οὐκ εἶπεν, Ὁποῖοί ποτέ εἰσιν, ἀλλ', *Ὁποῖοί ποτε ἦσαν*, δεικνὺς, ὅτι καὶ αὐτοὶ ἤδη ἐπαύσαντο τοῦ οἰκονομικῶς συγχωρεῖν τὴν περιτομὴν, ἅτε τοῦ κηρύγματος πανταχοῦ λάμψαντος. *Ἐμοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο*.] Κατὰ τοῦτο δέ, φησιν, οὐ διαφέρει μοι τὰ παρ' αὐτῶν, ὅτι τέως, τοῦ ἐμοῦ κηρύγματος ἀκούσαντες, οὐδὲν ἐμοὶ ἠναντιώθησαν, οὐδὲ τῷ κηρύγματι προσέθηκαν, ἢ ἀφεῖλον (2). *Ἀλλὰ τοὐναντίον*.] Οὐ μόνον,

(1) « Βαρεῖ σφόδρα τοὺς ἀποστόλους, λέγων, ὅτι οὐδέν μοι διαφέρει· τουτέστιν, οὐδεμία μοι φροντὶς περὶ τῶν δοκούντων εἶναί τι, τῶν μεγάλων δηλαδὴ ἀποστόλων, εἴτε περιτομὴν ἐκήρυττον, εἴτε μή· αὐτοὶ γὰρ τῷ θεῷ λόγον δώσουσι· καὶ οὐκ, ἐπειδὴ μεγάλοι εἰσὶ καὶ ἔξαρχοι, τὸ πρόσωπον αὐτῶν δυσωπηθήσεται ὁ θεός· ἀπροσωπόληπτος γάρ. » Θεοφύλακτος.

(2) « Προσανέθεντο· περιττότερόν τι προσεδίδαξαν. » Σχόλιον ὀρχαῖον.

φησὶν, οὐδέν μοι ἠναντιώθησαν ἢ διωρθώσαντο τοῦ ἐμοῦ κηρύγματος, *ἀλλὰ τοὐναντίον*, καὶ ἐπῄνεσαν. Ἡ δὲ σύνταξις αὕτη· *Ἀλλὰ τοὐναντίον, ἰδόντες, ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας*, ἡ ἀπόδοσις μετὰ πολλὰ, *δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας*. Τοῦτο οὖν ἐστι τοῦ διορθωθῆναι τὸ ἐναντίον, τὸ καὶ δεξιὰς κοινωνίας λαβεῖν, ὃ ἦν δεῖγμα τοῦ ἀποδέχεσθαι αὐτῶν τὸ κήρυγμα. *Τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας.*] Οἷον, τῶν ἀκροβύστων ἐθνῶν. *Καθὼς Πέτρος τῆς περιτομῆς.*] Τῶν περιτετμημένων, τῶν Ἰουδαίων. Ὅρα δὲ, πῶς ἑαυτὸν ἐξισοῖ τῷ Πέτρῳ· τούτου γὰρ νῦν χρεία ἦν, ἵνα δειχθῇ Γαλάταις ἀξιόπιστος. *Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν περιτομῆς.*] Ὁ γὰρ δοὺς ἐκείνῳ τὴν εἰς τοὺς Ἑβραίους ἐνέργειαν τοῦ εὐαγγελίου, ἔδωκε κἀμοὶ ταύτην εἰς τὰ ἔθνη.

9 Καὶ γνόντες τὴν χάριν, τὴν δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες, στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν·
10 μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν· ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

Καὶ γνόντες τὴν χάριν.] Ὅρα δὲ, πῶς ἔδειξεν, ὅτι οὐ μόνον τοῖς ἀποστόλοις ἤρεσε τὸ κήρυγμα αὐτοῦ, ἀλλὰ καὶ τῷ Θεῷ τοῦτο ἐδόκει· οἱ γὰρ ἀπόστολοί, φησι, *γνόντες* τὴν δοθεῖσάν μοι χάριν τοῦ Θεοῦ. Οὐκ εἶπεν, *ἀκούσαντες*· ἀλλ' ἐξ αὐτῶν τῶν πραγμάτων *γνόντες*. Πῶς γὰρ ἂν ἔδωκέ μοι τὴν χάριν ὁ Θεὸς, εἰ μὴ ἀρεστὸν αὐτῷ τὸ τοιοῦτον κήρυγμα ἦν; Πάλιν δὲ μετ' ἐγκωμίων τῶν τριῶν ἀποστόλων ἐμνήσθη· *οἱ δοκοῦντες* γὰρ *στῦλοι*, φησί· τουτέστιν· Οἱ ὄντες καὶ πᾶσι δοκοῦντες στῦλοι τῆς πίστεως· ὡς εἰ ἔλεγεν· Οὓς πάντες πανταχοῦ περιφέρουσι καὶ δοξάζουσιν, οὗτοι μαρτυροῦσί μοι, ὅτι καὶ τῷ Χριστῷ τὸ κήρυγμά μου ἀρέσκει· διὸ καὶ *δεξιὰς ἔδωκαν κοινωνίας*, τουτέστι, συνεφώνησαν, ὅτι κοινὰ τὰ δόγματα, καὶ

κοινωνοὺς ἡμᾶς ἑαυτοῖς ἐποιήσαντο εἰς τὸ κήρυγμα, δηλοῦντες, ὅτι ἀρέσκονται τῷ ἡμετέρῳ κηρύγματι, διὰ τὸ εἶναι ταὐτὸν τῷ ἐκείνων. *Ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη.*] Ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, ἐκεῖνοι δὲ *εἰς τὴν περιτομὴν*, τουτέςιν, εἰς τοὺς Ἰουδαίους, κηρύξωσι τὸ εὐαγγέλιον. *Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν.*] Τὸ κήρυγμα, φησὶ, διελόμενοι, τοὺς πτωχοὺς ἀμερίςους εἴχομεν· οἱ δὲ πτωχοὶ οὗτοι ἦσαν, οἱ παρὰ τῶν ἰδίων συμφυλετῶν, τῶν μὴ πιςευσάντων, διαρπαγέντες ἐν Ἱεροσολύμοις τὰ προσόντα διὰ τὴν εἰς Χριστὸν πίστιν (α). Οὐχ οὕτω γὰρ οἱ Ἕλληνες ἐπολέμουν τοῖς ἐξ αὐτῶν πιστοῖς, ὅσον οἱ Ἰουδαῖοι τοῖς ἐξ Ἑβραίων χριστιανοῖς. Διὸ πολλὴν ὁ Παῦλος ποιεῖται σπουδὴν τῆς εἰς αὐτοὺς ἐπιμελείας, ὡς καὶ αὐτὸς ὁμολογεῖ, λέγων· *Ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι·* καὶ γὰρ πάντοθεν ἀπὸ τῶν μαθητευομένων συνάγων, διεκόμιζεν αὐτὸς αὐτοῖς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς πρὸς Κηφᾶν ἀντιῤῥήσεως περὶ τῆς ἐν πίςει καὶ οὐκ ἐν νόμῳ σωτηρίας.

11 Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσω-
12 πον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. Πρὸ
τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν
συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε, καὶ ἀφώριζεν
13 ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς. Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι· ὥςτε καὶ
Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.

Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην.] Οὐ μάχης οὐδὲ καταγνώσεως ἦν τὸ τὸν Παῦλον ἀντιστῆναι τῷ Πέτρῳ, ἀλλ' οἰκονομίας. Ἐπειδὴ γὰρ διὰ συγ-

---

(α) Α' Θεσσαλ. Β', 14.

κατάβασιν οἱ περὶ Πέτρον ἐν Ἱερουσαλὴμ συνεχώρουν τὴν περιτομὴν, κατὰ μικρὸν βουλόμενοι τοὺς ἐξ Ἰουδαίων ἐπὶ τὸ τέλειον ἀγαγεῖν, ἐλθὼν ὁ Πέτρος εἰς Ἀντιόχειαν, ἄχρι μὲν οὐδεὶς ἦν τῶν ἐξ Ἰουδαίων πιστὸς ἐκεῖ, ἀδιαφόρως μετὰ τῶν ἐξ ἐθνῶν πιστευσάντων συνήσθιεν· ὅτε δὲ παρεγένοντο, ἵνα μὴ αὐτοὺς σκανδαλίσῃ, ἔτι ἀσθενεῖς ὄντας, ὑπεστέλλετο συνεσθίειν ἐκείνοις. Τούτου δὲ αἴτιον, ὡς εἴρηται, ἡ ἐκείνων ἀσθένεια. Καὶ τὸ τὸν Παῦλον δὲ φανερῶς, ἀλλὰ μὴ κατ' ἰδίαν ἀντιστῆναι τῷ Πέτρῳ, οἰκονομίας ἦν· ἵνα, ὁρῶντες οἱ ἐξ Ἰουδαίων πιςοὶ τὸν διδάσκαλον αὐτὸν Πέτρον ἐγκαλούμενον φανερῶς, τί δήποτε μὴ σύνεστι τοῖς ἀκροβύστοις, καὶ μὴ ἀντιλέγοντα, γνῶσιν, ὡς οὐ χρειώδης λοιπὸν ἡ παρατήρησις τοῦ νόμου μετὰ τὴν πίστιν, ἀλλὰ πρόφασιν παρασχοῦσα τοῦ ἐγκληθῆναι Πέτρον. Ὅτι δὲ τοῦτο ᾠκονόμητο, φανερῶς εἰς λόγους ἦλθεν ὁ Παῦλος τῷ Πέτρῳ, ἵνα οἱ ἐκ περιτομῆς πιστοὶ ἀκούοντες, μεταθῶνται τῆς τοῦ νόμου παρατηρήσεως· ὡς εἴγε τὸ ἀληθὲς ἦν ὀργὴ, ἔδει κατ' ἰδίαν αὐτοὺς διαλεχθῆναι πρὸς ἑαυτούς.— Εἰ εἶπεν ὁ Παῦλος, κατ' οἰκονομίαν πράττειν τὴν περιτομὴν τοὺς περὶ Πέτρον, ἔδοξεν ἂν καὶ αὐτὸς ταύτην συγχωρεῖν, καὶ οὕτω μᾶλλον συντρέχων ἐδείκνυτο ἂν, οἷς ἔργον εἶχε πολεμεῖν. Εἰ γὰρ Πέτρος καλῶς ποιεῖ συγχωρῶν, τί μὴ καὶ σύ; τί δὲ καὶ μέμφῃ πικρῶς, ἣν οἰκονομίαν καλεῖς; Ἔα πράττειν, καὶ μὴ ἐπιτίμα, καὶ, ὡς ἄν σοι φίλον, ὠνόμαζε, εἴτε οἰκονομίαν, εἴτε δόγμα καὶ ἀκρίβειαν. Ταῦτα ἂν καὶ ἐλογίζοντο καὶ ἔλεγον πρὸς τὸν Παῦλον, εἰ κατὰ οἰκονομίαν εἶπε τοὺς περὶ Πέτρον τὴν περιτομὴν καταδέχεσθαι. Ψυχὴ γὰρ ἐπτοημένη περί τι, μικρᾶς καὶ τῆς τυχούσης ἀφορμῆς λαβομένη, πλέον αὐτῷ οἰκειοῦται καὶ περιπλέκεται. Διὸ σοφῶς ἄγαν ὁ Παῦλος, τὸ μὲν τῆς οἰκονομίας ὅλως ἀποσιωπᾷ, δριμέως δὲ καθάπτεται τῆς πράξεως· καὶ ὡς παρανομοῦντας δῆθεν ἐλέγχει τοὺς συγχωρήσαντας, ἵνα τῷ σφοδρῷ τῆς περὶ ἐκείνους ἐπιτιμήσεως, τοὺς ἀληθῶς παρανομοῦντας πτοήσῃ καὶ διορθώσηται. Διὸ καὶ *δοκοῦν-*

τας αὐτοὺς, καὶ *κατεγνωσμένους*, καὶ *ὑποκρινομένους*, καὶ *μὴ ὀρθοποδοῦντας*, οὐ παραιτεῖται καλεῖν, ἵνα μόνον τὸ τοῦ Χριστοῦ κήρυγμα βεβαιώσῃ. Οὕτως ἀλλήλοις ὑπὲρ τοῦ κηρύγματος ἐθάῤῥουν, καὶ τηλικούτῳ ἐδέδεντο συνδέσμῳ, ὡς δεῆσαν, ἂν οὕτω τύχῃ, διὰ τῆς ἀλλήλων καταγνώσεως τὸν τοῦ κηρύγματος κραταιοῦσθαι λόγον, μηδὲ τοῦτο παραιτεῖσθαι. Καὶ ἵνα τοῦτο μάθῃς ἀκριβῶς, σκόπει· Παῦλος διὰ τῶν ἐπιστολῶν καταγινώσκει Πέτρου, καὶ Πέτρος διὰ τῆς ἐπιστολῆς ἐγκωμιάζει Παῦλον, καὶ τὰς ἐπιστολὰς αὐτοῦ, σοφίας Θεοῦ καὶ χάριτος εἶναι πλήρεις μαρτυρεῖ, καὶ τοὺς ἀστηρίκτους τὸν ἐν αὐταῖς κεκρυμμένον νοῦν οὐ συνιέναι, ἀλλὰ καὶ διαστρέφειν ἀναβοᾷ (α). Ἄλλως δὲ, καὶ Παῦλος ὑπὲρ τοῦ κηρύγματος ταῦτα περὶ Πέτρου λέγων, κατὰ πολὺ πλέον ἑαυτοῦ περιέπει τοῦτον καὶ τιμᾷ. Τί γάρ ἐστιν εἰς λόγον ὕβρεως, τὸ *δοκεῖν* καὶ *μὴ ὀρθοποδεῖν*, πρὸς τὸ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ; (Φωτίου). — ΑΛΛΩΣ. Εὐσέβιος ὁ Παμφίλου ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ (1) ἀποδείκνυσι, μὴ εἶναι τὸν Κηφᾶν τοῦτον, τὸν Πέτρον, ἀλλ᾽ ὁμώνυμον αὐτῷ, ἕνα τῶν ἑβδομήκοντα. Καὶ πιθανὸς ὁ λόγος (2)· οὐ γὰρ ἂν ὁ Πέτρος ἐδεήθη πάλιν ὑποστολῆς, ὅστις ἤδη περὶ τούτου ἀπολογησάμενος ἦν ἐν Ἱερουσαλὴμ, καὶ πείσας ἅπαντας, ὅτε τῷ Κορνηλίῳ συμφαγὼν, τινὰς τῶν ἐκ περιτομῆς ἐσκανδάλισεν, ὅτε καὶ εἶπεν· « Ἐπ᾽ ἀληθείας, ἀδελφοὶ, καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος

(α) Β΄ Πετρ. Γ΄, 15. 16. (1) Εὐσεβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Α΄. Κεφ. ΙΒ΄.

(2) Ἀπιθανώτατος. Ὁ Γαλ. Β΄, 9. Κηφᾶς ἐστιν ὁ αὐτὸς τῷ Α΄ Κορ. Α΄, 12. Γ΄, 22. Θ΄, 5. ΙΕ΄, 5. ἤτοι, ὁ Πέτρος. Ἰωάν. Α΄, 43. Τοῦτο διδάσκει καὶ ὅλη ἡ σειρὰ τοῦ λόγου.

« Εὐσέβιος δὲ, οὐ τὸν μέγαν Πέτρον λέγει ἐπιτιμηθῆναι παρὰ τοῦ Παύλου, ἀλλ᾽ ἕτερόν τινα Κηφᾶν, ἕνα τῶν ἑβδομήκοντα· καὶ κατασκευάζειν οἴεται τοῦτο, οὐκ εἰκὸς εἶναι λέγων, τὸν ἀπολογησάμενον ἐν ἀρχῇ, ὅτε τῷ Κορνηλίῳ συμφαγὼν τινὰς ἐσκανδάλισεν, αὖθις δεηθῆναι τῆς τοιαύτης ἐπιτιμήσεως. Ἀλλ᾽, ὦ σοφώτατε! οὐδ᾽ ἡμεῖς λέγομεν, τὸν Πέτρον, ὡς ἀγνοοῦντα τὸ δέον, ἐπιτιμηθῆναι παρὰ Παύλου, ἀλλ᾽ ἑκόντα ὑποστῆναι τὴν ἐπιτίμησιν, ἵν᾽ ἕτεροι διορθωθῶσιν. » Θεοφύλακτος.

δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν (α)· » οὐ γὰρ ἦν ὁ εἰπὼν ταῦτα. Εἰ δὲ τοῦτο παρὰ τὴν ἀρχὴν τοῦ κηρύγματος ποιήσας, ἔπεισεν ἅπαντας, ὡς οὐ κακῶς ἐποίησε, τοῦ πνεύματος αὐτὸν εἰς τοῦτο ἐνάγοντος, πῶς ἂν νῦν μετὰ τοσοῦτον χρόνον, μετὰ τὸ πεῖραν δοῦναι τὸν Πέτρον τῆς οἰκείας ἀρετῆς, ἐδεήθη πάλιν τῆς τοιαύτης οἰκονομίας; Τὸ δὲ, *ὅτι κατεγνωσμένος ἦν*, δύνασαι καὶ οὕτω νοῆσαι· Γέγονέ μοι, φησὶ, πρόφασις τοῦ κατὰ πρόσωπον αὐτῷ ἀντιστῆναι καὶ διελέγξαι αὐτὸν, ἄλλο μὲν οὐδὲν, ἢ ὅτι περὶ τοῦ συνεσθίειν τοῖς ἐν ἀκροβυστίᾳ προκατεγνωσμένος ἦν ἀπὸ τῶν Ἰουδαίων, ὅτε τῷ Κορνηλίῳ συνέφαγεν· εἰ μὴ γὰρ προκατεγνώσθη παρ' αὐτῶν, σκανδαλισθέντων ἐκεῖ, οὐκ ἂν νῦν ὑπεστάλη· μὴ ὑποσταλέντος δὲ, οὐκ ἦν χρεία τοῦ τε ἐλέγχου, τῆς τε κατὰ πρόσωπον ἀντιστάσεως. Τί δὲ ὅλως ὠφελεῖ ἡ κατὰ πρόσωπον ἀντίστασις;—Ὅτι εὐκαίρως ἐποίησε, λεχθῆναι ἔμπροσθεν τῶν Ἰουδαίων τό· *Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοὶ, εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου·* διὰ τὸ λεχθῆναι ταῦτα ἔμπροσθεν πάντων γέγονεν ἡ κατὰ πρόσωπον ἀντίστασις· ἐπεὶ ἐχρῆν, εἴπερ ἄρά τι σφάλμα ἦν, κατ' ἰδίαν ἐγκαλέσαι καὶ διορθώσασθαι, τοῦ Κυρίου λέγοντος· Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ἔλεγξον αὐτὸν κατ' ἰδίαν· ἀπειθοῦντι δὲ, καὶ ἑτέρους καὶ τὴν ἐκκλησίαν ἐπίστησον (β). —*Ὅτι κατεγνωσμένος ἦν.*] *Κατεγνωσμένος ἦν* ὁ Πέτρος, οὐ τῇ ἀληθείᾳ, οὔτε παρὰ Παύλου, τοῦ τὴν οἰκονομίαν εἰδότος, ἄπαγε! ἀλλὰ παρὰ τῶν ἀγνοούντων τὸ οἰκονομούμενον, καὶ οἰομένων ὑποκρίνεσθαι διὰ τὸ πρᾶγμα· ὅτι ἀπόντων μὲν τῶν ἐξ Ἰουδαίων πιστῶν, συνήσθιε τοῖς ἔθνεσι, παρόντων δὲ, οὐκέτι. Οἶδας δὲ, τί παραγέγραπται διὰ Κηφᾶν. *Ἀπὸ Ἰακώβου.*]

(α) Πράξ. Ι', 34. 35. (β) Ματθ. ΙΗ', 15—17.

Λέγει καὶ τὴν αἰτίαν τῆς καταγνώσεως. Ἰάκωβος δὲ οὗτος, ὁ τοῦ Χριστοῦ χρηματίσας ἀδελφὸς, ἐπίσκοπος ἦν Ἱεροσολύμων. Ἀπ' αὐτοῦ οὖν ἀπεστάλησάν τινες ἐξ Ἰουδαίων μὲν πιστεύσαντες, πλὴν ἔτι καὶ τοῦ νόμου ἐχόμενοι, καὶ ἀπῆλθον εἰς Ἀντιόχειαν· οὓς ἰδὼν Πέτρος, καὶ φοβηθεὶς, *ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν*, ἀπὸ τῆς τῶν ἐθνικῶν δηλονότι συνουσίας. Τὸ δὲ, *φοβούμενος*, οὐ τοῦτο λέγει, ὅτι δεδοικὼς αὐτοὺς, μή τι πάθῃ παρ' αὐτῶν· ἀλλὰ *φοβούμενος*, μὴ αὐτοὶ σκανδαλισθέντες ἀποσκιρτήσωσι τῆς πίστεως. *Καὶ συνυπεκρίθησαν αὐτῷ.*] *Ὑπόκρισιν* τὸ πρᾶγμα καλεῖ, ἵνα ἡ οἰκονομία ἐκκαλυπτομένη μηκέτι ὠφελῇ τοὺς ἐκ περιτομῆς πιστούς. *Καὶ οἱ λοιποὶ Ἰουδαῖοι.*] Ἦσαν γὰρ καὶ ἄλλοι ἐκ περιτομῆς πιστοὶ εἰς Ἀντιόχειαν, οἳ καὶ αὐτοί, φησιν, ὑπέστειλον καὶ ἀφώρισαν ἑαυτοὺς ἐκ τῶν ἐξ ἀκροβυστίας διὰ τοὺς ἐλθόντας ἀπὸ Ἰακώβου.

14 Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλή-
θειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν
πάντων· Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς,
καὶ οὐκ ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις ἰου-
15 δαΐζειν; Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν
16 ἁμαρτωλοί· εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος
ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χρι-
στοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν,
ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ
ἔργων νόμου· διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νό-
17 μου πᾶσα σάρξ. Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν
Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ, ἆρα Χρι-
στὸς ἁμαρτίας διάκονος; Μὴ γένοιτο!

Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσιν.] Οἵᾳ διανοίᾳ εἴρηται τὸ, *συνυπεκρίθησαν αὐτῷ*, τοιαύτῃ καὶ τὸ, *οὐκ ὀρθοποδοῦσιν*, ἐλέχθη· οὐ γὰρ βούλεται τὴν οἰκονομίαν ἀνακαλύψαι. *Πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου.*] Ἡ γὰρ ἀλήθεια τοῦ εὐαγγελίου ἐστὶ τὸ μήτε περιτέμνειν, μήτε ἀποχωρεῖν τῶν ἐξ

ἀκροβυστίας πιστῶν· οὐκ ἔνι γὰρ Ἰουδαῖος, οὐδὲ Ἕλλην (α). *Εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων.*] Ὁρᾷς, ὅτι διὰ τοῦτο ἔμπροσθεν πάντων ἐμέμψατο τῷ Πέτρῳ, οὐχ ἵνα Πέτρου καταγνῶ, ἀλλ' ἵνα τοὺς ἐκ περιτομῆς, καθὼς προείρηται, ὠφελήσῃ. *Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς.*] Μονονουχὶ φανερῶς εἶπεν ὁ Παῦλος τοῖς ἀπὸ Ἰακώβου· Μιμήσασθε τὸν διδάσκαλον ὑμῶν *ἐθνικῶς* ζῶντα, τουτέστιν, ἀπαρατηρήτως· τοῦτο γὰρ κατασκευάζει ἐκ τῆς πρὸς Πέτρον ὁμιλίας (1). *Τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν;*] Ὃ σύ, φησι, μὴ ποιεῖς, μήτε ἄλλους ἀνάγκαζε ποιεῖν. Διατί δὲ οὐκ εἶπε, Τί τοὺς ἐκ περιτομῆς ἀναγκάζεις ἰουδαΐζειν; καὶ γὰρ δι' ἐκείνους ταῦτα ἐλέγετο, καὶ ἀκολουθίαν εἶχεν οὕτω λεχθῆναι· οὕτω δὲ εἶπεν, ἵνα δόξῃ τῶν ἰδίων κήδεσθαι μαθητῶν, τῶν ἐξ ἐθνῶν, ὅπως μὴ ἀνακαλυφθῇ ἡ οἰκονομία, δι' ἣν ἡ ἔγκλησις (2). *Ἡμεῖς φύσει Ἰουδαῖοι.*] Ἀντὶ τοῦ, ἄνωθεν τοῦτο καὶ ἐκ προγόνων ὄντες, ἐξ Ἀβραὰμ τὸ γένος κατάγοντες, καὶ τοῦτο μέντοι τὸ γένος αὐχοῦντες. *Εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος.*] Πληρώσας τὰ κατὰ τὴν ἀντίστασιν τοῦ Πέτρου, λοιπὸν ἔρχεται εἰς τὸ προκείμενον, κατὰ μικρὸν ἐξευτελίζων τὴν περιτομὴν, καὶ φάσκων, μὴ ἔχεσθαι τοῦ νόμου, οὐχ ὡς πονηροῦ, ἀλλ' ὡς ἀσθενοῦς καὶ μὴ δυναμένου δικαιῶσαι. Καὶ τὰ μὲν κατὰ Πέτρον, φησὶ, ταῦτα· ἡμεῖς δὲ ἐκ φύσεως ὄντες Ἰουδαῖοι, τουτέστιν, οὐ προσήλυτοι· (τοῦτο γάρ ἐστι τὸ, *καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί·*) ἐπειδὴ ἔγνωμεν, ὅτι οὐκ ἔστι δικαιωθῆναι διὰ τῶν ἐκ νόμου ἔργων· (πολλὴ γὰρ ἡ ἐκεῖ ἐπιζητουμένη ἀκρίβεια·) πεπιστεύκαμεν εἰς Χριστὸν, διὰ τῆς εἰς αὐτὸν πίστεως σωθῆναι προσδοκῶντες. Ταῦτα καὶ πρὸς Πέτρον καὶ πρὸς Γαλάτας εἰρῆσθαι

(α) Γαλ. Γ', 28. Κολοσ. Γ', 11.

(1) « Μονονουχὶ τοῖς πᾶσι βοᾷ ὁ Παῦλος· Μιμήσασθε τὸν διδάσκαλον ὑμῶν. Ἰδοὺ καὶ αὐτὸς, Ἰουδαῖος ὢν, ὅμως συνέφαγε τοῖς ἐθνικοῖς. » Θεοφύλακτος.

(2) « Ὅρα δὲ, πῶς οὐκ ἐγκαλεῖ αὐτῷ λέγων, ὅτι, Κακῶς ποιεῖς, τὸν νόμον τηρῶν· ἀλλ' ὑπὲρ τῶν οἰκείων μαθητῶν, τῶν ἐθνικῶν, ἐπιτιμᾷ αὐτῷ, ὡς ἀναγκάζοντι αὐτοὺς περιτέμνεσθαι, καὶ ἰουδαΐζειν· οὕτω γὰρ ὁ λόγος εὐπαραδεκτότερος ἔμελλε δόξειν. » Θεοφύλακτος.

ἁρμόζει. *Ἐξ ἔργων νόμου.*] Διὰ τὴν ἐν αὐτῷ ἐπάχθειαν. *Διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ.*] Τὰ τοῦ νόμου ἀναγκαῖα καὶ ἡ φύσις ἐδίδασκεν, οἷον τό· Οὐ μοιχεύσεις· Οὐ φονεύσεις· Οὐ κλέψεις, καὶ ὅσα τοιαῦτα· τὰ δέ γε περὶ σαββάτου, καὶ περιτομῆς, καὶ λεπροῦ, καὶ γονοῤῥυοῦς, καὶ θυσιῶν, καὶ περιῤῥαντηρίων, ταῦτα ἴδια ἦν τοῦ νόμου· οὐδὲν γὰρ περὶ τούτων ἡ φύσις ἐπαίδευσε. Ταῦτα τοίνυν, *ἔργα* λέγει *τοῦ νόμου*. Τούτων δὲ ἡ μὲν παράβασις, ἁμαρτία, ἡ δὲ φυλακὴ, οὐ δικαιοσύνης τελείας κατόρθωσις. Ταῦτα γὰρ ἑτέρων αἰνίγματα· Ἰουδαίοις δὲ ὅμως κατ' ἐκεῖνον ἥρμοττε τὸν καιρόν. Περὶ τούτων εἶπεν ὁ θεῖος ἀπόστολος, *Διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ* (Θεοδωρήτου). *Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ.*] Εἰ δὲ βουλόμενοι διὰ Χριστοῦ δικαιωθῆναι, εὑρέθημεν ἁμαρτωλοὶ τῷ τὸν νόμον καταλιπεῖν, ἆρα ὁ Χριστὸς ἁμαρτίας ὑμῖν γέγονεν πρόξενος; Ὁρᾷς, πῶς διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς καταβάλλει τὸν νόμον; Εἰ ἄρα ἔχεσθε τοῦ νόμου, καὶ βούλεσθε καὶ διὰ Χριστοῦ δικαιωθῆναι, εὑρίσκεσθε ἁμαρτωλοὶ ἐν τῷ καταλιπεῖν τὸν νόμον, μὴ ἄρα ὁ Χριστὸς τοῦτο προεξένησε; *Μὴ γένοιτο!*] Τὸ ἄτοπον τῇ ἀπαγορεύσει ἀνεῖλεν (1).

18 Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, πα-
19 ραβάτην ἐμαυτὸν συνίστημι. Ἐγὼ γὰρ διὰ νόμου
20 νόμῳ ἀπέθανον, ἵνα θεῷ ζήσω. Χριστῷ συνεσταύ-
ρωμαι· ζῶ δὲ, οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ
δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ, τῇ τοῦ υἱοῦ τοῦ
θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν

(1) « Ἐζητήσαμέν, φησι, δικαιωθῆναι ἐν Χριστῷ, ἀφέντες τὸν νόμον· ὡς λέγετε δὲ ὑμεῖς, ἁμαρτία ἐστὶ τὸ ἀφιέναι τὸν νόμον. Εἰς ταύτην λοιπὸν τὴν ἁμαρτίαν ὁ Χριστὸς ἡμᾶς συνώθησε· δι' ἐκεῖνον γὰρ ἀφήκαμεν τὰ νομικὰ πάντα. Ὥστε οὐ μόνον οὐκ ἐδικαίωσεν ἡμᾶς, ὡς φατὲ, ὁ Χριστὸς, ἀλλὰ καὶ πλείονος κατακρίσεως αἴτιος ἡμῖν γέγονεν ἐκ τοῦ πεῖσαι ἡμᾶς ἀφεῖναι τὸν νόμον. Εἰς ἄτοπον δὲ ἀπαγαγὼν τὸν λόγον, οὐδὲ ἐδεήθη λοιπὸν κατασκευῆς, ἀλλ' ἠρκέσθη τῇ ἀπαγορεύσει, Μὴ γένοιτο! ὅπερ ἀεὶ ποιεῖν εἴωθεν ἐπὶ τῶν ἀπηγορευμένων πάντα. » Θεοφύλακτος.

21 ὑπὲρ ἐμοῦ. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

Κατελύσαμέν, φησι, τὸν νόμον τῷ ἐάσαι αὐτὸν καὶ Χριστῷ προσδραμεῖν. Ἐὰν τοίνυν πάλιν αὐτὸν ἱστᾷν ἐπιχειρῶμεν, κατ' αὐτὸ τοῦτο παραβάται ἐσμὲν, ὅτι τὸν παρ' ἡμῶν λυθέντα, ἱστᾷν πάλιν ἐπιχειροῦμεν. Ὅρα δὲ αὐτοῦ σύνεσιν! Ἐκεῖνοι μὲν ἐκ τοῦ μὴ φυλάττειν τὸν νόμον, ᾤοντο εἶναι παραβάται· αὐτὸς δὲ δείκνυσιν, ἐκ τοῦ ἔχεσθαι αὐτοῦ παραβάτας εἶναι. *Παραβάτην ἐμαυτὸν συνίστημι.*] Ἐκ γὰρ τοῦ πάλιν πείθεσθαι τῷ νόμῳ δεικνύω, ὅτι ὡς παραβάτης αὐτὸν τὸ πρῶτον εἴασα, καὶ Χριστῷ ἐπίστευσα. *Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον.*] Κατασκευάζει, πῶς κατέλυσε τὸν νόμον, καί φησιν, ὅτι ἐγὼ αὐτῷ τῷ νόμῳ πεισθεὶς, νεκρὸν ἐμαυτὸν τῷ νόμῳ κατέστησα. Ὁ νόμος γάρ μοι τὸν Χριστὸν προεμήνυσε· ἐκείνῳ πεισθεὶς, τούτῳ προσελήλυθα· καὶ ἐκείνῳ μέν εἰμι νεκρός· οὐκέτι γὰρ κατ' ἐκεῖνον πολιτεύομαι· τοῖς δὲ τούτου δόγμασιν ἕπομαι. Ἤ, *Διὰ νόμου νόμῳ ἀπέθανον*, διὰ τοῦ νόμου τοῦ τῆς χάριτος καὶ τοῦ εὐαγγελλίου ἀπέθανον τῷ Μωσέως νόμῳ. Πῶς οὖν ὁ νεκρωθεὶς καὶ ἀνενεργήτως ἔχων πρὸς αὐτὸν, φυλάξω αὐτόν; Ἤ, Διὰ τοῦ νόμου αὐτοῦ καὶ τῶν ἐν αὐτῷ δυσχερῶν παρατηρήσεων, νεκρὸς γέγονα τῇ ἁμαρτίᾳ δι' αὐτοῦ. Ἆρα οὖν τὸν ἀποκτείναντα φυλάττειν ἄξιον; *Ἵνα θεῷ ζήσω.*] Τουτέςι, τὴν ἀθάνατον καὶ ἀγήρω ζωήν. *Χριστῷ συνεσταύρωμαι.*] Ἵνα μή τις εἴπῃ· Πῶς οὖν ζῇς, ἐπειδὴ ἀπέθανες; φησὶν, ὅτι ὁ μὲν νόμος, ὅσον τὸ ἐπ' αὐτῷ, ζῶντα ἀπέκτεινεν· ὁ δὲ Χριστὸς, νεκρὸν λαβὼν, ἐζωοποίησέ με, νοητῶς συσταυρωθέντα αὐτῷ, καὶ συναποθανόντα διὰ τοῦ βαπτίσματος. Πῶς οὖν φυλάξω τὸν νόμον; *Ζῶ δὲ, οὐκέτι ἐγώ.*] Διὰ τῆς μετὰ ταῦτα πολιτείας, δι' ἧς νεκροῦται ἡμῶν τὰ μέλη· Νεκρώσατε γάρ, φησι, τὰ μέλη ὑμῶν τὰ ἐπὶ γῆς (α). Εἰ τοίνυν ζῶ τῷ θεῷ ἑτέραν παρὰ τὴν ἐν νόμῳ ζωὴν, καὶ ἐνεκρώθην

(α) Κολοσ. Γ', 5.

τῷ νόμῳ, οὐδὲν τοῦ νόμου φυλάττειν δύναμαι. *Ζῇ δὲ ἐν ἐμοὶ Χριστός.*] Ἐν τούτῳ δὲ ζῇ ἐν ἐμοὶ, τῷ μηδὲν γίνεσθαι παρ' ἐμοῦ τῶν μὴ δοκούντων αὐτῷ· ἀλλ' αὐτός ἐστιν ὁ πάντα ποιῶν ἐν ἐμοὶ, καὶ κρατῶν, καὶ δεσπόζων. Καὶ τὸ μὲν ἡμέτερον θέλημα νεκρόν ἐστι, τὸ δὲ ἐκείνου ζῇ, καὶ κυβερνᾷ τὴν ζωὴν ἡμῶν. *Ὃ δὲ νῦν ζῶ ἐν σαρκί.*] Καὶ οὐ μόνον, φησὶ, τὴν νοητὴν ζωὴν διὰ τὸν Χριστὸν ζῶ, ἀλλὰ καὶ αὐτὴν τὴν αἰσθητήν. Πῶς; Ὑπὸ ἀπόφασιν ὄντες διὰ τὸν νόμον, ἐμέλλομεν καὶ σαρκικῶς ἀποθνήσκειν, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ· ὁ δὲ Χριστὸς ζῆν ἡμᾶς ἐποίησε, τῆς ἀρᾶς τοῦ νόμου λυτρωσάμενος. Ὥςε οὐ μόνον ἡ νοητὴ ζωὴ, ἀλλὰ καὶ ἡ αἰσθητὴ, διὰ τὴν εἰς Χριστὸν πίστιν ἐδωρήθη ἡμῖν. Πῶς οὖν πάλιν ὑποστρέφομεν πρὸς τὸν νόμον; *Τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.*] Καὶ μὴν ὑπὲρ πάντων δέδωκεν ἑαυτὸν, καὶ πάντας ἠγάπησεν· ἀλλ' ὁ Παῦλος, ἐννοήσας, τίνων ἀπαλλάξας ἡμᾶς ὁ Χριστὸς, τίνα ἐχαρίσατο, καὶ πυρωθεὶς τῇ ἀγάπῃ, τὸ κοινὸν ἴδιον ποιεῖται, δεικνὺς, τοσαύτην ἕκαστον δεῖν ὁμολογεῖν χάριν τῷ Χριστῷ, ὡς εἰ δι' αὐτὸν μόνον ἐνηνθρώπησε καὶ ἀπέθανεν. *Οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ.*] Ὡς οἵ γε ἔτι καὶ νῦν τοῦ νόμου ἐχόμενοι, ἀθετοῦσι τὴν διὰ Χριστοῦ χάριν. *Ἀθετεῖν* δέ ἐστι τὸ ἀπιςεῖν, τὸ ἐξευτελίζειν, τὸ διαπαίζειν. *Εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.*] Εἰ γὰρ ὁ νόμος, φησὶ, σώζειν καὶ δικαιοῦν ἰσχύει, ὁ Χριστὸς μάτην λοιπὸν ἀπέθανε. Διὰ τοῦτο γὰρ παρέδωκεν ἑαυτὸν, ὡς τοῦ νόμου μὴ ἰσχύοντος, ἵνα αὐτὸς σώσῃ διὰ τοῦ θανάτου αὐτοῦ· ὡς εἴ γε σώζει ὁ νόμος, περιττὸς ὁ θάνατος τοῦ Κυρίου. Ὁρᾷς, ποῦ ἀνήγαγε τὸν λόγον;

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι διὰ πίστεως ὁ ἁγιασμὸς, καὶ οὐ διὰ νόμου.

ΚΕΦ. III, 1 Ὦ ἀνόητοι Γαλάται! τίς ὑμᾶς ἐβά-
σκανε, τῇ ἀληθείᾳ μὴ πείθεσθαι; οἷς κατ' ὀφθαλ-
μοὺς Ἰησοῦς Χριστὸς προεγράφη, ἐν ὑμῖν ἐσταυ-
2 ρωμένος. Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν· Ἐξ
ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πί-
3 στεως; Οὕτως ἀνόητοί ἐςε; ἐναρξάμενοι πνεύματι,
4 νῦν σαρκὶ ἐπιτελεῖσθε; Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε
5 καὶ εἰκῇ. Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ
ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ
6 ἀκοῆς πίστεως; Καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ
θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην (α).

Ὑποδείξας ἑαυτὸν διὰ τῶν προτέρων, μὴ παρὰ ἀνθρώπων, ἀλλ' ὑπὸ τοῦ Κυρίου δεδιδαγμένον, καὶ ἀξιόπιςον ἑαυτὸν καταστήσας, νῦν μετὰ πλείονος αὐθεντίας διδάσκει, σύγκρισιν τοῦ νόμου καὶ τῆς πίστεως ποιούμενος. *Ἀνοήτους* δὲ αὐτοὺς καλεῖ· καὶ γὰρ ὄντως ἀνόητον τὸ ἀφεῖναι τὸν Χριστὸν, καὶ ἔχεσθαι τοῦ νόμου. Τίς ὑμᾶς *ἐβάσκανεν;*] Οὐκ εἶπε, Τίς ὑμᾶς ἠπάτησεν; ἵνα μὴ λοιδορίαν ἐπὶ λοιδορίᾳ μίξῃ· ἀλλὰ, *Τίς ὑμᾶς ἐβάσκανε*; τίς ἐφθόνησε; δεικνὺς ἄξια φθόνου πρὸ τούτου πράττοντας (1). *Οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη.*] Καὶ μὴν ἐν Ἱερουσαλὴμ ἐσταυρώθη. Πῶς οὖν φησιν, *οἷς κατ' ὀφθαλμοὺς*, καὶ, *ἐν ὑμῖν*; Δείκνυσι τῆς πίστεως τὴν ἰσχὺν, καὶ τὰ πόῤῥω ὁρώσης. *Προεγράφη* δὲ εἶπε, τουτέςι, διὰ τῆς τοῦ κηρύγ-

(α) Γενεσ. ΙΕ', 6.

(1) « Μετ' εὐφημίας ἡ παροινία. Βασκαίνει γάρ τις εὐπόρῳ, οὐ πένητι· εὐημεροῦσιν, οὐ δυσπραγοῦσι. Δηλοῖ τοίνυν ὁ λόγος τὴν προτέραν αὐτῶν περὶ τὴν εὐσέβειαν προθυμίαν· ἐκφαίνει δὲ καὶ τὴν πατρικὴν τοῦ ἀποστόλου φιλοστοργίαν. Ὀλοφύρεται γὰρ αὐτοὺς, ὡς τὸν συνειλεγμένον ἀπολέσαντας πλοῦτον. Ποῖός, φησι, δαίμων φθονερός τε καὶ βάσκανος τὸν ἀξιάγαστον ὑμῶν ἐσύλησε πλοῦτον;» Θεοδώρητος.

ματος γραφῆς, ὡς εἰ ἔλεγε· Τὸ μὲν κήρυγμα ἐζωγράφησεν ὑμῖν τὸν σταυρὸν, ὑμεῖς δὲ τοῖς τῆς πίστεως ὀφθαλμοῖς ὡς παρόντα αὐτὸν ἴδετε· οὕτω γὰρ ἐπιστεύσατε, ὡς αὐτὸν τοῦ Χριστοῦ τὸν σταυρὸν θεασάμενοι. *Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν.*] Ἐπειδὴ, φησὶ, τῇ τοσαύτῃ οἰκονομίᾳ οὐ προσέχετε, σύντομόν τι ἐρῶ πρὸς ὑμᾶς. *Ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως;*] Ὡς εἰ ἔλεγεν· Ἀποκρίθητέ μοι τοῦτο τὸ μικρόν· Διὰ τῶν ἐν νόμῳ ἔργων Πνεῦμα ἅγιον ἐλάβετε, καὶ τοσαύτας δυνάμεις καὶ σημεῖα ἐποιήσατε, ἢ διὰ τῆς πίστεως; Πρόδηλον, ὅτι ἐκ πίστεως· ἐπεὶ μὴ ὅτε τοῦ νόμου εἴχεσθε, πνεύματος ἦτε ἠξιωμένοι, καὶ δυνάμεις ἐπετελεῖτε. Πῶς οὖν ἀφέντες τὴν πίστιν, ἔχεσθε πάλιν τοῦ νόμου; *Οὕτως ἀνόητοί ἐστε;*] Οὕτω, φησὶν, ἀνόητοί ἐστε, ὅτι, τοῦ χρόνου προβάντος, οὐ μόνον οὐκ ἐπεδώκατε, ἀλλὰ καὶ εἰς τοὐπίσω ἀπήχθετε. *Ἐναρξάμενοι γὰρ πνεύματι.*] Ἐπιτελεῖσθαι δηλαδή· τοῦτο γὰρ ἀπὸ κοινοῦ. *Νῦν σαρκὶ ἐπιτελεῖσθε;*] Πνεύματι γὰρ ἐπετελοῦντο οἱ Γαλάται, σημεῖα ποιοῦντες· νῦν δὲ σαρκὶ, περιτεμνόμενοι (1)· Ὅρα δέ· οὐκ εἶπεν, ἐπιτελεῖτε, ἀλλ', *ἐπιτελεῖσθε*, δεικνὺς, ὅτι δίκην θρεμμάτων ἀλόγων λαμβάνοντες αὐτοὺς περιέτεμνον, οἱ τὴν περιτομὴν διδάσκοντες, μήτε εἰδότας ἃ πάσχουσι.— *Πνεῦμα* μὲν, τὴν χάριν ἐκάλεσε· *σάρκα* δὲ, τὴν κατὰ νόμον πολιτείαν· ἐπειδὴ σωματικὰ ἦν τοῦ νόμου τὰ περιττά. Περὶ σῶμα γὰρ ἡ περιτομὴ, καὶ τοῦ σαββάτου ἡ φυλακὴ, καὶ ἡ λέπρα, καὶ τὰ περιῤῥαντήρια, καὶ ὅσα τοιαῦτα (Θεοδωρήτου).—*Τοσαῦτα ἐπάθετε εἰκῇ;*] Πολλοῖς ἦσαν πειρασμοῖς διὰ τὸν Χριστὸν παλαίσαντες. Τοσαῦτα οὖν, φησι, μάτην πεπόνθατε; Εἰ γὰρ περιτέμνεσθε, μάταια ἐκεῖνα πάντα, τουτέστιν, ἀπωλέσατε αὐτά. Εἶτα, ἵνα μὴ εἰς ἀπόγνωσιν αὐτοὺς ἐμβάλῃ, φησίν· *Εἴγε καὶ εἰκῇ.*] Τουτέστιν, εἰ βουληθείητε ἀνανῆψαι, οὐκ εἰκῆ, οὐδὲ μάτην ὑμῖν πεπόνηται.—*Εἴγε καὶ εἰκῇ·* ἀλλὰ

(1) « Τὸ μὲν σημεῖα ποιεῖν, πνευματικόν ἐστιν· ὅπερ εἴχετε ἐν ἀρχῇ· τὸ δὲ περιτέμνεσθαι, σαρκικόν· ὃ νῦν ἐν τῷ τέλει εἵλεσθε. » Θεοφύλακτος.

μὴ καὶ ἐπιζημίως. *Εἰκῇ* μὲν γάρ ἐστι τὸ μηδὲν μήτε προσλαβεῖν, μήτε ἀποθέσθαι· ὁ δὲ ἐναρξάμενος πνεύματι, καὶ διὰ τοῦτο πολλοῖς περιπεσὼν πειρασμοῖς, εἶτα μεταβαλλόμενος, οὐ μόνον εἰκῇ ἔπαθεν, ἅπερ ἔπαθεν, ἀλλὰ καὶ ἐπιζημίως, ἀπολέσας ἃ ἀπέκειτο αὐτῷ διὰ τὰς ὑπὲρ Χριστοῦ θλίψεις καὶ τοὺς πειρασμοὺς ἔπαθλα.—*Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα.*] Ὁ ἐπιχορηγῶν, φησιν, ὑμῖν τὸ πνεῦμα θεὸς, *καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν*, τουτέστι, δυνάμεις σημείων ἐν ὑμῖν ἐργαζόμενος, *ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως;* Διὰ τὰ ἐκ τοῦ νόμου ἔργα ταῦτα ἐποίει, φησὶν, ὡς θεραπευόμενος δι' ὑμῶν ταῦτα τελούντων, ἢ διὰ τὴν πίστιν, ἣν εἰς Χριστὸν ἐπεδείξασθε; Πρόδηλον, ὅτι διὰ ταύτην. Πῶς οὖν ἀφέντες ταύτην, ἐξ ἧς ἐδοξάζεσθε, ἐπὶ τὸν καταργηθέντα νόμον τρέχετε; *Καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ θεῷ.*] Μάλιστα μέν, φησιν, ὠφείλετε, ἐξ ὧν ἐπετελέσατε σημείων, γνῶναι τὴν δύναμιν τῆς πίστεως· πλὴν καὶ πρὸς τὸν προπάτορα Ἀβραὰμ ἀπίδετε, οὗ πολὺς ὑμῖν ὁ λόγος, καὶ εὑρήσετε, ὅτι καὶ αὐτὸς ἐκ πίστεως ἐδικαιώθη. Εἰ δὲ ὁ πρὸ τῆς χάριτος ἐκ πίστεως δικαιοῦται, πολλῷ μᾶλλον οἱ τῆς χάριτος ἀξιωθέντες, ὀφείλουσι τῆς πίστεως ἔχεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι καὶ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη εἰς τύπον ἡμῶν.

7 Γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν
8 υἱοὶ Ἀβραάμ. Προϊδοῦσα δὲ ἡ γραφὴ, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεὸς, προευηγγελίσατο τῷ Ἀβραάμ· «Ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πάντα
9 τὰ ἔθνη (α).» Ὥστε οἱ ἐκ πίστεως, εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.

Γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ.]

(α) Γενεσ. ΙΒ', 3. ΚΒ', 18.

Ἐπειδὴ ἐδεδοίκεισαν, μήπως, ἀφέντες τὸν νόμον, ἐκπέσωσι τῆς συγγενείας τοῦ Ἀβραάμ· σφόδρα γὰρ ἐσεμνύνοντο ἐπὶ ταύτῃ (1)· εἰς τὸ ἐναντίον περιΐστησι τὸν λόγον, ὅτι ἡ πίστις μᾶλλον υἱοὺς ποιεῖ Ἀβραὰμ τοὺς ταύτην ἔχοντας. Τὸ, *ἄρα*, τοιγαροῦν. *Προϊδοῦσα δὲ ἡ Γραφὴ, ὅτι.*] Ἐπειδὴ οἱ Γαλάται διὰ τοῦτο μάλιστα εἴχοντο τοῦ νόμου, ὅτι τὸ ἀρχαῖον αὐτοῦ ἐδυσωποῦντο, θέλει οὖν δεῖξαι, ὅτι ἡ πίστις ἀρχαιοτέρα τοῦ νόμου ἦν, καὶ πρὸ αὐτοῦ καθέστηκε, καὶ ὅτι ταύτῃ μάλιστα ἄνωθεν τῷ θεῷ ἤρεσκον. *Προευηγγελίσατο.*] Ὡς μέγα τι λέγουσα ἀγαθὸν, τὸ ἐκ πίστεως σωθῆναι· τοῦτο γὰρ δηλοῖ τὸ, *προευηγγελίσατο. Ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη.*] Τὸ, *ἐν σοὶ*, τουτέστιν, ἐν τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. Πῶς δὲ ἐνευλογοῦνται; Διὰ τῆς πίστεως δηλαδὴ, ἧς ἀρχηγὸς ὁ Ἀβραάμ. Δύναται δὲ τὸ, *ἐν σοὶ*, καὶ διὰ τὴν ἀπ' αὐτοῦ πίστιν νοεῖσθαι.—Τὸ, *ἐν σοὶ*, κατὰ μίμησιν σοῦ καὶ ὁμοιότητα, ἑρμηνεύει ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ δευτέρῳ τῆς Ἐν πνεύματι καὶ ἀληθείᾳ πραγματείας, περὶ τὰς ἀρχὰς τοῦ βιβλίου (2).—*Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται.*] Οἱ ἐκ πίστεως ἡνωμένοι τῷ Ἀβραὰμ, καὶ εἰς σπέρμα αὐτοῦ τελοῦντες, οὐχ οἱ ἐκ σαρκός (3).

---

(1) Ματθ. Γ', 9. Ἰωάν. Η', 33.

(2) «Προϊδοῦσα δὲ ἡ γραφὴ, καὶ ἑξῆς.] Ἀποδείκνυσι, πῶς οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ· καὶ ἐπάγει τὴν μαρτυρίαν ἀπὸ τῆς Γραφῆς· Ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη· ἀντὶ τοῦ, ἐν τῷ μιμήσασθαι τὴν πίστιν σου. Δείκνυσι δὲ καὶ ὅτι τοῦ νόμου πρεσβυτέρα ἡ πίστις, εἴ γε πρὸ τοῦ νόμου τὸν Ἀβραὰμ αὕτη ἐδικαίωσε· καὶ ὅτι κατὰ τὴν προφητείαν τὰ νῦν γινόμενα γίνεται. Προϊδοῦσα γάρ, φησιν, ἡ Γραφή· τουτέστιν, αὐτὸς ὁ τὸν νόμον δοὺς θεὸς, προώρισε, μὴ ἐκ νόμου, ἀλλ' ἐκ πίστεως δικαιοῦσθαι. Καὶ οὐκ εἶπεν, Ἀπεκάλυψεν, ἀλλὰ, Προευηγγελίσατο, ἵνα μάθῃς, ὅτι καὶ ὁ Ἀβραὰμ ἔχαιρε τούτῳ τῷ τρόπῳ τῆς δικαιώσεως, καὶ ἐπόθει τοῦτο ἐκβῆναι.» Θεοφύλακτος.

(3) «Ἐπειδὴ ἐταράττοντο, μήποτε ὦσιν ἐπικατάρατοι, ὡς μὴ ἐμμένοντες τῷ νόμῳ (ἐγέγραπτο γάρ· Ἐπικατάρατος, ὃς οὐκ ἐμμένει τοῖς γεγραμμένοις ἐν τῷ νόμῳ (Δευτ. ΚΖ', 26.)) τοὐναντίον μᾶλλον δείκνυσιν, ὅτι εὐλογημένοι εἰσὶν οἱ τὸν νόμον ἀφιέντες, καὶ τῇ πίστει προσιόντες, ὥσπερ καὶ ὁ πιστὸς Ἀβραὰμ ηὐλόγητο.» Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ Ϛʹ.

Ὅτι ὁ νόμος οὐ δικαιοῖ, ἀλλ' ἐλέγχει, καὶ κατάραν ἐπιτίθησιν, ἣν λύει ὁ Χριστός.

10 Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσί·
γέγραπται γάρ· «Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμ-
μένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ
11 νόμου, τοῦ ποιῆσαι αὐτά (α).» Ὅτι δὲ ἐν νόμῳ
οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ, δῆλον· «ὅτι ὁ δίκαιος
12 ἐκ πίστεως ζήσεται (β).» Ὁ δὲ νόμος οὐκ ἔστιν
ἐκ πίστεως· ἀλλ' «ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζή-
σεται ἐν αὐτοῖς (γ).»

Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσίν.] ὅσοι εἰσί, φησιν, ἐχόμενοι τῶν ἔργων τοῦ νόμου, ἐπικατάρατοί εἰσιν. Ἐπειδὴ γὰρ ἐκείνους ἐπτόει τὸ ἐάσαι τὸν νόμον, μήπως ὑπὸ κατάραν γένωνται, διὰ τὸ γεγράφθαι· *Ἐπικατάρατος πᾶς ὁ μὴ ἐμμένων τῷ νόμῳ·* αὐτὸς ἀγωνίζεται δεῖξαι, ὅτι ὑπὸ κατάραν εἰσὶν οἱ ἐμμένοντες τῷ νόμῳ. Πῶς; Ὅτι οὐδείς, φησι, πληροῖ τὸν νόμον· διὸ ἐπικατάρατοι· ὡς οἵ γε ἀποστάντες τοῦ νόμου, καὶ τῆς κατάρας ἠλευθερώθησαν. *Πᾶς, ὃς οὐκ ἐμμένει.*] Διὰ τοῦτο οὖν ἐπικατάρατοι οἱ ἐχόμενοι τοῦ νόμου, διὰ τὸ μὴ ἰσχύειν πληρῶσαι τὸν νόμον. Δείξας οὖν, ὅτι ὁ νόμος ἐπικαταράτους ποιεῖ, ἡ δὲ πίστις εὐλογεῖ, νῦν δείκνυσιν, ὅτι καὶ ἡ πίστις μόνη δικαιοῖ, καὶ οὐχ ὁ νόμος. *Ὅτι ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ.*] Παρὰ μὲν γὰρ τοῖς ἀνθρώποις δίκαιοι ἴσως δοκοῦσιν οἱ τοῦ νόμου ἐχόμενοι, οἷοι οἱ Φαρισαῖοι, οἱ δικαιοῦντες ἑαυτοὺς ἔμπροσθεν τῶν ἀνθρώπων· παρὰ δὲ τῷ θεῷ οὐδείς, καὶ δῆλον· *ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται,* καὶ οὐκ ἀπὸ νόμου. Μία γάρ ἐστιν ὁδὸς δικαιοῦσα, ἡ διὰ πί-

(α) Δευτ. ΚΖʹ, 26. (β) Ἀββακ. Βʹ, 4. (γ) Λευϊτ. ΙΗʹ, 5.

Ἐπειδὴ ἐδεδοίκεισαν, μήπως, ἀφέντες … λ' ἐξ ἔρ-
τῆς συγγενείας τοῦ Ἀβραάμ· σφόδρα· … ζήσεται
τη (1)· εἰς τὸ ἐναντίον περιίστησιν … α, καὶ
μᾶλλον υἱοὺς ποιεῖ Ἀβραὰμ τοὺς … ν οὔτε
τοιγαροῦν. *Προϊδοῦσα δὲ ἡ Γρ* … αδίαν
διὰ τοῦτο μάλιστα εἴχοντο … εθα
ἐδυσωποῦντο, θέλει οὖν δεῖ … ιό·
μου ἦν, καὶ πρὸ αὐτοῦ κ …
θεν τῷ θεῷ ἤρεσκον. Τ …
ἀγαθόν, τὸ ἐκ πίστε … ου
γελίσατο. Ὅτι ἐ … ται γάρ·
ἐν σοί, τουτέσ … λου (α)·»)
ἐνευλογοῦνται … ἀὰμ γένηται
Δύναται δὲ … γελίαν τοῦ πνεύ-
σθαι.—Τ … εως.
νεύει … Ἀβραάμ, εἴποι τις ἄν, διὰ τοῦτο
ματι … πρὸ τοῦ νόμου ὤν, οὐκ ἦν ὑπὸ τὸν ζυγὸν
— … α οὖν, ὅτι ἡ πίστις δικαιοῖ, ἀλλὰ τοὺς μὴ
… τὸν νόμον, ὥσπερ καὶ τὸν Ἀβραάμ· ἡμᾶς δὲ ἤδη
… μον γενομένους, εἴπερ αὐτὸν ἀπολίπωμεν, καὶ τῇ
… ει μόνῃ ἀρκεσθῶμεν, τίς λυτρώσεται ἐκ τῆς κατάρας τοῦ νόμου, διὰ τὸ γεγράφθαι· Ἐπικατάρατοι οἱ μὴ ἐμμένοντες τῷ νόμῳ; Τοῦτο οὖν ἐπιλύει, δεικνύς, τὸν Χριστὸν ἡμᾶς λελυτρῶσθαι ἐκ τῆς κατάρας τοῦ νόμου τῇ ἰδίᾳ κατάρᾳ. Καλῶς δὲ τό, *ἐξηγόρασε*· δοὺς γὰρ τιμὴν τὸ αὐτὸς γενέσθαι κατάρα, ἐξηγόρασεν ἡμᾶς ἀπὸ τῆς κατάρας τοῦ νόμου. Ὅρα γάρ· Ἡμεῖς ὑπὸ κατάραν, μὴ δυνάμενοι πληρῶσαι τὸν νόμον· ὁ Χριστὸς οὐκ ἦν ὑπὸ ταύτην· πεπληρώκει γὰρ αὐτόν· καὶ ὅμως κατεδέξατο κατάραν, ἣν οὐκ ὤφειλε, τὴν ἀπὸ τοῦ κρεμασθῆναι ἐπὶ ξύλου, ἵνα τὴν καθ' ἡμῶν λύσῃ κατάραν, τὴν ἀπὸ τοῦ μὴ πληροῦν τὸν νόμον ἡμῖν ἐπικειμένην, αὐτὸς μὴ ὑποκεί-

(1) Ἰδ. Ῥωμ. Α', 17. (α) Δευτ. ΚΑ', 23.

...μενος ταύτῃ· ὥσπερ ...θήκη, καὶ ταῦτα πολλὰ

λυτρώσεται, αὐτὸ... ...μαντα ἔτη; Εἰ γὰρ

τὰ ἔθνη ἡ εὐλογ... ... Χριστοῦ, ὁ δὲ

...ρατος βουλ... ...ἡ διαθήκη τοῦ

...ὴ ἐχομέ... ...τὴν ἀρχὴν

...ένητο ... ...ἡ γὰρ

...π... ...ετ

...ομεν...

...ας ἐδωρήσατο, πιστευ...

...γελίαν τοῦ πνεύματος λάβωμεν διὰ πί-...τρόπῳ τούτῳ, φησὶ, τὸ πνεῦμα λάβωμεν. Καὶ ...κατάρα ἐλύθη τῷ σταυρῷ· διὰ δὲ τῆς εἰς Χριστὸν πί-..., δικαιοσύνη γεγένηται· ἐκ δὲ δικαιοσύνης, ἐπισπασμὸς ...οῦ παρακλήτου πνεύματος. Καὶ γὰρ καὶ τὸ πνεῦμα ἐν ἐπαγγελίᾳ ἦν· ὁ γὰρ εἰπὼν, ὅτι *Ἐν σοὶ ἐνευλογηθήσονται τὰ ἔθνη*, τῇ τοῦ πνεύματος ἐπιφοιτήσει τὴν εὐλογίαν ἐπηγγείλατο (2).

---

(1) « Ὁ νόμος πάντα κελεύει πληροῦσθαι τὰ ἐν αὐτῷ διηγορευμένα· τοὺς δὲ τὸ τυχὸν παραβαίνοντας, ἀραῖς ὑποβάλλει. Μηδενὸς δὲ πάντα φυλάξαι δυνηθέντος, καὶ πάντων ὑπὸ τὴν ἀρὰν τοῦ νόμου γεγενημένων, ὁ Χριστὸς ἡμᾶς ταύτης ἠλευθέρωσεν. Ἀναμάρτητος γὰρ ὢν, τὸν ἐπάρατον κατὰ τὸν νόμον κατεδέξατο θάνατον, καὶ τὴν ἐπηγγελμένην τῷ Ἀβραὰμ εὐλογίαν πᾶσιν ἐδωρήσατο. » Σχόλιον ἀρχαῖον.

(2) « Διὰ τοῦτό, φησιν, ηὐλόγηται τὰ ἔθνη, ἵνα καὶ τὸ Πνεῦμα λάβωσι διὰ τῆς πίστεως. Ἐπειδὴ γὰρ οὐκ ἦν δέξασθαι τὸ Πνεῦμα τοὺς ἔτι ὑπὸ κατάραν ὄντας, εὐλογοῦνται, λυθείσης τῆς κατάρας ὑπὸ Χριστοῦ· καὶ τότε, διὰ τῆς πίστεως δικαιωθέντες, δέχονται τὴν ἐπαγγελίαν τοῦ Πνεύματος· Ἃ γὰρ ἐπηγγείλατο ὁ θεὸς τῷ Ἀβραὰμ, πνευματικὰ νοεῖ εἶναι ὁ Παῦλος· ἃ δηλαδὴ νῦν ἡμῖν ἐδόθησαν, ἥ τε εὐλογία καὶ τἄλλα. » Θεοφύλακτος.

στεως (1). *Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως.*] Ἀλλ' ἐξ ἔργων· καὶ δῆλον ἔνθεν, ὅτι *ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς.* Ὥστε δι' ἔργων ἐστὶν ἡ ἐν νόμῳ σωτηρία, καὶ οὐ διὰ πίστεως. Ἐπεὶ οὖν ὁ νόμος διὰ τὸ δυσκατόρθωτον οὔτε ἐδικαίου, καὶ ὑπὸ κατάραν ἐποίει, ἦλθεν ἡ χάρις, ῥᾳδίαν ὁδὸν δεικνύουσα, τὴν πίστιν, δι' ἧς δικαιούμενοι εὐλογούμεθα. Ἰδοὺ τοίνυν ἀποδέδεικται, ὅτι οὐ μόνον πρὸ τοῦ νόμου ηὐλόγει καὶ ἐδικαίου ἡ πίστις, ἀλλὰ μᾶλλον καὶ μετὰ τὸν νόμον.

13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· (γέγραπται γάρ· « Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου (α)· »)
14 ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

Ἀντίθεσιν ὑπαντῶσαν λύει. Ὁ Ἀβραὰμ, εἴποι τις ἂν, διὰ τοῦτο ἐδικαιώθη ἐκ πίστεως, ὅτι, πρὸ τοῦ νόμου ὤν, οὐκ ἦν ὑπὸ τὸν ζυγὸν τοῦ νόμου. Πειθόμεθα οὖν, ὅτι ἡ πίστις δικαιοῖ, ἀλλὰ τοὺς μὴ γενομένους ὑπὸ τὸν νόμον, ὥσπερ καὶ τὸν Ἀβραάμ· ἡμᾶς δὲ ἤδη ὑπὸ τὸν νόμον γενομένους, εἴπερ αὐτὸν ἀπολίπωμεν, καὶ τῇ πίστει μόνῃ ἀρκεσθῶμεν, τίς λυτρώσεται ἐκ τῆς κατάρας τοῦ νόμου, διὰ τὸ γεγράφθαι· Ἐπικατάρατοι οἱ μὴ ἐμμένοντες τῷ νόμῳ; Τοῦτο οὖν ἐπιλύει, δεικνὺς, τὸν Χριστὸν ἡμᾶς λελυτρῶσθαι ἐκ τῆς κατάρας τοῦ νόμου τῇ ἰδίᾳ κατάρᾳ. Καλῶς δὲ τὸ, *ἐξηγόρασε*· δοὺς γὰρ τιμὴν τὸ αὐτὸς γενέσθαι κατάρα, ἐξηγόρασεν ἡμᾶς ἀπὸ τῆς κατάρας τοῦ νόμου. Ὅρα γάρ· Ἡμεῖς ὑπὸ κατάραν, μὴ δυνάμενοι πληρῶσαι τὸν νόμον· ὁ Χριστὸς οὐκ ἦν ὑπὸ ταύτην· πεπληρώκει γὰρ αὐτόν· καὶ ὅμως κατεδέξατο κατάραν, ἣν οὐκ ὤφειλε, τὴν ἀπὸ τοῦ κρεμασθῆναι ἐπὶ ξύλου, ἵνα τὴν καθ' ἡμῶν λύσῃ κατάραν, τὴν ἀπὸ τοῦ μὴ πληροῦν τὸν νόμον ἡμῖν ἐπικειμένην, αὐτὸς μὴ ὑποκεί-

---

(1) Ἰδ. Ῥωμ. Α', 17. (α) Δευτ. ΚΑ', 23.

μενος ταύτῃ· ὥςπερ εἴ τις. τοὺς καταδικασθέντας ἀποθανεῖν λυτρώσεται, αὐτὸς αἱρούμενος τὸν ὑπὲρ αὐτῶν θάνατον. *Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται.*] Γέγονέ, φησιν, ἐπικατάρατος βουληθεὶς ὁ Χριστὸς, *ἵνα εἰς τὰ ἔθνη*, τουτέςιν, εἰς τοὺς μὴ ἐχομένους τοῦ νόμου, τὰ τῆς ἐπαγγελίας τοῦ Ἀβραὰμ γένηται· γένηται δὲ δι' αὐτοῦ τοῦ Χριστοῦ. Πῶς δὲ δι' αὐτοῦ; Ἐπειδὴ τῷ σπέρματι τοῦ Ἀβραὰμ δέδονται αἱ ἐπαγγελίαι, σπέρμα δὲ αὐτοῦ ὁ Χριστός. Ὁ Χριστὸς οὖν, καθὸ ἐστι καὶ νοεῖται ἄνθρωπος, κληρονομήσας τὰς ἐπαγγελίας, τῷ λοιπῷ τῶν ἀνθρώπων γένει ταύτας ἐδωρήσατο, πιστεύοντι εἰς αὐτὸν (1). *Ἵνα τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ πίστεως.*] Ἵνα τῷ τρόπῳ τούτῳ, φησὶ, τὸ πνεῦμα λάβωμεν. Καὶ γὰρ ἡ μὲν κατάρα ἐλύθη τῷ σταυρῷ· διὰ δὲ τῆς εἰς Χριςὸν πίστεως, δικαιοσύνη γεγένηται· ἐκ δὲ δικαιοσύνης, ἐπισπασμὸς τοῦ παρακλήτου πνεύματος. Καὶ γὰρ καὶ τὸ πνεῦμα ἐν ἐπαγγελίᾳ ἦν· ὁ γὰρ εἰπὼν, ὅτι *Ἐν σοὶ ἐνευλογηθήσονται τὰ ἔθνη*, τῇ τοῦ πνεύματος ἐπιφοιτήσει τὴν εὐλογίαν ἐπηγγείλατο (2).

(1) « Ὁ νόμος πάντα κελεύει πληροῦσθαι τὰ ἐν αὐτῷ διηγορευμένα· τοὺς δὲ τὸ τυχὸν παραβαίνοντας, ἀραῖς ὑποβάλλει. Μηδενὸς δὲ πάντα φυλάξαι δυνηθέντος, καὶ πάντων ὑπὸ τὴν ἀρὰν τοῦ νόμου γεγενημένων, ὁ Χριστὸς ἡμᾶς ταύτης ἠλευθέρωσεν. Ἀναμάρτητος γὰρ ὢν, τὸν ἐπάρατον κατὰ τὸν νόμον κατεδέξατο θάνατον, καὶ τὴν ἐπηγγελμένην τῷ Ἀβραὰμ εὐλογίαν πᾶσιν ἐδωρήσατο. » Σχόλιον ἀρχαῖον.

(2) « Διὰ τοῦτό, φησιν, ηὐλόγηνται τὰ ἔθνη, ἵνα καὶ τὸ Πνεῦμα λάβωσι διὰ τῆς πίστεως. Ἐπειδὴ γὰρ οὐκ ἦν δέξασθαι τὸ Πνεῦμα τοὺς ἔτι ὑπὸ κατάραν ὄντας, εὐλογοῦνται, λυθείσης τῆς κατάρας ὑπὸ Χριςοῦ· καὶ τότε, διὰ τῆς πίστεως δικαιωθέντες, δέχονται τὴν ἐπαγγελίαν τοῦ Πνεύματος· Ἃ γὰρ ἐπηγγείλατο ὁ θεὸς τῷ Ἀβραὰμ, πνευματικὰ ᾤετ' εἶναι ὁ Παῦλος· ἃ δηλαδὴ νῦν ἡμῖν ἐδόθησαν, ἥ τε εὐλογία καὶ τἄλλα. » Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ Ζ′.

Ὅτι οὐκ ἐκ νόμου, ἀλλ᾽ ἐξ ἐπαγγελίας τὰ ἀγαθά· ὁ δὲ νόμος, παρασκευαστὴς δι᾽ ἐλέγχου.

15 Ἀδελφοὶ, κατὰ ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου
κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσ-
16 σεται. Τῷ δὲ Ἀβραὰμ ἐῤῥήθησαν αἱ ἐπαγγελίαι,
καὶ τῷ σπέρματι αὐτοῦ. Οὐ λέγει· Καὶ τοῖς σπέρ-
μασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνός· Καὶ τῷ
17 σπέρματί σου· ὅς ἐστι Χριστός. Τοῦτο δὲ λέγω·
διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ εἰς Χρι-
στὸν, ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα γεγο-
νὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγ-
18 γελίαν. Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ
ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχά-
ρισται ὁ θεός.

Ἐπειδὴ ἔκ τε τῶν παρ᾽ αὐτοῖς σημείων, καὶ ἐκ τῆς τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως, καὶ ἐκ τοῦ σταυροῦ τοῦ Χριστοῦ, καὶ ἐξ ὧν ἐσώθη ὁ Ἀβραὰμ, ἔδειξε τὴν πίστιν σώζειν, καὶ οὐ τὸν νόμον, νῦν ἀπὸ ἀνθρωπίνου παραδείγματος αὐτοὺς πεῖσαι ζητεῖ· τὸ γὰρ, *κατὰ ἄνθρωπον*, ἀντὶ τοῦ, κατὰ ἀνθρώπινον λόγον καὶ παράδειγμα (1). Καλῶς δὲ *ἀδελφοὺς* αὐτοὺς καλεῖ νῦν, ἀνωτέρω *ἀνοήτους* καλέσας· δεῖ γὰρ, ποτὲ μὲν ἐπιστύφειν, ποτὲ δὲ γλυκαίνειν. *Ἀνθρώπου κεκυρωμένην διαθήκην.*] Ὅρα, τί θέλει κατασκευάσαι διὰ τοῦ ὑποδείγματος τῆς διαθήκης. Ἐπηγγείλατό, φησιν, ὁ θεὸς τῷ Ἀβραὰμ, διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογηθήσεσθαι τὰ ἔθνη· σπέρμα δὲ τοῦ Ἀβραὰμ κατὰ σάρκα ἐστὶν ὁ Χριστός. Εἶτα, *ἀνθρώπου μὲν διαθήκην οὐδεὶς*

(1) « Ἀνθρώπινον ὑπόδειγμα μέλλω ὑμῖν παραγαγεῖν. » Θεοφύλακτος. « Ἀντὶ τοῦ, Ἀνθρωπίνοις πράγμασι κέχρημαι. » Θεοδώρητος.



ἀθετεῖ, τοῦ θεοῦ δὲ ἀκυροῦται ἡ διαθήκη, καὶ ταῦτα πολὺν χρόνον κρατήσασα, μετὰ τετρακόσια τριάκοντα ἔτη; Εἰ γὰρ ἐπηγγείλατο μὲν ἐκείνη, εὐλογεῖν διὰ τοῦ Χριστοῦ, ὁ δὲ νόμος ἀντὶ τοῦ Χριστοῦ εὐλογεῖ, ἄρα ἀκυροῦται ἡ διαθήκη τοῦ θεοῦ, ἡ πρὸς Ἀβραάμ. Καλῶς δὲ, *κεκυρωμένην*, φησίν· ὅρκῳ γὰρ ἐκεκύρωτο. — Ἀκριβῶς δὲ τὸ, *κεκυρωμένην*, φησίν· ἡ γὰρ ἄκυρος, καὶ μετατίθεται, ὥςπερ ὁ νόμος αὐτὸς εἰς τὸ εὐαγγέλιον. — Ἢ *ἐπιδιατάσσεται.*] Τουτέστι, προστίθησιν. *Ἐρρήθησαν.*] Οἷον, ἐπηγγέλθησαν. *Τοῦτο δὲ λέγω· διαθήκην προκεκυρωμένην.*] Σαφηνείας χάριν ἐπαναλαμβάνει τὸν λόγον. *Ὑπὸ τοῦ θεοῦ εἰς Χριστόν.*] Εἰς Χριστὸν γὰρ ἦν ἡ ἐπαγγελία· εἶπε γὰρ, διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογηθήσεσθαι τὰ ἔθνη· τοῦτο γάρ ἐστι τὸ, *ἐν σοί*· σπέρμα δὲ τοῦ Ἀβραὰμ κατὰ σάρκα, ὁ Χριστός. *Ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα.*] Οἱ τετρακόσιοι τριάκοντα χρόνοι συνάγονται οὕτως. Ἀπὸ τοῦ οε´ ἔτους Ἀβραὰμ (α), ἕως τοῦ ρ´, καθ᾽ ὃ ἐγέννησε τὸν Ἰσαὰκ (β), ψηφίζεται ἔτη κε´. Ἰσαὰκ ἔτη ξ´, ὅτε ἐγέννησε τὸν Ἰακὼβ (γ). Ἰακὼβ ἔτη ϙα´, ὅτε ἐγέννησε τὸν Ἰωσήφ. Ἰωσὴφ ἔτη ρι´ (δ). Ἐν Αἰγύπτῳ ἔτη ρμδ´. Ὁμοῦ ἔτη υλδ´. (1). *Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία.*] Αὐτὸς αὐτὸ ἡρμήνευσεν. Εἰ γὰρ διὰ τοῦ νόμου γεγένηται ἡ εὐλογία, καὶ μὴ διὰ Χριστοῦ, ἠκύρωται καὶ ἔσβεσται ἡ ἐπαγγελία καὶ ἡ διαθήκη τοῦ θεοῦ.

(α) Γενεσ. ΙΒ´, 4. (β) Γενεσ. ΚΑ´, 5. (γ) Γενεσ. ΚΕ´, 26.
(δ) Γένεσ. Ν´, 22. 26.

(1) Θεοφυλάκτου ἑρμηνεία εἰς τὸ ἀπὸ τοῦ στίχου ιε´ «Ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην» ἕως τοῦ στίχου ιζ´ «εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν.» Τοῦτο βούλεται δεῖξαι, ὅτι ἡ πίστις διαθήκη ἐστὶν ἀρχαιοτέρα τοῦ νόμου, καὶ ὅτι οὐκ ἂν δίκαιον εἴη προτιμηθῆναι αὐτῆς τὸν νόμον· διὸ καὶ τὸ ὑπόδειγμα τέθεικεν. Ἐὰν γὰρ ἄνθρωπος, φησι, διάθηται, μὴ τολμᾷ τις μετὰ ταῦτα ἐλθὼν ἀνατρέψαι ἢ ἐπιδιατάξασθαι, τουτέστι, προσθεῖναί τι; Οὐκοῦν μᾶλλον ἐπὶ τοῦ θεοῦ. Καὶ γὰρ ὁ θεὸς διαθήκην ἐποίησε πρὸς τὸν Ἀβραὰμ, ἵνα ἐν τῷ σπέρματι αὐτοῦ εὐλογηθῶσι τὰ ἔθνη· τὸ δὲ σπέρμα αὐτοῦ, ὁ Χριστός. Οὐ γὰρ εἶπε, τοῖς σπέρμασιν, ἵνα μὴ νομίσῃς τοὺς ἀπ᾽ αὐτοῦ καταγομένους Ἰουδαίους καὶ Ἰσμαηλίτας· ἀλλὰ, τῷ σπέρματι, ἑνικῶς· ὅπερ ἐστὶν, ὡς εἴρηται, ὁ Χριστός. Πῶς οὖν ταύτην τὴν διαθήκην καὶ συμφωνίαν καὶ ἐπαγγελίαν δύναται ἀκυρῶσαι ὁ νόμος, ἵνα μὴ ἐν τῷ Χριστῷ εὐλογηθῶσι τὰ ἔθνη, ἀλλ᾽ ἐν ταῖς νομικαῖς ἐντολαῖς; Τοῦτο γὰρ οὐδὲν ἄλλο ἐστὶν, ἢ καταργεῖσθαι τὴν ἐπαγγελίαν· ὅπερ ἄτοπον.

Δι' ἐπαγγελίας κεχάρισται ὁ θεός.] Τὴν εὐλογίαν, φησὶ, *δι' ἐπαγγελίας κεχάρισται ὁ θεὸς τῷ Ἀβραὰμ*, καὶ οὐ διὰ νόμου. Ὁ νόμος ἐδόθη μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα. Εἰ τοίνυν ὁ νόμος χαρίζεται τὰς εὐλογίας καὶ τὴν ζωὴν καὶ τὴν δικαιοσύνην, ἡ ἐπαγγελία καὶ ἡ διαθήκη τοῦ θεοῦ, ἡ πρὸς Ἀβραὰμ, ἄκυρός ἐστιν (1)

19 Τί οὖν ὁ νόμος; Τῶν παραβάσεων χάριν προσετέθη,
(ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται,) δια-
20 ταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου. Ὁ δὲ μεσίτης,
ἑνὸς οὐκ ἔστιν· ὁ δὲ θεὸς, εἷς ἐστιν.

Τί οὖν ὁ νόμος;] Ἐπειδὴ τὴν πίστιν ἐπῆρε, καὶ πρεσβυτέραν ἔδειξεν, ἀνέκυπτεν ἀντίθεσις· Τί οὖν ὁ νόμος ἐδόθη, εἰ σῶσαι οὐκ ἰσχύει (2); *Τῶν παραβάσεων χάριν προσετέθη.*] Οὐκ εἰκῇ ἐδόθη, φησὶν, ἀλλ' ἵνα μὴ παραβαίνηται τὸ δοκοῦν τῷ θεῷ, ἵνα κἂν ὀλίγας πλημμελείας κωλύῃ (3). Καλῶς δὲ τὸ, *προσετέθη*, ἵνα δείξῃ τὸν νόμον μὴ ὄντα πρωτότυπον, ὥςπερ αἱ ἐπαγγελίαι εἰσὶν, ἀλλ' ἐξ ἐπιγενομένου τινὸς δοθέντα (4). *Ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται.*] Ἀλλ' οὐκ εἰς ἀπέραντον, φησὶν, ὁ νόμος ἐδόθη· ἀλλ' ἄχρις οὗ ἔλθῃ ὁ Χριστὸς, *ᾧ ἐπήγγελται* τὸ εὐλογεῖσθαι ἐν αὐτῷ πάντα τὰ ἔθνη. Εἰ τοίνυν μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας δέδοται, τί περαιτέρω ἕλκεις αὐτόν; *Διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου.*] Ἐδόθη δὲ ὁ νόμος, *διαταγεὶς*, τουτέστι, διακονηθεὶς καὶ ἐπιταγεὶς διὰ μέσων ἀγγέλων, ἢ τῶν ἱερέων, ἢ ὄντως ἀγγέλων. Καὶ

(1) « Εἰ ὁ νόμος χαρίζεται τὰς εὐλογίας, καὶ ζωῆς καὶ δικαιοσύνης κληρονόμους ποιεῖ, λοιπὸν ἡ ἐπαγγελία ἐκείνη, ἡ πρὸς τὸν Ἀβραὰμ, ἄκυρός ἐςι καὶ ἐκβέβληται. Ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον· μεταγενέστερος γὰρ ὢν ὁ νόμος, πῶς ἀκυρώσει τὴν προτέραν διαθήκην; » Θεοφύλακτος.

(2) « Εἰ ἡ πίςις πρεσβυτέρα ἦν, καὶ τὰς εὐλογίας αὕτη ἐδίδου; » Θεοφύλακτος.

(3) « Ὅτι οὐκ εἰκῇ, ἀλλὰ τῶν παραβάσεων χάριν, ἵνα ἀντὶ χαλινοῦ εἴη τοῖς Ἰουδαίοις, κωλύων παραβαίνειν τινὰς γοῦν τῶν ἐντολῶν, εἰ μὴ καὶ πάσας. » Θεοφύλακτος.

(4) « Ἵνα δείξῃ τὸν νόμον μὴ προηγουμένως δοθέντα, ὥςπερ αἱ ἐπαγγελίαι ἀλλ' οἷον παρατεθέντα διὰ τὰς πολλὰς παραβάσεις, ἵνα κἂν ὀλίγας κωλύῃ. » Θεοφύλακτος.

γὰρ καὶ πρὸς τὰς σάλπιγγας ἐκείνας, καὶ τὰς βροντὰς, καὶ τὰ δείγματα, ἄγγελοι διηκόνουν (1). *Ἐν χειρὶ δὲ μεσίτου ἐδόθη*, τουτέστι, τοῦ Χριστοῦ. Θέλει γὰρ δεῖξαι καὶ τὸν νόμον ὑπὸ Χριστοῦ δεδομένον, ἵνα καὶ τοῦ ἀνελεῖν αὐτὸν κύριος γένηται· ὁ γὰρ δεδωκὼς, καὶ ἀνελεῖν ἐξουσίαν ἔχει. *Μεσίτην* δὲ τὸν Χριστὸν καλεῖ, διὰ τὸ μεσιτεῦσαι τῷ πατρὶ καὶ τοῖς ἀνθρώποις, οἷον πρὸς φιλίαν, καὶ ἀποκαταλλάξαι ἡμᾶς πρὸς τὸν θεὸν, ἐκπεπολεμωμένους.—*Μεσίτην* ἐνταῦθα τὸν Χριστόν φησι, δεικνὺς, ὅτι προῆν, καὶ τὸν νόμον αὐτὸς ἔδωκε (Χρυσοστόμου).—*Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν· ὁ δὲ θεὸς εἷς ἐστιν.*] Ὁ μεσίτης, φησὶ, δύο τινῶν γίνεται μεσίτης. Τίνων οὖν μεσίτης ὁ Χριστός; Θεοῦ δηλονότι καὶ ἀνθρώπων. Ἐμεσίτευσε γὰρ ἀμφοτέροις, εἰρήνην ποιήσας, καὶ τὸν πόλεμον λύσας, ὃς ἦν τοῖς ἀνθρώποις πρὸς θεόν. Ἀφ' οὗ γὰρ ἥνωσεν ἑαυτῷ τὴν ἀνθρωπίνην φύσιν, ἔκτοτε τὴν εἰρήνην ἐποίησε, τῇ θείᾳ φύσει τὴν ἐχθρὰν διὰ τῆς ἁμαρτίας σάρκα παραδόξως ἀνακεράσας. Ὥστε, ἐπεὶ μεσίτης καὶ διαλλακτὴς αὐτός ἐστιν, εὔδηλον, ὡς αὐτὸς σώζει, καὶ οὐχ ὁ νόμος.—Λέγει τοίνυν, ὅτι Μωσῆς μὲν ἐμεσίτευσε πρὸς τὴν δόσιν τοῦ νόμου, ἀλλ' ἑνὶ μόνον ἐμεσίτευσεν ἔθνει· δεῖ δὲ τὸν ὡς ἀληθῶς μέλλοντα μεσιτεύειν πρὸς τὸν τῶν ἁπάντων τῶν ἐθνῶν ἕνα θεὸν, οὐχ ὑπὲρ ἑνὸς ἔθνους, ἀλλ' ὑπὲρ πάντων κοινῇ τὴν μεσιτείαν ποιήσασθαι· ἐπειδὴ καὶ πάντων τῶν ἐθνῶν εἷς ἐστι θεός. Εἴη δ' ἂν οὗτος, οὐ ψιλὸς ἄνθρωπος, οἷος ὁ Μωσῆς, ἀλλὰ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ, θεός τε ὢν ἀληθῶς ὁ αὐτὸς ἅμα καὶ ἄνθρωπος ἀληθῶς, καὶ τῇ συγγενείᾳ τῇ πρὸς ἑκάτερον, εἰς ἓν συνάγων ἐν ἑαυτῷ τὰ ἑκάτερα. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν (α). *Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν*· οὐ γὰρ ἑνὸς γέγονε μεσίτης, ἀλλὰ θεοῦ καὶ ἀνθρώπων· εἰ δὲ αὐτὸς ἐμεσίτευσέ, φησιν, αὐτὸς καὶ σώσει. *Ὁ δὲ θεὸς εἷς ἐστιν.*

---

(1) Ἐξοδ. ΙΘ', Δευτ. ΛΓ' 2· Πραξ. Ζ', 38. 53. Ἑβρ. Β', 2·
(α) Ἐφεσ. Β', 14.

Εἰ οὖν τὸν μεσίτην ἀνάγκη πᾶσα δύο τινῶν, ἢ καὶ πλειόνων, πρὸς ἑαυτοὺς διαφερομένων, εἶναι μεσίτην, ὁ δὲ θεὸς εἷς ἐστιν, εὔδηλον, ὅτι τῷ θεῷ καὶ τοῖς ἀνθρώποις ἐμεσίτευσε, καὶ ἀποκατήλλαξεν ἡμᾶς πρὸς αὐτόν. Εἰ οὖν ὁ Χριστὸς ἡμᾶς, καὶ οὐχ ὁ νόμος, ἀποκατήλλαξεν, εὔδηλον, ὡς ὁ Χριστὸς καὶ ἡ εἰς αὐτὸν πίστις σώζει, καὶ οὐχ ὁ νόμος (Γενναδίου).

21 Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ;
Μὴ γένοιτο! Εἰ γὰρ ἐδόθη νόμος, ὁ δυνάμενος ζωο-
22 ποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη. Ἀλλὰ
συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα
ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς
πιστεύουσιν.

Εἰ γὰρ αἱ μὲν ἐπαγγελίαι εὐλόγουν, ὁ δὲ νόμος (1) ἐπικαταράτους ποιεῖ, ἄρα ὁ νόμος *κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ* ἐδόθη, τουτέστιν, εἰς τὸ ἐμποδίσαι αὐταῖς τοῦ εὐλογῆσαι. Ταύτην οὖν λύει τὴν ἀντίθεσιν τοῖς τε ἑξῆς, καὶ τῇ ἀπαγορεύσει· *Μὴ γένοιτο!*—ΑΛΛΩΣ. *Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ;* Ἀντίθεσιν λύει. Ἥρπασε γάρ, φαῖεν ἄν τινες, ὁ νόμος τὸ δικαίωμα τῶν ἐπαγγελιῶν, καὶ γέγονε κατ' αὐτῶν. Ἀλλὰ μὴ γένοιτο! Εἰ μὲν γὰρ ἠδύνατο ζωοποιεῖν καὶ δικαιοῦν τοὺς ἀνθρώπους, εἰκότως ἄν τις ἐνόμιζε κατὰ τῶν ἐπαγγελιῶν ἐκτεθεῖσθαι, καὶ τὸ ἐκείνων δικαίωμα ὑφαρπάσαι, ἅτε αὐτὸν ἰσχύοντα δικαιῶσαι. Ἐπεὶ δὲ οὐδὲν τοιοῦτον ἰσχύει ποιῆσαι, οὔτε ζωοποιῆσαι, οὔτε δικαιῶσαι τοὺς ἀνθρώπους, δῆλον ὅτι οὐκ ἐδόθη κατὰ τῶν ἐπαγγελιῶν· αὗται γὰρ τὸ οἰκεῖον ἐπιδείξουσι δικαίωμα, σώζουσαι καὶ δικαιοῦσαι τὸν ἐκ πίστεως. Καὶ ὅρα σοφίαν! Ὅπερ ἄν τις ἕτερος εἰς διαβολὴν τοῦ νόμου προσήνεγκεν, ὅτι οὐ ζωοποιεῖ, οὐδὲ δικαιοῖ, τοῦτο αὐτὸς εἰς ἀπολογίαν ἐγκλήματος καὶ εἰς ἐγκώμιον συνεστήσατο. Διὰ τοῦτο γάρ,

(1) « — ὁ δὲ νόμος κατάραν εἰσάγει, πρόδηλον ὅτι, ἐὰν παραδεξώμεθα αὐτόν, ὡς τὸ κῦρος ἔχοντα, λύει τὰς ἐπαγγελίας τοῦ θεοῦ, τὰς τὴν εὐλογίαν διδούσας, ἀλλὰ μὴ γένοιτο! » Θεοφύλακτος·

φησιν, ὁ νόμος οὐ γέγονε κατὰ τῶν ἐπαγγελιῶν· ὅτι μηδὲ σώζειν, μηδὲ δικαιοῦν ἴσχυεν. Οὐ μόνον δὲ οὐ γέγονε κατ' αὐτῶν, ἀλλά γε τρόπον τινὰ καὶ συνήργησε καὶ ὑπηρετήσατο αὐταῖς. Δι' ὧν γὰρ οὐκ ἔσωζεν οὐδὲ ἐδικαίου, ἐπὶ τὴν πίστιν καταφυγεῖν προετρέψατο· δι' ὧν δὲ ἐπὶ τὴν πίστιν συνήλασε, τὰς ἐπαγγελίας τελειωθῆναι συγκατειργάσατο (Φωτίου).—*Εἰ γὰρ ἐδόθη νόμος, ὁ δυνάμενος ζωοποιῆσαι.*] Εἰ μὲν γάρ, φησιν, ὁ νόμος εἶχεν ἰσχὺν τοῦ σώζειν, οὐδὲ χρεία ἦν τῆς πίστεως· ἀλλὰ διὰ τοῦτο οὐκ ἴσχυσε ζωοποιῆσαι, ἵνα ἡ πίστις χώραν λάβῃ, πλὴν ὅτι προεκάθαιρε καὶ προωδήγει παιδαγωγοῦ δίκην, καὶ χωρητικοὺς ἡμᾶς ἀπετέλει καὶ δεκτικοὺς τῆς πίστεως. Πῶς οὖν κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ ὁ προοδοποιῶν ταῖς ἐπαγγελίαις; Οὐ τοίνυν ἐνδεχόμενον οὐδὲ εὔλογον, ἐπ' ἀναιρέσει τῶν εὐλογιῶν δεδόσθαι φᾶναι τὸν νόμον. *Ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη.*] Νῦν δέ, φησιν, αὐτὸς οὐκ ἴσχυσεν, ἵνα ἡ πίστις ἰσχύσῃ (1). *Ἀλλὰ συνέκλεισεν ἡ Γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν.*] *Συνέκλεισε*, τουτέστι, συγκλεισθῆναι συνεχώρησε, καὶ οἷον ἀποστενωθῆναι τοὺς πάντας εἰς ἁμαρτίαν ὁ θεὸς διὰ τῶν οἰκείων διαφόρων λόγων καὶ διοικήσεων· αὗται γὰρ *ἡ γραφή*· ἵνα χώραν λάβῃ ἡ διὰ Χριστοῦ πίστις. Καὶ γὰρ τέως ὁ νόμος παραβαινόμενος, ἐδίδαξε τοὺς ἀνθρώπους, ὅτι ἁμαρτωλοί εἰσιν. Ἀλλὰ διδάξας, οὐκ ἠλευθέρωσε τῆς ἁμαρτίας· ὡς λοιπὸν τοὺς ἀνθρώπους φανείσῃ τῇ πίστει ἀσμένως προσελθεῖν, τῷ ἐθέλειν ῥυσθῆναι τῶν ἁμαρτιῶν. Τοῦτο δὲ ὅλον γέγονέ, φησιν, ἵνα αἱ πρὸς Ἀβραὰμ ἐπαγγελίαι, τὸ, Εὐλογηθήσονται τὰ ἔθνη διὰ τῆς εἰς Χριστὸν πίστεως, δυθῶσι τοῖς παραδεχομένοις αὐτήν.—*Ἀλλὰ συνέκλεισεν ἡ γραφή.*] Ὁ νόμος, φησιν, οἱονεὶ περιέλαβε καὶ περιέκλεισε πάντας εἰς

(1) «Τότε, φησὶν, ὁ νόμος ἐπικρατέστερος ἂν ἦν τῆς πίστεως, καὶ εὐλόγει, καὶ ἐδικαίου τὸν ἄνθρωπον, εἰ ζωοποιῆσαι ἠδύνατο καὶ σῶσαι· νῦν δὲ μᾶλλον ἀποκτιννύει, καθ' ὃ οὐ δύναται ἁμαρτιῶν ἐλευθερῶσαι. Πῶς οὖν ἐπικρατήσει τῆς πίστεως, τῆς δυναμένης ζωοποιεῖν διὰ τοῦ βαπτίσματος, καὶ εὐλογούσης, καὶ δικαιούσης;» Θεοφύλακτος.

ἁμαρτίαν, ἤτοι ἁμαρτωλοὺς ἀπέδειξε. Πῶς; Εἶπε γάρ· *Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις, τοῦ ποιῆσαι αὐτά·* τοῦτο δὲ ἀδύνατον· οὐ μόνον γὰρ οὐχὶ πάντες ἐποίησαν ἅπαντα, ἀλλ' οὐδὲ ἔνιοι αὐτῶν ἅπαντα· ἀλλὰ μόλις οἱ ἐπιφανέστεροι αὐτῶν τὰ πλείονα. Ὥστε τῷ μὴ πάντα ποιῆσαι, κἀκεῖνοι ὑπὸ κατάραν καὶ ἁμαρτίαν ἦσαν. Ἅπαντες ἄρα συγκεκλεισμένοι ἐτύγχανον εἰς τὴν ἁμαρτίαν· διὸ ἐκ μόνης πίστεως δύνανται τυχεῖν τῆς ἐπαγγελίας· ἐκ γὰρ τοῦ νόμου, μᾶλλον καὶ εἰς ἁμαρτίαν συνελαθέντες ἀπεδείχθησαν ἅπαντες.— Διήλεγξεν ἡ θεία γραφὴ καὶ τοὺς πρὸ νόμου, καὶ τοὺς ἐν νόμῳ, τοὺς μὲν, τὸν τῆς φύσεως, τοὺς δὲ, τὸν Μωσαϊκὸν παραβεβηκότας νόμον. Ἀλεξιφάρμακον δὲ καὶ τούτοις κἀκείνοις τὴν ἐπηγγελμένην διὰ τῆς πίστεως προσενήνοχε σωτηρίαν. Πάλιν γὰρ τὸ, *συνέκλεισεν*, ἀντὶ τοῦ, ἤλεγξε, τέθεικε (Θεοδωρήτου).

23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν
24 ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν.
25 Ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγὸν
26 ἐσμέν. Πάντες γὰρ υἱοὶ θεοῦ ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ.

Π*ρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα.*] Καὶ γὰρ οὐ τὴν τυχοῦσαν ἀσφάλειαν παρεῖχε τοῖς ὑπ' αὐτὸν οὖσι καὶ φρουρουμένοις, τῷ τῶν πλειόνων ἀπείργειν ἁμαρτημάτων. *Συγκεκλεισμένοι.*] Φυλαττόμενοι πρὸς τὴν μέλλουσαν πίστιν. Πῶς; Ὁ γὰρ νόμος, ἐλέγχων ἡμῶν τὰς ἁμαρτίας, ῥύσασθαι δὲ οὐκ ἰσχύων, οὐδὲν ἕτερον ἐποίει, ἢ προθυμοτέρους εἰς τὸ φανεῖσῃ τῇ πίστει προσδραμεῖν, ἵνα ῥυσθῶμεν τῶν ἁμαρτιῶν. *Εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι.*] Ἐδήλωσεν, ὅτι ἄνωθεν ἡ εἰς Χριστὸν πίστις προώριστο, ἀλλὰ νῦν γέγονε τοῖς ἀνθρώποις καταφανὴς, ὅτε καὶ ἡ ἐνανθρώπησις. *Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν.*] Προοδο-

ποιῶν δηλαδὴ τῇ εἰς Χριστὸν πίστει, διὰ τοῦ γνωρίζειν μὲν ἡμῖν τὰ ἁμαρτήματα, κατεπιθύμους δὲ ποιεῖν, φανείσῃ τῇ πίστει προσδραμεῖν καὶ τῇ ἀφέσει. Ὥστε οὐκ ἐναντίος ὁ νόμος τῇ πίστει· οὐδὲ γὰρ ὁ παιδαγωγὸς τῷ διδασκάλῳ· ἀλλὰ τὰ αὐτὰ ἐκείνῳ βούλεται, καὶ προδιδάσκει πωσῶς τὰ μαθήματα. *Γέγονεν εἰς Χριστόν.*] Ὥσπερ γὰρ ὁ παιδαγωγὸς προδιδάσκει τοὺς παῖδας, ἵνα, εἰς διδασκάλους φοιτήσαντες, εὐμαθέστεροι ἔσωνται καὶ τὰ ὑπ' ἐκείνοις δέξασθαι, οὕτω καὶ ὁ νόμος, προδείξας ἡμῖν αὐτὸ τὸ εἰδέναι, ὅτι ἁμαρτάνομεν, οὐδὲν ἕτερον ἢ ἑτοιμοτέρους ἐποίει, φανέντι τῷ Χριστῷ προσδραμεῖν, τῷ ποθεῖν ἀπαλλαγὴν τῶν ἁμαρτιῶν, τῶν διὰ τοῦ νόμου γενομένων ἡμῖν καταφανῶν. Κάλλιστα οὖν αὐτῷ εἴρηται τὸ τοῦ παιδαγωγοῦ παράδειγμα. *Ἵνα ἐκ πίστεως δικαιωθῶμεν.*] Ἐλέγχων γὰρ τὰς ἁμαρτίας, καὶ μὴ ἰσχύων δικαιῶσαι, τῷ Χριστῷ ἡμᾶς παρέπεμπε, τῷ τὴν ἄφεσιν διδόντι, καὶ δικαιοῦντι ἐκ πίστεως, τῆς εἰς αὐτόν. *Ἐλθούσης δὲ τῆς πίστεως.*] Τῆς τὴν τελειότητα καὶ τὴν υἱοθεσίαν δωρουμένης. *Οὐκέτι ὑπὸ παιδαγωγὸν ἐσμέν.*] Νηπίους μὲν γὰρ ὄντας, ἔδει ὑπὸ παιδαγωγὸν τελεῖν, οὐ μὴν δὲ καὶ τελείους γενομένους· τελειότητος γὰρ ἀπόδειξις, τὸ μηκέτι εἶναι ὑπὸ παιδαγωγόν. Ὅτι δὲ τέλειοι ἄνδρες ἐσμὲν ἐκ πίστεως, δῆλον ἐξ οὗ καὶ υἱοὶ θεοῦ ἐσμὲν *διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ*, ἤτοι, διὰ τῆς ἐν Χριστῷ Ἰησοῦ πίστεως· οὕτω γὰρ ἡ σύνταξις. Πάντως δὲ ὁ ἀξιωθεὶς υἱὸς θεοῦ γενέσθαι, οὐκ ἀτελὴς, οὐδὲ νήπιος. Ὥστε γελοῖον τὸ ἄνδρας γενομένους, τῷ παιδαγωγῷ νόμῳ ὑποτάσσεσθαι· ὥσπερ καὶ τὸ, ἡμέρας φανείσης, μὴ τὸν ἥλιον ὁρᾷν, ἀλλὰ τὸν λύχνον. Ὅρα δὲ, πῶς ἀνωτέρω μὲν ἔδειξε τὴν πίστιν υἱοὺς Ἀβραὰμ ποιοῦσαν, νῦν δὲ, υἱοὺς τοῦ θεοῦ. Οὕτω μεγάλα δύναται!

27 Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνε-
28 δύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι

δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ·
29 πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ· εἰ
δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ,
καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.

Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.] Ἐπειδὴ μέγα εἶπεν, υἱοὺς θεοῦ ἡμᾶς κεκληκὼς, λέγει καὶ τὸν τρόπον, πῶς γεγόναμεν υἱοὶ θεοῦ, ὅτι διὰ τοῦ βαπτίσματος. Ὤφειλε δὲ, ὡς πρὸς τὸ προκείμενον νόημα, εἰπεῖν, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, υἱοὶ θεοῦ γεγόνατε· αὕτη γὰρ ἡ ἀκολουθία· ἀλλὰ καὶ νῦν ἄλλῳ τρόπῳ μᾶλλον περιγεγονότι τὸ αὐτὸ εἶπε, Χριστὸν ἐνεδύσασθε, λέγων. Εἰ γὰρ τὸν υἱὸν τοῦ θεοῦ ἐνδεδύμεθα, καὶ οἷον τὴν εἰκόνα αὐτοῦ ἠμφιέσμεθα, εὔδηλον, ὅτι καὶ τῆς υἱότητος αὐτοῦ κοινωνοί ἐσμεν, εἰ καὶ ἐκεῖνος μὲν τὸ γνήσιον, ἡμεῖς δὲ τὸ θέσει ἔχομεν. Πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ] Τῷ ἕνα τύπον καὶ μίαν μορφὴν ἐνδεδύσθαι, τὴν τοῦ Χριστοῦ, καὶ μίαν ἔχειν κεφαλὴν, αὐτὸν, καὶ πάντας εἰς ἓν σῶμα συντελεῖν. Εἰ δὲ ὑμεῖς Χριστοῦ.] Εἰ δὲ ὑμεῖς ἐστὲ Χριστοῦ μορφὴ καὶ σῶμα, εἰκότως τοῦ Ἀβραὰμ ἐστὲ σπέρμα. Ἐπειδὴ γὰρ ἔμπροσθεν ἔλεγεν, ὅτι σπέρμα τοῦ Ἀβραὰμ, ἐν ᾧ εὐλογοῦνται τὰ ἔθνη, ὁ Χριστός ἐστι· (αὐτῷ οὖν τῷ σπέρματι τοῦ Ἀβραὰμ ἐδόθησαν αἱ ἐπαγγελίαι, τουτέστι, τῷ Χριστῷ·) ἀπέδειξε δὲ, ὅτι καὶ ὑμεῖς τὴν μορφὴν τοῦ Χριστοῦ ἔχετε· νῦν τὸ αὐτὸ ἀνακεφαλαιοῦται. Εἰ ἐστέ, φησι, σῶμα Χριστοῦ, καὶ σπέρμα ἐστὲ Ἀβραὰμ, καὶ κληρονόμοι τῆς τῷ σπέρματι αὐτοῦ δοθείσης ἐπαγγελίας, ὁ Χριστὸς ἡμῖν τούτων αἴτιος, ὁ σῶμα ἡμᾶς ἑαυτῷ ποιησάμενος, καὶ διὰ τοῦτο καὶ εἰς σπέρμα τῷ Ἀβραὰμ εἰσαγαγὼν, οὐ μὴν ὁ νόμος. Πῶς οὖν τῷ νόμῳ προσέχετε οἱ εὐλογηθέντες διὰ τοῦ Χριστὸν ἐνδύσασθαι καὶ ὁμοιωθῆναι αὐτῷ, καὶ ἐντεῦθεν γενέσθαι σπέρμα Ἀβραάμ;

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι ὑπὸ κτίσιν ἦσαν οἱ ἐν νόμῳ.

ΚΕΦ. IV, 1 Λέγω δὲ, ἐφ' ὅσον χρόνον ὁ κληρονό-
μος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος
2 πάντων ὤν· ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονό-
3 μους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ
ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κό-
σμου ἦμεν δεδουλωμένοι·

Οὐδὲν διαφέρει δούλου.] Διὰ τί; Ὅτι ὥριστο παρὰ τοῦ πατρὸς, μηδὲν διοικεῖν, ἄχρι τῆς νομίμου ἡλικίας, καὶ δεῖ στέργειν. Καλῶς δὲ ἤγαγε τὸ τοῦ νηπίου παράδειγμα· ὥσπερ γὰρ ἐκεῖνος, κύριος πάντων ὤν, διὰ τὴν νηπιότητα κωλύεται ἐγκρατὴς εἶναι τῶν αὐτοῦ, οὕτω καὶ ἡμεῖς, διὰ τὸ πάλαι εἶναι νήπιοι τὸν νοῦν, ἐκωλυόμεθα τῆς υἱοθεσίας τοῦ θεοῦ ἀξιωθῆναι. *Ὅτε ἦμεν νήπιοι.*] *Νήπιοι* ἐνταῦθα, οὐ τῇ ἡλικίᾳ φησὶν, ἀλλὰ τῇ γνώσει τοῦ θεοῦ, δεικνὺς, ὅτι ὁ μὲν θεὸς ἤθελε ταῦτα ἐξ ἀρχῆς χαρίσασθαι, τουτέστι, τὴν υἱοθεσίαν· (αὕτη γὰρ ἡ κληρονομία·) ἀλλ' ἡμεῖς τῆς ἀναβολῆς αἴτιοι, νήπιοι ὄντες τὰς φρένας. Εἰάθημεν οὖν κατὰ συγχώρησιν θεοῦ, δεδουλῶσθαι τοῖς *στοιχείοις*, τουτέστι, τοῖς σάββασι, καὶ ταῖς νεομηνίαις, καὶ ἡμερῶν παρατηρήσεσιν, ἅ τινα κατὰ τὸν νόμον ἐφυλάττετο. Αὗται δὲ αἱ ἡμέραι, καὶ αἱ νουμηνίαι, καὶ τὰ σάββατα ἀπὸ τῆς τοῦ ἡλίου καὶ τῆς σελήνης περιφορᾶς ἡμῖν γίνονται. Ὥστε καὶ οἱ νῦν ἡμᾶς ὑπὸ τὸν νόμον ἄγοντες, νηπίους ποιοῦσι, καὶ ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου, καίτοι ἄνδρας γενομένους τελείους, καὶ υἱοὺς θεοῦ, καὶ οἰκοδεσπότας, καὶ κυρίους. Πάνυ δὲ βουλόμενος καταγαγεῖν τὰ ἐν τῷ νόμῳ, ἀφεὶς εἰπεῖν, ὅτι ὑπὸ τὸν νόμον ἦμεν δεδουλωμένοι, *ὑπὸ τὰ στοιχεῖα* εἶπεν, ἵνα ἐντρέψῃ μᾶλλον τοὺς καὶ ἔτι τῷ νόμῳ πείθοντας προσέχειν (1).

(1) Στοιχεῖα τοῦ κόσμου, αἱ πρῶται ἀρχαὶ τῆς θρησκείας, ἡ εἰς παιδία

— Ἡνίκα μὲν, φησὶ, νήπιοί τε καὶ ἀτελεῖς ἦμεν, οἷόν τινα ἐπίτροπον καὶ οἰκονόμον εἴχομεν τὸν νόμον. *Στοιχεῖα* γὰρ *τοῦ κόσμου*, τὰς νομικὰς παρατηρήσεις εἶπεν· ἐπειδήπερ ἀπὸ ἡλίου καὶ σελήνης νύξ τε καὶ ἡμέρα καλεῖται, ἀπὸ δὲ ἡμερῶν, ἑβδομάδες, καὶ μῆνες, καὶ ἐνιαυτοὶ συνίστανται· ὁ δὲ νόμος καὶ σάββατα, καὶ νουμηνίας, καὶ ἐνιαυσίους ἑορτὰς, καὶ ἐνιαυτῶν ἑβδομάδας φυλάττειν ἐκέλευσε. Τούτου χάριν εἶπεν, *Ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι*, ἐπειδὴ καὶ ἐκ τούτων ὁ χρόνος συνίσταται (Θεοδωρήτου). — Ἐν τάξει τῶν ἐπιτρόπων καὶ οἰκονόμων, τῶν τοὺς ἀτελεῖς τῇ ἡλικίᾳ πρὸς τὸ συμφέρον παιδαγωγούντων, ἔλαβε τὰ *στοιχεῖα τοῦ κόσμου*, οἷς ἦμεν δεδουλωμένοι διὰ τὸ τῆς γνώσεως ἀτελές. Οὐκ ἂν οὖν, ὡς οἶμαι, ἥλιον καὶ σελήνην ἔλαβεν εἰς τάξιν τῶν ἐπιτρόπων, διὰ τὸ ἀσύμφορον εἶναι τὴν εἰς ταῦτα ὑποταγήν· ἀλλὰ στοιχεῖα φησὶ τοῦ κόσμου, ἢ τὸν στοιχειώδη καὶ εἰσαγωγικὸν νόμον· (καὶ γὰρ τοῖς ἐξ Ἰουδαίων πιστοῖς ἔγραφε, καὶ δηλοῖ τά τε μικρὸν ἀνωτέρω εἰρημένα, καὶ τὸ, Ἐὰν περιτέμνησθε, Χριςὸς ὑμᾶς οὐδὲν ὠφελήσει (α)·) ἢ *στοιχεῖα* καλεῖ, ἡμέρας, ὕδωρ, πῦρ, ὧν ἦσαν ἐκ τοῦ εἰς δουλείαν ὑπαγαγόντος νόμου αἱ παρατηρήσεις· ἡμερῶν μὲν, ἔν τε σαββάτοις, καὶ νεομηνίαις, καὶ περιτομαῖς· ὕδατος δὲ, ἐν ταῖς σωματικαῖς ἁγνείαις καὶ τοῖς βαπτισμοῖς· πυρὸς δὲ, ἐν τῷ μὴ ἀνακαίειν πῦρ ἐν τοῖς σαββάτοις, ἀλλ' ἕωλα ἐσθίειν. Ὅρα δὲ, τί εἶπεν εἰς τοῦτο ξένον ὁ Εὐσέβιος ἐν τῷ τετάρτῳ λόγῳ τῆς εὐαγγελικῆς ἀποδείξεως (Γενναδίου).

4 Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον (1) ἐκ γυναικὸς,
5 γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγο-

ἁρμόζουσα θρησκεία τοῦ ἰουδαϊκοῦ καὶ ἐθνικοῦ κόσμου, τὴν ὁποίαν ἐμεταχειρίσθη ὁ θεὸς, ἐν ὅσῳ οἱ ἄνθρωποι δὲν ἦσαν διὰ τὴν ἔλλειψιν τῆς ἀποκαλύψεως διατεθειμένοι πρὸς ὑψηλοτέρας θρησκευτικὰς ἐννοίας. Ἐξηγεῖται ὁ ἀπόστολος κατωτέρω στίχ. 8 καὶ 9. Ἴδ. Κολοσ. Β', 8. 20. Ἑβρ. Ε', 12. (α) Γαλ. Ε', 2.

(1) Παρ' ἄλλοις, γεννώμενον.

6 ράση, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε
υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ
εἰς τὰς καρδίας ὑμῶν κράζον· Ἀββᾶ, ὁ πατήρ.
7 Ὥςτε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς, καὶ
κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

Τέως μὲν οὖν νήπιοι ὄντες, ὑπὸ νουμηνίας ἦμεν καὶ σάββατα. *Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου.*] Ποίου χρόνου πλήρωμα; Καθ' ὃν χρόνον ἔδει, φησὶν, ἐλθεῖν τὸν Χριστόν. Προώριστο γὰρ ὁ χρόνος τῆς ἐλεύσεως τοῦ Χριστοῦ παρὰ Δανιὴλ τοῦ προφήτου (α), ὃς ἔλαβε τέλος ἐπὶ τῆς βασιλείας Καίσαρος Αὐγούστου, ὅτε καὶ ἡ ἔνσαρκος οἰκονομία τοῦ Χριστοῦ ἀρχὴν ἔλαβεν. *Ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ.*] Τουτέστιν, ηὐδόκησεν ἐλθεῖν. *Γενόμενον ἐκ γυναικός.*] Διὰ τοῦτο οὐκ εἶπε, *διὰ γυναικὸς*, ἵνα μὴ πάροδον εὕρωσιν οἱ λέγοντες, ὡς διὰ σωλῆνος, τῆς Παρθένου, διελθεῖν τὸν Κύριον κατὰ φαντασίαν πάντως· ἀλλ', *ἐκ γυναικὸς*, δεικνὺς ἐκ τῆς οὐσίας αὐτῆς εἰληφότα τὸ σῶμα τὸν Κύριον, καὶ καρπὸν ὄντα τῆς κοιλίας αὐτῆς. *Γενόμενον ὑπὸ νόμον.*] Οὕτω γὰρ ὑπὸ νόμον ἐγένετο, ὅτι καὶ περιετμήθη, καὶ πάντα τὰ κατὰ τὸν νόμον ἐτέλεσεν, ἵν', ἐκτὸς τῆς κατάρας γενόμενος, *τοὺς ὑπὸ νόμον* καὶ κατάραν ὄντας *ἐξαγοράσῃ*, τῷ τε σταυρῷ, καὶ τῷ ὅλως ὑπὸ νόμον γενέσθαι. *Ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.*] Οὐ μόνον γὰρ κακῶν ἡμᾶς ἀπήλλαξε, τῆς ἀρᾶς ἀπαλλάξας τοῦ νόμου, ἀλλὰ καὶ υἱοθεσίαν ἐχαρίσατο. Εἰπὼν δὲ, *ἀπολάβωμεν*, ἔδειξεν αὐτὴν ἄνωθεν καὶ ἐξ ἐπαγγελίας ἡμῖν κεχρεωστημένην, ἡμᾶς δὲ μὴ δύνασθαι λαβεῖν αὐτὴν, διὰ τὸ τῆς γνώμης νήπιον. *Ὅτι δέ ἐστε υἱοὶ*, καὶ ἑξῆς.] Καὶ πόθεν, φησὶ, δῆλον, ὅτι υἱοθεσίας ἠξιώθημεν; Πόθεν; Ἐκ τοῦ τῆς υἱοθεσίας πνεύματος, ὅπερ καταπεφοίτηκε, παρασκευάζον ἡμᾶς καὶ διδάσκον· (τοῦτο γὰρ λέγει τὸ, *κράζον*·) πατέρα καλεῖν τὸν θεὸν, τῶν καρδιῶν ἡμῶν ἀπτό-

(α) Δαν. Θ'.

μενον εὐθέως καὶ καινοπρεπῶς, ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ υἱοθεσίας ἠξιώθημεν. Καὶ λοιπὸν θάρσει, ὦ ἄνθρωπε· ὅτι οὐκέτι ὑπάρχεις δοῦλος, *ἀλλ' υἱός· εἰδὲ υἱός, καὶ κληρονόμος θεοῦ διὰ Χριστοῦ*. Διὰ γὰρ τοῦ φύσει υἱοῦ αὐτοῦ σαρκωθέντος, καὶ τὸ ἡμέτερον ὅλον φορέσαντος, οὐκέτι εἶ δοῦλος καὶ ὑπὸ ζυγὸν τοῦ νόμου. Πῶς οὖν οὐκ ἄτοπον, τοὺς γενομένους υἱοὺς θεοῦ, διά τε Χριστοῦ καὶ διὰ Πνεύματος, ἐπιστρέφειν πάλιν πρὸς τὸν νόμον; Καὶ ὅρα ἔμφασιν τῆς ἁγίας Τριάδος! Ὁ Πατὴρ ἀπέστειλεν, ὁ Υἱὸς ἐσαρκώθη, καὶ τὸ Πνεῦμα συνήργησεν, ὃ καὶ εἰς τὰς καρδίας ἡμῶν ἐπεισελθὸν, διδάσκει λέγειν· Ἀββᾶ, ὁ πατήρ.

8 Ἀλλὰ τότε μὲν, οὐκ εἰδότες θεὸν, ἐδουλεύσατε τοῖς
9 μὴ φύσει οὖσι θεοῖς· νῦν δὲ, γνόντες θεὸν, μᾶλλον
δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε πάλιν
ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνω-
10 θεν δουλεύειν θέλετε; Ἡμέρας παρατηρεῖσθε, καὶ
11 μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. Φοβοῦμαι
12 ὑμᾶς, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. Γίνεσθε ὡς
ἐγὼ, ὅτι κἀγὼ ὡς ὑμεῖς.

Ἀλλὰ τότε μὲν, οὐκ εἰδότες θεὸν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς.] Ἐνταῦθα πρὸς τοὺς ἐξ ἐθνῶν πιστεύσαντας ἀποτείνεται, δεικνὺς, ὅτι τὸ ἡμέρας παρατηρεῖσθαι, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτοὺς, καὶ ὧν ἐν νόμῳ ἡ παρατήρησις, εἰδωλολατρεία ἐστίν· οὐδὲν γάρ, φησιν, ἕτερον τοῦτο, ἢ σελήνῃ καὶ ἡλίῳ προσκυνεῖν, ἐξ ὧν αἱ ἡμέραι τὴν παρατήρησιν ἔχουσιν. Ἐκ περιουσίας δὲ τοῦτο εἶπεν, ἀποστῆσαι τοῦ νόμου θέλων· οἱ γὰρ τὴν περιτομὴν κηρύσσοντες, καὶ τὰς τοιαύτας συνεκήρυττον παρατηρήσεις. *Μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ.*] Νῦν δέ, φησιν, ἔγνωτε τὸν θεὸν, μᾶλλον δὲ οὐχ ὑμεῖς οἰκείῳ πόνῳ τὸν θεὸν εὕρετε καὶ ἐπέγνωτε· οὐδὲ γὰρ οὐδὲ ἐζητήσατε ὅλως· ἀλλ' αὐτὸς ὑμᾶς ἐν πλάνῃ διάγοντας ἐζήτησε καὶ προσελάβετο· τὸ γάρ, *γνωσθέντες*, ἀντὶ τοῦ, προσληφθέντες ὑπὸ θεοῦ. *Πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα;*] Πτωχὰ

δὲ καὶ ἀσθενῆ αὐτὰ καλεῖ, ὡς μηδεμίαν δύναμιν ἔχοντα πρὸς τὰ προκείμενα ἀγαθὰ, μηδὲ ἰσχύοντα πνευματικῶς ὠφελῆσαι. Ἅμα δὲ καὶ ὡς ἐστερημένα νοῦ καὶ αἰσθήσεως καὶ ζωῆς, πτωχὰ ταῦτα καλεῖ καὶ ἀσθενῆ. Οἱ μὲν οὖν ψευδαπόστολοι, ὡς τοῦ νόμου ἐκδικηταὶ, τὰς τῶν ἡμερῶν παρατηρήσεις εἰσῆγον· αὐτὸς δὲ σοφώτατα εἰδωλολατρείαν τὸ πρᾶγμα καλεῖ, ἣν καὶ αὐτὸς ὁ νόμος ἀπαγορεύει. Ὥστε καὶ τῷ νόμῳ ἐναντίοι οἱ ταῦτα διδάσκοντες. Πολλὴν δὲ τὸ, *πάλιν*, ἔμφασιν ἔχει, ὡς εἰ ἔλεγε· Μετὰ τὴν υἱοθεσίαν καὶ τὸ γνωσθῆναι ὑπὸ θεοῦ. *Ἡμέρας παρατηρεῖσθε*, καὶ ἑξῆς.] Ἐκ τούτου δῆλον, ὅτι οὐ μόνον περιτομὴν ἐκήρυττον οἱ ψευδαπόστολοι, ἀλλὰ καὶ τὰς ἑορτὰς, καὶ τὰς νουμηνίας (1). *Φοβοῦμαι, μήπως εἰκῆ ἐκοπίασα εἰς ὑμᾶς.*] Ὅρα σπλάγχνα! Ἐκεῖνοι σαλεύονται, καὶ Παῦλος φοβεῖται. Τὸ δὲ, *μήπως*, δηλοῖ ἔτι αὐτοὺς ἑστῶτας καὶ μήπω τέλεον ναυαγήσαντας· καὶ δίδωσιν αὐτοῖς ἐλπίδα, ὅτι, εἰ θελήσαιεν ἀνανῆψαι, οὐκ εἰκῆ ὁ εἰς αὐτοὺς γεγένηται κόπος· ὡς εἰ ἔλεγεν αὐτοῖς· Μνήσθητε τῶν ἐμῶν εἰς ὑμᾶς κόπων καὶ ἱδρώτων, καὶ μὴ ματαιώσητέ μου τοὺς πόνους. *Γίνεσθε ὡς ἐγώ.*] Πρὸς τοὺς ἐξ Ἰουδαίων ὁ λόγος. Μιμηταί μου, φησὶ, γίνεσθε· καὶ γὰρ καὶ ἐγὼ ἤμην ὡς ὑμεῖς, τηρῶν καὶ περὶ πολλοῦ τὸν νόμον ποιούμενος· ἀλλὰ τοῦτον ἀφεὶς, τῇ πίστει προσέδραμον, καὶ νῦν τοῦ Χριστοῦ καὶ τῆς πίστεως ὑπερμαχῶ. Τοιοῦτοι καὶ ὑμεῖς γίνεσθε. *Ὅτι κἀγὼ ὡς ὑμεῖς.*] Σφόδρα κἀγὼ τὸν νόμον ἐπόθουν· ἀλλ' ὁρᾶτε πῶς μεταβέβλημαι. Ταύτην οὖν καὶ ὑμεῖς ζηλώσατε τὴν μεταβολήν.

12 Ἀδελφοὶ, δέομαι ὑμῶν· οὐδέν με ἠδικήσατε. Οἴδα-
13 τε δὲ, ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισά-
14 μην ὑμὶν τὸ πρότερον· καὶ τὸν πειρασμόν μου, τὸν

(1) « Εἰδωλολατρείαν πειρᾶται δεῖξαι τὴν κατὰ νόμον τῶν ἡμερῶν παρατήρησιν. Πρὶν γάρ, φησιν, ἀξιωθῆναι τῆς κλήσεως, ἐλατρεύετε τοῖς μὴ φύσει οὖσι θεοῖς, τὰ στοιχεῖα θεοποιοῦντες· ἀλλὰ ταύτης ὑμᾶς τῆς πλάνης ἠλευθέρωσεν ὁ δεσπότης Χριστός. Νῦν δὲ οὐκ οἶδα πῶς εἰς τὴν αὐτὴν ἐπανέρχεσθε πλάνην· σάββατα γὰρ, καὶ νουμηνίας, καὶ τὰς ἄλλας τηροῦντες ἡμέρας, καὶ τὴν τούτων παράβασιν δεδιότες, τοῖς τὰ στοιχεῖα θεοποιοῦσιν ἐοίκατε. » Θεοδώρητος.

ἐν τῇ σαρκί μου, οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύ-
σατε, ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χρι-
15 στὸν Ἰησοῦν. Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν; μαρ-
τυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς
16 ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. Ὥστε ἐχθρὸς
17 ὑμῶν γέγονα, ἀληθεύων ὑμῖν; Ζηλοῦσιν ὑμᾶς οὐ
καλῶς· ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς
ζηλοῦτε.

Παρακαλεῖ αὐτοὺς, οἰκείαν τὴν ἐκείνων σωτηρίαν ἡγούμενος. Διεξέρχεται δὲ αὐτῶν εὐχαριστίας, καὶ ἃς ἐτίμησαν αὐτὸν τιμὰς, καὶ ὡς περὶ πολλοῦ αὐτὸν ἔσχον, τοῦτο βουλόμενος κατασκευάσαι, ὅτι αἱ κατ' αὐτῶν παρ' αὐτοῦ λεχθεῖσαι νῦν λοιδορίαι, οὐκ ἐλέχθησαν κατὰ ἀπέχθειαν τινὰ ἢ ἔχθραν· (πῶς γὰρ ἂν, φησιν, ἀπεχθῶς εἶχον πρὸς ὑμᾶς, περὶ πολλοῦ πεποιημένους;) ἀλλ' ὅτι τὰ λεχθέντα κηδομένου καὶ ἀγαπῶντος ἦν. Διὸ καὶ *ἀδελφοὺς* αὐτοὺς καλεῖ, ἅμα καὶ τῆς χάριτος ὑπομιμνήσκων τοῦ βαπτίσματος, ἐξ ἧς πάντες ἀδελφοὶ, ὡς ἐξ ἑνὸς πατρὸς, τοῦ θεοῦ, γεγόναμεν. *Οὐδέν με ἠδικήσατε.*] Οὐδὲν γάρ με, φησὶν, ἠδικήσατε, ἵνα καὶ ἐχθρωδῶς ὑμῖν προσφέρωμαι· ἀλλὰ μᾶλλον καὶ μυρία τιμῆς καὶ χάριτος ἔργα ἐπεδείξασθέ μοι. Πῶς οὖν κατὰ ἀπέχθειαν εἶπον ἂν ταῦτα; *Οἴδατε δὲ, ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν.*] Οἴδατέ, φησιν, ὅτι μετὰ ἀσθενείας σαρκικῆς, τουτέστι, μετὰ δεσμῶν καὶ πληγῶν καὶ φυλακῶν, ἅπερ ὑπὸ τῶν ἐναντιουμένων τῷ κηρύγματι ὑπέμενον, εὐηγγελισάμην ὑμῖν. Καὶ γὰρ μαστιζόμενος καὶ διωκόμενος, εὐηγγελιζόμην ὑμῖν· καὶ ὅμως καὶ ταῦτα με ὁρῶντες πάσχοντα, οὔτε ἐσκανδαλίσθητε εἰς ἐμὲ, οὔτε ἐξουθενήσατέ με, οὔτε διεπτύσατέ με· *τὸν γὰρ πειρασμόν μου*, φησὶ, *τὸν ἐν τῇ σαρκί μου, οὐκ ἐξουθενήσατε· πειρασμὸν* πάλιν καλῶν, τὰς πληγὰς, τὰς φυλακὰς, τοὺς διωγμούς. *Ἀλλ' ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με.*] Οὕτω, φησί, με ἐτιμήσατε, ὡς κρείττονα ἢ κατὰ ἄνθρωπον. Πῶς οὖν οὐκ

ἄλογον, τότε μὲν διωκόμενον καὶ ἐλαυνόμενον, δέχεσθαί με ὡς ἄγγελον, καὶ ὡς αὐτὸν τὸν Κύριον, καὶ μὴ σκανδαλίζεσθαι· νῦν δὲ τὰ δέοντα συμβουλεύοντα καὶ τὰ πρὸς σωτηρίαν παραινοῦντα, ὡς ἐχθρὸν λογίζεσθαι, καὶ μὴ παραδέχεσθαι; *Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν;*] Τὸ, *Τίς ἦν*, οὐκ ἐρωτῶντος ἐστὶν, ἀλλ' οἷον θαυμάζοντος, καὶ ἐπαίροντος τὴν τότε πίστιν αὐτῶν, καὶ τὸν ἐπὶ ταύτῃ μακαρισμόν. *Τίς ἦν*, τουτέστιν, ἡλίκος ἦν! θαυμαστός! ἡλίκου μακαρισμοῦ ἐξεπέσατε! Ἢ κατ' ἐρώτησιν· *Τίς ἦν*; Ἀναμνήσθητέ, φησι, τίς ἦν ὁ μακαρισμὸς ὑμῶν· λίαν γὰρ ὑμᾶς ἐμακάριζον· νῦν δὲ τί; ἐλέγχω· διὰ τοῦτο μισοῦμαι. Διὰ τί δὲ ἐλέγχω; Διὰ τὴν σωτηρίαν ὑμῶν· ἐπεὶ, εἰ μὴ τοῦτο ἦν, πῶς ἂν, μηδεμίαν ἄλλην παρασχόντων πρόφασιν ὑμῶν, ὁ ἐπαινῶν καὶ μακαρίζων εἰς τὸ ψέγειν ἦλθον; Τίς ἦν ὁ μακαρισμὸς ὑμῶν, ὃν ἐγώ τε καὶ ἕτεροι πολλοὶ ἐμακάριζον ὑμᾶς ἐπὶ τῇ ὑπακοῇ καὶ τῇ ὑποταγῇ τοῦ εὐαγγελίου; Ποῦ ἀπῆλθεν ἐκεῖνα πάντα, ἐφ' οἷς ἐμακαρίζεσθε παρὰ πάντων ὡς φιλοδιδάσκαλοι; Τίς οὖν ἐστὶ νῦν; εἰς τί μετεβλήθη ὁ μακαρισμὸς ὑμῶν ἐκεῖνος; Νῦν γὰρ οὐχ ὁρῶ αὐτὸν, ὡς ὑμῶν ἐναντίως περὶ ἐμὲ διατεθέντων. — *Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν;* Ποῦ τὰ ζηλωτὰ τῆς πίστεως κατορθώματα; Τὸ γὰρ, τίς, ἀντὶ τοῦ, ποῦ, τέθεικε (Θεοδωρήτου). — *Ὅτι τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι.*] Ὅτι καὶ τῶν ὀφθαλμῶν ὑμῶν τιμιώτερόν με ἡγεῖσθε πάλαι διὰ τὸ κήρυγμα. Τί οὖν γέγονεν, ὅτι καὶ ὡς ἐχθρόν με νῦν ὑποπτεύετε; *Ὥστε ἐχθρὸς ὑμῶν γέγονα, ἀληθεύων ὑμῖν;*] Ἄλλην, φησὶν, οὐκ οἶδα ἔχθρας αἰτίαν, ἢ ὅτι τὰ ἀληθῆ ὑμῖν εἶπον, καὶ τὰ πρὸς σωτηρίαν ἄγοντα παρέδωκα δόγματα, δι' ἃ καὶ ἐπαυξῆσαι ὑμᾶς ἔδει τὴν πρός με ἀγάπην, ὡς κηδεμόνος ἔργον ποιήσαντα. *Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς.*] Ἔστι μὲν ζῆλος καλὸς, ὅταν τις οὕτω ζηλοῖ, ὥστε μιμήσασθαι τὴν ἀρετήν· ἔστι δὲ καὶ ζῆλος κακὸς, ὅταν τις οὕτω ζηλοῖ, ὡς ἐκβαλεῖν τῆς ἀρετῆς τὸν ἐνάρετον. Οὗτοι τοίνυν οὐκ ἐπ' ἀγαθῷ, φησι, τὴν αὐτὴν ὑμῖν εἰς Χριστὸν πίστιν ἀσπά-

ζονται; ἀλλ' ἵνα ὑμᾶς ταύτης ἐκκλείσαντες, ἑαυτοῖς ἀναπείσωσιν ἕπεσθαι· ὅτι πρὸς ὑμετέραν ἀπάτην τὸ τοιοῦτον αὐτοῖς μεμηχάνηται. *Ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε.*] Ἀποκλεῖσαι ὑμᾶς, φησιν, καὶ ἀπαγαγεῖν τῆς ἀληθοῦς γνώσεως θέλουσιν, ἵνα λοιπὸν αὐτοὶ ὑμῶν γενόμενοι διδάσκαλοι, πρὸς τὸν αὐτῶν ζῆλον καὶ τὴν μίμησιν ἀγάγωσιν ὑμᾶς. Διὰ τοῦτο ἀπάγουσι μὲν ὑμᾶς τῆς ἀληθοῦς γνώσεως, φέρουσι δὲ πρὸς τὸν νόμον.

18 Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ
19 μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς. Τεκνία μου,
οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν
20 ὑμῖν· ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλ-
λάξαι τὴν φωνήν μου· ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

Βούλεται δεῖξαι, ὅτι οὗτοι οἱ νῦν ἀνατρέποντες αὐτοὺς, καὶ τοῦ νόμου ἔχεσθαι παραπείθοντες, καὶ ἐκ τούτου παρασκευάζοντες αὐτοὺς ζηλωτὰς καὶ μιμητὰς αὐτῶν γενέσθαι, ἐζήλουν αὐτοὺς πάλαι ἐν τῇ γνώσει τοῦ εὐαγγελίου, ὅτε παρὼν πρὸς αὐτοὺς ὁ Παῦλος ἐδίδασκε. Καλὸν οὖν ἐστι, φησὶ, τὸ μὴ μόνον ἐν τῇ παρουσίᾳ μου, ἀλλὰ καὶ πάντοτε ἐπὶ καλῷ ζηλοῦσθαι. Δείκνυσι δὲ διὰ τὴν ἀπουσίαν αὐτοῦ ἀπατηθέντας. *Τεκνία μου.*] Μητέρα μιμεῖται, περιτρέμουσαν τοῖς παιδίοις. Εἰ καὶ διεφθείρατέ, φησι, τὴν μορφὴν τοῦ Χριστοῦ καὶ τὴν εἰκόνα τὴν ἐφ' ὑμῖν, ὅμως ἔτι τεκνία μου ἐστέ. *Οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.*] Διεφθείρατέ, φησι, τὴν ἐφ' ὑμῖν εἰκόνα τοῦ Χριστοῦ, ἣν ἦτε ἐνδεδυμένοι διὰ τοῦ βαπτίσματος· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· καὶ τὴν μορφὴν αὐτοῦ, καὶ τὸ εἶναι αὐτοῦ μέλη ἀπωλέσατε. Χρεία οὖν ἑτέρας ἀναγεννήσεως, τῆς πάλιν ἐντυπούσης ὑμῖν τὴν θείαν τοῦ Χριστοῦ μορφήν. Τί οὖν; Πάλιν ὑμᾶς ὠδίνω διὰ τῆς διδαχῆς, πάλιν ἀναγεννῶ διὰ τῆς κατηχήσεως, ἕως ἂν ἐντυπωθῆτε πάλιν τὴν θείαν τοῦ Χριστοῦ μορφήν. Ἆρα τί λέγουσι πρὸς ταῦτα οἱ Ναυατιανοί; Ἰδοὺ γὰρ φανερῶς πιστοῖς

γράφει ταῦτα.—Οὓς *πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν·* τουτέστιν, ἄχρις ἂν οἱ μεγάλοι καὶ ὑπερφυεῖς τῆς θεότητος τοῦ Χριστοῦ χαρακτῆρες, εἰς τὸν ὑμέτερον ἠρέμα διαπλασθῶσι νοῦν (Κυρίλλου).—*Ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι.*] Ὅρα ἀγάπην! Οὐκ ἀρκοῦμαι, φησί, τοῖς γράμμασιν· ἀλλ' ἤθελον καὶ παρεῖναι πρὸς ὑμᾶς, καὶ ἀνταλλάξαι θρήνοις καὶ ὀλοφυρμοῖς τὴν διὰ ῥημάτων διδασκαλίαν, ἣν νῦν παραδίδωμι ὑμῖν, ὡς μετὰ θρήνων ὑμᾶς ἐδίδαξα. *Ὅτι ἀποροῦμαι ἐν ὑμῖν.*] Καὶ γὰρ ἀπορῶ, τί εἴπω περὶ ὑμῶν. Πῶς οἱ οὕτως ὑψωθέντες τῇ γνώσει τοῦ εὐαγγελίου, ὥστε καὶ κινδυνεῦσαι ὑπὲρ τῆς πίστεως, καὶ σημεῖα τελέσαι διὰ τῆς πίστεως, κατεβλήθητε νῦν, καὶ περισύρεσθε χαμαί, πάλιν ἐχόμενοι τοῦ νόμου;

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι ἐν τῇ ἐλευθέρᾳ γυναικὶ τοῦ Ἀβραὰμ καὶ τῷ γνησίῳ παιδὶ ὑποτυπωθέντας, οὐ χρὴ δουλοῦσθαι νόμῳ.

21 Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι· τὸν νό-
22 μον οὐκ ἀκούετε; Γέγραπται γάρ, ὅτι Ἀβραὰμ δύο
υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς
23 ἐλευθέρας (α). Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ
σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς
24 ἐπαγγελίας. Ἅτινά ἐστιν ἀλληγορούμενα·

Ἐπειδὴ ἱκανῶς αὐτοὺς ἐμάλαξε καὶ ἐπεσπάσατο, πάλιν εἰς ἀγῶνας ἐμβαίνει, δεικνύς, ὅτι ὁ νόμος οὐ βούλεται ἑαυτὸν φυλάττεσθαι· καί φησιν· Ἀποκρίθητέ μοι *οἱ θέλοντες ὑπὸ τὸν νόμον εἶναι.* Καλῶς δὲ τό, *θέλοντες*· οὐ γὰρ τῆς τῶν πραγμά-

---

(α) Γενεσ, Κεφ'. ΚΑ'.

των ἀκολουθίας, ἀλλὰ τῆς αὐτῶν ἀκαίρου φιλονεικίας ἦν τὸ πρᾶγμα. *Τὸν νόμον οὐκ ἀκούετε;*] Τί λέγει περὶ ἑαυτοῦ; Καὶ λοιπὸν τῆς Γενέσεως φέρει μαρτυρίαν. Ταύτην γὰρ νῦν *νόμον* καλεῖ· ἔθος γὰρ αὐτῷ πᾶσαν τὴν παλαιὰν, *νόμον* καλεῖν. Καὶ ὅρα τί κατασκευάζει. Εἰ βούλεσθέ, φησι, τοῦ νόμου ἔχεσθαι, ἀπόστητε τοῦ νόμου· οὕτω γὰρ αὐτῷ πεισθήσεσθε· ὁ νόμος γὰρ, φησὶν, αὐτὸς (εἴπερ ἴστε τὰ ἐν αὐτῷ·) συμβουλεύει, ἀφίστασθαι αὐτοῦ. Εἰ τοίνυν πείθεσθε αὐτῷ, ἀπόστητε ἀπ' αὐτοῦ. Ὅρα δὲ τὴν κατασκευήν· *Ἀβραὰμ δύο υἱοὺς ἔσχε.*] Δεῖξαι βούλεται, τοὺς διὰ τὴν σαρκικὴν συγγένειαν ὄντας σπέρμα τοῦ Ἀβραὰμ, τουτέστι, τοὺς Ἰουδαίους, κατὰ σάρκα εἶναι συγγενεῖς· τοὺς δὲ διὰ πίστεως εἰς σπέρμα Ἀβραὰμ εἰσαγομένους, τουτέστι, τοὺς Χριστιανοὺς, κατ' ἐπαγγελίαν εἶναι σπέρμα Ἀβραάμ. Ἀλλὰ καὶ τότε, φησὶν, ἐξεβλήθη ὁ κατὰ σάρκα υἱὸς Ἰσμαὴλ, ὥσπερ καὶ νῦν οἱ κατὰ σάρκα συγγενεῖς αὐτοῦ Ἰουδαῖοι· τὸν δὲ κατ' ἐπαγγελίαν υἱὸν, τὸν Ἰσαὰκ, ἔσω μείναντα λέγει, ὥσπερ καὶ νῦν οἱ κατ' ἐπαγγελίαν συγγενεῖς, οἱ Χριστιανοί. Ὁρᾷς, ὅτι ὁ νόμος οἶδεν ἐκβολὴν τῶν αὐτῷ μόνῳ στοιχούντων, τουτέστι, τῶν Ἰουδαίων; *Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης*, καὶ ἑξῆς.] Εἰκότως τὸν μὲν Ἰσμαὴλ, *κατὰ σάρκα* λέγει· νόμῳ γὰρ φύσεως σαρκὸς γεγέννηται· ὁ γὰρ Ἰσαὰκ, οὐ νόμῳ σαρκός· (πῶς γὰρ ἂν γεννήσειεν ὁ ἑκατονταέτης;) ἀλλὰ διὰ μόνης τῆς ἐπαγγελίας. Ἀλλ' ὅμως ὁ μὲν κατὰ σάρκα, δοῦλος καὶ ἀλλότριος τῆς κληρονομίας· ὁ δὲ μὴ κατὰ σάρκα, δεσπότης καὶ κληρονόμος. Μὴ οὖν τὸ κατὰ σάρκα εἶναι ὑμᾶς συγγενεῖς τοῦ Ἀβραὰμ, τοῦτο φυσιούτω· μᾶλλον δὲ πειθέτω, ὅτι εἰ μὴ γένησθε τέκνα κατ' ἐπαγγελίαν τοῦ Ἀβραὰμ, τουτέστι, μέλη καὶ σύσσωμοι Χριστοῦ· (οὗτος γὰρ ἐξ ἐπαγγελίας σπέρμα τοῦ Ἀβραάμ·) ἔξω ἐστὲ τῆς ἐπαγγελίας. *Ἅ τινά ἐστιν ἀλληγορούμενα.*] Τουτέστι, τύποι ἦσαν τῶν μελλουσῶν διαθηκῶν αἱ γεννήσεις τῶν δύο τούτων παιδίων. Οὐ γὰρ μόνον τὰ ὁρώμενα, ἀλλὰ καὶ ἕτερα ὑπαγορεύουσιν οἱ τόκοι· τοῦτο γάρ ἐστι

τὸ, *ἀλληγορούμενα*, ἀντὶ τοῦ, καὶ ἑτέρως νοούμενα. Οὐ γὰρ τὴν ἱστορίαν ἀνεῖλεν, ἀλλὰ τὰ ἐν τῇ ἱστορίᾳ προτυπωθέντα διδάσκει. Ἐπάγει γάρ·

24 Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους
25 Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ· τὸ
γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοι-
χεῖ δὲ τῇ νῦν Ἱερουσαλὴμ, δουλεύει δὲ μετὰ τῶν
26 τέκνων αὐτῆς· ἡ δὲ ἄνω Ἱερουσαλὴμ, ἐλευθέρα
27 ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Γέγραπται
γάρ· «Εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα· ῥῆξον καὶ
βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς
ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα (α).»

Αὗται.] Ποῖαι; Αἱ δύο γυναῖκες, ἡ Ἄγαρ καὶ ἡ Σάῤῥα, τύποι ἦσαν τῶν δύο διαθηκῶν· ἡ μὲν παιδίσκη, τῆς παλαιᾶς διαθήκης, τῷ καὶ αὐτὴν τὴν διαθήκην δούλους τοῦ νόμου γεννᾷν· ἡ δὲ ἐλευθέρα, τύπος τῆς νέας διαθήκης, τῷ ἐλευθέρους ἀπὸ τοῦ ζυγοῦ τοῦ νόμου τίκτειν. Ὅτι, φησὶ, τὸ Σινᾶ ὄρος, ἔνθα ὁ νόμος ἐδόθη, γειτνιάζει μὲν τῇ Ἱερουσαλὴμ, τῇ δὲ τῶν Ἀράβων γλώσσῃ ὁμώνυμόν ἐστι τῇ Ἄγαρ, τῇ δούλῃ, Ἄγαρ καὶ αὐτὸ προσαγορευόμενον, ὡς εἶναι καὶ ἐκ τοῦ ὀνόματος τὸν τύπον ἐγγὺς τῆς ἀληθείας γινόμενον. *Εἰς δουλείαν γεννῶσα.*] Τὴν τοῦ νόμου. *Ἥτις ἐστὶν Ἄγαρ.*] Ἥτις, φησὶ, παλαιὰ διαθήκη τὴν Ἄγαρ ἔχει τύπον. *Συστοιχεῖ.*] Τουτέστιν, ἅπτεται, γειτνιάζει. *Τῇ νῦν Ἱερουσαλήμ.*] Οἷον, τῇ ἐνταῦθα, τῇ ἐπὶ γῆς. Ὥστε τῆς ἄνω καὶ ἐλευθέρας, ἄμφω οἱ τόποι διεστήκασι. *Δουλεύει δέ.*] Αὕτη, φησὶν, ἡ διαθήκη, ἡ παλαιὰ, ἡ ἐν τῷ Σινᾷ ὄρει δοθεῖσα, *δουλεύει μετὰ τῶν τέκνων αὐτῆς*, τῶν Ἰουδαίων· δουλεύει δὲ τῷ νόμῳ (1). *Ἡ δὲ ἄνω Ἱερουσαλὴμ, ἐλευθέρα ἐστίν.*] Ὁ

(α) Ἠσ· ΝΔ΄. 1.

(1) «Αἱ δύο γυναῖκες ἀλληγοροῦνται εἴς τε τὴν νέαν καὶ εἰς τὴν παλαιὰν διαθήκην. Πῶς; Ἡ μὲν Ἄγαρ εἰς τὴν παλαιάν· καὶ γὰρ ὁ νόμος ἀπὸ τοῦ Σινᾶ ὄρους ἐδόθη· τὸ δὲ Σινᾶ ἐν Ἀραβίᾳ μέν ἐστιν, Ἄγαρ δὲ καλεῖται τῇ Ἀράβων γλώσσῃ. Συστοιχεῖ δὲ καὶ τῇ Ἱερουσαλήμ· τουτέστι, γειτνιάζει, ἅπτεται· ἢ ὅτι ἀπεικάζεται τῇ κάτω Ἱερουσαλὴμ, καὶ ἀναλογεῖ αὐτῇ, καὶ εἰς ἐκείνην ἐκλαμβάνεται, ὡς

μὲν τύπος τῆς Ἄγαρ, ἐν τούτοις· ἰδοὺ, καὶ ὁ τύπος τῆς Σάῤῥας· τύπος δὲ αὐτῆς ἡ ἄνω Ἱερουσαλὴμ, τουτέστιν, ἡ ἐπουράνιος· ἐκείνη γὰρ ἡ πόλις τῶν πιςῶν, ἀφ᾽ ἧς καὶ ὁ νόμος ἡμῖν· ἐξ οὐρανοῦ γὰρ τὸ εὐαγγέλιον· ἐλευθέρα δὲ ἐστὶν ἐκ τῶν ἐν τῷ νόμῳ παρατηρήσεων, καὶ πάντα ἐλευθέρως διατάττεται καὶ εὐγενῶς. Οὐδὲν γὰρ ἡμῖν ἐπὶ μισθῷ ὁρατῷ κατορθοῦται, οὐδὲ κολάσεις σωματικαὶ ἐπικρέμανται ἡμῖν· ἀλλὰ καὶ αἱ ἐπαγγελίαι θειότεραι, καὶ αἱ κολάσεις εὐγενέσι πρέπουσαι, τὸ τραπέζης μυστικῆς ἐκκλεισθῆναι καὶ ἐπιτιμηθῆναι. Αὕτη ἐστὶν ἡμῶν μήτηρ. Ὥςτε ἡ μὲν Ἄγαρ, τῆς Παλαιᾶς καὶ τῶν Ἰουδαίων πληροῖ τὸν τύπον· ἡ δὲ Σάῤῥα, τῆς Νέας καὶ ἡμῶν. *Ἄνω δὲ Ἱερουσαλὴμ*, καὶ τὴν ἐκκλησίαν ἐκάλεσε (1). Καὶ οὕτω, φησὶν, ἡ Σάῤῥα τύπος ἦν τῆς ἄνω Ἱερουσαλὴμ, τουτέστι, τῆς ἐκκλησίας, ὅτι καὶ αὐτὴ, στεῖρα οὖσα καὶ ἄπαις, ὡς ἡ ἐξ ἐθνῶν ἐκκλησία ποτὲ, ἐνίκησεν ἐν τῷ σπέρματι τὴν Ἄγαρ· καὶ ἡ ἐκκλησία ἐνίκησε τὴν συναγωγήν· καὶ μάρτυς τούτων Ἡσαΐας. *Εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα.*] Τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ ὁ Ἡσαΐας ἐγκελεύεται, ἐπὶ εὐφροσύνῃ βοῆσαι. *Ῥῆξον δὲ*, ἡ τὰ τῆς στειρώσεως δεσμὰ εἰς τοκετὸν, ἡ φωνὴν εὐφροσύνης ἐκλάλησον. *Ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου.*] *Ἔρημον καὶ στεῖραν* καλεῖ, τὴν ἐξ ἐθνῶν ἐκκλησίαν· καὶ γὰρ ἦν ἔρημος θείας γνώσεως καὶ

ὁμοιότητος οὔσης ἀμφοῖν. Ὥςπερ οὖν ἡ Ἄγαρ δούλη ἦν, καὶ εἰς δουλείαν ἐγέννα· οὕτω καὶ ὁ νόμος, ὁ ἐκ τοῦ Σινᾶ ὄρους, τοῦ καλουμένου Ἄγαρ, καὶ πρὸς τὴν Ἱερουσαλὴμ ἀπεικαζομένου, ὡς συστοίχου ὄντος αὐτῇ καὶ ἀναλόγου, εἰς δουλείαν γεννᾷ τοὺς αὐτῷ προσέχοντας. Καὶ γὰρ ἐν τῷ νόμῳ πολὺ τὸ ἀνελεύθερον καὶ δουλικόν. Ἥτε γὰρ ἀρετὴ ἐπὶ μισθῷ ἐνομοθετεῖτο φθαρτῷ, τοῖς τῆς γῆς, φημὶ, ἀγαθοῖς· καὶ ἡ τῆς κακίας ἀποφυγὴ διὰ κολάσεων καὶ φόβων εἰσηγεῖτο.» Θεοφύλακτος.

(1) «Τί δή ποτέ, φησι, τῷ νόμῳ δουλεύειν αἱρούμενοι, ταῖς τοῦ νόμου διδασκαλίαις οὐ πείθεσθε; Ἐκεῖνος γὰρ ὑμᾶς διδάσκει, ὡς δύο μὲν ἔσχε γυναῖκας Ἀβραὰμ, δύο δὲ παίδων ἀπεφάνθη πατήρ· ἀλλ᾽ ὁ μὲν ἐκ δούλης, ὁ δὲ ἐξ ἐλευθέρας ἐβλάστησε. Συμφωνεῖ ταῦτα τοῖς ἡμετέροις. Καθάπερ γὰρ ἐκεῖ εἷς μὲν πατὴρ, δύο δὲ μητέρες, καὶ δύο παῖδες· οὕτω κἀνταῦθα, εἷς μὲν θεὸς, δύο δὲ διαθῆκαι, καὶ δύο λαοί· ἀλλὰ τῆς μὲν πρώτης διαθήκης ἡ Ἄγαρ εἰκών· τῆς δὲ δευτέρας, ἡ Σάῤῥα· καὶ γὰρ ἀπὸ τοῦ Σινᾶ ὄρους ὁ παλαιὸς ἐδόθη νόμος· παρὰ δὲ ἐκεῖνο τὸ ὄρος τὸ τῆς Ἄγαρ ἐσκήνωται γένος· ἐκεῖνο δὲ τὸ ὄρος τῇ ἐπιγείῳ ταύτῃ συμφωνεῖ Ἱερουσαλήμ. Ἡ δὲ Σάῤῥα, τῆς ἐπουρανίου πόλεως τύπος, ἧς ἡμεῖς ὀνομαζόμεθα παῖδες. Ἐλευθέρα δὲ αὕτη, τουτέστιν, οὐκ ἔχουσα τὸν τοῦ νόμου ζυγόν· ἐκείνη δὲ, δούλη· τοιοῦτοι δὲ καὶ οἱ τῷ νόμῳ ὑποκείμενοι.» Θεοδώρητος.

ἀγαθοῦ παντὸς πρὶν πιστεῦσαι Χριστῷ. *Ἡ τῆς ἐχούσης τὸν ἄνδρα.*] *Ἔχουσαν ἄνδρα*, τὸν οἷον διευθύνοντα καὶ προνοοῦντα, καλεῖ τὴν συναγωγὴν τῶν Ἰουδαίων, ἢ ὡς ἔχουσαν τὸν νόμον διοικοῦντα τὰ αὐτῆς, ἢ ὡς ἔχουσαν πάλαι τὴν ἐποψίαν τοῦ Θεοῦ.

28 Ἡμεῖς δὲ, ἀδελφοὶ, κατὰ Ἰσαὰκ, ἐπαγγελίας τέ-
29 κνα ἐσμέν (α). Ἀλλ' ὥςπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς, ἐδίωκε τὸν κατὰ πνεῦμα· οὕτω καὶ νῦν.
30 Ἀλλὰ τί λέγει ἡ γραφή; « Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευ-
31 θέρας (β). » Ἄρα, ἀδελφοὶ, οὐκ ἐσμὲν παιδίσκης
ΚΕΦ. V, 1 τέκνα, ἀλλὰ τῆς ἐλευθέρας. Τῇ ἐλευθερίᾳ οὖν, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.

Η ἐκκλησία, στεῖρα οὖσα, ὥσπερ ἡ Σάῤῥα, οὐ μόνον πολύπαις ἐγένετο, ὡς ἐκείνη, ἀλλὰ καὶ οὕτως ἐγέννησεν, ὡς ἐκείνη. Οὔτε γὰρ ἡ Σάῤῥα νόμῳ φύσεως ἐγέννησεν, ἀλλὰ χάριτι θείᾳ, οὔτε ἡ ἐκκλησία νόμῳ φύσεως γεννᾷ ἐν τῇ κολυμβήθρᾳ, ἀλλὰ χάριτι θείᾳ. Ὁρᾷς τὸν τύπον, πῶς κατὰ πάντα ὁμοφωνεῖ τῇ ἀληθείᾳ; *Κατὰ Ἰσαάκ.*] Κατὰ μίμησιν, φησὶ, τοῦ Ἰσαὰκ ἐξ ἐπαγγελίας ἐσμὲν γεννηθέντες. Ὥστε τῆς ἐλευθέρας ὄντες, οὐκ ὀφείλομεν νόμῳ Μωσέως δουλεύειν.—ΑΛΛΩΣ. Οὐ γὰρ κατὰ φύσιν, ἀλλὰ κατὰ χάριν ἐτέχθημεν. Ὥσπερ γὰρ τὸν Ἰσαὰκ οὐχ ὁ τῆς φύσεως νόμος, ἀλλ' ὁ τῆς ἐπαγγελίας διέπλασε λόγος· οὕτω καὶ ἡμᾶς ἡ δοθεῖσα τῷ Ἀβραὰμ ἐπαγγελία γεγέννηκε (Θεοδωρήτου.) —*Ἀλλ' ὥςπερ τότε.*] Ἵνα μή τις εἴπῃ· Καὶ ποία αὕτη ἐλευθερία, ὅταν οἱ Ἰουδαῖοι μαστίζωσι τοὺς πιςεύοντας· οἱ δὲ δοκοῦντες εἶναι ἐλεύθεροι διώκωνται; φησὶν, ὅτι καὶ τότε οὕτω συνέβαινε. Καὶ γὰρ Ἰσμαὴλ, ὁ κατὰ σάρκα γεννηθεὶς, ἐδίωκε τὸν Ἰσαὰκ, τὸν κατὰ πνεῦμα καὶ ἐπαγγελίαν τεχθέντα. Ἀλλ' ὅμως οὐδὲν ἐκώλυε τὸν διωκόμενον γνήσιον εἶναι τοῦ

(α) Ῥωμ. Θ', 7. 8. (β) Γενεσ. ΚΑ', 10.

Ἀβραὰμ υἱὸν, καὶ δεσπότην τοῦ διώκοντος. Καὶ ἐξ αὐτοῦ οὖν τούτου τοῦ διώκεσθαι τοὺς πιστοὺς παρὰ τῶν Ἰουδαίων· (τότε γὰρ ἐδιώκοντο·) δείκνυσι τὸν τύπον ἀληθεύοντα.—Μηδὲ τοῦτο ὑμᾶς ἀνιάτω, τὸ τοὺς πιστεύοντας ὑπὸ τῶν ἀπίςων ἐλαύνεσθαι. Τοιοῦτο γάρ τι καὶ ἐν τῷ τύπῳ εὑρίσκομεν (Θεοδωρήτου).—*Ἀλλὰ τί λέγει ἡ γραφή;*] Ἀνωτέρω, ἔνθα τὸ κεφάλαιον ἡρμηνεύετο, τὸ, *Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε;* εἴπομεν, τοῦτο κατασκευάζειν τὸν Παῦλον, ὅτι καὶ αὐτὸς ὁ νόμος, τουτέςιν, ἡ Παλαιὰ, προηγόρευσε, δεῖν, ἐᾷν τὸν νόμον καὶ τὸν Ἰουδαϊσμὸν, καὶ ἰδοὺ ἀποδέδεικται. Ὁπότε γὰρ ἡ μὲν Ἄγαρ τύπος ἦν τῶν Ἰουδαίων καὶ τοῦ πάλαι νόμου, ἡ δὲ Σάῤῥα καὶ ὁ Ἰσαὰκ, τῶν πιστῶν καὶ τῆς νέας διαθήκης, ἐν αὐτῇ δὲ τῇ Παλαιᾷ ἐκβέβληται ἡ Ἄγαρ καὶ ὁ Ἰσμαήλ· (ἔκβαλε γὰρ, φησι, τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς·) δῆλον, ὅτι καὶ ἐν αὐτῇ τῇ Παλαιᾷ προεζωγραφεῖτο ἡ τῶν Ἰουδαίων ἐκβολή. Ὁρᾷς, ὅτι οὐ δεῖ τοῦ νόμου ἔχεσθαι, διὰ τὸ τοὺς ἐπ' αὐτῷ πεποιθότας ἐκβεβλῆσθαι; Ἰδοὺ οὖν καὶ αὐτὴ ἡ Παλαιὰ τῇ δυνάμει συνεβούλευσε, μὴ ἔχεσθαι τοῦ νόμου, τῷ ἐκβαλεῖν τοὺς τούτῳ μόνῳ ςοιχοῦντας, τουτέστι, τοὺς Ἰουδαίους. Εἰ γὰρ εἰσαεὶ ἐχρῆν στοιχεῖν τῷ νόμῳ καὶ τῇ Παλαιᾷ, οὐκ ἂν ἐξεβλήθη μὲν ἡ Ἄγαρ καὶ ὁ παῖς αὐτῆς, οἳ ἦσαν τύπος τῶν Ἰουδαίων, μόνος δὲ ἐκληρονόμησεν Ἰσαὰκ, ὃς ἦν τύπος τῶν τῷ Χριστῷ πεπιστευκότων. Καὶ πάλιν· Οὐ διὰ τὸ διώκειν μόνον ἐκβέβληται, ἀλλ' ἵνα μὴ γένηται καὶ κοινωνὸς τῆς κληρονομίας. *Ἄρα, ἀδελφοὶ, οὐκ ἐσμὲν τῆς παιδίσκης τέκνα.*] Ταῦτα πάντα κινεῖ, ἵνα δείξῃ, ὅτι τὸ γενόμενον νῦν περὶ ἡμᾶς, πρὸ πολλῶν χρόνων διετυποῦτο. Εἰ τοίνυν, φησὶν, οὐκ ἐσμὲν παιδίσκης τέκνα, οὐδὲ δοῦλοι, πῶς τῇ δουλείᾳ τοῦ νόμου ἑαυτοὺς ὑποβάλλομεν; *Οὐκ ἐσμὲν* δέ· ἐπεὶ μήτε ἡμῶν τύπος ἡ Ἄγαρ, ἀλλὰ τῶν Ἰουδαίων· ἡμῶν γὰρ ἡ Σάῤῥα τύπος. *Τῇ ἐλευθερίᾳ οὖν, ᾗ Χριστὸς ἠλευθέρωσεν ἡμᾶς, στήκετε.*] Ὁ νόμος κατεδούλου· ὁ δὲ Χριστὸς ἡμᾶς ἠλευ-

θέρωσεν ἐκ τῆς κατάρας τοῦ νόμου. Δεῖ οὖν, φησὶν, ἑστάναι ἐν τῇ ὑπὸ Χριστοῦ δοθείσῃ ἐλευθερίᾳ. Τὸ δὲ, *στήκετε*, σαλευομένους δηλοῖ. *Καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.*] *Ζυγὸν* εἰπὼν, τὸ βαρὺ τῆς δουλείας δείκνυσι τοῦ νόμου. Τὸ δὲ, *πάλιν*, ἀναισθησίαν αὐτῶν κατηγορεῖ· εἴγε πείρᾳ μαθόντες τὸ φορτικὸν τῆς δουλείας, πάλιν ἐπ' αὐτὴν αὐτομολοῦσιν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Οτι ἡ κλῆσις ἡμῶν οὐχ ὑπόκειται περιτομῇ καὶ νόμῳ διὰ τὸ τοῦ Χριστοῦ πάθος.

2 Ἴδε, ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι, ἐὰν περιτέμνη-
3 σθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Μαρτύρομαι
δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφει-
4 λέτης ἐςὶν, ὅλον τὸν νόμον ποιῆσαι. Κατηργήθητε
ἀπὸ τοῦ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε· τῆς
5 χάριτος ἐξεπέσατε. Ἡμεῖς γὰρ πνεύματι ἐκ πί-
6 στεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. Ἐν γὰρ
Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκρο-
βυστία· ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.
7 Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψε, τῇ ἀληθείᾳ
8 μὴ πείθεσθαι; Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦν-
τος ὑμᾶς.

Ἴδε, ἐγὼ Παῦλος.] Τῇ ἀξιοπιστίᾳ τοῦ οἰκείου ὀνόματος ἀντὶ πάσης ἀποδείξεως ἐχρήσατο. *Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.*] Διὰ τί; Ὅτι ὁ περιτεμνόμενος, δῆλον ὡς τὴν χάριν ἐξουθενεῖ· καὶ ὑπὸ μὲν τοῦ νόμου σώζεσθαι πιστεύων, τούτῳ, ὡς εὐεργέτῃ, προστρέχει· Χριστῷ δὲ ἀπιστεῖ πάντως, ὡς μὴ εὐεργετήσαντι αὐτόν. Τὸν οὖν μὴ πιστεύοντα Χριστῷ, οὔτε αὐτὸς ἕλοιτο ἂν ὠφελῆσαι. *Μαρτύρομαι παντὶ ἀνθρώπῳ περιτεμνομένῳ.*] Ἵνα μὴ νομίσωσι ταῦτα κατ' ἔχθραν λέγεσθαι, Οὐχ ὑμῖν, φησι, λέγω μόνοις, ἀλλὰ καὶ παντὶ περιτεμνομένῳ,

Ὅτι ὀφειλέτης ἐστὶν, ὅλον τὸν νόμον ποιῆσαι.] Πρὸς γὰρ τῷ μηκέτι μηδὲν παρὰ Χριστοῦ ὠφελεῖσθαι· ὅπερ χαλεπώτερον μυρίων γεννῶν· καὶ βάρος ἀνωφελὲς ἑαυτοῖς οἱ τοιοῦτοι περιτιθέασιν. Ὁ γὰρ κατὰ ἕν τι τὸν νόμον τηρῶν, ἀνάγκην ἕξει κατὰ πάντα τηρεῖν αὐτόν· ἀλλήλων γὰρ τὰ νόμιμα πάντα ἔχεται. Ἡ γὰρ περιτομὴ καὶ θυσίαν ἀπαιτεῖ, καὶ ἡμέραν παρατηρεῖ· ἡ δὲ θυσία, τόπον ἀπαιτεῖ, καὶ τρόπον, καὶ καθαρισμούς· οἱ δὲ καθαρμοὶ πάλιν ἑτέρας παρατηρήσεις ἔχουσιν. Ὁρᾷς, πῶς ὁ ἀποστατήσας Χριστοῦ, οὐ μόνον ἐξ ἐκείνου οὐκ ὠφελεῖται, ἀλλὰ καὶ μυρίοις βάρεσιν ἑαυτὸν ὑπέθηκεν; Εἰ τοίνυν κύριος ὁ νόμος, ὅλον πλήρωσον· εἰ δὲ οὐ κύριος, μηδὲ μέρος αὐτοῦ καταδέξῃ. *Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ.*] Ἀπεκόπητε, ἀπεπέσατε ἀπ᾽ αὐτοῦ· ἀνωφελῆ ὑμῖν λοιπὸν τὰ κατὰ τὸν Χριςὸν πάντα καὶ τὴν χάριν αὐτοῦ. *Οἵτινες ἐν νόμῳ δικαιοῦσθε.*] Ἀντὶ τοῦ, Δικαιοῦσθαι σπεύδετε· ὡσεὶ ἔλεγεν· Οἵτινες σπουδάζετε ἐκ νόμου δικαιοῦσθαι, *τῆς χάριτος ἐξεπέσατε*, τῆς ἀληθῶς δικαιούσης, καὶ ἀπὸ τοῦ νόμου οὐ δικαιωθήσεσθε. *Ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα.*] Ἡμεῖς γάρ, φησιν, οἱ πιςοὶ οὐκ ἐκ νόμου σώζεσθαι προσδοκῶμεν, ἀλλὰ δι᾽ ἐπιφοιτήσεως Πνεύματος ἁγίου, ἐν χάριτος μέρει τὸ σώζεσθαι προσδοκῶντες. Καλῶς δὲ κεῖται τὸ, *ἐκ πίστεως*· δεῖ γὰρ τὴν ἡμετέραν προηγεῖσθαι πίστιν, καὶ οὕτω τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος ἄφεσιν ἁμαρτιῶν λαμβάνειν, καὶ δικαιοῦσθαι ἐν τῷ βαπτίσματι. *Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει.*] Καὶ μὴν ἔλεγεν, ὅτι βλαβερὸν ἡ περιτομὴ, πῶς οὖν ἀδιάφορον νῦν τίθησιν αὐτήν; Καὶ φαμὲν, ὅτι περιτομὴν λέγει, τὴν πρὸ τῆς πίστεως· ὡσεὶ ἔλεγεν, ὅτι οἱ ἀπογραφόμενοι ἐν τῇ νέᾳ διαθήκῃ, οὐδὲν ἐκ τῆς ἀκροβυστίας περιβλαβήσονται, ὥσπερ οὐδὲ ἐκ τῆς περιτομῆς ὠφεληθήσονται· ἡ γὰρ πίστις ἐστὶ τὸ πᾶν. *Ἀλλὰ πίστις δι᾽ ἀγάπης ἐνεργουμένη.*] Οὐκ ἀρκεῖ γὰρ μόνον τὸ πιστεῦσαι τῷ Χριστῷ, ἀλλὰ δεῖ τὴν πίστιν ταύτην ἐνεργεῖσθαι,

καὶ διαφυλάττεσθαι, καὶ οἷον ἀναζωπυρεῖσθαι διὰ τῆς εἰς Χριστὸν ἀγάπης. Αἰνίττεται δὲ, ὅτι πιστεύσαντες μὲν, μὴ ἀγαπήσαντες δὲ τὸν Χριστὸν, πρὸς τὸν νόμον ηὐτομόλησαν. Δείκνυσι δὲ ἅμα, ὅτι καὶ οἱ πλανῶντες αὐτοὺς, εἰ ἀγάπην εἶχον πρὸς αὐτοὺς, οὐκ ἂν ἐτόλμησαν ταῦτα ποιεῖν. Μάνθανε οὖν, ὅτι ἡ πίστις ἐνεργεῖται μὲν δι' ἀγάπης, τουτέστι, ζῶσα δείκνυται· μὴ ἔχουσα δὲ τὴν ἀγάπην, ἀνενέργητός ἐστιν. Ὅμοιον τῷ· Πίστις χωρὶς ἔργων νεκρά (α). *Τίς ὑμᾶς ἐνέκοψε, τῇ ἀληθείᾳ μὴ πείθεσθαι;*] Τοῦτο οὐκ ἔστιν ἐρωτῶντος, ἀλλ' ὀλοφυρομένου· ὡσεὶ εἶπεν· Ἦτε εἰς τελειότητα φθάσαντες· τί γέγονε; τίς τοσοῦτον ἴσχυσεν, ὥστε ἐμποδίσαι ὑμᾶς, τῇ ἀληθείᾳ τοῦ εὐαγγελίου μὴ πείθεσθαι, ἀλλὰ τῷ καταργηθέντι καὶ σκιώδει νόμῳ; *Ἡ πεισμονή.*] Τουτέστι, τὸ πείθεσθαι τοῖς λέγουσιν ὑμῖν περιτέμνεσθαι, οὐκ ἔστιν ἐκ τοῦ Χριστοῦ, *τοῦ καλοῦντος ὑμᾶς* πρὸς τὴν αὐτοῦ πίστιν· ὡσεὶ ἔλεγεν· Οὐκ ἐπὶ τούτῳ κέκλησθε παρὰ τοῦ Χριστοῦ, ἵνα πείθησθε τοῖς συμβουλεύουσιν ἰουδαΐζειν. Ἴδιον γὰρ τοῦ θεοῦ τὸ καλεῖν· τὸ δὲ πείθεσθαι, τῶν ἀκουόντων.

9 Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Ἐγὼ πέποιθα
10 εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ
δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅς τις ἂν ᾖ.
11 Ἐγὼ δὲ, ἀδελφοὶ, εἰ περιτομὴν ἔτι κηρύσσω, τί
ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ
12 σταυροῦ. Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς!

Ἵνα μὴ λέγωσι· Τί τοσοῦτον ἡμῶν καθήψω, μίαν ἐντολὴν μόνον τοῦ νόμου φυλαξάντων; φησί· Μίαν; Καὶ τί τοῦτο; *Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.* Ὥσπερ γὰρ ἐκείνη πρὸς ἑαυτὴν ζυμοῖ, καὶ μεταποιεῖ ὅλον τὸ φύραμα, καίτοι μικρὰ οὖσα· οὕτω καὶ ὑμᾶς ἡ περιτομὴ, μία οὖσα ἐντολὴ, εἰς τέλειον ἐνεγ-

(α) Ἰακ. Β', 17.

κεῖν μέλλει ἰουδαϊσμὸν, ἐὰν μὴ διορθώσησθε. *Ἐγὼ δὲ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ.*] Θαῤῥῶ, φησὶν, εἰς ὑμᾶς· οἶδα γὰρ τοὺς ἐμοὺς μαθητάς· οἶδα ὑμῶν τὸ εὐδιόρθωτον. Θαῤῥῶ οὖν εἰς ὑμᾶς, ὅτι διορθώσεσθε· θαῤῥῶ δὲ καὶ τῷ Κυρίῳ, ὃς οὐ θέλει οὐδὲ τὸν τυχόντα ἀπολέσθαι. *Ὅτι οὐδὲν ἄλλο φρονήσετε.*] Οὐδὲν φρονήσετε παρὰ τὴν διδαχήν μου. Τοῦτο δὲ παραθαῤῥοῦντος, καὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζειν. Οὐ γὰρ ἄλλως ἔνεστί, φησι, τῶν παρὰ τοῦ θεοῦ τυχεῖν, ἂν μὴ καὶ τὴν παρ' ἑαυτῶν σπουδὴν εἰσφέρετε. *Ὁ δὲ ταράσσων ὑμᾶς.*] Ὑμεῖς μὲν, φησι, μεταβαλεῖσθε, καὶ διορθωθήσεσθε· ὅμως οὐ παρὰ τοῦτο οἱ εἰς τοῦτο ὑμᾶς ἀγαγόντες ἐλευθερωθήσονται τῆς τιμωρίας, ἀλλὰ βαστάσουσι καὶ ὑποίσουσι τὸ κατάκριμα τοῦτο, κἂν μεγάλοι τινὲς δοκῶσι καὶ ἀξιόπιστοι· τοῦτο γάρ ἐστι τὸ, *ὅστις ἂν ᾖ*. Τοῦτο δὲ λέγει, ἵνα μὴ καὶ ἕτεροι πάλιν ἐπιθῶνται. *Ἐγὼ δὲ, ἀδελφοὶ, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι;*] Ἐπειδὴ λοιδοροῦντες αὐτὸν ἔλεγον, ὅτι ὑποκριτής ἐστιν, ἀλλαχοῦ μὲν περιτομὴν κηρύττων, ἀλλαχοῦ δὲ οὔ· φησιν, ὅτι καὶ ὑμεῖς ἴστε, ὅτι διώκομαι ὑπὸ τῶν Ἰουδαίων. Εἰ οὖν περιτομὴν κηρύσσω, περιττὸν τὸ διώκεσθαί με. Πρόδηλον ἄρα, ὅτι διὰ τὸ καταλύειν τὰ πάτρια αὐτῶν διώκουσί με. Τί οὖν; φασίν· οὐ περιέτεμε τὸν Τιμόθεον; Ναί· ἀλλὰ τοῦτο μὲν φαμὲν, ὅτι κατ' οἰκονομίαν γέγονεν, ἵνα εὐπαράδεκτος γένηται Ἰουδαίοις. Ὅρα δέ· οὐκ εἶπεν, Εἰ περιτομὴν εἰργασάμην· ἀλλ', *Εἰ κηρύσσω*. Ὁ γὰρ κηρύσσων, δογματίζει, δεῖν ἀεὶ τοῦτο γίνεσθαι, ὡς ἁπλῶς καλόν· ὁ δὲ κατ' οἰκονομίαν ποιήσας τι, οὐχ ὡς ἁπλῶς καλὸν τοῦτο ποιεῖ, ἀλλ' ὡς πρὸς καιρὸν χρειῶδες. Μὴ γάρ, φησι, τὸ κατ' οἰκονομίαν γενόμενον εἰς δόγμα λάβῃς. *Ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ.*] Ὅλως, φησὶν, εἰ δεῖ περιτέμνεσθαι, καὶ τοῦτο κηρύσσω, πέπαυται τὸ σκάνδαλον, ὃ σκανδαλίζονται ἐπὶ τῷ σταυρῷ οἱ Ἰουδαῖοι (α), λέλυται ἡ φιλονεικία αὐτῶν ἡ

(α) Α' Κορ. Α', 23.

πρὸς τὸν σταυρὸν, καὶ οὐκέτι ἐστὶν αὐτοῖς πρὸς αὐτὸν μάχη. Νῦν γὰρ διὰ τοῦτο τῷ σταυρῷ ἀπεχθάνονται, ὅτι καταλύει τὴν περιτομὴν καὶ τὸν νόμον. *Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς!*] Περὶ ὑμῶν μοι μέλει, φησί· περὶ δὲ τῶν ἀναστατούντων ὑμᾶς, ὡς ἀνίατα νοσούντων, οὐκέτι. Τοιγαροῦν μὴ μόνον περιτεμνέσθωσαν, ἀλλ' εἴθε καὶ ἀποκόπους ἑαυτοὺς ἐποίησαν! Εἴθε καὶ τέλεον ἐξέτεμον ἑαυτοὺς, οἱ τὴν τῆς περιτομῆς ὑμῖν ἀπάτην προσφέροντες! Ὅρα δὲ, πῶς, *ἀναστατοῦντες*, εἶπεν, ὅπερ ἐπὶ τῶν αἰχμαλωτιζόντων λέγομεν· καὶ γὰρ καὶ οὗτοι τὴν ἐλευθερίαν αὐτῶν ἀφηροῦντο, και τῆς ἄνω Ἱερουσαλὴμ ἐπανιστῶντες, ὡς μετανάστας πρὸς τὸν νόμον καὶ τὴν ἰουδαϊκὴν μικρολογίαν μεθίστων.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὑπογραφή τῆς κατὰ πνεῦμα ἐλευθερίας.

13 Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μό-
νον μὴ τὴν ἐλευθερίαν (1) εἰς ἀφορμὴν τῇ σαρκὶ,
14 ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. Ὁ γὰρ
πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ· « Ἀγα-
15 πήσεις τὸν πλησίον σου ὡς ἑαυτόν (α). » Εἰ δὲ
ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε, μὴ ὑπὸ
ἀλλήλων ἀναλωθῆτε.

Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε.] Οὐχ ἵνα, φησὶ, δουλεύωμεν τῷ νόμῳ, ἐκλήθημεν ὑπὸ τοῦ Χριστοῦ· ἀλλ' ἵνα ἐλευθεριάσωμεν ἀπὸ τοῦ ζυγοῦ τῆς νομικῆς δουλείας. *Μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί.*] Ἐπειδὴ ἄνω καὶ κάτω ἐλευθερίαν καλεῖ, καὶ ὅτι ἀπηλλάγημεν διὰ Χριστοῦ ἀπὸ τοῦ νόμου, ἐφοβήθη, μὴ ὑπονοήσωσιν, ὅτι ἐλύθη ὁ ζυγὸς τοῦ νόμου,

---

(1) Λείπει τὸ, ἔχητε, ἤ, ἐκδέξησθε, ἤ, ἐκτρέψητε. (α) Λευϊτ. ΙΘ', 18.

καὶ λοιπὸν ἔξεστιν ἃ βουλόμεθα πράττειν. Τοῦτο οὖν διορθοῦται, καί φησι· Μὴ ἀποχρήσησθε τῇ ἐλευθερίᾳ εἰς τὸ δουλεύειν τῇ σαρκὶ, τουτέστι, ταῖς τῆς σαρκὸς ἐπιθυμίαις. Οὐ γὰρ ἐπὶ τούτῳ ἐλύθημεν τοῦ ζυγοῦ τοῦ νόμου, ἵνα καταχρημνισθῶμεν, ἀλλ' ἵνα καὶ χωρὶς ζυγοῦ βαίνωμεν εὔρυθμα, ὡς ἤδη καλῶς παιδευθέντες. Οὐ γὰρ ἵνα παραβαίνωμεν τὰ τοῦ νόμου, διὰ τοῦτο ἐλευθεριάζομεν, ἀλλ' ἵνα ὑπερβαίνωμεν καὶ τὸν νόμον. *Ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις.*] Ἐπειδὴ ἀνεῖλε τὸν ζυγὸν τοῦ νόμου, ἕτερον ἐπιτίθησι, τὸν τῆς ἀγάπης, ἐλαφρότερόν τε καὶ ἰσχυρότερον ἐκείνου. Τὸ δὲ, *δουλεύετε*, δηλοῖ, τὸ ἐπιτεταμένον τῆς ἀγάπης. Καλῶς δὲ τὸ, *ἀλλήλοις*· ἀπὸ φιλαρχίας γὰρ ἦσαν αὐτοῖς ἐπεισκωμάσαντες, οἱ πρὸς τὴν περιτομὴν ἀναστατοῦντες. Εἰς τὸν ἠθικὸν δὲ λοιπὸν λόγον τραπεὶς, δείκνυσι τρόπον, δι' οὗ ἂν κατορθωθείη τὸ μὴ ταῖς σαρκικαῖς ἐπιθυμίαις δουλεύειν. *Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται.*] Εἰ ὅλως, φησὶ, πληροῦν θέλετε τὸν νόμον, μὴ ἐν τῷ περιτέμνεσθαι, ἀλλ' ἐν τῷ ἀγαπᾷν ἀλλήλους πληροῦτε αὐτόν. Πλήρωμα γὰρ νόμου ἡ ἀγάπη (α). Ὅρα δὲ, πῶς καὶ εἰς τὸν ἠθικὸν λόγον ἐξελθὼν, οὐκ ἐπιλανθάνεται τοῦ δογματικοῦ. Οὕτω σφόδρα ὠδυνᾶτο ἐφ' ᾧ ἐπλανήθησαν! *Εἰ δὲ ἀλλήλους δάκνετε.*] *Δάκνειν* δε, καὶ, ἔτι ἐπιτατικώτερον, *κατεσθίειν*, λέγει, τὸ τὰ τοιαῦτα δόγματα παρεμβάλλειν (1)· οὐ γὰρ τοσοῦτον σῶμα δαπανᾶται κατεσθιόμενον, ὅσον ψυχὴ φθείρεται ἐκ τῶν τοιούτων δογμάτων. *Βλέπετε.*] Πτοοῦντος δὲ τοῦτο, καὶ ἀσφαλιζομένου, οὐ καταδικάζοντος. *Μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε.*] Ἡ γὰρ στάσις, φησὶν, αὕτη, καὶ ὑμᾶς ἔχει τοὺς ἀναστατοῦντας καταβλάψαι. Εἰκὸς δὲ αὐτὸν μὴ μόνον περὶ τῶν διεφθαρμένων δογμάτων τοῦτο λέγειν, ἀλλὰ καὶ περὶ τῶν εἰς ἀλλήλους ἐπιβουλῶν, καὶ ἁρπαγῶν, καὶ πλεονεξιῶν, καὶ ἑτέρων ἀδικιῶν.

(α) Ῥωμ. ΙΓ', 10. (1) « Οὐκ εἶπε, δάκνετε, μόνον, ὅπέρ ἐστι θυμοῦ· ἀλλὰ καὶ, κατεσθίετε, ὃ θηριωδίας ἐσχάτης. » Θεοφύλακτος.

16 Λέγω δέ· πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρ-
17 κὸς οὐ μὴ τελέσητε. Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ
τοῦ πνεύματος, τὸ δὲ πνεῦμα, κατὰ τῆς σαρκός·
ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ, ἃ ἂν θέλητε,
18 ταῦτα ποιῆτε. Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ
19 νόμον. Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός· ἅτινά
20 ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδω-
λολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ,
21 ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέ-
θαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν,
καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες
βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

Πνεύματι περιπατεῖτε.] Ἐπειδὴ εἶπεν, ὅτι τὸ δάκνειν καὶ κατεσθίειν, ἀναλωτικόν ἐστι, λέγει καὶ τὸ φάρμακον τούτου, ὃ καὶ τὴν ἀγάπην συντηρεῖ, καὶ συντηρεῖται ὑπ' αὐτῆς. Κατὰ πνεῦμά, φησι, καὶ τὰ αὐτῷ δοκοῦντα διάγετε καὶ βιοῦτε, καὶ οὐκ ἂν πληρώσητε σαρκὸς ἐπιθυμίαν. *Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα, κατὰ τῆς σαρκός.*] *Σάρκα* ἐνταῦθα, τὰς σαρκικὰς καὶ πονηρὰς ἐπιθυμίας λέγει· *πνεῦμα* δὲ, τὴν ἐπὶ τῇ ἀρετῇ χάριν τοῦ ἁγίου Πνεύματος· καί φησι· *Ταῦτα ἀντίκειται ἀλλήλοις*· ἡ μὲν κακία, ἀντίκειται τῇ ἀρετῇ· ἡ δὲ ἀρετὴ πάλιν ἐναντιοῦται τῇ κακίᾳ, παιδαγωγοῦ τινος τάξιν ἀναπληροῦσα, καὶ μὴ ἐῶσα ἡμᾶς κατὰ τὰς φαύλας ἐπιθυμίας πορεύεσθαι.—ΑΛΛΩΣ. Ἀντίκειται ἡ ἀρετὴ τῇ κακίᾳ, ἵνα μὴ, τῆς κακίας ἐρεθισάσης, εὐθέως ὥσπερ ἀπόλυτον καὶ ἀχαλίνωτον ἐπὶ τοῦ πρανοῦς φέρηται τὸ σαρκικὸν θέλημα πρὸς τὴν ἁμαρτίαν. Πάλιν, ἀντίκειται τῇ ἀρετῇ ἡ κακία, ἵνα μὴ τῆς ἀρετῆς ἡ ἐργασία ἀταλαίπωρος πάντη καὶ ἄμισθος εἴη, καὶ οἷον ἐκ φύσεως καὶ ἐξ ἀνάγκης ἡμῖν συγκεκληρωμένη, καὶ ὡς μόνῳ τῷ διανοηθῆναι κατορθουμένη, χωρὶς σπουδῆς ἁπάσης καὶ ἀγωνίσματος. Αὐτὸς δὲ συντόμως αὐτό φησιν, *Ἵνα μὴ, ἅπερ ἂν θέλητε, ταῦτα ποιῆτε*, τουτέστι, μήτε τὰ κακὰ, εὐχερῶς ὅλως καὶ ἀκωλύτως, μήτε τὰ ἀγαθὰ, ῥᾳδίως πάντη καὶ ὀλιγώρως.

τὰ γὰρ οὕτω πραττόμενα, οὐδ' ἀγαθὰ ἂν εἴη (1). *Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.*] Εἰ κατὰ τὴν βουλήν, φησι, τοῦ ἁγίου Πνεύματος περιπατεῖτε, οὐ σφαλήσεσθε· ὁ δὲ μὴ πταίων ἔν τινι, οὐ χρήζει τοῦ νόμου καὶ τῆς ἐντεῦθεν συμβουλῆς· ὁ δέ γε μὴ χρήζων αὐτοῦ, οὔτε ὑπ' αὐτόν ἐστιν, ὅπερ καὶ ἀλλαχοῦ φησι, *Δικαίῳ νόμος οὐ κεῖται* (α). *Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός.*] Ὡσεὶ ἔλεγεν· Ἐξ αὐτῶν τῶν καρπῶν ἐπιγνώσεσθε τὴν πονηρὰν καὶ φαύλην πολιτείαν. *Σαρκὸς* δὲ πάλιν λέγει, τουτέστι, τοῦ διεφθαρμένου λογισμοῦ, καὶ τῆς γεώδους καὶ σαρκικῆς ζωῆς. Δῆλον τοίνυν ὡς *σάρκα*, τὸ σαρκικὸν φρόνημα καλεῖ, τουτέστι, τῆς ψυχῆς τὴν ἐπὶ τὰ χείρω ῥοπήν· *πνεῦμα* δὲ, τὴν δεδομένην χάριν. *Ἀκαθαρσία, ἀσέλγεια.*] *Ἀκαθαρσίαν* καὶ *ἀσέλγειαν* αἰνίττεται ἐνταῦθα τρόπους αἰσχρούς, οὓς οὐδὲ ἠνέσχετο ὀνομάσαι. *Ἔχθραι.*] Αἱ ἄδικοι· εἰσὶ γὰρ καὶ δίκαιαι ἔχθραι, αἱ διὰ τὴν πίστιν γινόμεναι. Εἰ δυνατὸν γάρ, φησι, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε (б)· ὡς εἶναι δῆλον, ὅτι ἔστιν ὅτε οὐκ ἔστι δυνατόν. *Ζῆλοι.*] Οὐ χρὴ γὰρ ζηλεύειν, ἀλλὰ χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων (γ). *Ἐριθεῖαι.*] Οἷον, φιλονεικίαι ἀπὸ τῆς ἔριδος. *Κῶμοι.*] Τὸ κωμῳδεῖν καὶ ἀπο-

---

(1) «Σάρκα λέγει τὸν γεώδη λογισμὸν, καὶ ῥάθυμον, καὶ ἠμελημένον, οὐ τὸ σῶμα· καὶ πνεῦμα, τὸν πνευματικὸν λογισμὸν, οὐ τὴν ψυχήν. Ὁ οὖν γεώδης, φησί, λογισμὸς ἀντίκειται τῷ πνευματικῷ· καὶ ὁ πνευματικὸς λογισμὸς, τῷ γεώδει. Λογισμῶν οὖν πονηρῶν καὶ ἀγαθῶν μάχην εἰσάγει, ἀλλ' οὐ σώματος καὶ ψυχῆς· τὸ γὰρ θέλειν καὶ μὴ θέλειν, τῆς ψυχῆς ἐστι τῆς λογιζομένης. Ἐπάγει γάρ· Ἵνα μὴ, ἃ ἂν θέλητε, ταῦτα ποιῆτε· ἐπεὶ τό γε σῶμα συνεργόν ἐστι τῆς ψυχῆς, οὐκ ἐναντίον· καὶ ἡ ψυχὴ ἀντέχεται τοῦ σώματος, καὶ πάντα πάσχει, ὥστε αὐτὸ μὴ καταλιπεῖν, καὶ ἀποῤῥηγνυμένη αὐτοῦ ἀλγεῖ. Πῶς οὖν ἐναντία τὰ τοσαύτην σχέσιν πρὸς ἄλληλα ἔχοντα;» Θεοφύλακτος. (α) Α' Τιμ. Α', 9. —«Ὁ πνεῦμα ἔχων, σβέννυσι τὰς πονηρὰς ἐπιθυμίας· ὁ δὲ τούτων ἀπαλλαγεὶς, οὐ δεῖται τῆς συμβουλῆς τοῦ νόμου, οὔτε ὑπ' αὐτόν ἐστιν. Ὁ γὰρ μηδὲ θυμούμενος, πῶς δεῖται τοῦ παραγγέλλοντος, Μὴ φονεύειν; Καὶ ὁ μηδὲ ἐπιθυμῶν, πῶς δεῖται τοῦ συμβουλεύοντος, Μὴ πορνεύειν; Ὅπερ καὶ ἀλλαχοῦ εἶπε· Δικαίῳ νόμος οὐ κεῖται. Δοκεῖ δὲ καὶ ἐγκώμιον τοῦ νόμου λέγειν, εἴγε ἐν τάξει τοῦ πνεύματος ἦν, κατὰ δύναμιν τὴν αὐτοῦ παιδαγωγῶν, ὅτε καιρὸν εἶχε. Πῶς οὖν αὖθις ὑπὸ παιδαγωγοῦ γίνεσθε, τὸ πνεῦμα ἀφέντες, τὸ τελείους ὑμᾶς ποιοῦν; Ὥσπερ ἂν εἴ τις φιλόσοφος ὢν, δεῖται παιδαγωγοῦ.» Θεοφύλακτος.

(б) Ῥωμ. ΙΒ', 18. (γ) Ῥωμ. ΙΒ', 15.

σκώπτειν ἀλλοτρίας ὑπολήψεις μετὰ μέθης (1). *Βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.*] Τέως βασιλείας ἔκπτωσις· τὰ γὰρ τῶν τιμωριῶν, διάφορα (2).

22 Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν *ἀγάπη, χαρὰ,*
εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις,
23 πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι
24 νόμος. Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν
25 σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· εἰ ζῶμεν
26 πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα
κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις
φθονοῦντες.

Τὰ μὲν πονηρὰ ἔργα ἐξ ἡμῶν γίνονται μόνων· διὸ καὶ ἔργα *σαρκὸς* εἶπεν, ἅμα καὶ ὡς ἐργωδίαν καὶ βαρύτητα ἔχοντα· τὰ δὲ καλὰ οὐχ ἡμετέρας δεῖται μόνον ἐπιμελείας, ἀλλὰ καὶ τῆς ἄνωθεν συνεργείας· διὸ *καρπὸν* αὐτὰ εἶπε *τοῦ πνεύματος*, καὶ οὐκ ἔργον, ἵνα δείξῃ, ὅτι τῆς τοῦ Θεοῦ δεῖται βοηθείας εἰς τὸ καρποφορῆσαι. *Τοῦ πνεύματος* δὲ, ἢ αὐτοῦ τοῦ παρακλήτου, ἢ τοῦ πνευματικοῦ καὶ ἐναρέτου βίου (3). *Ἀγάπη.*] Τὴν ῥίζαν πάντων τῶν ἀγαθῶν τίθησι πρῶτον, τὴν ἀγάπην· εἶτα τὴν χαράν· ὁ γὰρ ἀγαπῶν ἀεὶ χαίρει, καὶ ὅταν πάσχῃ κακῶς· ὡς εὐεργέτην γὰρ ὁρᾷ τὸν κακῶς ποιοῦντα. Χαίρει δὲ καὶ ἐπὶ τῷ Θεῷ, ὡς δι' αὐτὸν πάντα ποιῶν καὶ πάσχων, καὶ διὰ τοῦτο ἀγαθῷ συνειδότι ἐπευφραινόμενος. Ἐκ τῆς ἀγάπης δὲ καὶ τῆς χαρᾶς εἰρηνεύει καὶ κατὰ ψυχὴν, μὴ ταραττόμενος τοῖς λογισμοῖς, καὶ πρὸς τοὺς ἔξωθεν πάντας. *Μακροθυμία, πρᾳότης.*] Μακροθυμία πρᾳότητος ἐν τούτῳ δοκεῖ παρὰ

(1) « Κῶμοι, τὰ τῶν μεθυόντων μεθ' ὕβρεων ᾄσματα. » Θεοφύλακτος.

(2) « Εἰπάτωσαν ἡμῖν οἱ τὴν σάρκα διαβάλλοντες· Ἔσω, ὅτι ἡ ἀσέλγεια καὶ ἡ πορνεία, τοῦ σώματος ἁμαρτήματα· αἱ ἔχθραι, καὶ αἱ αἱρέσεις, καὶ τὰ τοιαῦτα, πῶς ἂν εἶεν σαρκός; Ὥστε πρόδηλον, ὅτι πάντα τῆς διεφθαρμένης ἐστὶ προαιρέσεως. Εἰ δὲ σαρκὸς ἦσαν, φυσικῶς ἡμῖν προσόντα, πῶς ἂν βασιλείας Θεοῦ ἡμᾶς ἐξέβαλον; Οὐ γὰρ φύσεως, ἀλλὰ προαιρέσεως, καὶ αἱ κολάσεις καὶ οἱ στέφανοι. Καὶ ἄλλως δὲ, εἰ φύσεως ἦσαν τὰ πάθη, οὐκ ἂν εἶπε, πράσσοντες, ἀλλὰ, πάσχοντες· τὸ γὰρ πράσσειν προαίρεσιν ἐμφαίνει. » Θεοφύλακτος.

(3) « Πνεῦμα καλεῖ, τὴν διδομένην χάριν. » Θεοδώρητος.

τῇ Γραφῇ διαφέρειν, τῷ τὸν μὲν μακρόθυμον πολὺν ὄντα ἐν φρονήσει, μὴ ὀξέως, ἀλλὰ σχολῇ ἐπιτιθέναι τὴν προσήκουσαν δίκην τῷ πταίοντι· τὸν δὲ πρᾶον, ἀφιέναι παντάπασιν. *Χρηστότης* δὲ κοινότερόν τί ἐστι παρὰ τὴν ἀγαθωσύνην. *Πίστιν* δὲ λέγει, οὐ τὴν ἁπλῶς, ἀλλὰ τὴν καὶ ὄρη μεθιστῶσαν (α), τὴν τὰ παρὰ ἀνθρώποις ἀδύνατα πιστεύουσαν παρὰ θεῷ δυνατὰ εἶναι ἀδιστάκτως. Ἐπὶ πᾶσι δὲ ἡ *ἐγκράτεια*, οὐ βρωμάτων μόνον, ἀλλὰ καὶ παντὸς πονηροῦ. *Κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος.*] Ὁ γὰρ ταῦτα κατορθώσας, οὐ δεῖται τοῦ παιδαγωγοῦντος νόμου· ὑψηλότερος γὰρ αὐτοῦ ἐςιν. Οὐχ ὡς πονηρὸν δὲ τὸν νόμον ἐκβάλλει οὐδὲ ἐνταῦθα, ἀλλ' ὡς ἐλάττονα τῆς παρὰ τοῦ πνεύματος δεδομένης φιλοσοφίας. *Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν.*] *Οἱ δὲ τοῦ Χριστοῦ*, τουτέστιν, οἱ τῆς μερίδος τοῦ Χριστοῦ ὄντες, *τὴν σάρκα ἐσταύρωσαν*, τουτέστι, τὸ σαρκικὸν φρόνημα ἐνέκρωσαν· οὐ γὰρ δὴ ἑαυτοὺς ἀνεῖλον· ἵνα *σάρκα* νοήσῃς μὴ τὴν οὐσίαν τῆς σαρκὸς, ἀλλὰ τὸν γεώδη λογισμὸν, ὥστε μήτε τὰ τοῦ θυμοῦ παθήματα ἐν αὐτοῖς ζῆν, μήτε τὰς ἐπιθυμίας, ἀλλὰ καὶ ταῦτα κἀκείνας ἐςαυρῶσθαι καὶ νενεκρῶσθαι. Ἢ *παθήματα* ἁπλῶς τὰς ἐμπαθεῖς πράξεις φησὶ, κἄν τε ἀπὸ θυμοῦ ὦσι, κἄν τε ἀπὸ ἐπιθυμίας. Οὐ μόνον οὖν τὰς πράξεις φησὶ νεκροῦσθαι, ἀλλὰ καὶ αὐτὰς τὰς ἀρχὰς τούτων, ἤτοι τὰς ἐπιθυμίας.— ΑΛΛΩΣ. *Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν.* Εἶτα, ἵνα μὴ λέγωσι· Καὶ τίς ταῦτα ποιεῖ; φησίν· Οὗτοί εἰσιν οἱ ταῦτα ποιοῦντες, οἵτινες *τὴν σάρκα τοῦ Χριστοῦ*, τουτέστι, τὸ οἰκεῖον σῶμα· (σὰρξ γὰρ Χριστοῦ, τὸ ἡμέτερον σῶμα·) ἐσταύρωσαν, καὶ οἷον ἐνέκρωσαν ἀπὸ τῶν σωματικῶν παθῶν. Καὶ οὐ μόνον τὸ σῶμα, ὅσον ἧκεν εἰς τὰ πάθη, ἐσταύρωσαν, ἀλλὰ καὶ αὐτὰ τὰ πάθη, ὅσον ἧκεν εἰς τὸ ἐπιτελεῖσθαι παρ' αὐτῶν, ἐσταύρωνται. Κατὰ ταύτην τὴν ἑρμηνείαν τὸ, Δὲ, παρέλκεται. Ἢ οὕτω· Καὶ τί λέγω ἓν καθ' ἓν ἀρετῆς εἶδος; Εἰσὶ γάρ τινες, οἳ καὶ ἐσταύ-

(α) Α' Κορ. ΙΓ', 2.

ρωσαν ἑαυτούς, ὅσον πρὸς τὰ πάθη, καὶ τὰ πάθη, ὅσον πρὸς ἑαυτούς. Ὅμοιον τῷ κατωτέρω· Ἐμοὶ ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Κατὰ ταύτην τὴν ἑρμηνείαν, οὐ παρέλκεται τὸ, Δέ· ὁ δὲ νοῦς· *Οἱ δὲ τοῦ Χριστοῦ*, τουτέστιν, οἱ πρὸς τὸν Χριστὸν τείνοντες, τὴν ἑαυτῶν σάρκα ἐσταύρωσαν. Οὕτως ὁ Κλήμης ἐν πέμπτῳ τῶν Ὑποτυπώσεων. Ἔστι δὲ τὸ, *Οἱ δὲ*, καὶ αντὶ τοῦ, Οὗτοι δὲ, ἐξακοῦσαι· οἷον, Οὗτοι δέ εἰσιν, οὓς εἶπον, οἵ τινες τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν, καὶ ἑξῆς. *Εἰ ζῶμεν πνεύματι.*] Ὀφείλομεν οὖν καὶ ἡμεῖς κατὰ τὴν βουλὴν τοῦ πνεύματος ζῆν, ἅπαξ σταυροῦν μέλλοντες τὴν σάρκα ἡμῶν. *Πνεύματι καὶ στοιχῶμεν.*] Ἐκείνῳ ἀρκώμεθα· τοῦτο γὰρ ἐστὶ τὸ, *στοιχῶμεν*· ἀντὶ τοῦ, ἀρκεσθῶμεν τῇ παρὰ τοῦ ἁγίου Πνεύματος δοθείσῃ χάριτι, καὶ μὴ ζητῶμεν τὴν ἀπὸ τοῦ νόμου προσθήκην. *Μὴ γινώμεθα κενόδοξοι.*] Τοῦτο γὰρ τὸ πάντων αἴτιον τῶν κακῶν. Δείκνυσιν οὖν ἐνταῦθα, ὅτι οἱ πλανήσαντες αὐτοὺς, ὑπὸ φιλοδοξίας εἰς τοῦτο ἦλθον. *Ἀλλήλους προκαλούμενοι.*] Εἰς φιλονεικίαν δηλονότι καὶ ἔρεις. *Ἀλλήλοις φθονοῦντες.*] Ἀπὸ γὰρ κενοδοξίας ὁ φθόνος, ἀπὸ φθόνου δὲ τὰ μυρία κακά. Διὸ καὶ τοῦτον κωλύει.

ΚΕΦ. VI, 1, Ἀδελφοὶ, ἐὰν καὶ προληφθῇ ἄνθρωπος
ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρ-
τίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος· σκο-
2 πῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ
βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν
νόμον τοῦ Χριστοῦ.

Πολλοὶ παρ' αὐτοῖς, φιλαρχίᾳ ἡττημένοι, ἐν τῇ πρὸς τὰ ἁμαρτήματα τῶν πλησίον ἐπιτιμήσει τὰ ἑαυτῶν πάθη ἐπλήρουν· ὅπερ διορθοῦται, λέγων· *Ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι.*] Τουτέστιν, ἐάν τις συναρπαγῇ, παθῶν ἐπήρειαν ὑπὸ δαίμονος, ἐπὶ ἁμαρτήματί τινι· τοῦτο γὰρ τὸ, *προληφθῇ*· *ὑμεῖς οἱ πνευματικοὶ*, τουτέστιν, οἱ κατὰ πνεῦμα ζῶντες, *καταρτίζετε*, τουτέστι, μὴ κολάζετε, ἀλλὰ διορ-

θοῦσθε τὸν τοιοῦτον. Εἶτα, ἐκβάλλων τὴν φιλαρχίαν, φησὶν, *ἐν πνεύματι πραότητος·* τουτέστιν, ἐν πραότητι, ἥτις ἐστὶ χάρισμα τοῦ ἁγίου Πνεύματος. *Σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς.*] Εἶτα, ἵνα μὴ ὁ ἕτερον διορθῶν ἐπαρθῇ, ἀσφαλίζεται αὐτόν. Σκόπει γάρ, φησι, καὶ σὺ, καὶ τήρει σαυτὸν, μὴ τοῖς ἴσοις ἁλῷς, πειρασμὸν παθὼν ὑπὸ τοῦ ἀντικειμένου. Ἐμφαντικῶς δὲ εἶπε τὸ, *σύ·* τῆς γὰρ ἀνθρωπίνης ἀσθενείας ὑπέμνησε διὰ τούτου. *Ἀλλήλων τὰ βάρη βαστάζετε.*] Ἐπεὶ γὰρ οὐκ ἔνι ἄνθρωπον ὄντα χωρὶς ἁμαρτίας εἶναι, παραινεῖ μὴ ἀκριβολογεῖσθαι πρὸς τὰ τοῦ πλησίον ἁμαρτήματα, ὡς εἰδώς, φησιν, ὅτι καὶ σὺ ἔχεις ἁμαρτίας, καὶ χρὴ ἡμᾶς ἀλλήλοις συμπεριφέρεσθαι (1). *Καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.*] Ἵνα ὃ τῷ πλησίον λείπει, ἄλλος ἀναπληρώσῃ, συμπεριφερόμενος αὐτῷ· καὶ οὕτως, ἐκ τοῦ ἕνα ἕκαστον τῷ πλησίον χεῖρα διδόναι, πληροῦνται αἱ ἐντολαὶ τοῦ Χριστοῦ. Ὁ γὰρ τοῦ Χριστοῦ νόμος, διὰ τῶν ἔργων τοιοῦτος ἐδείχθη· αὐτὸς γὰρ τὰς ἁμαρτίας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασε (α)· καὶ, ἡ ὑπερβολὴ, ὅτι καὶ σταυρὸν καὶ θάνατον ὑπὲρ ἡμῶν κατεδέξατο. Ἢ ὅτι τὸ τὰ ἀλλήλων βάρη καὶ ἐλαττώματα βαστάζειν, κατὰ τοῦτο πλήρωσίς ἐστι τοῦ νόμου τοῦ Χριστοῦ, καθὸ ἐξ ἀγάπης· πληρωτικὴ δὲ ἡ ἀγάπη τοῦ θείου νόμου (β).

3 Εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὢν, ἑαυτὸν φρενα-
4 πατᾷ· τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος,

(1) « Παραινεῖ, μὴ ἀκριβεῖς ἐξεταστὰς εἶναι τῶν ἑτέροις πεπλημμελημένων, ἀλλὰ καὶ φέρειν τὰ τῶν πλησίον ἐλαττώματα, ἵνα καὶ τὰ αὐτοῦ φέρηται παρ' ἑτέρων. » Χρυσόστομος.

(α) Ἡσ. ΝΓ', 4. Ματθ. Η', 17.

(β) Ῥωμ. ΙΓ', 10. — « Οὐκ εἶπε, πληρώσατε, ἀλλ', ἀναπληρώσατε· τουτέστι, κοινῇ πάντες πληρώσατε, δι' ὧν ἀλλήλους φέρετε· οἷον ὁ ὀξὺς τὸν νωθῆ φερέτω, καὶ ὁ νωθὴς, τὴν σφοδρὰν ἐκείνου ὁρμήν· καὶ οὕτως οὔτε ἐκεῖνος ἁμαρτήσεται ὑπὸ τούτου βασταζόμενος, οὔτε οὗτος ὑπ' ἐκείνου. Οὕτω δὲ, ἀλλήλοις χεῖρα ὀρέγοντες, δι' ἀλλήλων πληρώσατε τὸν νόμον τοῦ Χριστοῦ, ὃ λείπει τῷ πλησίον ἀναπληρῶν ἕκαστος διὰ τοῦ βαστάζειν ἐκεῖνον. Καὶ ἄλλως γὰρ ἀγάπης τὸ τὰ βάρη βαστάζειν ἀλλήλων· ἡ δὲ ἀγάπη, πλήρωσις τῶν ἐντολῶν τοῦ Χριστοῦ. » Θεοφύλακτος.

καὶ τότε εἰς ἑαυτὸν τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς
5 τὸν ἕτερον· ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστά-
6 σει. Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ
κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς.

Πάλιν ἐνταῦθα τὴν ἀπόνοιαν καταβάλλει. *Εἰ γὰρ δοκεῖ τίς,* φησιν, *εἶναί τι,* δι' αὐτὸ μόνον οὐδέν ἐστιν, ὅτι δοκεῖ εἶναί τι. Τοιγαροῦν μηδὲν ὤν, *ἑαυτὸν φρεναπατᾷ*, τουτέστιν, οὐδένα ἄλλον ἀπατᾷ, ἀλλ' ἑαυτόν. *Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος.*] Εἰ γάρ τις τὸ ἑαυτοῦ ἔργον δοκιμάζει, καὶ ἑαυτὸν ἐρευνᾷ ἀκριβῶς, μᾶλλον *εἰς ἑαυτὸν ἕξει τὸ καύχημα*, καὶ *οὐκ εἰς τὸν ἕτερον·* τουτέςι, καθ' ἑαυτοῦ ἕξει τὸ καύχημα, οἷον, ἑαυτοῦ καταγνώσεται, καὶ οὐχὶ ἑτέρων. Ἢ, *Εἰς ἑαυτὸν μόνον ἕξει τὸ καύχημα*, τουτέστιν, αὐτὸς ἑαυτὸν ἐλαττούμενον καὶ ἐνδεῶς ἔχοντα βλέπων, ἑαυτὸν μέμψεται, καὶ τῆς ἑτέρων ἀποστήσεται καταγνώσεως, εἰδὼς ἑαυτόν, οὐδὲ τὴν αὐτὴν ἀεὶ πολιτείαν αὐτοῦ διαφυλάττοντα, ἀλλὰ καὶ ταύτης ἔσθ' ὅτε διαπίπτοντα.—*Δοκιμαζέτω ἕκαστος.*] Ἐξεταζέτω ἕκαστος μετ' ἀκριβείας παρ' ἑαυτῷ τὰ βεβιωμένα αὐτῷ. Τοῦτο γὰρ ποιῶν, ἑαυτὸν εἰς τὰ βελτίω μεταῤῥυθμίσει. Οὐ νομοθετοῦντος δὲ τοῦτο, ἀλλὰ συγκαταβαίνοντος. Οὐ δεῖ, φησί, καυχᾶσθαι· εἰ δὲ ἄρα, κἂν μή, ὡς ὁ Φαρισαῖος, κατὰ τοῦ πλησίον καυχάσθω (α), ἀλλὰ καθ' ἑαυτοῦ.—ΑΛΛΩΣ. Εἰ δὲ καὶ σεμνύνεσθαι θέλεις, τὸν σαυτοῦ περισκόπει βίον· κἂν ἀκατάγνωστον εὕρῃς, κατὰ σαυτὸν σεμνύνου, εἴ περ ἄρα τοῦτό σε δεῖ ποιεῖν (Θεοδωρήτου).—*Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.*] Τί γὰρ κατακαυχᾷ τοῦ πλησίον; Καὶ σὺ κἀκεῖνος τὰ ἴδια φορτία βαστάσετε, καὶ τότε δοκιμασθήσεται ἑκάστου τὸ ἔργον. Ὥστε, ἐπεὶ καὶ σὺ φορτία ἔχεις καὶ βάρη, μηδὲ καθ' ἑτέρου καυχῶ, μηδὲ κατὰ σαυτὸν ἐναβρύνου τῇ ἀγαθοεργίᾳ. *Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι.*] Περὶ τῶν διδα-

(α) Λουκ. ΙΗ'. 11. 12.

σκάλων λοιπὸν διαλέγεται, καὶ κελεύει τοῖς τῶν πνευματικῶν ἀπολαύουσι, μεταδιδόναι τῶν σαρκικῶν. *Ὁ κατηχούμενος*, τουτέστιν, ὁ διδασκόμενος, *κοινωνείτω τὸν λόγον τῷ κατηχοῦντι*, *τουτέστι*, μεταδιδότω τῷ διδάσκοντι τροφὰς, εὔνοιαν, τιμήν· τοῦτο γὰρ δηλοῖ τὸ, *ἐν πᾶσιν ἀγαθοῖς*. Καλῶς δὲ εἶπε, *κοινωνείτω*, καὶ οὐ, *μεταδιδότω*· κοινωνία γὰρ τὸ πρᾶγμα, ὡς ἀντιδόσεως γινομένης· ἐκεῖνος πνευματικὰ συνεισφέρει, σὺ δὲ ὁ διδασκόμενος, *σαρκικά*.

7 Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν
8 σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· ὅτι ὁ σπείρων
εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθο-
ράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύμα-
9 τος θερίσει ζωὴν αἰώνιον. Τὸ δὲ καλὸν ποιοῦντες
μὴ ἐκκακῶμεν· καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ
10 ἐκλυόμενοι. Ἄρα οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώ-
μεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς
τοὺς οἰκείους τῆς πίστεως.

Ἐπειδὴ πολλάκις τινὲς, αἰτιώμενοι τοὺς διδασκάλους κακοῦ βίου, παρορῶσιν αὐτοὺς, καὶ οὐ τρέφουσι πενομένους, λέγει μὲν καὶ προϊὼν, ὅτι *τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν*, καὶ νῦν δὲ δείκνυσιν, ὅτι καὶ πρὸς τοὺς τοιούτους διδασκάλους ἀφειδῶς ἔχειν χρὴ, ὡς εἰς πνευματικὸν πρᾶγμα τοῦ ἀναλώματος γινομένου. *Μὴ πλανᾶσθε· θεὸς οὐ μυκτηρίζεται.*] Οὐκ ἀπατᾶται· οὐ τῷ ἀγαθῷ, κακὰ, ἢ πάλιν τῷ κακῷ, ἀγαθὰ, ἀλλ' ἑκάστῳ τὰ οἰκεῖα ἀντιδίδωσιν. *Ὁ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει.*] Ἀνάγκη γὰρ ἴσον εἶναι τὸν ἀμητὸν τῷ σπόρῳ· καὶ οὐδεὶς ὀρόβους σπείρας, σῖτον ἂν θερίσειεν. *Ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ.*] Τί δέ τις σπείρει ἐν τῇ σαρκὶ αὐτοῦ; Μέθην, τρυφὴν, γαστριμαργίαν, ἀκολασίαν. Ὁ τοιοῦτος *ἐκ τῆς σαρκὸς θερίσει φθορὰν*, οἷον, διὰ τὴν σάρκα τὴν πλημμελήσασαν, ἕξει τιμωρίαν ἐκεῖ. Ἢ, *ἐκ τῆς σαρκὸς*, τουτέστι, διὰ τῶν ἐν τῇ σαρκὶ σπαρέντων ἁμαρτημάτων. *Ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα.*] Τί δέ τις σπείρει εἰς τὸ Πνεῦμα

τὸ ἅγιον; Τί ἄλλο, ἢ ἐλεημοσύνην, καὶ σωφροσύνην, καὶ πᾶσαν ἀρετήν; *Ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.*] Ὥσπερ γὰρ διάφορα τὰ σπέρματα τῆς σαρκὸς καὶ τοῦ πνεύματος, οὕτω καὶ ὁ θερισμός· ἐκεῖ φθορὰ, ὧδε ζωὴ αἰώνιος. *Τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν.*] Μὴ ἀπείπωμεν, μηδὲ ἐκλυθῶμεν ἀγαθοποιοῦντες, διὰ τὸ εἶναι τὰς ἀντιδόσεις ἐν τῷ μέλλοντι αἰῶνι. *Καιρῷ γὰρ ἰδίῳ θερίσομεν.*] Ἔσται γὰρ καιρὸς ὁ πάντως ἥξων, ὅταν ἀπολάβωμεν τὰ καλὰ, καὶ θερίσωμεν τὰ νῦν ἡμῖν σπαρέντα χρηστά. Εἶτα, ἐπειδὴ θερισμοῦ ἐμνημόνευσεν, αὐτὸς δὲ κόπου δεῖται καὶ καμάτου, προσέθηκε τὸ, *μὴ ἐκλυόμενοι*, ὡς εἰ ἔλεγεν· Ὁ θερίζων τότε, οὐ κάμνει, οὐδὲ ἐκλύεται, ὡς ἐν τῷ κόσμῳ τούτῳ. Μὴ τοίνυν ἀκούσαντες θερισμὸν, πάλιν καὶ τότε μοχθεῖν ὑπονοήσητε. Μηδὲν τῶν ανιαρῶν διακοπτέτω τὴν περὶ τὰ καλὰ προθυμίαν· πόνου γὰρ δίχα θερίσομεν τὰ σπειρόμενα· τοῦτο γὰρ ἔφη, *μὴ ἐκλυόμενοι*. Ἐπὶ μὲν γὰρ τῶν αἰσθητῶν σπερμάτων, καὶ ὁ σπόρος ἔχει κόπον, καὶ ὁ ἀμητὸς ὡσαύτως· διαλύει γὰρ πολλάκις τοὺς ἀμῶντας καὶ τὸ ἀμᾶν, καὶ τὸ τῆς ὥρας θερμόν· ἀλλ' ἐκεῖνος οὐ τοιοῦτος ὁ ἀμητός· πόνου γὰρ καὶ ἱδρῶτος ἐςὶν ἐλεύθερος (Θεοδωρήτου). Ἢ, *μὴ ἐκλυόμενοι*, τουτέςι, μὴ ἀποναρκῶντες, μηδὲ τῆς ἀγαθοεργίας ἀφιςάμενοι· τῶν γὰρ εἰς τέλος ἀγωνιζομένων ἐςὶν ὁ ςέφανος (Φωτίου). —*Ἄρα οὖν, ὡς καιρὸν ἔχομεν.*] Ὥσπερ οὐκ ἀεὶ τοῦ σπείρειν καιρὸς, οὕτως οὐδὲ τοῦ ἐλεεῖν. Ἐν τῇ ζωῇ γὰρ ταύτῃ ὁ καιρὸς ἐςὶ τῆς ἐργασίας, ἐκεῖ δὲ οὐκέτι. Ἕως οὖν τὸν ἐν ταύτῃ τῇ ζωῇ καιρὸν ἔχομεν, *ἐργαζώμεθα τὸ ἀγαθὸν*, τουτέστι, τὴν εὐποιΐαν, τὴν ἐλεημοσύνην, μὴ μόνον πρὸς διδασκάλους, ἀλλὰ καὶ *πρὸς πάντας*, πρὸς Ἰουδαίους, πρὸς Ἕλληνας· *μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως*· ἤτοι, ἐξαιρέτως δὲ πρὸς τοὺς πιστούς. Οὐ γὰρ τῷ αὐτῷ μέτρῳ δεῖ χρῆσθαι πρὸς ἐκείνους καὶ τοὺς οἰκείους τῆς πίστεως· ἀλλὰ πλείονα τὴν φιλοτιμίαν πρὸς τοὺς πιστοὺς ἐπιδείκνυσθαι· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ, *μάλιστα*.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Ἀποτροπὴ ἀπὸ τῶν ἑλκόντων ἐπὶ τὴν περιτομὴν, καὶ προτροπὴ πρὸς νέαν ζωὴν τὴν ὑπὸ πνεῦμα.

11 Ἴδετε, πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ
12 χειρί. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, οὗτοι
ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ
13 τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. Οὐδὲ γὰρ οἱ
περιτεμνόμενοι (1) αὐτοὶ νόμον φυλάσσουσιν· ἀλ-
λὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμε-
τέρᾳ σαρκὶ καυχήσωνται.

Ὀλίγα εἰς τὸ ἠθικὸν εἰπὼν, πάλιν ἐπὶ τὰ πρότερα ἔρχεται, τὰ δάκνοντα αὐτοῦ τὴν καρδίαν, καὶ δηλοῖ, ὅτι αὐτὸς οἰκείᾳ χειρὶ ἔγραψε τὴν ἐπιστολὴν πᾶσαν, οὐχ ἵνα ἀγάπην μόνον ἐνδείξηται πρὸς αὐτοὺς, ἀλλ᾽ ἵνα καὶ ὑποψίαν πονηρὰν ἀνέλῃ· διεβάλλετο γὰρ καὶ ὡς ἄλλα ἀλλαχοῦ κηρύττων. Ἠναγκάσθη οὖν μαρτυρίαν ἔγγραφον θέσθαι τοῦ οἰκείου κηρύγματος. Καίτοι τὰς ἄλλας ἐπιστολὰς ἄλλοι ἔγραφον (2), αὐτὸς δὲ εἰ ἄρα τὸν ἀσπασμὸν μόνον ἔγραφε. Τὸ δὲ, *πηλίκοις*, οὐ μεγέθους ἐστὶ δηλωτικὸν, ἀλλὰ τῆς ἀμορφίας τῶν γραμμάτων, ὡσεὶ ἔλεγεν· Καίτοι μὴ εἰδὼς γράφειν καλῶς, ὅμως ἠνάγκασμαι ἰδιόχειρον τὴν ἐπιστολὴν γράψαι, διὰ τὸ ὁμολογίαν μου ἰδιόχειρον ἀποκεῖσθαι, ὅτι οὐ κηρύσσω περιτομὴν, ὡς οἱ διαβάλλοντές με λέγουσιν. *Ὅσοι θέλουσιν εὐπροσωπῆσαι.*] Ὅσοι θέλουσί, φησιν, εὐδοκιμεῖν *ἐν σαρκὶ*, τουτέστι, παρὰ ἀνθρώποις, *οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι*. Παρὰ ποίοις δὲ ἀνθρώποις; Ἢ παρὰ τοῖς Ἰουδαίοις, ὡς ἐχομένοις τοῦ πατρῴου νόμου, ἢ παρὰ τοῖς ἔξω, ὡς μαθηταῖς ὑμῖν κεχρημένοις. *Μό-*

---

(1) Παρ᾽ ἄλλοις, περιτετμημένοι.
(2) Ὡς τὴν πρὸς Ῥωμαίους ὁ Τέρτιος. Ῥωμ. ΙϚʹ, 22.

νον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται.] Καὶ δι' ἑτέραν, φησὶν, αἰτίαν τοῦτο ποιοῦσι. Θέλουσι γὰρ ἔχειν καὶ ἑτέρους περιτεμνομένους, ἵνα μὴ ὑπὸ τοῦ σταυροῦ καὶ τῆς πίστεως διώκωνται καὶ ἐλαύνωνται, ὡς ταύτην παραβαίνοντες, καὶ περιτεμνόμενοι. Εἰ δὲ ἔστι, *διοικῶνται*, οὕτω νοήσεις· Πάντα ποιοῦσι, καὶ ἀνθρώποις ἀρέσαι θέλουσι, μόνον ἵνα μὴ διὰ τῆς πίστεως ἄρχωνται καὶ διοικῶνται (1). *Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν.*] Δείκνυσι κατὰ κενοδοξίαν τὸ πᾶν αὐτοὺς ποιεῖν. Οὐ γὰρ οὗτοι, φησὶν, οἱ περιτεμνόμενοι καὶ ὑμᾶς περιτέμνοντες, ὡς νόμον τηροῦντες καὶ φυλάττοντες τοῦτο ποιοῦσιν· *ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται.*] Τουτέστιν, ἵνα ἔχωσι τοῦ καυχᾶσθαι ἀφορμὴν διὰ τοῦ ὑμᾶς περιτέμνειν, ὡς διδάσκαλοι ὑμῶν, καὶ μαθητὰς ὑμᾶς ἔχοντες.

14 Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυ-
ρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ ἐμοὶ
15 κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ
Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκρο-
16 βυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι
τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος,
17 καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ, κόπους
μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ
18 Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χά-
ρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ
πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν.

Ἐκεῖνοι μὲν, φησὶν, ἐν περιτομῇ καυχῶνται, πράγματι κατηργημένῳ· *ἐμοὶ δὲ μὴ γένοιτο* ἐν ἄλλῳ τινὶ *καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ*, (τουτέστιν, ἐν τῇ εἰς τὸν ἐσταυρωμένον πίστει,) τῷ τὸν νόμον καταργήσαντι. Ὡς χαλεπὸν δέ τι ἀπηύξατο (2). Τίς δὲ ἡ

(1) Ἡ ἀνάγνωσις, διοικῶνται, ἀντὶ τῆς, διώκωνται, τοῦ Οἰκουμενίου μόνου ἰδία. (2) «Ὡς ἀπηγορευμένον δέ τι ἀπηύξατο, καὶ τὴν τοῦ Θεοῦ συμμαχίαν καλέσας εἰς τοῦτο,» Θεοφύλακτος.

καύχησις ἐπὶ τῷ σταυρῷ; Ὅτι δι' ἡμᾶς τοὺς ἀναξίους κατεδέξατο ὁ δεσπότης σταυρωθῆναι· τοῦτο γὰρ ἡμῖν καυχήσεως ἀφορμή. Εἰς τὸν σταυρὸν οὖν τοῦ Χριστοῦ εἴη μοι καυχᾶσθαι, τὸν τοῖς ἀπίστοις καὶ ἐπονείδιστον εἶναι δοκοῦντα. *Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται.*] *Κόσμον* φησὶ τὰ βιωτικὰ πράγματα, τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον, τὴν δόξαν, τὸν πλοῦτον, τὴν τρυφήν. Ὅσον οὖν, φησί, παρ' ἐμοί, ταῦτα πάντα νεκρά ἐστιν. Εἶτα ἐπίτασιν εἶπε· *κἀγὼ τῷ κόσμῳ*, ἤτοι, καὶ ἐγὼ τούτοις νεκρός εἰμι· τῇ διπλῇ νεκρότητι τὸ φευκτὸν αὐτῶν δηλῶν καὶ παντελῶς ἀνενέργητον. *Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις.*] *Καινὴ κτίσις* ἐστὶ τὰ πάντα. Πάντες γάρ, οἵ τε ἐμπερίτομοι καὶ οἱ ἀκρόβυστοι, πιστεύσαντες, καινὴ κτίσις γεγόναμεν, τοῦ παλαιοῦ ἀνθρώπου ἐνταφέντος, καὶ ἡμῶν ἀναγεννηθέντων ἐν τῇ κολυμβήθρᾳ (1). *Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν.*] Ὅσοι, φησί, τῷ κανόνι καὶ τῇ διδαχῇ ταύτῃ ἀρκεσθῶσι, τῷ καινὴν κτίσιν εἶναι τὰ πάντα, καὶ μὴ ὑποθῶσιν ἑαυτοὺς τῷ νόμῳ (2). *Καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ.*] *Ἰσραήλ*, ὁ πιστός ἐστι λαός, ὡς ὁρῶν τὸν θεόν (α)· ὡς ὅγε ἄπιστος, κἂν ἐκ τοῦ Ἰακώβ ἐστιν, ἐκβέβληται τῆς πρὸς αὐτὸν συγγενείας. *Τοῦ*

(1) «Μή μοι λέγε, φησί, περιτομήν, τὴν μηδὲν δυναμένην καὶ ἄχρηστον οὖσαν, ὥσπερ καὶ ἡ ἀκροβυστία. Ὁ γὰρ Χριστὸς πάντα ἐκαίνισε, καὶ ἄλλην πολιτείαν ἀπαιτεῖ ἡμᾶς. Καινὴ γὰρ κτίσις ἡ κατὰ Χριστὸν ζωή· διότι νῦν αἱ ψυχαὶ ἡμῶν, παλαιωθεῖσαι τῇ ἁμαρτίᾳ, ἀνενεώθησαν τῷ βαπτίσματι· καὶ ὅτι ἐν τῷ μέλλοντι τῇ ἀφθαρσίᾳ καὶ δόξῃ τιμηθησόμεθα, τὰ σώματα καινωθέντες, καὶ ἀφθαρτισθέντες.» Θεοφύλακτος.

(2) «Ὅσοι οὖν ἐμμενοῦσι τῷ κανόνι τούτῳ τῆς κατὰ Χριστὸν καινῆς πολιτείας, φεύγοντες τὴν παλαιωθεῖσαν καὶ ἀδυνατήσασαν περιτομήν, εἰρήνης τῆς πρὸς τὸν θεὸν ἐπιτεύξονται, ἀπαλλαγέντες τῶν ἁμαρτιῶν, αἵτινες ἡμῖν ἐκπολεμοῦσι τὸν θεόν, καὶ φιλανθρωπίας ἀξιωθήσονται· οὐκέτι ὡς ἐχθροὶ τοῦ θεοῦ μισούμενοι, ἀλλ' ἐλέους ἀξιούμενοι, ὡς εἰρήνης γενομένης αὐτοῖς διὰ τοῦ σταυροῦ καὶ τῆς χάριτος. Οἱ τοιοῦτοι δέ εἰσι καὶ Ἰσραὴλ κυρίως, ὡς ὁρῶντες τὸν θεόν· ὡς οἵ γε μὴ τοιοῦτοι, κἂν Ἰσραηλῖται ὦσι, ψευδῶς λέγονται.» Θεοφύλακτος.

«Κανόνα ἐκάλεσε τὴν προκειμένην διδασκαλίαν, ὡς εὐθύτητι κοσμουμένην, καὶ μήτε ἐλλεῖπόν τι, μήτε περιττὸν ἔχουσαν· τοῖς δὲ ταύτην ἀσπαζομένοις ἐπηύξατο τὸν ἔλεον καὶ τὴν εἰρήνην. Ἰσραὴλ δὲ τοῦ θεοῦ, τοὺς πιστοὺς ὠνόμασεν, ἅτε δὴ τὸν θεὸν ὁρῶντας διὰ τῆς πίστεως· τοῦτο γὰρ ἑρμηνεύει τὸ ὄνομα.» Θεοδώρητος.

(α) Γενεσ. ΛΒ', 28—30.

λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω.] Τοῦτο οὐχ ὡς ὀκνῶν λέγει, μὴ γένοιτο! οὐδ' ὡς ἐκκακήσας· (πῶς γὰρ ὁ παραινῶν· Ἐπίστηθι εὐκαίρως, ἀκαίρως (α);) ἀλλὰ βουλόμενος τοὺς παρ' αὐτοῦ τεθέντας νόμους ἀκινήτους εἶναι, ὡς μηκέτι μέλλοντος αὐτοῦ προστιθέναι ἢ ὑφαιρεῖν. — *Μηδείς μοι κόπους παρεχέτω*, μηδείς μοι πρὸς ἀπολογίαν ὧν πράττω ἐγκαλείτω· ἔχω γὰρ καὶ σιγῶν, μείζονα τὴν διὰ τῶν ἔργων ἀπολογίαν. *Τὰ γὰρ στίγματα τοῦ Χριστοῦ*, τουτέστιν, αἱ ὑπὲρ Χριστοῦ πληγαὶ καὶ οὐλαί, αὐτὰ βοῶσι καὶ τὸν ὑπὲρ αὐτοῦ δρόμον καὶ ζῆλον, καὶ τὸ ἀνυπόκριτον καὶ καθαρὸν καὶ ἀνυπόστολον τοῦ κηρύγματος. Ἢ, *Μηδείς μοι κόπους παρεχέτω*. Μέχρι τίνος, φησὶ, θλίψεις μοι καὶ κόπους σαλευόμενοι παρέχετε; Δυσωπήθητε, εἰ καὶ μή τι ἄλλο, ἀλλ' οὖν τὰ στίγματα τοῦ Χριστοῦ, ἃ δι' ὑμᾶς καὶ διὰ τὸ εἰς ὑμᾶς κήρυγμα ἐν τῷ σώματί μου περιφέρω. Εἰπὼν δὲ, *στίγματα Χριστοῦ*, ἅμα ἀναμιμνήσκει, ὅτι κἀκεῖνος ὑπὲρ ἡμῶν ἔπαθε. Παντὶ οὖν τρόπῳ ἀποστῆναι τοῦ νόμου καὶ ἐστηρίχθαι τῇ πίστει προσήκει (Φωτίου). — *Τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.*] *Στίγματα* λέγει τὰς πληγὰς, τὰ τραύματα, τὰ διὰ τὸν Κύριον καὶ τὸ κήρυγμα. *Ἐν τῷ σώματί μου βαστάζω.*] Ὡσεὶ ἔλεγε· Μηδείς με ὡς ὑποκριτὴν διαβαλλέτω παρ' ὑμῖν· αὐτὰ γὰρ τὰ τραύματα καὶ αἱ διὰ τὸν Κύριον πληγαὶ, μαρτυροῦσι μοι ἀνυποκρίτως πολιτεύεσθαι (1). Διεβάλλετο γὰρ, ὡς πάντα ποιῶν καθ' ὑπόκρισιν· καὶ ἀλλαχοῦ μὲν περιτομὴν κηρύσσων, ἀλλαχοῦ δὲ οὔ. *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν*, καὶ ἑξῆς.] Διὰ τοῦ ἐπεύξασθαι αὐτοῖς, δείκνυσιν, ὡς οὐ θυμῷ καὶ ἀπεχθείᾳ εἶπεν, ἃ εἶπεν. Οὐ μόνον δὲ εὐχὴ, ἀλλὰ καὶ διδασκαλία τοῦτο ἐστὶν, ἐπισφραγίζουσα τὰ ῥηθέντα πάντα. Ἀναμιμνήσκει γὰρ τῆς χάριτος,

---

(α) Β' Τιμ. Δ', 2. (1) « Αὐτὰ γὰρ πάσης φωνῆς λαμπρότερον μαρτυροῦσιν, ὅτι οὐ τοῦ νόμου, ἀλλὰ τοῦ κατὰ Χριστὸν δόγματος προεκινδύνευσα. Οὐκ εἶπε δὲ, ἔχω, ἀλλὰ, βαστάζω, ὥσπερ τι τρόπαιον ἢ σημεῖον βασιλικὸν, καὶ τούτοις ἐναβρύνομαι.» Θεοφύλακτος.

ἧς ἀπέλαυσαν, οὐ διὰ τοῦ νόμου, ἀλλὰ πιστεύσαντες τῷ Χριστῷ. Καὶ οὐκ εἶπε, *μεθ' ὑμῶν*, ἀλλὰ, *μετὰ τοῦ πνεύματος ὑμῶν*, ἀπάγων αὐτοὺς ἀπὸ τῶν σαρκικῶν, καὶ δεικνὺς, ὅτι οὐκ ἀπὸ τοῦ νόμου, ἀλλ' ἀπὸ τῆς χάριτος τὸ πνεῦμα ἐδέξαντο· καὶ ὅτι οὐχ ὁ νόμος, οὐδὲ ἡ περιτομὴ, ἀλλὰ ἡ χάρις δύναται αὐτοῖς τὸ πνεῦμα συντηρῆσαι, ὥσπερ οὖν καὶ δέδωκεν. Ἀλλὰ καὶ τῷ, *ἀδελφοὺς*, προσειπεῖν, τῆς κολυμβήθρας ὑπέμνησεν, ἐξ ἧς ἀδελφοὶ γινόμεθα, ἑνὸς πατρὸς υἱοὶ, τοῦ θεοῦ, ὄντες, καὶ οὐκ ἀπὸ τοῦ νόμου. Εἴη δὲ καὶ μεθ' ἡμῶν ἡ χάρις τοῦ θεοῦ, πνευματικῶς βιούντων, καὶ τὸν θεῖον τοῦ παρακλήτου ἁγιασμὸν μὴ ἀποβαλλόντων τῷ τῶν ἁμαρτημάτων βορβόρῳ, ἀλλ' ἀεὶ πλείονα ἑαυτοῖς προξενούντων ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, τῷ τὴν καινὴν ζωὴν καὶ πνευματικὴν τῇ ἀναιρέσει τῆς παλαιᾶς καὶ σωματικῆς ὑποδείξαντι. Ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. (Θεοφυλάκτου).

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ῥώμης,

Η
ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ῥώμης, οὔπω μὲν αὐτοὺς ἑωρακὼς, ἀκούσας δὲ περὶ αὐτῶν. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ἐφέσιοι, πιστεύσαντες εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, γνησίαν ἔσχον εἰς αὐτὸν τὴν πίστιν, καὶ εἰς πάντας τοὺς ἁγίους τὴν ἀγάπην· καὶ ἠβούλοντο παρὰ τοῦ Παύλου βεβαιωθῆναι. Μαθὼν τοίνυν ὁ ἀπόστολος, γράφει πρὸς αὐτοὺς ταύτην τὴν ἐπιστολὴν, ὥσπερ κατηχητικήν. Καὶ πρῶτον μὲν δείκνυσι, μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλ' ἐξ ἀρχῆς καὶ πρὸ καταβολῆς κόσμου εἶναι ταύτην εὐδοκίαν θεοῦ, ὥστε τὸν Χριστὸν ὑπὲρ ἡμῶν παθεῖν, καὶ ἡμᾶς σωθῆναι. Ἔπειτα περὶ κλήσεως τῶν ἐθνῶν διαλέγεται, ἵνα δείξῃ αὐτοὺς ἀξίως πεπιστευκέναι· καὶ ἀποδείκνυσιν, ὅτι ἡ κλῆσις ἡμῶν γέγονεν, οὐ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν υἱὸς τοῦ θεοῦ, ἵνα καὶ ἐκ τούτου μάθωσιν, ὅτι οὐκ ἀνθρωπολάτραι γεγόνασι, πιστεύσαντες τῷ Χριστῷ, ἀλλὰ ἀληθινοὶ θεοσεβεῖς. Σημαίνει δὲ καὶ ἑαυτὸν διὰ τοῦτο ἀπεστάλθαι κηρύσσειν τὸ εὐαγγέλιον, καὶ ὅτι καὶ περὶ αὐτῶν ἐφρόντιζεν. Ἔπειτα παραινετικοὺς λόγους, ἀνδράσι καὶ γυναιξὶ, πατράσι καὶ τέκνοις, κυρίοις καὶ δούλοις, τίθησιν ἐν τῇ ἐπιστολῇ· καὶ καθόλου πάν-

τας παρασκευάζει κατὰ τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ, πρὸς ἐκείνους ἡμῖν εἶναι λέγων τὴν πάλην· καὶ ὥσπερ ἀγαθὸς ἀλείπτης, ἀλείψας τοῖς λόγοις πάντας κατὰ τῆς διαβολικῆς ἐνεργείας, οὕτω τελειοῖ τὴν ἐπιστολήν.

ΑΛΛΩΣ.

Η Ἔφεσος μητρόπολις μέν ἐστι τῆς Ἀσίας, τὴν δὲ Ἄρτεμιν ἐσέβετο· καὶ τοσοῦτον αὐτῇ περὶ τὴν δαίμονα ἦν τὸ σέβας, ὡς καὶ νεωκόρον τὴν Ἔφεσον τῆς Ἀρτέμιδος ἀναγορεύεσθαι, ὡς ἐν ταῖς Πράξεσιν ἱστόρηται (α). Ἐν αὐτῇ δὲ τῇ Ἐφέσῳ ὁ εὐαγγελιστὴς Ἰωάννης ἐξορισθεὶς, τὰ πολλὰ διέτριψεν, ἐν ᾗ καὶ τελευτᾷ. Καὶ τὸν Τιμόθεον ἐκεῖ κατέλιπεν ὁ Παῦλος διδάσκαλον· τῶν τε φιλοσόφων οἱ μάλιστα κατὰ τὴν Ἀσίαν ἀνθοῦντες, ἐν Ἐφέσῳ διῆγον. Ἐπεὶ οὖν δεισιδαίμων τε ἦν οὕτως ἡ πόλις, καὶ οὕτω σοφοῖς ἐκόμα, πολλῇ σπουδῇ κέχρηται Παῦλος πρὸς τοὺς τοιούτους γράφων. Καὶ τὰ βαθύτερα δὲ τῶν νοημάτων καὶ ὑψηλότερα αὐτοῖς ἐπίστευσεν, ἅτε κατηχημένοις ἤδη. Γράφει δὲ τὴν τῶν ὑπερόγκων νοημάτων γέμουσαν ἐπιστολὴν ταύτην ἀπὸ Ῥώμης, ἐν δεσμοῖς ὑπάρχων.

(α) Πραξ, ΙΘ', 35.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η
ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῆς ἐν Χριστῷ ἐκλογῆς ἡμῶν καὶ εἰσαγωγῆς καὶ τελειώσεως.

ΚΕΦ. I, 1. ΠΑΥΛΟΣ, ἀπόστολος Ἰησοῦ Χριστοῦ,
διὰ θελήματος θεοῦ, τοῖς ἁγίοις, τοῖς οὖσιν ἐν
2 Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· χάρις ὑμῖν
καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰη-
3 σοῦ Χριστοῦ. Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς
ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις
4 ἐν Χριστῷ· καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ
καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους
κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ (1).

Διὰ θελήματος θεοῦ.] Σημείωσαι τὸ, *Διὰ*, ἐπὶ τοῦ πατρὸς εἰρημένον. *Τοῖς ἁγίοις, τοῖς οὖσιν ἐν Ἐφέσῳ.*] Ὅρα, πόση ἦν τότε ἡ ἀρετὴ, ὅτι καὶ κοσμικοὺς ἀνθρώπους, γυναῖκας ἔχοντας καὶ παιδία, *ἁγίους* καὶ *πιστοὺς* προσαγορεύει (2). *Χάρις ὑμῖν.*] Εἰκότως ἀπὸ χάριτος ἤρξατο· χάριτι γὰρ καὶ πατὴρ ἀνθρώπων ὁ θεὸς, χάριτι καὶ ὁ υἱὸς ἔδωκεν ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν. *Εὐλογητὸς ὁ θεὸς καὶ πατήρ.*] Ἰδοὺ καὶ

(1) Ἐν πολλοῖς χειρογράφοις τὸ, ἐν ἀγάπῃ, συνάπτεται τῷ ἑπομένῳ στίχῳ· οἷον· Ἐν ἀγάπῃ, προορίσας ἡμᾶς. Οὕτως ἀναγινώσκεται καὶ ἐν πολλαῖς ἐκδόσεσι, καὶ παρ᾽ ἑρμηνευταῖς, ὡς καὶ παρὰ τῷ Χρυσοστόμῳ, τῷ Θεοδωρήτῳ, καὶ τῷ Θεοφυλάκτῳ.

(2) Ὁ Θεοφύλακτος προστίθησιν «Ἀλλὰ νῦν οὐδὲ ἐν ὄρεσι καὶ σπηλαίοις τοιοῦτοι!»

θεὸς καὶ πατὴρ τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ· θεὸς μὲν, ὡς σαρκωθέντος· πατὴρ δὲ, ὡς θεοῦ λόγου (1). *Ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ.*] Τὸ, *πνευματικὴ*, ὡς πρὸς ἀντιδιαστολὴν εἴρηται τῆς ἰουδαϊκῆς εὐλογίας· ἐκείνη γὰρ σαρκικωτέρα μᾶλλον ἦν· ἡ δὲ ἡμῶν, πνευματική. Καλῶς δὲ τὸ, *ἐν πάσῃ*· οὐδὲν γὰρ ἡμῖν λείπει· γεγόναμεν γὰρ ἀθάνατοι, καὶ υἱοὶ θεοῦ, καὶ συγκληρονόμοι Χριστοῦ, καὶ ἡ ἀπαρχὴ ἡμῶν προσκυνεῖται ὑπὸ τῶν ἄνω δυνάμεων.—Εὐλόγησε, διὰ τοῦ υἱοῦ· ἐξελέξατο, διὰ τοῦ υἱοῦ· ἐχαρίτωσε, διὰ τοῦ υἱοῦ. Πῶς δὲ διὰ τοῦ υἱοῦ; Ὢ θαῦμα! Διὰ τοῦ αἵματος αὐτοῦ, φησίν. Εἶδες πλοῦτον χάριτος; μᾶλλον δὲ περισσείαν καὶ ἄφατον ἔλεος; Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἐγνώρισεν ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ. Διὰ τίνος τοῦτο; Καὶ τοῦτο διὰ τοῦ υἱοῦ. Πάντα διὰ τοῦ υἱοῦ, τῆς εὐδοκίας συμπαρούσης τοῦ πατρός· οὐδὲ γὰρ ἔν τινι ἀπέσχισται τὸ πατρικὸν βούλημα τοῦ ἠγαπημένου υἱοῦ. Ἐπειδὴ δὲ περὶ τοῦ γνωρισθῆναι ἡμῖν τὸ μυστήριον διέλαβε, πάλιν τῆς υἱοθεσίας μέμνηται, *δι' οὗ*, λέγων, *καὶ ἐκληρώθημεν*· οἱ γὰρ υἱοθετηθέντες, ἐπὶ τῷ κληρονομῆσαι τῆς υἱοθεσίας ἀξιοῦνται, ἥτις γέγονε διὰ τοῦ υἱοῦ, καὶ προώρισται, τῆς εὐδοκίας καὶ τοῦ πατρικοῦ βουλήματος συμπαρόντος. Γέγονε δὲ τοῦτο, εἰς τὸ καὶ ἡμᾶς οὕτω πολιτεύσασθαι, ὥστε *εἰς ἔπαινον* γενέσθαι *τῆς δόξης αὐτοῦ*, τουτέστιν, εἰς ἐπαινουμένην δόξαν αὐτοῦ, καὶ εὐάρεστον τὸν βίον ἡμῶν καὶ τὴν πολιτείαν ὁρᾶσθαι παρὰ πάντων· ὅπως γὰρ ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, φησὶν ὁ Κύριος ἐν εὐαγγελίοις, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς (α). (Φωτίου).—*Ἄλλως*. Εὐλόγησε γὰρ ἡμᾶς οὐ μόνον ἐν πάσῃ πνευματικῇ εὐλογίᾳ, ἀλλὰ καὶ ἐν πνευματικοῖς πράγμασι, καὶ ἐπουρανίοις. Διὰ τίνος; Διὰ Ἰησοῦ Χριστοῦ. Πῶς; *Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου*. Οὕτως ἀρχαία ἡ ἡμῶν

---

(1) « Δῆλον, ὡς ἡμῶν μέν ἐστι θεὸς, τοῦ δὲ Κυρίου ἡμῶν, πατήρ » Θεοδώρητος. Ἴδ. Β' Κορ. Α', 2. (α) Ματθ. Ε', 16.

ἐκλογὴ καὶ εὐλογία. Ἐπίτηδες ἡμᾶς ἐξελέξατο, *ἐπὶ τὸ εἶναι ἁγίους καὶ ἀμώμους*, τιμίους καὶ καθαροὺς ἐν τῷ βίῳ. Πόθεν εἰς τοῦτο κινηθείς; Ἐξ ἀγάπης μόνης. Ἵνα τί γένηται; Ἵνα υἱοθετήσῃ ἡμᾶς διὰ τοῦ Χριστοῦ ἑαυτῷ· τοῦτο γὰρ καὶ προώριστο. Ἐκ ποίας ἡμῶν ἐργασίας; Ἐξ οὐδεμιᾶς, πλὴν ὅτι δι' εὐδοκίαν τοῦ θελήματος αὐτοῦ. Ηὐδόκησε γὰρ καὶ ἠθέλησε τοῦτο, ἡμῶν ὅλως μηδὲν συνεισενεγκόντων. Πῶς γὰρ ἦν συνεισενεγκεῖν, τοὺς μηδ' ἀρχήν που τοῦ εἶναι λαβόντας; Καὶ τί τὸ ἐκ *τούτου κέρδος*; Ἄφατος ἀνακύπτει ἔπαινος, καὶ ἐγκώμιον τῆς δεδοξασμένης αὐτοῦ χάριτος, *ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς*. Διὰ τίνος; Ἢ δῆλον, ὅτι καὶ τοῦτο διὰ τοῦ ἠγαπημένου αὐτοῦ υἱοῦ. Πῶς; Ὅτι αὐτὸς ἐποίησε τὴν ἀπολύτρωσιν ἡμῶν. Ἦμεν γὰρ αἰχμάλωτοι διὰ τὰ παραπτώματα ἡμῶν· δοὺς δὲ τὸ αἷμα αὐτοῦ λύτρον ὑπὲρ ἡμῶν, ἐλυτρώσατο τῆς ἐν ᾗ κατειχόμεθα τυραννίδος. Καὶ πῶς τοῦτο τὸ φρικτὸν γέγονεν, οὐκ ἔστιν εἰπεῖν, πλὴν ὅτι πλοῦτος ἐστὶ χάριτος, περισσεία χάριτος, ὑπερβολή· οὐκ ἔστιν ἄλλο εἰπεῖν. Τοῦτο δὴ τὸ περὶ ἡμᾶς ἄφατον μυστήριον, οὐ μόνον ἐνήργησεν, ἀλλὰ καὶ ἐφανέρωσεν ἡμῖν αὐτό. Πῶς; Φρενώσας καὶ σοφίσας εἰς κατάληψιν αὐτοῦ. Πάντα τῆς ἐκείνου εὐεργεσίας, τὸ ἐνεργῆσαι περὶ ἡμᾶς τὸ ἄφατον ἐκεῖνο μυστήριον, τὸ γνωρίσαι αὐτὸ πάλιν ἡμῖν. Καὶ γὰρ τοῦτο, μεγάλης καὶ ἀφάτου στοργῆς καὶ κηδεμονίας, τὸ γνωρίσαι ἡμῖν τοῦ θελήματος αὐτοῦ τὸ μυστήριον, οἷον τὸ ἐγκάρδιον αὐτοῦ καὶ ἀπόκρυφον βούλημα. Ὁρᾷς, τίνων ἡμᾶς ἀξιοῖ; Καὶ τοῦτο ἦν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, ἐν τῷ υἱῷ αὐτοῦ, τουτέστι, διὰ τοῦ υἱοῦ αὐτοῦ προωρισμένον κατ' εὐδοκίαν γενέσθαι. Εὐλόγως δὲ πάλιν εἶπε τὸ, *κατ' εὐδοκίαν*, καὶ ὅτι διὰ τοῦ υἱοῦ ἦν προτεθειμένον γενέσθαι. Ἐπειδὴ γὰρ εἰπὼν αὐτὸ κατ' ἀρχὰς, καὶ αἰτίας ἐν τῷ μεταξὺ συνείρων, ἀπέστησε πολὺ τὸν ἀκροατὴν τοῦ λόγου, πάλιν, ὥσπερ ἐπαναμιμνήσκων αὐτὸν καὶ ἐπαναλαμβάνων, ὅτι πάντα διὰ τοῦ υἱοῦ γέγονεν εὐδοκίᾳ τοῦ πατρὸς, τοῦτο προσφόρως ἐπισυνάπτει καὶ

τίθησι. Ταῦτα δέ, φησιν, *εἰς οἰκονομίαν*, τουτέστιν, ἐπὶ ἀφάτῳ προνοίᾳ καὶ διοικήσει τῶν τῆς συντελείας καιρῶν, τουτέστι, τῶν κατὰ τὴν συντέλειαν πραγμάτων. Ὅσα γὰρ ἐπράχθη, διὰ τὴν τότε ἡμῖν ἀποκαλυφθησομένην δόξαν ἐπράχθη. Διὸ καὶ ὁ Χριστός τότε διὰ τῆς ἐκβάσεως τῶν πραγμάτων φανεροῦται, ἀνακεφαλαιούμενος τὰ πάντα ἐν ἑαυτῷ (Τοῦ αὐτοῦ).—*Ἐν τοῖς ἐπουρανίοις.*] Ὡς ἂν εἰ ἑρμηνεύει, πῶς ἐςι πνευματικὴ ἡ εὐλογία ἡμῶν, καί φησιν, *ἐν τοῖς ἐπουρανίοις*. Ἡ μὲν γὰρ τῶν Ἰουδαίων ἐν τῇ γῇ ἦν· διὰ τοῦτο καὶ σωματική. Τὰ ἀγαθὰ γάρ, φησι, τῆς γῆς φάγεσθε (α)· καί· Γῆν ῥέουσαν μέλι καὶ γάλα δώσει σοι (β)· καί· Εὐλογήσει Κύριος τὴν γῆν σου. Ἐνταῦθα δὲ οὐδὲν γήϊνον, ἀλλ' ἐπουράνια πάντα· διὰ τοῦτο καὶ πνευματικὴ ἡ ἡμετέρα εὐλογία. Βασιλεία γὰρ οὐρανῶν τοῖς πτωχοῖς ἐπήγγελται, καὶ τοῖς δεδιωγμένοις πολὺς ὁ μισθὸς ἐν τοῖς οὐρανοῖς (γ). *Ἐν Χριστῷ.*] Τουτέστι, διὰ Χριςοῦ ἡμῖν ἡ εὐλογία, οὐ διά τινος τῶν προφητῶν, ὡς τοῖς Ἰουδαίοις διὰ Μωσέως. Ὥστε οὐ μόνον τῇ ποιότητι τῶν ἀγαθῶν, ἀλλὰ καὶ τῷ μεσίτῃ διαφέρομεν ἐκείνων. *Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ.*] Ὥσπερ εὐλόγησεν ἡμᾶς ὁ θεὸς καὶ πατὴρ διὰ Χριστοῦ, οὕτω καὶ ἐξελέξατο δι' αὐτοῦ, τουτέστι, διὰ τῆς εἰς αὐτὸν πίστεως. Τὸ δέ, *πρὸ καταβολῆς κόσμου*, δηλοῖ, ὅτι ἄνωθεν προώριστο, σωθῆναι διὰ τῆς εἰς Χριστὸν πίστεως τοὺς ἐπὶ γῆς. Τὸ δέ, *καταβολή*, δηλοῖ, ὅτι ἀπὸ ὕψους τινὸς τῆς τοῦ θεοῦ δυνάμεως κατεβλήθη καὶ ἐθεμελιώθη ὁ κόσμος. *Εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους.*] Ἐξελέξατο ἡμᾶς, φησίν, ἐπὶ τούτῳ τῷ ὅρῳ, εἰς τὸ εἶναι ἡμᾶς ἁγίους κατὰ τὴν πίςιν, καὶ ἀμώμους κατὰ τὸν βίον. *Κατενώπιον αὐτοῦ.*] Εἰσὶ γάρ τινες ἅγιοι καὶ ἄμωμοι τοῖς ἀνθρώποις δοκοῦντες· ἀλλ' οὐ τοῦτο φησίν· ἀλλὰ *κατενώπιον αὐτοῦ* τοῦ θεοῦ. Τοῦτο δέ, φησι, διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ἐποίησεν (1).

(α) Ἡσ. Α', 19. (β) Δευτερ. ΚΖ', 3. (γ) Ματθ. Ε', 3. 10.
(1) « Ἵνα μή, ἀκούσας, ὅτι ἐξελέξατο, ἀποῤῥαθυμήσῃς λοιπόν, ὡς ἤδη ἐκλε-

5 Προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ
6 εἰς αὐτὸν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ,
εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρί-
7 τωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, ἐν ᾧ ἔχομεν τὴν
ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν
τῶν παραπτωμάτων, κατὰ τὸν πλοῦτον τῆς χάρι-
8 τος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς, ἐν πάσῃ σοφίᾳ
καὶ φρονήσει·

Προορίσας ἡμᾶς εἰς υἱοθεσίαν.] Μέγα μὲν καὶ τὸ εἰς υἱοθεσίαν εἰσαχθῆναι θεοῦ· μεῖζον δὲ τὸ καὶ διὰ τοῦ υἱοῦ τοῦτο μεσιτευθῆναι. Εἰς υἱοθεσίαν δὲ ποίαν; Τὴν εἰς αὐτόν, φησι, τὸν θεὸν φέρουσαν τὸ γένος ἡμῶν, καὶ οἰκείους αὐτοῦ ποιοῦσαν· καὶ τοῦτο *διὰ Ἰησοῦ Χριστοῦ*. Ὁ μὲν γὰρ πατὴρ προώρισεν, ὁ δὲ Χριστὸς προσήγαγεν ἡμᾶς. Διὰ γὰρ τοῦ υἱοῦ πάντα τὰ ἀγαθὰ, οὐ διά τινος τῶν δούλων· διὸ καὶ λαμπροτέρα ἡ φιλοτιμία (1). *Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.*] *Εὐδοκίαν* τὴν ἐπ' εὐεργεσίᾳ βούλησιν τοῦ θεοῦ ἔθος τῇ θείᾳ καλεῖν Γραφῇ. Ταῦτα δὲ πάντα ἐποίησε, φησίν, εἰς ἡμᾶς ὁ θεός, δι' ἄλλο μὲν οὐδέν, πλὴν ὅτι ἠβουλήθη καὶ σφόδρα ἐπεθύμησε χάριτι σῶσαι τοὺς ἐπὶ γῆς, *εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ*, τουτέστι, πρὸς τὸ ἐκ τούτου ἐπαινεῖσθαι καὶ δοξάζεσθαι τὴν ἁγίαν αὐτοῦ δόξαν τῆς χάριτος (2). *Ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς.*] Ἐχαρί-

---

λεγμένος, φησίν, ἐπὶ τούτῳ ἡμᾶς ἐξελέξατο, ἵνα ἅγιοι ὦμεν καὶ ἄμωμοι, μένοντες ἐπὶ τῆς ἁγιότητος, ἣν δέδωκεν ἡμῖν βαπτισθεῖσι, καὶ βίον ἔχοντες ἐνάρετον. Ἅγιος μὲν γὰρ, ὁ τῆς πίστεως μετέχων· ἄμωμος δὲ, ὁ κατὰ τὸν βίον ἀνεπίληπτος. Ἁγιότητα δὲ ζητεῖ καὶ τὸ ἀνεπίληπτον, οὐχ ἁπλῶς, ἀλλὰ κατενώπιον αὐτοῦ. Εἰσὶ γὰρ πολλοὶ ἐνώπιον τῶν ἀνθρώπων ἅγιοι, οἷοι οἱ Φαρισαῖοι, ἀλλ' οὐχὶ τοῦ θεοῦ.» Θεοφύλακτος.

(1) Ἀναγινώσκων ὁ Θεοφύλακτος, Ἐν ἀγάπῃ προορίσας ἡμᾶς εἰς υἱοθεσίαν, ἑρμηνεύει. «Εἰπὼν, ὅτι ἐξελέξατο, δέδωκε νοεῖν, ὅτι ὡς δοκίμους διὰ τὴν ἡμῶν ἀρετὴν ἐξελέξατο. Ἐπεὶ δὲ οὐκ ἀπὸ τῆς ἡμετέρας ἀρετῆς μόνης ἡ σωτηρία, προσέθηκεν, ὅτι ἐν ἀγάπῃ προορίσας ἡμᾶς, τουτέστι, δι' οἰκείαν φιλανθρωπίαν ἀγαπήσας ἡμᾶς προώρισεν. Ἄλλως τε, τὸ μὲν πιστεῦσαι καὶ προσελθεῖν ἐστιν ἡμέτερον, καίτοι καὶ τοῦ καλέσαντος θεοῦ· τὸ δὲ προσελθόντας ἀξιῶσαι τῆς υἱοθεσίας, μόνης τῆς ἀγάπης αὐτοῦ καὶ φιλανθρωπίας.»

(2) «Ἵνα ἡ τῆς χάριτος καὶ τῆς εὐεργεσίας αὐτοῦ δόξα δειχθῇ. Ἆρα δὲ δόξης ἐφίεται ὁ θεός; Μὴ γένοιτο! ἀνενδεὲς γὰρ τὸ θεῖον· ἀλλὰ βούλεται δοξάζεσθαι παρ' ἡμῶν, ὡς ἂν αὐτὸν πλέον ἀγαπῶμεν. Ὁ γὰρ θαυμάζων τὰς εἰς αὐτὸν γενομένας

τωσε δὲ, πρῶτον μὲν ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ· ἔπειτα δὲ ἐπεράστους ἐποίησεν ἀγγέλοις, ἀρχαγγέλοις, ταῖς ἄνω δυνάμεσι, τοῖς εὐηρεστηκόσιν αὐτῷ ἁγίοις. Ἐπιθυμήσει γάρ, φησιν, ὁ βασιλεὺς τοῦ κάλλους σου (α). Ἐχαρίτωσε δὲ *ἐν τῷ ἠγαπημένῳ*, τουτέστι, τὴν χάριν ταύτην διὰ τοῦ ἠγαπημένου Χριστοῦ τοῖς ἐπὶ γῆς δέδωκεν· αὐτὸς γὰρ ὁ μεσίτης. *Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν.*] Δι' οὗ, φησὶν, *ἔχομεν τὴν ἀπολύτρωσιν*, τουτέστι, *τὴν ἄφεσιν τῶν παραπτωμάτων*, *διὰ τοῦ αἵματος αὐτοῦ* ὑπάρξασαν ἡμῖν. Θαυμαστὸν γὰρ τὸ μὴ μόνον ὑπὲρ ἐχθρῶν, ἀλλὰ καὶ τὸν υἱὸν δοῦναι, καὶ πρὸς θάνατον διὰ τοῦ αἵματος (1)· τοῦτο γὰρ τῶν δωρεῶν τὸ φρικωδέστατον (2). *Κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ.*] Ταῦτα δὲ ἐποίησέ, φησι, *κατὰ τὸν πλοῦτον*, τουτέστιν, ἐν τῷ πλούτῳ *τῆς χάριτος αὐτοῦ*. *Ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς.*] Πανταχόθεν ὑπερβολαί. Πλοῦτος ἡμῖν ἐδόθη, καὶ πλοῦτος θεοῦ, καὶ χάριτος πλοῦτος· καὶ ὅτι ἐπερίσσευσε, τουτέστι, περισσευθῆναι ἐποίησεν (3). *Ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει.*] Ἢ σοφῶς καὶ φρονίμως ἐγνώρισεν ἡμῖν, ἢ σοφοὺς καὶ φρονίμους ποιήσας, οὕτως ἐγνώρισεν ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ· ὡσεὶ εἶπε· Τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ ἐγνώρισεν ἡμῖν. Τί γὰρ ἴσον τοῦ μυστηρίου τούτου, τοῦ δοῦναι τὸν υἱὸν ὑπὲρ τῶν ἐχθρῶν;

εὐεργεσίας, σπουδάσει μὴ προσκρούσῃ τῷ εὐεργέτῃ· καὶ ὁσάκις ἀναμιμνήσκεται τῶν ἀγαθῶν, πλέον ἀγαπήσει τὸν δεδωκότα. Εὐδοκία οὖν ἐςι τὸ προηγούμενον θέλημα τοῦ θεοῦ· οἷον· Θέλημα πρῶτον τοῦ θεοῦ, τὸ μηδένα ἀπολέσθαι· θέλημα δεύτερον, τὸ γενομένους κακοὺς ἀπολέσθαι· οὐ γὰρ δὴ ἀνάγκῃ κολάζει, ἀλλὰ θέλων. Ἡ τοίνυν εὐδοκία, τὸ προηγούμενόν ἐστι θέλημα τοῦ θεοῦ.» Θεοφύλακτος.

(α) Ψαλμ. ΜΔ', 12. (1) Ἴσως· Θαυμαστὸν γὰρ τὸ μὴ μόνον δοῦναι τὸν υἱὸν, καὶ πρὸς θάνατον· ὅπερ ἐςι τὸ, διὰ τοῦ αἵματος· ἀλλὰ καὶ ὑπὲρ ἐχθρῶν.

(2) «Οὐ μόνον ὅτι τὸν υἱὸν ἔδωκε θαυμαστὸν, ἀλλ' ὅτι καὶ τούτῳ τῷ τρόπῳ, ὥστε σφαγῆναι αὐτὸν τὸν ἀγαπώμενον. Πολλὴ ἡ ὑπερβολή. Τὸν ἀγαπώμενον ὑπὲρ τῶν μισουμένων ἔδωκεν. Ὅρα, πόσον ἡμᾶς τιμᾶται! Εἰ, ὅτε αὐτὸν ἐμισοῦμεν, καὶ ἐχθροὶ ἦμεν, τὸν ἀγαπώμενον ἔδωκε, τί οὐ ποιήσει λοιπὸν, ὅταν τούτῳ καταλλαγῶμεν διὰ τῆς χάριτος; Τὴν ἄφεσίν, φησι, τῶν παραπτωμάτων.— Οὐδὲν γὰρ οὕτω μέγα, ὡς τὸ αἷμα τοῦ θεοῦ ἐκχυθῆναι ὑπὲρ ἡμῶν. Καὶ τῆς υἱοθεσίας, καὶ τῶν ἄλλων δωρεῶν τοῦτο μεῖζον, τὸ μηδὲ τοῦ υἱοῦ φείσασθαι. Μέγα γὰρ τὸ ἀφεθῆναι τῶν ἁμαρτημάτων· ἀλλὰ τὸ μεῖζον, τὸ διὰ τοῦ αἵματος τοῦ δεσποτικοῦ.» Χρυσόστομος. (3) «Καὶ οὐχ ἁπλῶς χάριτος, ἀλλ' ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς, τουτέστιν, ἀφθόνως ἐξέχεεν.» Θεοφύλακτος.

9 Γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ
κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ,
10 εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνα-
κεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν
11 τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν αὐτῷ, ἐν ᾧ
καὶ ἐκληρώθημεν, προορισθέντες κατὰ πρόθεσιν τοῦ
τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελή-
12 ματος αὐτοῦ, εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς
δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ.

Γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ.] Τουτέςι, κατὰ τὴν βουλὴν αὐτοῦ· ἣν βουλὴν *προέθετο ἐν αὐτῷ*, τουτέςι, τῷ Χριςῷ, πληρῶσαι. Καὶ ἁπλῶς τοῦτο προέθετο, φησὶ, τοῦτο ἐβούλετο ὁ πατὴρ, τὴν ἀπαρχὴν τοῦ φυράματος ἡμῶν ἐκ δεξιῶν αὐτοῦ καθίσαι. Ἢ ὅτι, οὐ μόνον τὸ πραχθῆναι τὸ περὶ ἡμᾶς μυστήριον διὰ τοῦ υἱοῦ, προωρίσθη γενέσθαι κατ' εὐδοκίαν τοῦ θελήματος τοῦ πατρὸς, ἀλλὰ καὶ τὸ ἀξιωθῆναι ἡμᾶς μαθεῖν τοῦτο, ὁμοίως διὰ τοῦ υἱοῦ ἡμῖν γέγονε κατ' εὐδοκίαν τοῦ πατρός. Πάντα μὲν γὰρ ὁ υἱὸς ἐποίησε, καὶ ἔπαθεν, ἵνα υἱοθετήσῃ, καὶ υἱοθέτησε, καὶ ἀπεκάλυψεν, ὅτι υἱοθέτησεν. Ἀλλὰ καὶ ἐν πᾶσι τούτοις ηὐδόκησεν ὁ πατὴρ καὶ ἠθέλησεν. Ἢ οὖν, ὡς προεγράφη, ἐκληπτέον τὸ εἰπεῖν ἐκ δευτέρου τὸν θεῖον Παῦλον, *τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν*, καὶ ἑξῆς, ἢ ὡς νῦν ἀνεπτύχθη· ἑκατέρα γὰρ ἡ διάνοια οὐ διίσταται τοῦ εὐλόγου (Φωτίου). *Εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν.*] Ταύτην δὲ τὴν εὐδοκίαν διὰ τί προέθετο; Διὰ τί; *Εἰς οἰκονομίαν*, φησὶ, τουτέστιν, εἰς χρηστὴν καὶ ἐπωφελῆ διοίκησιν καὶ κατάστασιν τοῦ πέρατος τῶν καιρῶν. Ἐν γὰρ τοῖς ἐσχάτοις καιροῖς ἡ σωτήριος οἰκονομία γέγονε τῆς ἐνανθρωπήσεως (1). *Ἀνακε-*

(1) « Τὸ γὰρ π λ ή ρ ω μ α τ ῶ ν κ α ι ρ ῶ ν, τουτέστιν, οἱ ἔσχατοι χρόνοι κόλασιν ἀπῄτουν καὶ τιμωρίαν, ὡς πληθυνθείσης ἐν αὐτοῖς τῆς κακίας τῶν ἀνθρώπων. Ἡ δὲ παρουσία τοῦ υἱοῦ. μᾶλλον σωτηρίαν ἐν τούτοις τοῖς ἐσχάτοις καιροῖς ᾠκονόμησεν· ὅπερ ἐστὶ σοφίας ἀνεπινοήτου.» Θεοφύλακτος.

φαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ.] Ἀπεσχισμένοι ἦσαν οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι. Προέθετο οὖν ὁ πατὴρ *ἀνακεφαλαιώσασθαι* τὰ οὐράνια καὶ τὰ ἐπίγεια, τουτέστι, συνάψαι, ἑνῶσαι, καὶ μίαν κεφαλὴν παρασχεῖν ἀγγέλοις καὶ ἀνθρώποις, τὸν Χριστόν· τοῖς μὲν ἀγγέλοις, κατὰ τὴν ἀσώματον φύσιν· τοῖς δὲ ἀνθρώποις, κατὰ τὴν σάρκα. Συνῆψεν οὖν αὐτοὺς, καὶ ἥνωσε διὰ Χριστοῦ. — ΑΛΛΩΣ. *Ἀνακεφαλαίωσιν* καλεῖ, τὴν σύντομον τῶν πραγμάτων μεταβολήν. Διὰ γὰρ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας, καὶ τῶν ἀνθρώπων ἡ φύσις ἀνίσταται, καὶ τὴν ἀφθαρσίαν ἐνδύεται, καὶ ἡ ὁρωμένη κτίσις, τῆς φθορᾶς ἐλευθερουμένη, τεύξεται τῆς ἀφθαρσίας, καὶ τῶν ἀοράτων οἱ δῆμοι ἐν εὐφροσύνῃ διατελέσουσιν, ἐπειδὴ ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. Τοῦτο διὰ τούτων τῶν ῥημάτων ἐδίδαξεν ὁ θεῖος ἀπόστολος. Οὐ γὰρ ἁπλῶς εἶπε, τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀλλὰ, *τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς*· καὶ δεικνὺς τὸ τῆς οἰκονομίας μυστήριον, ἐπήγαγεν, *ἐν αὐτῷ*, τουτέστιν, ἐν τῷ Χριστῷ (Θεοδωρήτου). Πάλιν γὰρ τὸ, *ἐν αὐτῷ*, τουτέστι, δι' αὐτοῦ τοῦ Χριστοῦ. — *Ἐν ᾧ καὶ ἐκληρώθημεν.*] Εἶπεν ἄνω, ὅτι ἐξελέξατο· νῦν πάλιν, ὅτι *καὶ ἐκληρώθημεν ἐν τῷ Χριστῷ*, τουτέστι, διὰ τοῦ Χριστοῦ· ἀλλ' ἐπειδὴ ὁ κλῆρος, συγκυρίας μᾶλλον, καὶ οὐκ ἀρετῆς, οὐδὲ προαιρέσεώς ἐστι, διορθοῦται αὐτὸ, καί φησι· *Προορισθέντες*· οὐκ ἂν δὲ προωρίσθημεν, εἰ ἀνάξιοι ἦμεν. Ἄνωθεν γὰρ προορίσας ἡμᾶς, εἰς ταύτην ἀπεκλήρωσε τὴν ζωὴν ὁ πάντα ποιῶν ὅσα βούλεται. Διδάσκει δὲ σαφέστερον, εἰς ποῖον προωρίσθημεν κλῆρον. *Κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος.*] Κατὰ τὴν γνώμην τοῦ τὰ πάντα ἐνεργοῦντος θεοῦ ἔντε οὐρανῷ καὶ ἐπὶ γῆς. Εἶτα οὐκ ἀρκεσθεὶς τῷ εἰπεῖν, *προορισθέντες*, καὶ, *κατὰ πρόθεσιν*, ἐπάγει, *κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ*. Δεῖξαι γὰρ βούλεται, ὅτι οὐκ ἐν παρεπομένῳ ἐκλήθη τὰ ἔθνη, διὰ τὸ ἀποσκιρτῆσαι τοὺς Ἰουδαίους, ἀλλ' ὅτι

ἄνωθεν τοῦτο προώριστο, καὶ ἐν πρωτοτύπῳ ἔκειτο (1). Ἐπειδὴ γὰρ ὁ Χριστὸς, προτρεπόμενος τοὺς Ἰουδαίους, φησίν· *Οὐκ ἦλθον, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·* καὶ πάλιν· *Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε* (α)· σπουδάζει νῦν ὁ Παῦλος, δεῖξαι ὅτι προτροπῆς ἕνεκεν καὶ ἐφελκύσεως τῶν Ἰουδαίων ἐκεῖνα εἴρηται· ἐπεὶ τόγε ἀληθὲς, ἄνωθεν ὥριστο ἡ κλῆσις τῶν ἐθνῶν. *Εἰς τὸ εἶναι ἡμᾶς.*] *Ἡμᾶς.* Τίνας; *Τοὺς προηλπικότας ἐν τῷ Χριστῷ*, φησὶ, τουτέστι, τοὺς πιστεύσαντας ἐν τῷ Χριστῷ. *Εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.*] Ἐκ τοῦ καθ' ἡμᾶς γὰρ πράγματος μάλιστα δοξαστέος ὁ Θεὸς, ὅτι τοὺς οὕτως αὐτοῦ ἠλλοτριωμένους ἔσωσεν (2).—Πάντες γὰρ εἰς ἡμᾶς ὁρῶντες, τοὺς εἰς τὸν Δεσπότην πεπιστευκότας, Χριστὸν ἀνυμνοῦσι τὸν τούτων αἴτιον τῶν ἀγαθῶν (Θεοδωρήτου).

13 Ἐν ᾧ καὶ ὑμεῖς, ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν· ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύματι τῆς
14 ἐπαγγελίας τῷ ἁγίῳ· ὅς ἐστιν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

Ἐν ᾧ καὶ ὑμεῖς.] *Ἐν ᾧ*, τουτέστι, δι' οὗ Χριστοῦ. Οὕτω καὶ πρὸς Ἑβραίους φησίν· Ἐλάλησεν ἡμῖν *ἐν υἱῷ*, τουτέστι, διὰ τοῦ υἱοῦ (β). *Τὸν λόγον τῆς ἀληθείας.*] *Λόγον ἀληθείας* φησὶ, πρὸς ἀντιδιαστολὴν τοῦ τυπικοῦ καὶ σκιώδους νόμου· οὐκ ἔστι γὰρ, φησὶ, τύπος, ὡς ἐπὶ Ἰουδαίων, ἀλλ' αὐτὴ ἡ ἀλήθεια. *Τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν.*] *Εὐαγγέλιον δὲ σωτηρίας* ἔστι μὲν καὶ ὡς πρὸς ἀντιδιαστολὴν τοῦ νόμου, τοῦ ἀπο-

(1) « Κατὰ τὴν βουλὴν δέ, φησι, τοῦ θελήματος αὐτοῦ, ἵνα δείξῃ, ὅτι οὐχ ὡς ἀπειθησάντων τῶν Ἑβραίων, ἐν παρόδῳ ἐκλήθη τὰ ἔθνη, ἀλλὰ ἄνωθεν ταῦτα προώριστο, καὶ βουλὴ αὕτη ἦν τοῦ θεοῦ ἀρχαία, καὶ θέλημα αὐτοῦ. » Θεοφύλακτος. (α) Ματθ. Ι', 5. 6. ΙΕ', 25.

(2) « Ὥστε, φησὶν, εἰς δόξαν αὐτοῦ εἶναι ἡμᾶς τοὺς προηλπικότας ἐν τῷ Χριστῷ, τουτέστι, τοὺς πιστεύσαντας ἐν τῷ Χριστῷ, καὶ πρὶν ἢ ἐπιστῇ ὁ μέλλων αἰὼν, ἐλπίζοντας τὰ τότε ἡμῖν ἐσόμενα. Δόξα γὰρ καὶ ἔπαινος τῆς τοῦ θεοῦ ἀγαθότητος, τὸ τοὺς οὕτως ἠλλοτριωμένους σῶσαι. » Θεοφύλακτος.

(β) Ἑβρ. Α', 1.

κτενόντος, καὶ τῆς μελλούσης κολάσεως· τῆς μὲν γὰρ προτέρας παρουσίας τὸ κήρυγμα ἐπὶ σωτηρίᾳ· ἡ δὲ σάλπιγξ τῆς δευτέρας, ἐπὶ κολάσει· ἔστι δὲ καὶ ὅτι τοὺς πιςεύοντας σώζει. *Ἐν ᾧ καὶ πιστεύσαντες.*] *Ἐν ᾧ εὐαγγελίῳ*, τουτέστι, Δι' οὗ εὐαγγελίου καὶ τῆς ἐν αὐτῷ πίςεως, *ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας*, ἢ τῷ ἐπαγγελλομένῳ τὰ μυρία ἀγαθὰ, ἢ ἵνα διὰ τῆς σφραγῖδος τύχητε τῶν ἐπαγγελιῶν· ὥσπερ γὰρ δήλους ποιῶν τοὺς αὐτοῦ ὁ θεὸς, σφραγίζει αὐτοὺς τῷ ἁγίῳ πνεύματι. — Τὸ, *ἐσφραγίσθητε*, ἔοικε τῷ προφητικῷ ῥητῷ· Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε (α)· ἀντὶ τοῦ, οἱόν τινα σφραγῖδα τὴν τοῦ πνεύματος ἐκομίσασθε δωρεάν. *Ἐπαγγελίαν* δὲ αὐτὴν καλεῖ, ὡς τοῦ Κυρίου ἐπαγγειλαμένου πέμψειν τὸ ἅγιον Πνεῦμα (Θεοδωρήτου). — *Ὅς ἐστιν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν.*] Ὁ ἀῤῥαβὼν πιστοῦται τὸ ὅλον. Τὴν υἱοθεσίαν τοίνυν καὶ τὰ μυρία ἀγαθὰ πιστούμενος ὁ θεὸς, δέδωκεν ἀῤῥαβῶνα τῆς ἐπουρανίου κληρονομίας τὸ ἅγιον πνεῦμα. — *Ὅς ἐστιν αὐτὸ* τὸ πνεῦμά φησιν. Ἐποιήσατο δὲ τὴν μετάληψιν τοῦ ἄρθρου, οὐκ ἀπὸ τῆς προφορᾶς τῆς κατὰ τὸ πνεῦμα, ἀλλ' ἀπὸ τῆς ἐννοίας τῆς ἀπὸ τοῦ θεοῦ. Ἐπεὶ γὰρ εἶπε, *πνεύματι*, τοῦτο δέ ἐστι θεὸς, ἐπάγει οἰκείως καὶ βαθύτερον συντάσσων, *ὅς ἐστιν ἀῤῥαβὼν* (1), καὶ ἑξῆς (Φωτίου). — *Εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως.*] *Περιποίησιν* ἡμᾶς αὐτοὺς καλεῖ, διὰ τὸ περιποιήσασθαι ἡμᾶς τὸν θεόν. Ὁ οὖν ἀῤῥαβὼν οὗτος, φησὶ, καὶ πρὸς τοῦτο ἐστὶ, πρὸς τὸ ἀπολυτρώσασθαι τὴν περιποίησιν αὐτοῦ, τουτέστιν, ἡμᾶς, οἵτινές ἐσμεν περιποίησις, καὶ κτῆσις, καὶ περιουσία θεοῦ. Ἢ, *περιποίησιν*, λέγει τὴν περὶ ἡμᾶς σπουδὴν καὶ κηδεμονίαν τοῦ θεοῦ. Φησὶν οὖν, ὅτι ὁ ἀῤῥαβὼν οὗτος εἰς τὴν τελείαν ἀπολύτρωσιν καὶ τὴν καθαρὰν ἡμῶν περιποίησιν φέρει. Τότε γὰρ ἔςαι ἡ καθαρὰ ἀπολύτρωσις, ὅταν μὴ μόνον ἁμαρτιῶν, ἀλλὰ καὶ

(α) Ψαλμ. Δ', 7.

(1) «Ἀπέδωκε δὲ (τὸ ἄρθρον, ὅς), οὐ πρὸς τὸ πνεῦμα, ἀλλὰ πρὸς τὸ, θεός· θεὸς γὰρ καὶ τὸ πνεῦμα.» Σχολίων ἀρχαίων.

τοῦ μετὰ ἁμαρτωλῶν συνοικεῖν ἀπολυτρωθῶσιν οἱ ἅγιοι, καὶ φανῶσιν οἱ περιποιηθέντες, καὶ προσκτηθέντες τῷ θεῷ, ὥστε εἶναι λαὸς αὐτοῦ. *Εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.*] Τοῦτο συνεχῶς ἐπιλέγει, πιστούμενος τὸ πάντως ἔσεσθαι τὰ ἐπηγγελμένα, ὡσεὶ ἔλεγεν· Εἰ μὲν ἡμῶν ἕνεκεν ταῦτα ἐπηγγείλατο, κἂν ἀμφιβάλλειν ἦν· εἰ δὲ διὰ τὸ θαυμασθῆναι τὴν δόξαν αὐτοῦ ταῦτα ποιεῖ, τίς ἀντερεῖ λοιπὸν, ὡς οὐ ποιήσει;

ΚΕΦΑΛΑΙΟΝ Β'.

Εὐχὴ περὶ γνώσεως τῶν ἐν Χριστῷ εἰσαχθέντων ἀγαθῶν εἰς ἡμᾶς.

15 Διὰ τοῦτο κἀγὼ, ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν
ἐν τῷ Κυρίῳ Ἰησοῦ, καὶ τὴν ἀγάπην, τὴν εἰς πάν-
16 τας τοὺς ἁγίους, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ
ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν
17 μου· ἵνα ὁ θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
ὁ πατὴρ τῆς δόξης, δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ
18 ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους
τοὺς ὀφθαλμοὺς τῆς καρδίας (1) ὑμῶν, εἰς τὸ εἰ-
δέναι ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ,
καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐ-
19 τοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος
τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς, τοὺς πιστεύοντας
κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ,
20 ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ τῶν
νεκρῶν· καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπου-
ρανίοις,

Διὰ τοῦτο κἀγώ.] *Διὰ τοῦτο.* Ποῖον; Διότι πιστεύσαντες, ἐσφραγίσθητε τῷ πνεύματι, καὶ ἀῤῥαβῶνα ἐλάβετε τῶν μελλόντων ἀγαθῶν, καὶ τῆς τελείας ἀπολυτρώσεως, καὶ μέλλετε

(1) Παρ' ἄλλοις, διανοίας.

τυχεῖν τῶν ἀποκειμένων τοῖς ὀρθῶς πιστεύουσι καὶ βιοῦσιν ἀγαθῶν. *Ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ.*] Καθ' ὑπερβατόν· *Ἀκούσας τὴν ἐν Κυρίῳ Ἰησοῦ πίστιν*, ἣν ὑμεῖς, φησὶ, κέκτησθε. *Καὶ τὴν ἀγάπην, τὴν εἰς πάντας.*] Ἀκούσας, φησὶ, τὴν πίστιν ὑμῶν τὴν διὰ τοῦ Κυρίου Ἰησοῦ· καὶ οὐ μόνον τὴν πίστιν, ἀλλὰ καὶ *τὴν ἀγάπην*, τουτέστι, τὴν ἐλεήμονα καὶ φιλάδελφον καὶ φιλάνθρωπον γνώμην, τὴν *εἰς πάντας*, καὶ οὐκ εἰς μόνους τοὺς ἐπιχωρίους, *ἁγίους*, τουτέστι, τοὺς πιστοὺς πένητας. Ἀεὶ δὲ τῇ πίστει συνάπτει τὴν ἀγάπην, τὴν γεννῶσαν τὸν ἐνάρετον βίον, καλλίστην ἀποτελῶν ξυνωρίδα. Ἄνευ γὰρ ταύτης τὸ ἕτερον ἀργὸν, ἡ πίστις, φημὶ, χωρὶς ἔργου καὶ βίου, ὥσπερ καὶ βίος χωρὶς πίστεως. *Οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν.*] Ὁρᾷς σπλάγχνα οἰκτιρμῶν, πῶς ὑπὲρ πάντων εὐχαριστεῖ, ὡς αὐτὸς εὐεργετούμενος; Οὐ γὰρ μόνοις τούτοις, ἀλλὰ καὶ πᾶσι τοῦτο γράφει. Ἄξιον μὲν οὖν εὐχαριστεῖν τῷ θεῷ καὶ ἐπὶ πᾶσι τοῖς ἄλλοις, ὧν ἠξιώθημεν· πλεῖον δὲ ἁπάντων διὰ τὴν πίστιν ὑμῶν εὐχαριστητέον αὐτῷ, ὅτι νοῦν ἡμῖν πρὸς τὸ πιστεῦσαι δέδωκεν. *Ἵνα ὁ θεός.*] Τί δὲ παρακαλεῖς, καὶ ποίαν μνείαν ποιῇ; *Ἵνα*, φησὶν, *ὁ θεὸς τοῦ Κυρίου ἡμῶν* σοφίσῃ ὑμᾶς. *Ὁ θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης.*] Τοῦτο κατὰ διαίρεσιν τέθεικε· τὸν γὰρ αὐτὸν τοῦ αὐτοῦ καὶ θεὸν ἐκάλεσε καὶ πατέρα· *θεὸν* μὲν, ὡς ἀνθρώπου ὁμοίου ἡμῖν κατὰ τὴν σάρκα· *πατέρα* δὲ, ὡς θεοῦ· *δόξαν* γὰρ, τὴν θείαν φύσιν ὠνόμασεν (1). Οὕτω καὶ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· *Ὃς ὢν ἀπαύγασμα τῆς δόξης* (α), τουτέστι, τῆς θείας φύσεως. Οὕτω καὶ ὁ θεῖος Ἰεζεκιὴλ, *Τοῦτό*, φησιν, *ὁμοίωμα δόξης Κυρίου* (β). Ἐπειδὴ γὰρ τὴν θείαν φύσιν διαγνῶναι πάμπαν ἀδύνατον, *δόξαν* αὐτὴν ὀνομάζουσιν,

(1) « Ὁ θεολόγος Γρηγόριος δόξαν, τὴν θεότητα τοῦ μονογενοῦς ἐνόησεν, ὥστε εἶναι τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ καὶ θεὸν καὶ πατέρα· Χριστοῦ μὲν, ἤγουν τῆς ἀνθρωπότητος, θεόν· τῆς δὲ δόξης, ἤγουν τῆς θεότητος, πατέρα. » Θεοφύλακτος.

(α) Ἑβρ. Α', 3. (β) Ἰεζ. Α', 28.

ἀπὸ τῆς προσκυνήσεως καὶ δοξολογίας τὴν προσηγορίαν τιθέντες (Θεοδωρήτου).—*Ἡ, ὁ πατὴρ τῆς δόξης*, τουτέστιν, ὁ μεγάλα καὶ ἔνδοξα δεδωκὼς ἡμῖν ἀγαθά. Ἀεὶ γὰρ πρὸς τὸ προκείμενον ὀνομάζει τὸν Θεὸν, *πατέρα οἰκτιρμῶν* καλῶν, καὶ *θεὸν εἰρήνης*, καὶ *θεὸν δυνάμεων* (α)· νῦν δὲ αὐτὸν, *πατέρα δόξης* καλεῖ. Μεγίστην γὰρ δόξαν καὶ τιμὴν ἐχαρίσατο τῷ γένει τῶν ἀνθρώπων, ἅτινα παρασχεθέντα ἡμῖν, γενικῷ ὀνόματι καλεῖ *δόξαν*, διὰ τοῦ λαμπροτέρου παρ' ἡμῖν ὀνόματος. Ταύτης οὖν τῆς δόξης φησὶν αὐτὸν πατέρα, καὶ οἷον δημιουργόν.—*Δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως.*] Ἄρα πνευματικῆς δεῖ σοφίας ἡμῖν, εἰς τὸ ἐπιγνῶναι τὰ παρὰ τοῦ Θεοῦ δωρηθέντα ἡμῖν· ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· μωρία γὰρ αὐτῷ ἐστίν (ϐ). *Πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας.*] Ὁ τὸν Θεὸν γνοὺς, ὡς ἐχρῆν, οὐκ ἂν περὶ ἑτέρου τινὸς τῶν ὑπὸ Θεοῦ γενομένων ἀμφιβάλλοι, ὡς τόδε δυνατὸν, ἢ τόδε ἀδύνατον αὐτῷ· πάντα γὰρ δυνατὰ τῇ θείᾳ φύσει. Ταύτην δὲ οὐκ ἂν ἄλλως σχοίη τις τὴν γνῶσιν, εἰ μὴ διὰ πνεύματος ἁγίου· εἰ μὴ γὰρ τὸ πνεῦμα ἀποκαλύψῃ τὰ κεκρυμμένα μυστήρια, ἀδύνατον ἄλλως μαθεῖν. Αὐτὸ γὰρ μόνον, οὐκ ἄγγελος, οὐδὲ ἀρχάγγελος, πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ (γ). Ὅταν οὖν ὑπὸ τοῦ πνεύματος ἀποκαλυφθῇ ἡμῖν τὰ μυστήρια, τότε καὶ *ἐν ἐπιγνώσει* τοῦ Θεοῦ γινόμεθα, καὶ φωτίζονται οἱ ὀφθαλμοὶ ἡμῶν. *Εἰς τὸ εἰδέναι ὑμᾶς.*] Ἄλλως γὰρ οὐκ ἔνι ἐπιγνῶναι Θεὸν, εἰ μὴ φωτισθῇ τοὺς ὀφθαλμοὺς τοὺς νοητούς. *Τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ.*] *Κλῆσιν* φησι, τὸ ἐπὶ ποίαις ἐλπίσιν ἐκλήθημεν· δῆλον δὲ, ὅτι ἐπὶ υἱοθεσίᾳ καὶ κληρονομίᾳ βασιλείας οὐρανῶν, καὶ ἐπὶ τῷ γενέσθαι ἡμῶν κεφαλὴν τὸν Χριστόν. Ἐπειδὴ γὰρ τοῦτο μέλλον ἐστὶ, πνευματικῆς δεῖται ἀποκαλύψεως εἰς τὸ μαθεῖν αὐτό. *Καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις.*]

(α) Β' Κορ. Α', 3. ΙΓ', 11. Ψαλ. ΚΓ', 10. (ϐ) Α' Κορ. Β', 14.
(γ) Α' Κορ. Β', 10.

Βαβαὶ, πόσα ὑπερέχοντα ῥήματα! *Πλοῦτος, δόξα, κληρονομία θεοῦ. Ἐν τοῖς ἁγίοις* δὲ ἔσται ταῦτα· τῶν γὰρ τοιούτων ἄξιοι οἱ ἅγιοι. Καὶ τοῦτο τοιγαροῦν πνευματικῆς δεῖται ἀποκαλύψεως. *Καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ.*] Εἶπε τινὰ μέλλοντα· νῦν δὲ λέγει καὶ τὸ ἤδη γεγονὸς, ἵνα ἐκ τούτου πιστώσηται κἀκεῖνα. Ποῖον δὲ τοῦτο; Αὐτὸ τὸ πιστεῦσαι ἡμᾶς. Ὄντως γὰρ μέγιστον δυνάμεως θεοῦ δεῖγμα, τὸ ἡμᾶς, τοὺς οὕτω θηριώδεις, πιστεῦσαι θεῷ, καὶ τὰ οὐράνια φιλοσοφεῖν (1).—*Καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς, τοὺς πιστεύοντας.* Τὸ γὰρ καθ' ὑπερβολὴν μέγεθος τῆς ἀφάτου δυνάμεως αὐτοῦ, καὶ εἰς ἡμᾶς τοὺς πιστεύοντας ἐπιδείκνυται. Πῶς; Ὅτι τοῖς πάθεσι πάσας τὰς αἰσθήσεις νενεκρωμένας ἔχοντες, καὶ αὐτὸν τὸν λογισμὸν τούτοις ἐντεθαμμένον καὶ συγκεχωσμένον, ἀνέστησε καὶ ἐζώωσεν, εἰς τὸ δέξασθαι ἡμᾶς τῆς πίστεως αὐτοῦ τὴν αἴγλην καὶ τὴν λαμπρότητα. Ὄντως τοῦτο κράτος ἰσχύος αὐτοῦ! Διὸ καὶ συνιέναι αὐτοὺς διὰ τῆς τοῦ πνεύματος σοφίας ἐπεύχεται τοῦτο. Ἂν γὰρ συνιῶμεν ὃ εὐηργετήμεθα, μᾶλλόν τε τὸ δῶρον περιπτυξόμεθα, καὶ τῷ εὐεργέτῃ εὐχαρίστως ἐσόμεθα διακείμενοι. Τὸ δὲ, *κατὰ τὴν ἐνέργειαν, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ*, ἢ ὅτι τῆς αὐτῆς ἐστιν ἰσχύος καὶ ἐνεργείας τὸ ἀναστῆναι ἡμᾶς τοῦ ψυχικοῦ θανάτου, καὶ τὸ ἀναστῆναι τοῦ σωματικοῦ τὸν Χριστὸν καὶ θεὸν ἡμῶν· ἢ, *κατὰ τὴν ἐνέργειάν*, φησιν, αἰτίαν ἀποδιδοὺς τῆς ἐγέρσεως ἡμῶν, οἷον δι' ἣν πεπιστεύκαμεν, καὶ δι' ἣν ἀνέστημεν τοῦ ψυχικοῦ θανάτου. Ἡ γὰρ ἐνέργεια, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ ἑξῆς,

---

(1) « Γλώττῃ σαρκικῇ διαλεγόμενος ὁ θεῖος ἀπόστολος, καὶ μὴ δυνάμενος, ὡς βούλεται, τὸν Δεσπότην ὑμνῆσαι, καὶ τῶν δωρεῶν ὑποδεῖξαι τὸ μέγεθος, πολλὰ κατὰ ταὐτὸν ὀνόματα συναθροίζει, δεῖξαι ταῦτα φιλονεικῶν κατὰ δύναμιν. Διὰ τοῦτο ἐλπίδα κλήσεως, καὶ πλοῦτον δόξης κληρονομίας, καὶ ὑπερβάλλον μέγεθος δυνάμεως, καὶ εὐδοκίαν θελήματος, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα συναγείρει. Τὸ δὲ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως τέθεικε, τοῦ σταυροῦ τὴν ἀτιμίαν εἰς νοῦν λαβὼν, καὶ ἐνθυμηθεὶς, ἡλίκα διὰ τούτου κατώρθωσε. » Θεοδώρητος.

αὕτη γέγονεν αἰτία τοῦ πιστεῦσαι καὶ ἀνενεγκεῖν ἡμᾶς τῆς προτέρας πλάνης. Ἀνέστη γάρ· ὅτι τέθνηκε· τέθνηκε δέ· ὅτι σεσάρκωται· σεσάρκωται δὲ, ἵνα ἡμᾶς υἱοποιήσηται. Καὶ ταῦτα πάντα τῆς ἐνεργείας ἐστὶν αὐτοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. Τὸ οὖν, *κατὰ τὴν ἐνέργειαν*, ὡς ἂν εἴπῃ, Διὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ· κατ' ἐκείνην γὰρ καὶ δι' ἐκείνην, καὶ πεπιστεύκαμεν καὶ σεσώσμεθα. Ἢ, *Καὶ τί τὸ ὑπερβάλλον μέγεθος αὐτοῦ εἰς ἡμᾶς, τοὺς πιστεύοντας*, τοῦτό φησιν, ὅτι τὴν ἀπαρχὴν ἡμῶν ὑπεράνω πάσης ἀρχῆς καὶ δυνάμεως καὶ ἐξουσίας καὶ κυριότητος ἀναστήσας τὸν Χριστὸν, ἐν δεξιᾷ αὐτοῦ ἐκάθισεν. Εἰ γὰρ καὶ ἐξ ὅλου τοῦ ἀνθρωπίνου φυράματος τὸ πρόσλημμα ἡμῶν ὁ Λόγος καὶ Θεὸς ἡμῶν προσελάβετο, ἀλλ' οὖν ἀπαρχὴ τῶν πιστευόντων ἐστὶ μόνον, καὶ αὐτῷ κατακολουθούντων, ὥσπερ καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς (α), τοῖς πιστεύουσιν· ἀλλ' οὐκ ἐν πᾶσιν· οὐ γὰρ κἂν τοῖς ἀπίστοις. Οὕτως οὖν ἐκλαμβανομένου τοῦ, *Καὶ τί τὸ ὑπερβάλλον μέγεθος*, καὶ ἑξῆς· (τοῦτο γὰρ καὶ τὸ καθ' ὑπερβολὴν μέγεθος αὐτοῦ μάλιστα παρίστησι, τὸ τὴν γηγενῆ φύσιν ὑπεράνω τῶν οὐρανῶν ἀνυψῶσαι, καὶ ὑπὸ τῶν ἀσωμάτων τάξεων προσκυνουμένην δεῖξαι·) οὕτως οὖν παραληφθείσης τῆς τοῦ ῥητοῦ διανοίας, ἀκόλουθός τε καὶ σαφὴς καὶ ἡ ἔννοια τῶν ἐφεξῆς· ἐκ γὰρ τῆς ἐνεργείας, ἧς ἐνήργησεν, ἀναστήσας τὸν Χριστὸν, καὶ τὸ τὴν ἡμετέραν ἀπαρχὴν συνεδριάσαι γέγονε τῷ πατρὶ, καὶ ἡμῖν τοῖς πιστοῖς τὸ ὑπερσεμνύνεσθαι καὶ ὑπερκαλλωπίζεσθαι ἐπὶ τούτῳ (Φωτίου). — *Εἰς ἡμᾶς, τοὺς πιστεύοντας.*] Γέγονε, φησί· γέγονε δὲ, *κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ*· εἰ γὰρ μὴ ἐνήργησεν ἐν ἡμῖν, οὐκ ἂν ἐπιστεύσαμεν. *Ἣν ἐνήργησεν.*] Ποίαν δὲ ἐνέργειαν λέγεις ἐνηργηκέναι εἰς ἡμᾶς, ἵνα πιστεύσωμεν; Ἣν, φησιν, ἐνήργησε καὶ *ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν*. Ὅτι δὲ

(α) Ῥωμ. Η', 29.

καὶ ἑαυτὸν ἐγηγερκέναι, δῆλον· ἐπειδὴ εἴρηται πολλαχοῦ.

21 Ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως,
καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομέ-
νου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ
22 μέλλοντι· καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐ-
τοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκ-
23 κλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα
τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

Ὑπεράνω.] Οὐ λέγει, ἄνω, ἀλλὰ, τὸ ἄγαν ὑψηλὸν δηλῶν, *ὑπεράνω*, φησὶ (1). *Πάσης ἀρχῆς.*] Οὐ τῆσδε μὲν οὔ, τῆσδε δὲ, ναί· ἀλλὰ πάσης ἀσωμάτου δυνάμεως. Ταῦτα δὲ, μετὰ τὴν ἔνσαρκον οἰκονομίαν νόει εἰρῆσθαι τῷ Παύλῳ· πρὸ γὰρ τῆς σαρκώσεως, πρόδηλον ὡς ὁ Θεὸς Λόγος ἴσα εἶχε τῷ πατρὶ κατὰ τὴν ἐξουσίαν, ὥσπερ οὖν καὶ νῦν ἔχει μετὰ σαρκώσεως. *Καὶ παντὸς ὀνόματος ὀνομαζομένου.*] Ἀντὶ τοῦ, Καὶ παντὸς ῥητοῦ καὶ ὀνομαστοῦ, οὐ μόνον τοῦ ἐνταῦθα ὀνομαζομένου, ἀλλὰ καὶ τοῦ ἐκεῖθεν δυναμένου ῥηθῆναι καὶ ὀνομασθῆναι. Ὑπεράνω γὰρ πάντων ὁ υἱὸς, εἰ καὶ σεσάρκωται. *Οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ.*] Ἄρά ἐστιν ἀγγελικῶν δυνάμεων ὀνόματα, νῦν μὲν ἀκατονόμαστα, τότε δὲ γνωσθησόμενα. *Ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.*] Εἴ τι, φησὶν, ἐν τῷ οὐρανῷ ἐστι, πάντων ἀνωτέρω κεκάθικε (2). *Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.*] Εἶτα, ἵνα μὴ ἀκούων, *ἐκάθισεν ὑπεράνω*, νομίσῃς αὐτὸν προτετιμῆσθαι μόνον, δείκνυσιν, ὅτι καὶ δεσπότην αὐτὸν ἐποίησε πάντων· τὴν γὰρ ἐσχάτην, καὶ ἧς οὐκ ἔνι μείζων, ὑποταγὴν δεῖξαι θέλων, *ὑπὸ τοὺς πόδας αὐτοῦ* εἶπε. *Καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ.*] Καὶ τὴν ἐκκλησίαν δυνά-

(1) « Ἀπὸ γὰρ τοῦ ἐσχάτου βαθμοῦ εἰς τὸν ὑψηλότατον ἀνήγαγε τὴν ἀνθρωπίνην ἐν Χριστῷ φύσιν. Περὶ ταύτης γὰρ διαλέγεται, τῆς καὶ θανούσης καὶ ἐγερθείσης· ἐπεὶ ἥγε θεία φύσις οὔτε ἀπέθανεν, οὔτε ἠγέρθη, οὔτε ὑψώθη, ἡ ἀεὶ ὑπὲρ πᾶν ὕψος οὖσα. Πάσης οὖν δυνάμεως ἀγγελικῆς ὑπεράνω ἐκάθισεν ἡ πρὶν ἐβδελυγμένη φύσις. » Θεοφύλακτος.

(2) « Εἴτι, φησὶν, ἐν τῷ οὐρανῷ ἐστι, κατώτερον τοῦ προσληφθέντος καὶ ὑψωθέντος ἐστὶ, καὶ πάντων αὐτὸς ὑπέρτερος. » Θεοφύλακτος.

μει συνεκάθισε τῷ Χριστῷ εἰς ἐκεῖνον τὸν θρόνον· ὅπου γὰρ ἡ κεφαλὴ, ἐκεῖ καὶ τὸ λοιπὸν σῶμα. Τὸ δὲ, *ὑπὲρ πάντα*, δηλοῖ, ἢ ὅτι κεφαλὴν ἔδωκε τὸν υἱὸν ὑψηλὴν καὶ ὑπὲρ πάντα οὖσαν, ὑπὲρ ἀγγέλους καὶ ἀρχαγγέλους· ἢ τὸν ὄντα ὑπὲρ πάντα τὰ ὁρώμενα καὶ τὰ νοούμενα Χριστόν· ἢ, ὑπὲρ πάντα τὰ ἀγαθὰ τοῦτο πεποίηκε, τὸ τὸν υἱὸν δοῦναι κεφαλήν. *Ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ.*] Ὑπερβολή τις ἐστίν. Ἵνα γὰρ μὴ, ἀκούσας *κεφαλὴν*, ἀρχήν τινα καὶ ἐξουσίαν νομίσῃς δηλοῦσθαι· (δηλοῖ γὰρ καὶ ταῦτα ἡ κεφαλή·) φησὶν, ὅτι ὡς σώματός ἐστι κεφαλὴ τῆς ἐκκλησίας ὁ Χριστὸς, καὶ οὕτω συγγενὴς αὐτῇ καὶ ἡνωμένος· καὶ ἡ ἐκκλησία, *πλήρωμά* ἐστι τοῦ Χριστοῦ. Ὥσπερ γὰρ τὸ σῶμα, πλήρωμά ἐστι τῆς κεφαλῆς, ἀναπληροῦν αὐτὴν διὰ τῶν οἰκείων μελῶν· οὕτω καὶ ἡ ἐκκλησία, πλήρωμά ἐστι τοῦ Χριστοῦ, τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου. *Τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.*] Οὐδενὸς φείδεται ῥήματος ὁ ἀπόστολος πρὸς τὸ δεῖξαι τὴν συγγένειαν καὶ τὴν ἕνωσιν ἡμῶν τὴν πρὸς τὸν Χριστόν· διό φησι, *τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου*, δεικνὺς οὐ κοινῇ τῆς ἐκκλησίας χρήζοντα τὸν Χριστὸν πρὸς τὸ ἀναπληρωθῆναι, ἀλλ' ἑνὸς ἑκάστου ἀνθρώπου πιστοῦ. Ἂν γὰρ μὴ ὦμεν πολλοὶ, καὶ ὁ μέν τις αὐτοῦ ποὺς, ὁ δὲ, χεὶρ, ὁ δὲ, ἕτερόν τι μέλος, οὐκ ἀναπληροῦται ὅλον αὐτοῦ τὸ σῶμα. Εἰκότως οὖν καὶ ὁ καθ' εἷς ἡμῶν χρειώδης ἐστὶ πρὸς τὴν συμπλήρωσιν τοῦ σώματος αὐτοῦ. Τότε οὖν ἀναπληροῦται ἡ κεφαλὴ ἡμῶν, ὁ Χριστὸς, τουτέστι, λαμβάνει τέλειον τὸ σῶμα, ὅταν ὁμοῦ πάντες ὦμεν ἡνωμένοι καὶ συγκεκολλημένοι. Ἡ οὖν ἐκκλησία πλήρωμά ἐστι τῆς κεφαλῆς, τουτέστι, τοῦ Χριστοῦ, *τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου*, τουτέστι, Τοῦ τὰ πάντα αὐτοῦ τὰ μέλη ἐν πᾶσι τοῖς πιστοῖς, τουτέστι, διὰ πάντων τῶν πιστῶν, ἄλλου ἄλλην χάριν συνεισφέροντος, πληρουμένου Χριστοῦ. — Εἰπὼν τὸν Χριστὸν κεφαλὴν τῶν πιστῶν, εἰπὼν τοὺς πιστοὺς σῶμα αὐτοῦ, καὶ πλήρωμα αὐτοῦ, καὶ πολλὰ τῆς περὶ ἡμᾶς φιλανθρωπίας καὶ οἰκονομίας

εὐεργετήματα, ἐπάγει καὶ τῆς θείας αὐτοῦ καὶ ἀκηράτου οὐσίας ἔνδειγμα· *Τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.* Ἀλλὰ τίνος ἐστέ, φησι, σῶμα; τίνος πλήρωμα; Τίνος; Τοῦ πληροῦντος τὰ πάντα· οὐκ ἔν τινι ἐνεργείᾳ καὶ διοικήσει, ἀλλ' ἐν *πᾶσιν*· αὐτὸς ἐδημιούργησε πάντα· αὐτὸς ἔδωκε πνοὴν τοῖς ζῶσιν· αὐτὸς συνέχει· αὐτὸς προνοεῖται· αὐτὸς τὰ πάντα ἐν πᾶσι πράγμασι πληροῖ καὶ διέπει. Τούτου οὖν τοῦ τηλικούτου καὶ τοσούτου, τοῦ εἰς πάντα καὶ ἐν πᾶσιν ἐξαπλοῦντος αὐτοῦ τὰς ἐνεργείας, σῶμα καὶ πλήρωμα ἠξιώθημεν καλεῖσθαι. Ἀλλ' εἰ οὕτω νοηθείη, τὸ, *πληρουμένου*, ἀντὶ τοῦ, *πληροῦντος*, ἐκληφθήσεται. Ἀκολουθότερον οὖν τῇ λέξει, ὡς ἐνόησαν οἱ πρὸ ἡμῶν.

ΚΕΦΑΛΑΙΟΝ Γ′.

Περὶ τῆς τῶν ἐθνῶν καὶ Ἰουδαίων οἰκειώσεως πρὸς θεὸν διὰ Χριστοῦ ἐπ' ἐλπίδι κατὰ χάριν.

ΚΕΦ. II, 1 Καὶ ὑμᾶς, ὄντας νεκροὺς τοῖς παραπτώ-
2 μασι καὶ ταῖς ἁμαρτίαις· ἐν αἷς ποτὲ περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος, τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπει-
3 θείας· ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν· καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί·

Εἶπεν ἀνωτέρω, ὅτι τὴν αὐτὴν δύναμιν καὶ ἐνέργειαν ἐνεδείξατο ὁ θεὸς εἰς ἡμᾶς, ἣν καὶ ἐν τῷ Χριστῷ. Περὶ ἐκείνου μὲν οὖν εἶπεν, ὅτι ἤγειρεν αὐτὸν ἐκ τῶν νεκρῶν, καὶ ἐκάθισεν ὑπεράνω πάντων· λοιπὸν δὲ νῦν λέγει καὶ περὶ ἡμῶν, καί φησιν,

ὅτι *καὶ ὑμᾶς, ὄντας νεκροὺς*, (νέκρωσιν, οὐ τὴν σωματικὴν λέγει, τὴν ἐκ τοῦ Ἀδὰμ ἀρξαμένην, ἀλλὰ τὴν ψυχικὴν, τὴν ἐξ ἡμῶν αὐτῶν συνισταμένην, τὴν τῶν ἁμαρτιῶν,) ἀνέστησε καὶ ἤγειρεν. Ὥστε τῇ αὐτῇ δυνάμει καὶ τὸν Κύριον ἤγειρεν ἐκ τοῦ σωματικοῦ θανάτου, καὶ ἡμᾶς ἐκ τοῦ ψυχικοῦ, τοῦ τῶν ἁμαρτιῶν. Ἡ μὲν οὖν διάνοια τοῦ ὅλου ῥητοῦ τοιαύτη· ἡ δὲ ἀνταπόδοσις μετὰ πολλὴν σύμφρασιν. *Καὶ ὑμᾶς, ὄντας*, φησὶ, *νεκροὺς τοῖς παραπτώμασιν*· εἶτα πολλαῖς περιβολαῖς μεστώσας τὸν λόγον, μετὰ ἐπαναλήψεως τοῦ αὐτοῦ ῥητοῦ, οἷον, *Καὶ ὄντας ὑμας νεκροὺς τοῖς παραπτώμασιν*, ἀπέδωκε τὸ κατὰ πόδας, *συνεζωοποίησε τῷ Χριστῷ*. Πολλὴ δὲ αὐτῷ τούτου τοῦ σχήματος ἡ χρῆσις. *Ἐν αἷς ποτε περιεπατήσατε*.] Ἀπολελυμένως νόησον, ὅτι ἐν τῷ νῦν κόσμῳ περιεπατήσατε ἐν ἁμαρτίαις (1). *Κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου*.] *Αἰῶνα τοῦ κόσμου τούτου*, τὸν διεστραμμένον λέγει βίον, καὶ τὸν ἐν ἁμαρτίαις, διὰ τὸ πλεονάζειν ἐν τῷ παρόντι βίῳ τὰς ἁμαρτίας (2). *Κατά τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος*.] *Ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος*, τὸν σατανᾶν φησιν· *ἄρχοντα* μὲν, διὰ τὸ τοὺς πολλοὺς ἡμῶν ἑκόντας ἐκδεδωκέναι ἑαυτοὺς ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν· οὔτε γὰρ ἐκ θεοῦ, ἀλλ᾽ ἐξ ἡμῶν ἄρχειν κεχειροτόνηται. *Ἄρχοντα* οὖν αὐτὸν λέγει, πρὸς τὰ παρόντα ὁρῶν. *Τῆς ἐξουσίας δὲ τοῦ ἀέρος*· ἄρχει γὰρ καὶ ἐξουσιάζει *ὁ σατανᾶς τῶν ἐναερίων καὶ πονηρῶν πνευμάτων*, καθ᾽ ὃν, τουτέστι, καθ᾽ οὗ βουλὴν καὶ θέλημα, ἡμεῖς περιπατήσαντες

---

(1) « Εἰπὼν αὐτοὺς νεκροὺς ὄντας, καὶ δείξας, πῶς ἦσαν νεκροὶ, ὅτι τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις, παραμυθεῖται διπλῇ, τῷ τε εἰπεῖν, Ἐν αἷς ποτε περιεπατήσατε, καὶ οὐχὶ νῦν· καὶ τῷ ἐπάγειν, ὅτι ὑπὸ τοῦ διαβόλου κατεξουσιαζόμενοι, ἡμαρτάνετε, καὶ οὐχ ὑμῶν ἦν τὸ πᾶν, ἀλλὰ καὶ τοῦ συνεργοῦ ὑμῶν, τοῦ οὕτως ἰσχυρῶς κατεξουσιάζοντος ὑμῶν. » Θεοφύλακτος.

(2) « Ἡμαρτάνετε τοίνυν, κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου περιπατοῦντες, τουτέστι, φρονοῦντες τὰ τοῦ κόσμου, καὶ τὰ πρόσκαιρα, καὶ κακῶς χρώμενοι τῷ αἰῶνι τούτῳ. Οὐ γὰρ ὁ αἰὼν κακὸς, ἀλλ᾽ ἡ παράχρησις αὐτοῦ. Αὐτὸς μὲν γὰρ ὁδηγὸς δέδοται, καθὸ φθαρτὸς καὶ ῥευστὸς, διεγείρων ἡμᾶς πρὸς τὰ ἄφθαρτα καὶ ἄρευστα· ἡμεῖς δὲ, τῇ φθορᾷ καὶ τῇ ῥοῇ τούτου προσδεθέντες, ἐποιήσαμεν αὐτὸν οὐχ ὁδηγὸν, ἀλλ᾽ ἐμποδιστήν. » Θεοφύλακτος.

καὶ νεκρωθέντες, καὶ ὀργῆς τέκνα γεγονότες, τῷ πλουσίῳ ἐλέει τοῦ Θεοῦ καὶ τῇ ἀνυπερβλήτῳ ἀγάπῃ ἀνέστημεν καὶ ἐζωοποιήθημεν. — *Τοῦ ἀέρος* εἰπὼν, σαφῶς ἡμᾶς ἐδίδαξεν, ὡς πάλαι μὲν ὁ διάβολος τοῦ ἀέρος ἐνεπιστεύθη τὴν ἐξουσίαν· ἐκπεσὼν δὲ ταύτης διὰ τὴν πονηρίαν, διδάσκαλος δυσσεβείας καὶ πονηρίας ἐγένετο. Οὐ μὴν ἁπάντων κρατεῖ, ἀλλὰ μόνων τῶν οὐ προσιεμένων τὰ θεῖα κηρύγματα· τούτους γὰρ *υἱοὺς ἀπειθείας* εἶπε· τῆς θείας εὐεργεσίας τοὺς Ἐφεσίους ἀναμιμνήσκων, ὅτι νεκροὺς ἤδη γεγενημένους διὰ τὴν ἁμαρτίαν, καὶ ὑπὸ τὴν ἐξουσίαν τελοῦντας τοῦ διαβόλου, τῆς σωτηρίας ἠξίωσεν (Θεοδωρήτου). — ΑΛΛΩΣ. Καλῶς τὸ, *τοῦ ἀέρος*, προσέθηκεν· εἰ γὰρ καὶ ἄρχοντα αὐτὸν ἡμεῖς ἐχειροτονήσαμεν, ὑπὸ τὸν οὐρανόν ἐϛιν αὐτοῦ ἡ ἀρχὴ, οὐχ ὑπὲρ τὸν οὐρανόν· ὁ δὲ ὢν ὑπὸ τὸν οὐρανὸν, ἢ ἐν τῇ γῇ ἐϛιν, ἢ ἐν τῷ ἀέρι. Οὗτος δὲ, ὡς ὢν πνεῦμα, ἐν τῷ ἀέρι ἐϛί· φύσει γὰρ τοῖς πνεύμασιν ἡ ἐναέριος διατριβή. — Ὅρα δὲ τὸ κατὰ πόδα τοῦ χωρίου· *Κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας*. Ποῖον τοῦτον; Τὸν τοῦ ἀέρος ἄρχοντα, τουτέστι, τὸν ἐναέριον ἄρχοντα· οὐ γὰρ ἀέρος ἄρχει, ἀλλὰ ἐναερίων. Εἶτα πάλιν ἐπισαφηνίζων αὐτὸ, φησι, *τοῦ πνεύματος*· πνεῦμα γὰρ ὁ σατανᾶς, ἐπειδὴ, ὡς πρὸς ἡμᾶς, καὶ ἀσώματος· ἢ ὅτι ἄρχων ἐστὶ *τοῦ ἀέρος τοῦ πνεύματος*, τουτέστι τοῦ ὄντος ἐν τῷ ἀέρι πνεύματος, οἷον τῶν ἀερίων πονηρῶν πνευμάτων. Ἄρχων γὰρ αὐτῶν πρὶν πέσῃ, ἄρχει καὶ μετὰ τὸ πεσεῖν. Ὥστε κατὰ τὸ νόημα τοῦτο, ὃ μᾶλλον καὶ ὁ ἅγιος Κύριλλος καὶ ὁ ἅγιος Ἰωάννης δέχονται, ἄρχων μέν ἐστι τῶν μετ' αὐτοῦ πεσόντων, ἡμῶν δὲ οὐκ ἄρχει, οὐδὲ ἦρξεν, ἀλλὰ μόνον ἐνεργεῖ, ἐξὸν ἡμῖν, μὴ δέξασθαι αὐτοῦ τὴν ἐνέργειαν (1) — *Τοῦ νῦν ἐνεργοῦντος*.] Ὁρᾷς, ὅτι οὐκ εἶπε,

(1) Ὁ Θεοφύλακτος ἑρμηνεύει οὕτως· « Ἄρχοντα μὲν οὖν, διότι αὐτοὶ ἑαυτοὺς οἱ ἄνθρωποι ὑπέθηκαν αὐτῷ, καὶ πλείονες αὐτῷ δουλεύουσιν ἢ τῷ Θεῷ. Πλὴν ἐν τῷ αἰῶνι τούτῳ ἐστὶν ἡ τοιαύτη αὐτῷ ἀρχὴ, καὶ τὸν ἀέρα μὴ ὑπερβαίνουσα· οὐ γὰρ ἐν τῷ οὐρανῷ ἔχει χώραν, ἀλλ' ὑπὸ τὸν οὐρανόν. Διὸ καὶ ὁ Παῦλος, ἄρ-

τοῦ *ἀναγκάζοντος*, ἢ, *βιαζομένου*, ἀλλὰ, τοῦ *ἐνεργοῦντος*; Ὅθεν δῆλον, ὅτι ἑκόντων ἄρχει. Εἰ γὰρ ἄρχων ἦν τῇ ἀληθείᾳ, καὶ μὴ ἐκ τῆς ἡμῶν ῥᾳθυμίας καὶ πονηρίας κεχειροτόνητο, καὶ τοῦ ἀναγκάζειν ἐξουσίαζεν ἄν. Νῦν γὰρ τὸ, *ἐνεργοῦντος*, δηλοῖ, ὅτι ἑκόντες αὐτὸν παραδεχόμεθα. Καὶ ὅτι τοῦτό ἐστιν, ἐπάγει, *ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας*, τουτέστι, τοῖς θεῷ μὲν μὴ πειθομένοις, πειθομένοις δὲ ἐκείνῳ, οὐ μὴν δὲ ἀναγκαζομένοις. Εἶτα ἐπάγει, *Ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημεν.*] Ἐπειδὴ γὰρ ἤγαγε μνήμην τῶν ἁμαρτημάτων αὐτῶν, εἰκὸς δὲ ἦν αὐτοὺς αἰσχύνεσθαι ἐπ' αὐτοῖς, καὶ ἑαυτὸν κοινωνὸν ποιεῖ· καὶ οὐ μόνον ἑαυτὸν, ἀλλὰ καὶ πάντας· ταύτῃ καὶ τὴν δύναμιν τοῦ λυτρωσαμένου Χριστοῦ ἀνακηρύττων. *Ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκός.*] *Ἐπιθυμίας τῆς σαρκός* φησι, τὰς σαρκικὰς ἐπιθυμίας. *Ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν.*] Ὡς εἰ εἶπε· Καὶ σωματικῶς καὶ ψυχικῶς ἁμαρτάνοντες (1). *Καὶ ἦμεν τέκνα φύσει ὀργῆς.*] Ἀντὶ τοῦ, παρωξύναμεν τὸν θεὸν καὶ παρωργίσαμεν, καὶ οὐδὲν ἄλλο, εἰμὴ ὀργὴ ἦμεν αὐτόχρημα· ὥσπερ καὶ τὸ τέκνον τοῦ ἀνθρώπου, φύσει ἄνθρωπός ἐστιν, οὕτω καὶ ἡμεῖς. Ὥσπερ δὲ *τέκνα ἀπωλείας*, καὶ *υἱοὶ γεέννης* εἴρηνται οἱ ἄξια ἀπωλείας καὶ γεέννης πράττοντες, οὕτω καὶ *τέκνα ὀργῆς*, οἱ ἄξια ὀργῆς. Οὕτω καὶ ὁ Ἰούδας υἱὸς ἀπωλείας, διὰ τὸ τὰ τῆς ἀπωλείας πε-

---

χοντα τῆς ἐξουσίας τοῦ ἀέρος φησὶν, οὐχ ὡς τοῦ ἀέρος δεσπόζοντα, ὥστε διοικεῖν αὐτόν· ἄπαγε! ἀλλ' ὡς αὐτῷ ἐμφιλοχωροῦντα· πνεῦμα γὰρ ὢν ὁ διάβολος, ἐν τῷ ἀέρι, ὡς πνεύματι, διατρίβει, καὶ μέχρι τούτου τὴν δύναμιν καὶ ἐξουσίαν ἔχει, ἄρχων τῶν ἑαυτοῦ ὑποτιθέντων αὐτῷ.» Καὶ κατόπιν τούτων προστίθησι. «Τινὲς δὲ, ἄρχοντα τοῦ ἀέρος, ἀντὶ τοῦ, ἄρχοντα τῶν ἐναερίων δυνάμεων νοοῦσι· διὸ καὶ ἐπήγαγέ, φασι, τοῦ πνεύματος· τουτέστι, κατὰ τὸν ἄρχοντα καὶ ἐξουσιαστὴν παντὸς ἐναερίου πνεύματος· ἐπεὶ γὰρ ἄρχων ἅπαξ ἐγένετο, δοκεῖ μὴ μεταπεπτωκέναι τῆς ἀρχῆς καὶ μετὰ τὴν παράβασιν.»

(1) «Ἐπιθυμίας τῆς σαρκὸς, τὰς τοῦ σαρκικοῦ φρονήματός φησι. Καὶ ὅτι οὐ τὴν σάρκα διαβάλλει, δῆλον· εἰπὼν γὰρ, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς, ἐπήγαγε, καὶ τῶν διανοιῶν· τουτέστιν, οὐδὲν πνευματικὸν φρονοῦντες. Ὥστε οὐχ ἡ σὰρξ διαβολῆς ἀξία, ἀλλ' ἡ διάνοια, ἡ πρὸς τὰ τῆς ἡδονῆς πάθη κατασυρομένη. Ἢ καὶ οὕτως· Ὅτι καὶ τὰς διανοίας ἐῤῥυπαίνομεν, λογιζόμενοι τὰ κακὰ, καὶ τὴν σάρκα, πράττοντες αὐτά.» Θεοφύλακτος.

πραχέναι. Τὸ δὲ, *φύσει*, οἷον, ἀληθῶς, γνησίως. *Ὡς καὶ οἱ λοιποί.*] Οὐδεὶς γὰρ ἦν τῶν τοιούτων ἐλεύθερος.

4 Ὁ δὲ θεὸς, πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν
5 ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς
νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ
6 Χριστῷ· χάριτί ἐστε σεσωσμένοι· καὶ συνήγειρε,
καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰη-
7 σοῦ· ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις
τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν
χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ.

Ημεῖς μὲν ἄξια ὀργῆς ἀδιαλλάκτου ἐπράττομεν· ὁ δὲ θεὸς, οὐχ ἁπλῶς ἐλεήμων ὢν, ἀλλὰ καὶ πλούσιος ἐν ἐλέει.— ΑΛΛΩΣ. Ἐν μὲν τοῖς πειθαρχοῦσι Χριςῷ, ἀνενέργητός ἐςιν, οὐδὲν ἰσχύει, οὐδενὸς ἐξουσιάζει· οἱ δὲ αὐτοὺς υἱοὺς καὶ κληρονόμους τῆς ἀπειθείας αὐτοῦ ἀπεργασάμενοι, οὗτοι καὶ ἐνεργοῦνται καὶ ἐξουσιάζονται ὑπ' αὐτοῦ· καὶ ἦμεν ἡμεῖς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ. Πῶς; Ἐν τῷ ποιεῖν τὰ θελήματα αὐτοῦ. Ἀλλ' ὁ θεὸς πλούτῳ ἐλέους καὶ ὑπεραγαπήσεως ἐῤῥύσατο ἐκεῖθεν, καὶ νεκρωθέντας ἀνέστησε (Φωτίου).—*Διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ.*] Καὶ ἡ ἀγάπη ἀπὸ τοῦ πολλοῦ ἐλέους γέγονε. Πῶς γὰρ ἂν οἱ τέκνα ὄντες ὀργῆς ἠγαπήθημεν; *Καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι.*] *Νεκροὺς*, ὅσον πρὸς ἐνέργειαν ἀγαθοῦ τινος. Τοῦτο δὲ γέγονέ, φησι, διὰ τὰ παραπτώματα ἡμῶν. *Συνεζωοποίησε τῷ Χριστῷ.*] Πάλιν τὸν Χριςὸν εἰς μέσον φέρει, ἀξιόπιςον τὸ πρᾶγμα ποιῶν. Εἰ γὰρ ἡ ἀπαρχὴ ζῇ, καὶ ἡμεῖς· ἐζωοποίησε γὰρ κἀκεῖνον καὶ ἡμᾶς, τὸ λοιπὸν αὐτοῦ σῶμα· ἐκεῖνον ἐνεργείᾳ, ἡμᾶς, νῦν μὲν τῇ δυνάμει, ὕστερον δὲ καὶ ἐνεργείᾳ. Ἰδοὺ τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ, ὅτι τοὺς νεκροὺς, τοὺς τῆς ὀργῆς υἱοὺς, ἐζωοποίησεν. Αὕτη ἡ ἐλπὶς τῆς κλήσεως. *Χάριτί ἐστε σεσωσμένοι.*] Οὐ καμάτῳ, φησὶν, οὐ κατορθώμασιν ἰδίοις ἐσώθητε, ἀλλὰ χάριτι μόνῃ· δέον γὰρ κολάσαι τοὺς γενομένους τέκνα ὀργῆς, τούτους ἔσωσε χάριτι μόνῃ. *Καὶ συνήγειρε, καὶ συνεκάθισεν ἐν τοῖς*

ἐπουρανίοις.] Ὥσπερ τῆς ἀπαρχῆς ἡμῶν καὶ τῆς κεφαλῆς, τοῦ Χριςοῦ, ἐγηγερμένης, καὶ ἡμᾶς δι' αὐτῆς ἤγειρεν· οὕτω καὶ καθεζομένης αὐτῆς, καὶ τὸ λοιπὸν σῶμα συγκάθηται. Διό φησιν, *ἐν Χριστῷ Ἰησοῦ*, τουτέστι, διὰ Χριστοῦ Ἰησοῦ. Ὅτι δὲ καθίζουσιν οἱ ἄξιοι, ἄκουε τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· Καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ (α)· καὶ πάλιν· Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ πατρός μου (ϐ). Ὥστε ἡτοίμασται. Καὶ πάλιν· Θέλω, ἵνα, ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ οἱ διάκονοι οἱ ἐμοί (γ). *Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσιν.*] Ἵνα μή τις ἀπιστήσῃ τοῖς εἰρημένοις, ὅρα πῶς αὐτὸ πιθανὸν ποιεῖ· καί φησι· Ταῦτα δὲ ποιήσει πάντως, οὐ τοσοῦτον διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην μόνον, ὅσον ἵνα καὶ *ἐνδείξηται τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ* ἐν τοῖς μέλλουσιν αἰῶσιν. *Ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ.*] Τουτέςιν, οὐκ ἄχρι τοῦ Χριστοῦ μόνου ταῦτα σταίη, ἀλλὰ δι' αὐτοῦ ἥξει καὶ εἰς ἡμᾶς, ὡς ἀπὸ ἀπαρχῆς πρὸς τὸ ὅλον. Τί δὲ ἥξει; Τὸ συζωοποιηθῆναι, τὸ συγκαθίσαι (1).

8 Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως·
9 καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· θεοῦ τὸ δῶρον· οὐκ ἐξ
10 ἔργων· ἵνα μή τις καυχήσηται. Αὐτοῦ γάρ ἐσμεν
ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις
ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς, ἵνα ἐν αὐτοῖς
περιπατήσωμεν.

Τῇ *γὰρ χάριτι.*] Τῇ διὰ τῆς πίστεως χάριτι (2). *Καὶ*

(α) Ματθ. ΙΘ'. 28. (ϐ) Ματθ. Κ', 23. (γ) Ἰωαν. ΙΒ', 26. ΙΖ', 24.

(1) «Νῦν μὲν γὰρ τῶν ἐλπιζομένων ἀγαθῶν τὸ μέγεθος, τοῖς μὲν ἀπίστοις ἄδηλον παντελῶς· οἱ δέ γε πιστοὶ ὡς ἐν ἐσόπτρῳ ϐλέπουσι καὶ αἰνίγματι (Α' Κορ. ΙΓ'. 12)· διὰ πίστεως γὰρ περιπατοῦσιν, οὐ διὰ εἴδους (Β' Κορ. Ε', 7.)· τότε δὲ πρόσωπον πρὸς πρόσωπον ὄψονται. Τότε καὶ οἱ πιστοὶ καὶ οἱ ἄπιστοι τὴν ἐξ ἡμῶν ληφθεῖσαν φύσιν θεάσονται, παρὰ πάσης προσκυνουμένην τῆς κτίσεως, καὶ τοὺς ἁγίους συμϐασιλεύοντας. Εἰ γὰρ ἀπεθάνομέν, φησι, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμϐασιλεύσομεν (Β' Τιμ. Β', 11. 12.).» Θεοδώρητος.

(2) «Εἰπὼν τὰ τοῦ θεοῦ, ὅτι χάριτι ἐσώθημεν, ἐπάγει καὶ τὸ ἡμέτερον, τὸ, διὰ τῆς πίστεως, ἵνα μὴ λυμήνηται τὸ αὐτεξούσιον.» Θεοφύλακτος.

τοῦτο οὐκ ἐξ ἡμῶν.] Ἐξ ἡμῶν μὲν ἡ πίστις· ἀλλὰ καὶ αὐτῆς πρόφασις ὁ θεός· εἰ γὰρ μὴ ἐνηνθρώπησε, πῶς εἴχομεν πιστεῦσαι; Πῶς γάρ, φησι, πιστεύσουσιν, ἐὰν μὴ ἀκούσωσιν (α); Ὥστε καὶ αὕτη *δῶρον θεοῦ* (1). Ἢ καί, *δῶρον θεοῦ*, διὰ τοῦτο, ὅτι οὐδὲ ἡ πίστις σῶσαι ἴσχυε καθ' ἑαυτήν, εἰ μὴ ὁ θεὸς ἠβουλήθη διὰ τῆς πίστεως σῶσαι. Ὥστε καὶ τὸ πιστεῦσαι ἡμᾶς, δῶρον θεοῦ, καὶ τὸ διὰ πίστεως σωθῆναι, δῶρον θεοῦ. *Οὐκ ἐξ ἔργων· ἵνα μή τις καυχήσηται.*] Οὐκ ἐπειδὴ οὐκ ἐβούλετο ἐξ ἔργων σῶσαι· ἀλλ' ὅτι οὐδεὶς ἴσχυεν ἐξ ἔργων σωθῆναι, εἰ μὴ διὰ πίστεως. Ἐπεὶ οὖν οὐδεὶς ἴσχυσεν ἐξ ἔργων σωθῆναι, οὐδὲ καυχήσεται. *Κτισθέντες ἐν Χριστῷ Ἰησοῦ.*] Εἶτα, ἵνα μή, ἀκούσαντες, ὅτι οὐκ ἐξ ἔργων ἐσώθημεν, ἀλλὰ χάριτι, ῥαθυμότεροι περὶ τὰ ἔργα γενώμεθα, δείκνυσιν, ὅτι καὶ νῦν μετὰ τὴν πίστιν ἔργων χρεία (2). *Κτισθέντες* δὲ εἰπών, οὐ τὴν πρώτην ἡμῶν δημιουργίαν λέγει, ἀλλὰ τὴν δευτέραν, τὴν ἐν τῷ βαπτίσματι. Ἐκτίσθημεν δέ, φησιν, *ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεός*, τουτέστιν, οἷς καὶ πρὸ τοῦ βαπτίσματος ἡτοίμασεν· *ἵνα ἐν αὐτοῖς περιπατήσωμεν*, τουτέστιν, εἰς τὸ ἐν αὐτοῖς περιπατεῖν. Τοῦτο δὲ καὶ τὴν ἐπ' αὐτοῖς ἄπαυστον σχέσιν δηλοῖ. Ἔνεστι δὲ ταῦτα καὶ περὶ τῆς πρώτης δημιουργίας νοεῖν (3). — ἌΛΛΩΣ. Ἵνα μή τις ἀφορμὴν ἀπονοίας

(α) Ῥωμ. Ι', 14.

(1) « Ἢ καὶ ἄλλως· Οὐ τὴν πίστιν λέγει δῶρον θεοῦ, ἀλλὰ τὸ διὰ πίστεως σωθῆναι, τοῦτο δῶρόν ἐστι θεοῦ. Ἔστω γάρ, ὅτι ἡ πίστις ἡμέτερον· πῶς ἂν ἴσχυσεν αὕτη μόνη σῶσαι, εἰ μὴ ὁ θεὸς ηὐδόκησε δεχθῆναι δι' αὐτῆς ἡμᾶς; ἵνα μὴ τὸ ὅλον ὦμεν ἀργοί, ἀλλὰ δοκῶμέν τι καὶ αὐτοὶ συνεισενεγκεῖν. » Θεοφύλακτος.

(2) « Ἐκτίσθης γὰρ ἐν Χριστῷ Ἰησοῦ, καὶ νέον ἐγένου ποίημα, ἀποθανόντος σοι τοῦ παλαιοῦ ἀνθρώπου ἐν τῷ βαπτίσματι. Καὶ ὥσπερ ἐν ἀρχῇ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθης, οὕτω νῦν εἰς τὸ εὖ εἶναι σε παρήγαγε. Καὶ ἐκτίσθης, οὐχ ἵνα ἀργῇς, ἀλλ' ἵνα ἐργάζῃ, καὶ περιπατῇς ἐν τοῖς ἀγαθοῖς ἔργοις· τουτέστι, πᾶσαν τὴν ὁδὸν τοῦ βίου διανύσῃς ἐν τούτοις, οὐ δύο ἢ τρεῖς ἐνιαυτούς, ἀλλὰ πᾶσαν τὴν ὁδὸν τῆς ζωῆς σου· τοῦτο γὰρ αἰνίττεται διὰ τοῦ περιπατῆσαι. Ὁ γὰρ θεὸς προητοίμασε ταῦτα, ἵνα ἐργαζώμεθα αὐτά. Ὥστε οὐκ ἔστιν ἀναβαλέσθαι, ὡς ὡρισμένα θεόθεν τὰ ἔργα. Οὐκ εἶπε δέ, κτισθέντες ἐπὶ ἔργῳ ἀγαθῷ, ἀλλ', ἐπὶ ἔργοις ἀγαθοῖς, ἵνα δείξῃ, ὅτι πάντα τ' ἀγαθὰ ἔργα δεῖ ἡμᾶς ποιεῖν· εἰ γὰρ ἓν λείπει, ἐκολοβώθη ἡ ἀρετή. » Θεοφύλακτος.

(3) « Ὁ θεολόγος Γρηγόριος τό, κτισθέντες ἐπὶ ἔργοις ἀγαθοῖς, οὐ περὶ τῆς ἐν τῷ βαπτίσματι κτίσεως, ἀλλὰ περὶ τῆς δημιουργίας ἐξεδέξατο. » Θεοφύλακτος.

λάβῃ, ὡς ἐξ οἰκείων ἔργων σωθείς· καίτοι, καὶ εἰ ἐξ ἔργων ἐνῆν σώζεσθαι, οὐδ' οὕτω, φησὶν, ἐχρῆν εἰς ἀπόνοιαν καὶ καύχησιν ἐκπεσεῖν. Διὰ τί; Ὅτι ποίημα ἐσμὲν τοῦ θεοῦ· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ τῷ ἀγαθοεργεῖν κτισθέντες. Ὥστε καὶ εἰ ἐξ ἔργων ἐσωζόμεθα, εἰς θεὸν ἂν εἴημεν δίκαιοι ἀναφέρειν τὴν αἰτίαν καὶ τὴν εὐχαριστίαν, ὅτι αὐτὸς ἡμᾶς ἐπὶ τούτῳ ἔκτισεν, ἀλλ' οὐχὶ εἰς ἑαυτοὺς τὰ τῆς ἀπονοίας κρατύνειν. Ὅτε δὲ, καὶ κτισθέντες ἐπὶ ἔργοις ἀγαθοῖς, οὐ μόνον οὐδὲν ἠγαθουργήσαμεν, ἀλλὰ καὶ εἰς τοὐναντίον ἀπηνέχθημεν, καὶ ἀπενεχθέντες οὐκ ἐξ ἑαυτῶν ἐπεστράφημεν, ἀλλὰ χάριτι καὶ δωρήματι θεοῦ, πηλίκη τις ἡ εὐχαριστία παρ' ἡμῶν ὀφείλεται τῷ θεῷ; Τὸ δὲ, *ἐπὶ ἔργοις ἀγαθοῖς κτισθέντες*, ἅμα καὶ προτρέποντός ἐστι, καὶ διανιστῶντος ἐπὶ πράξεις ἀγαθὰς, ὡς εἰ ἔλεγε· Χρεῶσται ἐστὲ ποιεῖν τὸ ἀγαθὸν, καὶ ἀρχαῖον ἐστὶ τὸ χρέος· ἐπὶ τούτῳ γὰρ ἐκτίσθητε· ἀλλὰ καὶ τόκοις αὐτὸ πολλοῖς ἐβαρύνατε καὶ ηὐξήσατε, μηδὲν ἀποδιδόντες, ἀλλὰ καὶ διὰ παραβάσεως προστιθέντες. Χρεία οὖν πολλῆς σπουδῆς καὶ ἐπιμελείας εἰς τὸ τὰ ὀφειλόμενα ἀποτίσαι (Φωτίου). —

11 Διὸ μνημονεύετε, ὅτι ὑμεῖς ποτε τὰ ἔθνη ἐν σαρκὶ,
οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περι-
12 τομῆς ἐν σαρκὶ χειροποιήτου· ὅτι ἦτε ἐν τῷ καιρῷ
ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πο-
λιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς
ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ
13 κόσμῳ· νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ, ὑμεῖς οἱ ποτὲ
ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ
Χριστοῦ.

Εἰπὼν, ὅτι νεκροὺς ὄντας ἔσωσε, νῦν μέλλει εἰπεῖν, τίνων ἐποίησεν ἴσους καὶ συγκληρονόμους, ἤγουν τῶν Ἰσραηλιτῶν· μέγα γὰρ ἦν τὸ τούτων ἀξίωμα· καὶ φησί· *Διὸ μνημονεύετε.*] Διὰ τί; Διότι ἐπὶ ἔργοις ἀγαθοῖς ἐκτίσθημεν. Τοῦτο γὰρ

μόνον ἱκανὸν ἡμᾶς πεῖσαι, τῆς ἀρετῆς ἐπιμελεῖσθαι. *Μνημονεύετε* δὲ εἶπε· διότι ἔθος τοῖς ἀπὸ πολλῆς εὐτελείας εἰς ὕψος ἀναδραμοῦσι, μηδὲ μεμνῆσθαι τῶν προτέρων. Τί δὲ μνημονεύετε; *Ὅτι ὑμεῖς ποτε τὰ ἔθνη, ἀπηλλοτριωμένοι ἦτε.*] Θέλει δὲ εἰπεῖν, ὅτι ὑμεῖς οἱ ἀκρόβυστοι, ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀλλότριοι ἦτε τοῦ θεοῦ καὶ τῶν ἐπαγγελιῶν· νυνὶ δὲ, οἱ τότε ὄντες ἀλλότριοι, καὶ πόῤῥω, ἐγγὺς ἐγένεσθε αὐτοῦ, ὥσπερ καὶ ὁ Ἰσραήλ. Δείκνυσι δὲ ἐκ τούτου, τοῦ Χριστοῦ τὴν κηδεμονίαν, ὅτι τοὺς ἀπηλλοτριωμένους, καὶ ἐλπίδα μὴ ἔχοντας ἔσωσεν. Ὅρα δὲ, πῶς εὐφυῶς καταβάλλει τὴν περιτομὴν, δεικνὺς ἐν λόγῳ μόνον, καὶ οὐκ ἐν ἔργῳ γενναίως ἔχειν αὐτὴν ὡς πρὸς τὴν ἀκροβυστίαν τὸ διάφορον. *Ὑμεῖς* γάρ, φησι, *τὰ ἔθνη ἐν σαρκὶ*, ἀλλ' οὐκ ἐν πνεύματι· καὶ *οἱ λεγόμενοι*· ἀλλ' οὐκ ὄντες κατὰ τὸν πνευματικὸν λόγον· ὡς ἂν εἰ εἶπεν, ὅτι ἐν σαρκὶ καὶ ἐν λόγοις ἔχετε τὸ ἔλαττον, οὐκ ἐν πνεύματι. Εἶτα πάλιν περὶ τῆς περιτομῆς λέγων, φησὶν, *ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ*, καὶ, *χειροποιήτου*, τὴν ἐν λόγοις μόνοις καὶ σαρκὶ προτίμησιν δηλῶν. *Ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ.*] Τοῦτο ἦν ὄντως τὸ δεινὸν καὶ ἀφόρητον· τὸ δὲ τῆς ἀκροβυςίας, ἄχρι σαρκὸς καὶ ὀνόματος ἦν ψιλοῦ. Εἶτα, ὅτι καὶ *ἀπηλλοτριωμένοι ἦτε τῆς πολιτείας τοῦ Ἰσραήλ.* Καὶ τοῦτο δεινόν. Οὐκ εἶπε δὲ, *κεχωρισμένοι*, ἀλλ', *ἀπηλλοτριωμένοι*· ἐπεὶ καὶ οἱ Ἰσραηλῖται τῆς νομικῆς καὶ κατὰ θεὸν πολιτείας ἦσαν ἐκτὸς, ἀλλ' οὐχ ὡς ἀλλότριοι, ἀλλ' ὡς ῥᾴθυμοι. *Καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας.*] Καὶ τοῦτο μέγας χωρισμός. Οὐκ εἶπε γὰρ, ὅτι οὐ μετέχοντες τῶν διαθηκῶν, ἀλλὰ πάντῃ *ξένοι*· ὅπερ πολλὴν δείκνυσι τὴν ἀλλοτρίωσιν. Εἰ γὰρ καὶ οἱ Ἰσραηλῖται ἐξέπεσον τῶν ἐπαγγελιῶν, ἀλλ' οὐχ ὡς ξένοι. Τίνες δὲ αἱ διαθῆκαι τῆς ἐπαγγελίας; Σοὶ δώσω καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην (α)· καὶ ὅσα ἕτερα ἐπειγ-

(α) Γενεσ. ΙΓ', 15.

γείλατο, πνευματικῶς πάντως νοούμενα. *Ἐλπίδα μὴ ἔχοντες.*] Οἱ Ἰουδαῖοι, εἰ καὶ ἀπέτυχον δι' ἀναξιότητα, εἶχον μέντοι ἐλπίδα ἐκ τῆς ἐπαγγελίας (1). *Καὶ ἄθεοι.*] Καίτοι προσεκύνουν θεοὺς, ἀλλ' οὐκ ἦσαν θεοί. Ὑμεῖς οὖν, φησὶν, ἄθεοι ἦτε· οἱ γὰρ Ἰουδαῖοι, εἰ καὶ προσέκρουον, ᾔδεσαν μέντοι θεόν. *Καὶ ἄθεοι ἐν τῷ κόσμῳ.*] Τουτέστιν, ἐν τῇ κατὰ τὸν παρόντα βίον πολιτείᾳ ὑμῶν καὶ λατρείᾳ· ἐν γὰρ τῷ μέλλοντι, καὶ ἄκοντες ἐπιγνώσονται τὸν θεόν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ κατὰ τὸν παρόντα, ὡς δημιουργήματα θεοῦ καὶ παρ' αὐτοῦ προνοούμενα, οὐκ ἦσαν ἄθεοι. Πῶς οὖν ἄθεοι; Ἀπὸ τῆς κατὰ τὸν κόσμον πολιτείας, ἀπὸ τῆς λατρείας, ἀπὸ τῆς βεβήλου προαιρέσεως (2). *Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ, ὑμεῖς, οἱ ποτὲ ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε.*] Δείξας τῇ πρὸς Ἰουδαίους παραθέσει, πολὺ καὶ σφόδρα ἀφεστηκότα τὰ ἔθνη τοῦ θεοῦ, δείκνυσιν, ὅτι διὰ μόνην φιλανθρωπίαν θεοῦ ἐγγὺς γεγόνασι. Τοῦτον δὲ πάντα κεκίνηκε τὸν λόγον, δεικνὺς τὴν πρὸς τὰ ἔθνη τοῦ θεοῦ κηδεμονίαν. Ὅσῳ γὰρ, πόῤῥω ὄντες, ἐγγὺς γεγόνασι, τοσούτῳ μᾶλλον δείκνυται ἡ τοῦ θεοῦ πρόνοια περὶ αὐτούς. Τὸ δὲ, *ἐγγὺς*, καὶ τὸ, *μακρὰν*, προαιρέσεως ἐστὶν, οὐ τόπου. Οἱ μακρὰν οὖν ὄντες τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ διὰ τοῦτο καὶ τοῦ θεοῦ, ἐγγὺς γεγόνατε. Ἢ, οἱ μακρὰν ὄντες τῆς τοῦ Ἰσραὴλ πολιτείας, τῆς κατὰ θεὸν, ἐγγὺς γεγόνατε. Τοῦτο γὰρ δηλοῖ τὸ ἑπόμενον, *ὁ ποιήσας τὰ ἀμφότερα ἕν.* Καὶ τὸ πρῶτον δὲ καλῶς ἔχει. *Ἐν τῷ αἵματι τοῦ Χριστοῦ.*] Τουτέστι, διὰ τοῦ αἵματος αὐτοῦ. Αὐτὸς γὰρ τὸ αἷμα αὐτοῦ ἐκχέας ὑπὲρ ἡμῶν, καὶ τούτῳ λύσας τὴν ἁμαρτίαν, ἐῤῥύσατο ἡμᾶς τῆς αἰχμαλωσίας, τῆς μακρυνούσης ἡμᾶς ἀπ' αὐτοῦ, καὶ πάντας ἤγαγεν ἐγγύς.

---

(1) « *Ἐλπίδα*, τὴν περὶ τῶν μελλόντων δηλαδὴ, τὴν τῆς ἀναστάσεως καὶ ἀνταποδόσεως. » Θεοφύλακτος.

(2) « Προσέθηκε δὲ τὸ, *ἐν τῷ κόσμῳ*, ἵνα δείξῃ, ὅτι οὐ μόνον ἐν τοῖς οὐρανίοις τῶν Ἑβραίων ἠλαττοῦντο, ἀλλὰ καὶ ἐν τοῖς κατὰ γῆν ἐνδόξοις· οἱ γὰρ Ἰσραηλῖται καὶ διὰ τὴν θεοσέβειαν ἔνδοξοι καὶ εὐγενέστατοι. » Θεοφύλακτος.

14 Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ
ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύ-
15 σας· τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν
ἐντολῶν ἐν δόγμασι καταργήσας· ἵνα τοὺς δύο
κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν
16 εἰρήνην· καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ
σώματι τῷ θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν
17 ἔχθραν ἐν αὐτῷ. Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην
18 ὑμῖν, τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς· ὅτι δι' αὐτοῦ
ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύ-
ματι πρὸς τὸν πατέρα.

Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν.] Πρὸ γὰρ τῆς ἐνανθρωπήσεως μεγάλη ἔχθρα τῇ περιτομῇ πρὸς τὴν ἀκροβυστίαν· νῦν δὲ εἰρηνεύσαμεν, ἓν γεγονότες τῇ πίστει. Οὐκέτι γὰρ τῇ περιτομῇ καὶ τῇ ἀκροβυστίᾳ χαρακτηριζόμεθα, ἀλλ' ἓν ἐπίσημον ἔχομεν, τὴν πίστιν. *Ὁ ποιήσας τα ἀμφότερα ἕν.*] Τούς τε Ἰουδαίους καὶ τοὺς ἐξ ἐθνῶν. Τοῦτο δὲ λέγει, οὐχ ὅτι εἰς τὴν τῶν Ἰουδαίων ἡμᾶς πολιτείαν ἤγαγεν, ἀλλ' ὅτι ἐκείνους καὶ ἡμᾶς διαζεύξας τῶν πατρῴων ἐθῶν καὶ παραδόσεων, καὶ ἀλλήλοις συζεύξας, εἰς τὴν αὐτοῦ πίστιν ἤγαγεν ὁ Χριστός. Πλὴν τὰ ἔθνη μάλιστα εὐχαριστεῖν ὀφείλομεν, ὅσῳ καὶ μάλιστα ξένοι ἦμεν. *Καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας.*] *Μεσότοιχον τοῦ φραγμοῦ*, τουτέστι, μεσότοιχον διαφράσσον, φησὶ, τὴν ἔχθραν τὴν πρὸς θεὸν, ἡμῶν τε καὶ Ἰουδαίων, ἥτις ἐκ τῶν ἡμετέρων ἐγίνετο παραπτωμάτων, ὡς καὶ αὐτός φησι διὰ τοῦ προφήτου· Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀναμέσον ὑμῶν καὶ ἐμοῦ (α); Τοῦτο οὖν τὸ μεσότοιχον, τὴν ἔχθραν φημὶ, τὴν πρὸς θεὸν, ἔλυσεν *ἐν τῇ σαρκὶ αὐτοῦ*· τουτέστι, διὰ τῆς σαρκὸς αὐτοῦ. Εἰ γὰρ μὴ ἀπέθανεν ὑπὲρ ἡμῶν, οὐκ ἂν ἐλύθη ἡ ἁμαρτία, ἡ χωρίζουσα ἡμᾶς ἀπὸ θεοῦ.— Διπλῆ ἦν ἡ ἔχθρα,

---

(α) Ἡσ. ΝΘ', 2.

καὶ διπλοῦν τὸ μεσότοιχον, μᾶλλον δὲ καὶ τριπλῆ· ἐπεὶ καὶ πρὸς ἀγγέλους ἐξεπολέμωτο τὸ ἀνθρώπινον· νῦν δὲ τέως περὶ τῶν δύο διαλαμβάνει, ἣν εἶχον οἱ ἐξ ἐθνῶν πρὸς τοὺς ἐξ Ἰουδαίων, καὶ ἣν ἄμφω πρὸς τὸν θεὸν τῶν ὅλων· ἀλλ' ἑκατέραν τὴν ἔχθραν καὶ ἑκάτερον τὸ μεσότοιχον ἔλυσε Χριστὸς ὁ θεὸς ἡμῶν (Φωτίου).— *Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας.*] Ἵνα μή τις εἴπῃ· Τί οὖν, εἰ τῆς μὲν προτέρας παραβάσεως τοῦ νόμου ἀπηλλάγημεν, πάλιν δὲ αὐτὸν ἀναγκαζόμεθα τηρεῖν; φησὶν, ὅτι καὶ αὐτὸν ἔλυσεν· ἐπειδὴ γὰρ ἔδωκε τὸν νόμον, ἀσφαλιζόμενον ἡμᾶς, ἡμεῖς δὲ παρέβημεν αὐτὸν οἱ ἄνθρωποι, ἔλυσε καὶ αὐτὸν τὸν νόμον, ὥσπερ ἂν εἴ τις παιδαγωγὸν δοὺς παιδίῳ, ἐπεὶ μὴ ἤκουε τοῦ παιδαγωγοῦ, ἐλεύθερον εἴασε καὶ τοῦ παιδαγωγοῦ, δέον κολάσαι. *Νόμον δὲ ἐντολῶν*, τοῦτόν φησιν, ὡς περὶ πολιτείας διαταττόμενον· *δόγματα δὲ*, τὴν πίστιν, οἷα διὰ δογμάτων συνισταμένην· ὡς εἰ ἔλεγεν, ὅτι ἀντὶ τοῦ βίου, πίστιν εἰσήγαγεν. Οὐ γὰρ ἐξ ἐντολῶν ἐδικαιώθημεν, τῶν τάδε καὶ τάδε διοριζομένων ποιεῖν· ἀλλ' ἐὰν πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, καὶ ὁμολογήσῃς ἐν τῷ στόματί σου, σωθήσῃ (α). Ἢ *δόγματά* φησι, τὰς ἀποφαντικὰς τοῦ Κυρίου παραγγελίας· Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· καί· Μὴ ἀντιστῆναι· καὶ τὰ τοιαῦτα (β). (1). *Ἵνα τοὺς δύο*

(α) Ῥωμ. Ι', 9 (β) Ματθ. Ε', 34. 39.

(1) «Αὐτὸς γὰρ τῆς εἰρήνης γεγένηται πρύτανις· αὐτὸς καὶ τοὺς ἐξ ἐκείνων καὶ τοὺς ἐξ ὑμῶν πιστεύοντας, εἰς ἓν τελεῖν παρεσκεύασε σῶμα· καὶ τὸν νόμον ἔπαυσεν, ὃς, τοῖχόν τινα μιμούμενος, ἀπ' ἀλλήλων ὑμᾶς διεῖργε. Πρότερον δὲ τὴν πρὸς τὸν θεὸν κατέλυσεν ἔχθραν, τὴν οἰκείαν σάρκα λύτρον ὑπὲρ ἡμῶν δεδωκώς. Τούτου δὲ γενομένου, ἐκεῖνα ἔπαυσεν, ὅσα ὑμᾶς κἀκείνους ἐχώριζε· τοῦτο γὰρ εἶπε, τὸν νόμον τῶν ἐντολῶν. Οὐ γὰρ ἀνεῖλε τὸ, Οὐ μοιχεύσεις· Οὐ φονεύσεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίου σου μαρτυρίαν ψευδῆ· οὐδὲ τό· Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα· οὐδὲ τό· Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· καὶ ὅσα τοιαῦτα. Ταῦτα γὰρ καὶ τῷ μαθεῖν βουληθέντι τῆς αἰωνίου ζωῆς τὴν ὁδὸν ὁ δεσπότης Χριστὸς ὑπέδειξε. Δόγματα δὲ, τὴν εὐαγγελικὴν διδασκαλίαν ἐκάλεσεν· ἐπειδὴ ἐν τῇ αἱρέσει τῆς γνώμης κεῖται τῆς τελειότητος ἡ κατόρθωσις· Ὁ δυνάμενος γὰρ, φησι, χωρεῖν, χωρείτω (Ματθ. ΙΘ', 12.)· καί· Εἰ θέλεις τέλειος γενέσθαι, πώλησόν σου τὰ ὑπάρχοντα (Ματθ. ΙΘ', 21.)· καί· Ὅταν νηστεύῃς (Ματθ. ϛ', 16.). Ταῦτα γὰρ οὐ νομοθεσία, ἀλλ' αὐθαιρέτου γνώμης. Νομοθετεῖ δὲ ἐκεῖνα, ἅπερ καὶ ἐξ ἀρχῆς τὴν φύσιν δημιουργήσας, ἐνέγραψε ταύτῃ.» Θεοδώρητος.

κτίση ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον.] Ὁρᾷς, ὅτι οὐχ ὁ Ἕλλην γέγονεν Ἰουδαῖος, ἀλλὰ καὶ οὗτος κἀκεῖνος εἰς ἀμείνω κατάστασιν ἦλθον; Οὐκ εἶπε δὲ, *μεταβάλῃ*, ἀλλὰ, *κτίσῃ*, ἵνα δείξῃ τὴν ἀναγέννησιν· εἰς ἕνα γὰρ πάντες εἰσὶν ἐκτισμένοι νέον τινὰ καὶ πιστὸν ἄνθρωπον, καὶ τοῦ γήρως τῶν ἁμαρτιῶν ἀλλότριον. Τὸ δὲ, *ἐν ἑαυτῷ*, ἢ ἀντὶ τοῦ, δι' ἑαυτοῦ· οὐ γὰρ δι' ἀγγέλων, ἢ ἄλλων τινῶν δυνάμεων, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ καὶ τὸν Ἰουδαῖον καὶ τὸν ἐθνικὸν ἀναχωνεύσας, ἕνα ἀνήνεγκε καινὸν καὶ θαυμαστόν· ἢ ὅτι αὐτὸς πρῶτος τοῦτο γενόμενος, ὅπερ ἐκείνους ἐποίησε, καὶ τύπον καὶ ὑπόδειγμα παρασχών. *Ποιῶν εἰρήνην.*] Καὶ πρὸς ἀλλήλους μέν· ὁ γὰρ Ἰουδαῖος τότε τῷ ἐθνικῷ συνάπτεται, ὅταν πιστὸς γένηται· μάλιστα δὲ πρὸς τὸν θεόν· ὃ καὶ οἰκειότερον, ὡς διὰ τῶν ἑξῆς δηλοῖ. *Καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους.*] Πρὸς τὸν θεὸν τοὺς ἀνθρώπους· οὐ γὰρ ἄν ποτε κατηλλάγησαν τῷ θεῷ, μένοντες Ἰουδαῖοι καὶ Ἕλληνες. Ὅτι γὰρ πρὸ τούτου σφόδρα ἦσαν ἀκατάλλακτοι πρὸς τὸν θεόν, δείκνυσιν ἡ ἔμφασις τοῦ, *ἀποκαταλλάξῃ* (1). *Ἐν ἑνὶ σώματι.*] Τουτέστι, τῷ αὐτοῦ. *Διὰ τοῦ σταυροῦ.*] Τὴν γὰρ ὀφειλομένην ἡμῖν δίκην αὐτὸς ὑπέστη διὰ τοῦ σταυροῦ· ὅπερ καὶ ἀνωτέρω εἶπεν, *ἐν τῇ σαρκὶ αὐτοῦ*· καὶ πάλιν· *Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ.* Τινὲς δὲ τὸ, *ἐν ἑνὶ σώματι*, οὕτως ἐνόησαν, ἀντὶ τοῦ, οἱονεὶ ἓν σῶμα γενομένους ἀμφοτέρους, οὗ αὐτός ἐστι κεφαλὴ, κατήλλαξε τῷ θεῷ (2).—Διὰ μὲν τοῦ, *ἐν ἑνὶ σώματι*, τὴν πρὸς ἀλλήλους ἐμφαίνει καταλλαγήν· διὰ δὲ τοῦ, *τῷ θεῷ*, τὴν πρὸς θεὸν ἀμφοτέρων (Φωτίου).—*Ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ.*] Πῶς δὲ ἀποκατήλλαξε τῷ θεῷ; *Ἀποκτείνας*, φησὶ, *τὴν ἔχθραν*

---

(1) «Οὐκ εἶπε, καταλλάξῃ, ἀλλ', ἀποκαταλλάξῃ, δεικνὺς, ὅτι καὶ διὰ τοῦ νόμου κατήλλακτο τῷ θεῷ ἡ ἀνθρωπίνη φύσις· εἶτα διὰ τῆς παραβάσεως ἐχθρὰ μᾶλλον γενομένη, ἐδεήθη αὖθις τῆς πρὸς θεὸν καταλλαγῆς, ἥτις καὶ ὡς τελεία εἰκότως καλεῖται ἀποκαταλλαγή.» Θεοφύλακτος. (2) «Κατήλλαξεν ἀμφοτέρους, τουτέστι, τοὺς ἐξ ἐθνῶν καὶ τοὺς ἐξ Ἰουδαίων, ἐν ἑνὶ σώματι, τῷ ὑπὲρ πάντων προσενεχθέντι, ὥστε αὐτοὺς εἰς ἓν σῶμα τελεῖν. Πάντας δὲ τοὺς πιστεύοντας ἕνα κέκληκεν ἄνθρωπον· ἐπειδὴ μία μὲν ἁπάντων κεφαλὴ, ὁ δεσπότης Χριστός· τὴν δὲ τοῦ σώματος τάξιν πληροῦσιν οἱ τῆς σωτηρίας ἠξιωμένοι.» Θεοδώρητος.

ἐν αὐτῷ (1). Διὰ τοῦ σταυροῦ γὰρ λύσας τῷ θανάτῳ αὐτοῦ τὴν ἁμαρτίαν, καὶ τὴν ἔχθραν ἔλυσεν. Οὐδὲν δὲ ἐμφατικώτερον τοῦ, *ἀποκτείνας*· τὸ γὰρ ἀσάλευτον τῆς λύσεως δηλοῖ. Πῶς οὖν νῦν, φαίη τις ἄν, πάλιν ἁμαρτάνομεν; Ἑτέρας ἁμαρτίας γεννῶντες· αἱ γὰρ πρότεραι ἀπεκτάνθησαν. *Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν, τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς.*] Οὐκ ἄλλον ἔπεμψεν, ἀλλ' αὐτὸς ἦλθεν, ὑπηρέτου καὶ διακόνου τάξιν ἀνεδεξάμενος, καὶ εὐηγγελίσατο εἰρήνην, πρὸς τὸν θεὸν δηλαδὴ, *τοῖς μακρὰν*, τοῖς ἐθνικοῖς, *καὶ τοῖς ἐγγὺς*, τοῖς Ἰουδαίοις· οἰκειότεροι γὰρ οὗτοι ἐδόκουν τῷ θεῷ. Καὶ γὰρ ἔλεγεν· Εἰρήνην ἀφίημι ὑμῖν· καί· Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον· καί· Ὁ πατὴρ ὑμᾶς φιλεῖ· καί· Πάντα, ὅσα ἂν αἰτήσησθε, λήψετε (α). Ταῦτα γὰρ πάντα τῆς εἰρήνης τεκμήρια. *Ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγήν.*] Τὴν καταλλαγὴν, καὶ τὴν εἰρήνην τὴν πρὸς τὸν θεόν. Οὐ γὰρ ἀφ' ἑαυτῶν ἀπήλθομεν, ἀλλ' ὑπὸ Χριστοῦ προσήχθημεν. *Ἐν ἑνὶ πνεύματι.*] Οὐκ ἐκεῖνοι μὲν, ἅτε ἐγγὺς ὄντες, ἐν μείζονι· ἡμεῖς δὲ, ὡς μακρὰν, ἐν ἐλάσσονι· ἀλλ' ἐν ἑνὶ πνεύματι μίαν ἀμφοτέροις χάριν δέδωκε, καὶ οὕτω προσήγαγε τῷ πατρί· διὰ γὰρ τοῦ πνεύματος ἐπεράστους ποιήσας, προσήγαγε τῷ πατρί. Ἢ τὸ, Ἐν, ἀντὶ τοῦ, Διά, ἐστιν· ἵνα ᾖ ὁ λόγος τοιοῦτος· ὅτι διά τε αὐτοῦ καὶ τοῦ πνεύματος προσήχθημεν τῷ πατρί.

19 Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ
20 συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ θεοῦ, ἐποι-
κοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ
προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χρι-
21 στοῦ· ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη
22 αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοι-
κοδομεῖσθε εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι.

Οὐκέτι ἐστὲ ξένοι.] Οἱ γὰρ μὴ ἔχοντες πάλαι ἐλπίδα τεύξα-

(1) « Τὸ, ἐν αὐτῷ, ἢ, ἐν τῷ σταυρῷ, ἢ, ἐν τῷ σώματι αὐτοῦ. Καὶ γὰρ τὴν ἔχθραν καὶ ἐν τῷ σταυρῷ ἀπέκτεινε, καὶ ἐν τῷ οἰκείῳ σώματι, ἐν ᾧ καὶ τὸν σταυρὸν ἀνεδέξατο. » Θεοφύλακτος — « Ἀπέκτεινε τὴν ἔχθραν ἐν τῷ σταυρῷ, τὴν ἄμωμον θυσίαν προσενεγκών. » Θεοδώρητος.

(α) Ἰωάν. ΙΔ', 27. ΙϚ'. 33. ΙϚ', 27. ΙΔ', 14.

σθαι τῶν οὐρανίων, ξένοι ἦσαν καὶ πάροικοι. *Συμπολῖται τῶν ἁγίων.*] Νῦν δέ, φησι, τὴν αὐτὴν ἔχετε τοῖς ἁγίοις πόλιν, τὴν οὐράνιον Ἱερουσαλήμ. Ὅρα δέ· οὐκ εἶπεν ἁπλῶς, τῶν Ἰουδαίων; ἀλλά, *τῶν ἁγίων*, τῶν πατριαρχῶν καὶ τῶν προφητῶν (1). *Καὶ οἰκεῖοι τοῦ θεοῦ.*] Ὅπερ γὰρ ἔσχον ἐκεῖνοι, φησί, μυρίοις πόνοις, τοῦτο ὑμῖν διὰ τῆς πίστεως δεδώρηται. Τὴν δὲ ἄγαν ἕνωσιν τῶν ἐθνῶν, τὴν πρὸς τοὺς προφήτας καὶ ἀποςόλους, σημᾶναι θέλων, *ἐποικοδομιθέντες*, φησίν, *ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν*· ὥσπερ ἂν εἰ ἔλεγε· Θεμέλιος ὑπόκεινται οἱ προφῆται καὶ οἱ ἀπόςολοι· ὑμεῖς δὲ τὴν λοιπὴν οἰκοδομὴν ἀναπληροῦτε· ὥςε γενέσθαι τοὺς πάντας ἕνα ναὸν θεοῦ· οἷον δή ἐςι τό, Ἐπάνω προφητῶν καὶ ἀποςόλων οἰκοδομεῖσθαι. Πρώτους δὲ τοὺς ἀποςόλους τέθειχεν, εἰ καὶ ἔσχατοι τῷ χρόνῳ· ἐπειδὴ δι' αὐτῶν ἐδεξάμεθα τὰ θεῖα κηρύγματα. *Ὄντος ἀκρογωνιαίου αὐτοῦ τοῦ Χριστοῦ.*] Αὐτὸς γάρ ἐςιν ὁ τὸ πᾶν συνέχων· ὁ γὰρ ἀκρογωνιαῖος λίθος καὶ τὸ θεμέλιον καὶ τὸ οἰκοδόμημα συνέχει καὶ συσφίγγει. Καὶ ὅρα· ποτὲ μὲν αὐτὸν ἄνωθεν συσφίγγειν τὸ πᾶν λέγει, ἔνθα καὶ κεφαλὴν αὐτὸν λέγει· ποτὲ δέ, κάτωθεν, ὡς ἐπὶ τοῦ ἀκρογωνιαίου· ἀλλαχοῦ δὲ καὶ θεμέλιον φησὶ τὸν Χριςόν (α). *Ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη.*] Δείκνυσι τὴν ἀκριβῆ οἰκοδομήν· ἅμα δηλῶν, ὅτι οὐκ ἔστιν ἄλλως εἰς ναὸν αὔξειν ἅγιον, ἢ ὅλως σώζεσθαι, εἰ μὴ μετὰ ἠκριβωμένου βίου. *Αὔξει εἰς ναόν.*] Ἡ γὰρ οἰκοδομὴ αὕτη αὔξουσα καὶ πληρουμένη, ἀποτελεῖται ναὸς θεοῦ· « Ἐνοικήσω γάρ, φησίν, ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω (β). » Καὶ κοινῇ γὰρ εἰς τὴν ἐκκλησίαν οἰκεῖ ὁ θεός, καὶ ἰδίᾳ εἰς ἕκαστον τῶν ἀξίων (2). *Ἐν*

(1) « Ἁγίους ἐνταῦθα οὐ μόνον τοὺς τῆς χάριτος, ἀλλὰ καὶ τοὺς ἐν νόμῳ, καὶ τοὺς πρὸ νόμου λέγει. Καὶ γὰρ περὶ τοῦ Ἀβραὰμ ὁ αὐτὸς ἀπόστολος ἔφη, ὅτι « Ἐξεδέχετο τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεὸς (Ἑβρ. ΙΑ', 10.). » Θεοδώρητος. (α) Α' Κορ. Γ', 11. (β, Λευϊτ. ΚϚ', 12.

(2) « Ἐν τῷ ἀκρογωνιαίῳ, φησί, λίθῳ τούτῳ, τουτέστι, τῷ Χριστῷ, πᾶσα ἡ οἰκοδομή, τουτέστι, πάντες οἱ πιστοί, συναρμολογούμενοι καὶ ἑνούμενοι συμφυῶς καὶ ἀδιασπάστως, αὔξουσι καὶ ἀναπληροῦνται, ὥστε γενέσθαι ναὸς θεοῦ. Διὰ δὲ τοῦ εἰπεῖν, συναρμολογούμενοι, δείκνυσιν, ὅτι οὐκ ἔςιν ἄλλως συντεθῆναι εἰς ναὸν θεοῦ, εἰ μὴ καὶ τὸν βίον ἔχομεν οἰκείωσιν ἔχοντα πρὸς τὸν ἀκρογωνιαῖον λίθον. » Θεοφύλακτος.

κυρίῳ.] Τὸ, *ἐν Κυρίῳ*, ἀντὶ τοῦ, διὰ τῆς τοῦ Κυρίου χάριτος, οὐ δι' ἡμετέρων πόνων. *Ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον θεοῦ ἐν πνεύματι.*] Καὶ πάντες μὲν οἱ πιστοὶ ἐν τούτῳ συνοικοδομοῦνται, καὶ ὑμεῖς δὲ οἱ Ἐφέσιοι, ὥστε εἶναι κατοικητήριον θεοῦ ἐν πνεύματι. Τὸ δὲ, *Ἐν πνεύματι*, ἢ διὰ τῆς τοῦ πνεύματος ἐνεργείας, ἢ πρὸς ἀντιδιαστολὴν τῆς αἰσθητῆς οἰκοδομῆς· ὡς ἂν εἰ ἔλεγε· Κατοικητήριον τοῦ θεοῦ πνευματικόν. Ἄρα οὖν μέχρι τῆς δευτέρας παρουσίας ἡ συνοικοδόμησις αὕτη γίνεται διὰ τῶν ἑκάστοτε πιστευόντων.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς δοθείσης αὐτῷ θείας σοφίας εἰς φωτισμὸν ἐθνῶν, καὶ ἔλεγχον δαιμόνων.

ΚΕΦ. III, 1 Τούτου χάριν ἐγὼ Παῦλος, ὁ δέσμιος
2 τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν· εἴγε
ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ θεοῦ, τῆς
3 δοθείσης μοι εἰς ὑμᾶς· ὅτι κατὰ ἀποκάλυψιν ἐγνώ-
σέ μοι τὸ μυστήριον· (καθὼς προέγραψα ἐν ὀλίγῳ·
4 πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνε-
5 σίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ·) ὃ ἑτέραις
γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων,
ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ
6 καὶ προφήταις ἐν πνεύματι· εἶναι τὰ ἔθνη συγκλη-
ρονόμα καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς ἐπαγγε-
λίας αὐτοῦ ἐν τῷ Χριστῷ, διὰ τοῦ εὐαγγελίου.

Τ*ούτου χάριν ἐγὼ Παῦλος, ὁ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ.*] Ἔστι γὰρ εἶναι μὲν δέσμιον τοῦ Χριστοῦ, τουτέστι, διὰ τὴν εἰς αὐτὸν ἀμετάτρεπτον πίστιν δεδέσθαι καὶ κολάζεσθαι, ἀλλ' οὐχὶ καὶ ὑπὲρ τῶν ἐθνῶν, του-

τέστι, διὰ τὴν διδασκαλίαν καὶ τὸ κήρυγμα, ὃ κηρύσσει τις ἐν τοῖς ἔθνεσιν, ὥσπερ πολλοὶ τῶν μαρτύρων. Οὐχ ὅτι γὰρ ἐδίδασκον τὰ ἔθνη, ἀλλ' ὅτι οὐκ ἐξηρνοῦντο, ἐκολάζοντο. Ὁ δὲ Παῦλος, δι' ἀμφότερα καὶ ὑπὲρ τοῦ Χριστοῦ, καὶ ὑπὲρ τῶν ἐθνῶν. *Ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ.*] Ἐπειδή, φησιν, ὁ δεσπότης μου τοιαῦτα ἐπεδείξατο εἰς ὑμᾶς, ἀνάγκη κἀμὲ τὰ κατὰ δύναμιν εἰσενεγκεῖν. Δέσμιος οὖν εἰμὶ ὑπὲρ ὑμῶν· ἐν δεσμοῖς γὰρ ὢν ἔγραφεν· ἅμα δὲ καὶ τοῦτο δηλοῖ, ὅτι ὁ δεσπότης μου ἐσταυρώθη, ἐγὼ δὲ τέως δέδεμαι ὑπὲρ ὑμῶν τῶν ἐθνῶν. Εἰπὼν δὲ, *τῶν ἐθνῶν*, τοῦτο ἐνέφηνεν, ὅτι οὐ μόνον ὑμᾶς οὐ βδελυττόμεθα, ἀλλὰ καὶ δεσμούμεθα δι' ὑμᾶς, καὶ Χριστοῦ δεσμίους ἑαυτοὺς ὀνομάζομεν σεμνυνόμενοι. *Εἴγε ἠκούσατε.*] Τὴν πρόῤῥησιν λέγει, τὴν πρὸς τὸν Ἀνανίαν λεχθεῖσαν, *Ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον τῶν ἐθνῶν* (α). *Οἰκονομίαν* δὲ *χάριτος τοῦ θεοῦ*, τὴν ἀποκάλυψίν φησι τοῦ μυστηρίου, ὅτι οὐ παρὰ ἀνθρώπου ἔμαθεν αὐτό· ἀλλ' οὕτως ᾠκονόμησέ, φησιν, ἡ χάρις τοῦ θεοῦ, ὥστε μοι ἐξ οὐρανοῦ ἀποκαλυφθῆναι. Χάριτος γὰρ τό, τε καλέσαι, καὶ τὸ πηρῶσαι τῷ φωτὶ, ἵν' εὐπειθέστερος γένηται. *Τῆς δοθείσης μοι εἰς ὑμᾶς.*] Αὐτὸς γάρ μοι εἶπε, φησὶν, *Ὅτι εἰς ἔθνη μακρὰν ἀποστελῶ σε* (β). *Ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι τὸ μυστήριον.*] Ἰδοὺ τῆς χάριτος τὸ ἔργον, ἡ τοῦ μυστηρίου ἀποκάλυψις. Μυστήριον γὰρ ὡς ἀληθῶς τὸ τοὺς Ἕλληνας, λίθοις προσκυνοῦντας, εἰς τοσαύτην ἐπαρθῆναι δόξαν καὶ εὐγένειαν· ὃ καὶ αὐτὸ ἀπεκάλυπτο αὐτῷ. *Καθὼς προέγραψα ἐν ὀλίγῳ.*] Τὰς προλεχθείσας ἄνω λέγει οἰκονομίας, ὅτι ἐκλήθη τὰ ἔθνη, ὄντα μακρὰν, καὶ ὅτι ἐπῳκοδομήθη τοῖς πατριάρχαις, καὶ ὅσα τοιαῦτα. Τὸ δὲ, *ἐν ὀλίγῳ*, ἢ ἀντί του, πρὸ ὀλίγου, ἢ ἀντὶ τοῦ, διὰ βραχέων. *Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι.*]

(α) Πραξ. Θ', 15. (β) Πραξ. ΚΒ', 21.

Ἔγραψά, φησιν, οὐχ ὅσα ἐχρῆν, ἀλλ' ὅσα ἐχωρεῖτε νοεῖν. Ἐξ ὧν δύνασθε νοῆσαι *τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ*· τουτέστι, πῶς τὸ μυστήριον τοῦ Χριστοῦ συνῆκα, εἴτουν, πῶς κατενόησα, ὅτι κάθηται ἐκ δεξιῶν· ὅτι καὶ ἡμᾶς συνεκάθισεν· ὅτι ἐν ἑαυτῷ ἔκτισεν ἀμφοτέρους εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ ὅσα τοῦ μυστηρίου. *Σύνεσις* γάρ ἐστιν ἡ εἴδησις ἢ γνῶσις, ἡ ἐπὶ τῷ μυστηρίῳ τοῦ Χριστοῦ. *Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη.*] Ὅπερ μυστήριόν, φησιν, ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη. Πάντα δὲ ταῦτα εἰς μυστήριον τοῦ Χριστοῦ συντελεῖ, ἡ ἐνανθρώπησις, ὁ σταυρός, ἡ ἀνάστασις, ἡ ἐκ δεξιῶν τοῦ πατρὸς καθέδρα, ἡ κλῆσις τῶν ἐθνῶν, ἡ διὰ τῆς πίστεως σωτηρία, ἡ ἐκβολὴ τοῦ κατὰ σάρκα Ἰουδαίου, ἡ συνάφεια τῶν δύο λαῶν εἰς ἓν σῶμα Χριστοῦ χρηματίζουσα, μᾶλλον δὲ οὖσα, ἡ δευτέρα παρουσία, ἡ ἀπόδοσις κατ' ἀξίαν, καὶ ὅσα τοιαῦτα. *Ὡς νῦν ἀπεκαλύφθη.*] Τί οὖν; οἱ πάλαι προφῆται οὐκ ᾔδεσαν; Πῶς οὖν ὁ Χριστός φησιν, ὅτι Μωσῆς καὶ οἱ προφῆται περὶ ἐμοῦ ταῦτα ἔγραψαν; Καὶ πάλιν περὶ τῶν γραφῶν· Ἐρευνᾶτε τὰς γραφάς· ἐκεῖναι γάρ εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ (α); Καὶ φαμέν, ὅτι ἢ τοῦτο εἶπεν ὁ Παῦλος, ὅτι πᾶσιν ἀνθρώποις οὐκ ἐγνωρίσθη· εἶπε γὰρ ἔμπροσθεν· *Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων*· νῦν γὰρ μετὰ τὴν ἐνανθρώπησιν, πάντες αὐτὸν ἐθεάσαντο· ἤ, ὅτι οὐδὲ οἱ προφῆται εἶδον, ὡς νῦν ὡράθη, τουτέστι, σωματικῶς· ἢ ὅτι περὶ τῶν ἐθνῶν οὐδενὶ οὕτως ἐγνώσθη, εἶναι ταῦτα *συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ. Ἐν πνεύματι.*] Διὰ πνεύματος γὰρ καὶ νῦν ἡ ἀποκάλυψις τῶν τοιούτων. Ἀμέλει οἱ ἐστερημένοι τοῦ πνεύματος, καὶ νῦν πλανῶνται. *Εἶναι τὰ ἔθνη συγκληρονόμα.*] Ὅτι μὲν γὰρ κληθήσεται τὰ ἔθνη, ᾔδεσαν οἱ προφῆται· ὅτι δὲ συγκληρονόμα τῷ Ἰσραὴλ τῆς ἐπαγγελίας καὶ συμμέτοχα ἔσται, οὐκ ᾔδεσαν.

(α) Λουκ. ΚΔ', 44. Ἰωαν. Ε', 39.

Μετεῖχον γὰρ οἱ Ἰσραηλῖται τῆς ἐπαγγελίας, ὡς ἔθνος ἅγιον· μετέσχον ταύτης σὺν αὐτοῖς καὶ οἱ τέως ἀκάθαρτοι ἐθνικοί. Ἀλλὰ πῶς; *Ἐν τῷ Χριστῷ*· τουτέστι, διὰ τῆς εἰς Χριςὸν πίστεως, ἥτις *διὰ τοῦ εὐαγγελίου* αὐτοῖς προσγέγονεν. Οὐχ ἠρκέσθη δὲ τῷ *συγκληρονόμα* καὶ *συμμέτοχα* εἰπεῖν· ἀλλ' ἵνα δηλώσῃ τὴν πολλὴν ἐγγύτητα καὶ ἕνωσιν, *σύσσωμα*, εἶπεν. Ἓν γὰρ σῶμα γεγόνασιν οἱ ἐθνικοὶ πρὸς τοὺς Ἰσραηλίτας ἁγίους, μιᾷ κεφαλῇ, τῷ Χριστῷ, συγκρατούμενον.

7 Οὗ ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ, τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν
8 τῆς δυνάμεως αὐτοῦ. Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ
9 Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου, τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριςοῦ·

Ἐγενόμην, φησὶ, τοῦ εὐαγγελίου διάκονος, ἐν δωρεᾷ χάριτος τοῦτο λαβών· οὐδὲν γὰρ ἐγὼ ἔργον ἐμὸν συνεισήνεγκα τῇ χάριτι ταύτῃ. Ὅρα Παῦλον ταῦτα λέγοντα, τὸν καθ' ἡμέραν ἀποθνήσκοντα (α). *Κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.*] Καὶ οὐ μόνον, φησὶν, ἐδωρήθη μοι ἡ χάρις αὕτη, ἀλλὰ πρὸς τῇ δωρεᾷ καὶ ἐνεργεῖ μοι δύναμιν εἰς τὸ ἰσχύειν πρὸς τὴν διακονίαν τοῦ εὐαγγελίου. *Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ.*] Ὅρα ὑπερβολὴν ταπεινοφροσύνης! Ἀλλαχοῦ μὲν, μὴ εἶναι ἱκανὸν εἰς ἀποστολὴν ἔλεγεν ἑαυτόν (ϐ)· νῦν δὲ, καὶ πάντων τῶν ἁγίων ἐλαχιστότερον λέγει. *Ἐμοὶ* οὖν, φησὶν, *ἐδόθη ἡ χάρις αὕτη.* Καὶ εἰκότως, *χάρις*, εἴγε τῷ πάντων ἐλαχιστοτέρῳ τὸ κήρυγμα τῶν ἐθνῶν ἐπετράπη. — *Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων.*] Λείπει τὸ, *γάρ*· οἷον· *Ἐμοὶ γάρ*· ἢ μᾶλλον οὐδὲν ἐλλείπει, ἀλλὰ ἀνταπόδοσίς ἐστι τοῦ προηγουμένου· οἷον, Τούτου χάριν· τουτέςι, Τούτου χάριν ἐμοὶ τῷ ἐλαχιςοτέρῳ πάντων τῶν ἁγίων

(α) Α' Κορ. ΙΕ', 31. (ϐ) Α' Κορ. ΙΕ', 9.

ἐδόθη, καὶ ἑξῆς. Σκόπει δὲ, ὅτι ἀρξάμενος τῆς περιόδου κατὰ τὸ ὀρθὸν σχῆμα, ἐν τῇ ἀνταποδόσει ἐπλαγίωσε, σχηματίσας τὴν ἀνταπόδοσιν πρὸς τὸν τῶν περιβολῶν τύπον. Οὕτω καὶ Θουκυδίδης καὶ Δημοσθένης πολλαχοῦ. Τὸ δὲ, *τούτου χάριν*, φησὶν, οἷον, χάριν τοῦ συνοικοδομηθῆναι ὑμᾶς εἰς κατοικητήριον θεοῦ, *ἐδόθη ἡ χάρις αὕτη*. Ποία δὲ χάρις; Τὸ *ἐν τοῖς ἔθνεσι*, φησὶν, *εὐαγγελίσασθαι*· οἱ μὲν γὰρ ἄλλοι εἰς τὴν περιτομήν· αὐτὸς δὲ, εἰς τὰ ἔθνη. Ὥστε χάριτος ἐδεῖτο τὸ τὸν ἐλαχιστότερον τὰ μείζω πιστευθῆναι. Ὁ γὰρ τοὺς χείρονας ἐπιστρέφειν ταχθεὶς, κατὰ τοῦτο αὐτὸ μέγας γίνεται, κἂν μικρὸς ἦν· χάριτος οὖν τὸ πρᾶγμα.— *Τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ.*] Εἰ ὁ πλοῦτος αὐτοῦ ἀνεξιχνίαστός ἐστι καὶ μετὰ τὸ φανῆναι, πόσῳ μᾶλλον ἡ οὐσία; *Καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου.*] Ὅτι μὲν γὰρ κληθήσεται τὰ ἔθνη, ᾔδεισαν ἴσως διὰ τοῦ πνεύματος καὶ οἱ προφῆται καὶ οἱ ἄγγελοι· ὅτι δὲ ἐπὶ τοιούτοις, ὥστε ἀπαρχὴν αὐτῶν γενέσθαι τὸν θεὸν Λόγον, οὐκ ᾔδεισαν. Τοῦτο οὖν φησὶ, *μυστήριον ἀποκεκρυμμένον. Ἀπὸ τῶν αἰώνων.*] Τουτέστιν, ἄνωθεν καὶ ἐξ ἀρχῆς. Ὥστε οὐ νεαρόν ἐστι τὸ περὶ τὰ ἔθνη γινόμενον, ἀλλ' ἄνωθεν ἐδέδοτο. Εἰκότως δὲ πᾶσιν ἄγνωστον ἦν, ὅτι τὰ ἔθνη τοιούτων ἀξιωθήσονται· εἰ γὰρ *ἐν τῷ θεῷ* ἐκέκρυπτο, τίς ἦν ὁ ἀποκαλύπτων; *Τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ.*] Καλῶς *κτίσεως* ἐμνημόνευσεν· ὁ γὰρ τὰ πάντα διὰ τοῦ Χριστοῦ κτίσας πατήρ· χωρὶς γὰρ αὐτοῦ, φησι, γέγονεν οὐδὲ ἕν (α)· καὶ τοῦτο δι' αὐτοῦ ἀπεκάλυψεν.

10 Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις
ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποί-
11 κιλος σοφία τοῦ θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων,
12 ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν· ἐν
ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν ἐν

(α) Ἰωαν. Α', 3.

13 πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ. Διὸ αἰτοῦμαι, μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν.

Ἵνα γνωρισθῇ νῦν.] Οὔτε αἱ ἄνω ἀρχαὶ καὶ ἐξουσίαι, οὔτε αἱ κάτω ᾔδεσαν τὸ μυστήριον τῆς δόξης τῶν ἐθνικῶν· καὶ γὰρ καὶ ἄγγελοι καὶ ἀρχάγγελοι τοῦτο μόνον ᾔδεσαν, ὅτι ἐγένετο μερὶς Κυρίου λαὸς ὁ τοῦ Ἰακώβ (α). Καὶ ὁ Γαβριὴλ δὲ τοῦτο μόνον ἐγίνωσκεν, ὅτι σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν (β), περὶ τοῦ Ἰσραὴλ λέγων. Ὅτι δὲ ἐπὶ τούτοις τὰ ἔθνη κληθήσεται, καὶ τηλικαύτης τιμῆς τεύξονται, νῦν ἔγνωσαν καὶ αἱ ἄνω δυνάμεις, καὶ αἱ κάτω, *διὰ τῆς ἐκκλησίας*, τουτέστι, διὰ τῶν εἰς ἡμᾶς γενομένων· αἱ γὰρ εἰς ἡμᾶς γενόμεναι εὐεργεσίαι, διδάσκαλοι αὐτοῖς ἐγένοντο τῆς σοφίας τοῦ θεοῦ. Οὐχ ἁπλῶς δὲ ποικίλην αὐτὴν φησὶν, ἀλλὰ, *πολυποίκιλον*, τὸ πάντεχνον αὐτῆς δηλῶν καὶ ἀκατανόητον. *Ἐν τοῖς ἐπουρανίοις.*] Ταῖς ἐν τοῖς ἐπουρανίοις ἀρχαῖς καὶ ἐξουσίαις. — *Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ.*] Πρὸ μὲν τῶν τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος ἡμῶν χρόνων, ἁπλῆν ἐγίνωσκον αἱ οὐράνιαι δυνάμεις τὴν σοφίαν τοῦ θεοῦ, ἐκ μόνου τοῦ δυνατοῦ κατορθουμένην· ὁ γὰρ τῇ ὁρμῇ τοῦ οἰκείου θελήματος οὐσιώσας τὰ πάντα θεὸς, δυνάμει ἀκαταλύπτῳ διετήρει πρὸς διαμονὴν τὰ δημιουργηθέντα· καὶ οὐδὲν ἦν ποικίλον· ἀλλ' οἷον ἐθεωρεῖτο, τοιοῦτον καὶ ὑπῆρχε· νῦν δέ γε διὰ τῆς εἰς τὴν ἐκκλησίαν καὶ τὸ ἀνθρώπινον γένος οἰκονομίας, οὐκέτι μόνον ἁπλῆ, ἀλλὰ καὶ πολυποίκιλος ἐγνώσθη ἡ σοφία τοῦ θεοῦ, διὰ τῶν ἐναντίων τὰ ἐναντία κατορθοῦσα· διὰ θανάτου, ζωήν· δι' ἀτιμίας, δόξαν· διὰ σταυροῦ, τρόπαιον· διὰ πάντων τῶν εὐτελῶν, τὰ θεοπρεπῆ. Διὰ οὖν τῆς ἡμῶν οἰκονομίας, τῆς ἐν τῇ ἐνανθρωπήσει γενομένης, πολυποίκιλος ἐγνώσθη ἡ σοφία καὶ ἡ δύναμις τοῦ θεοῦ ταῖς οὐρανίαις δυνάμεσιν. Ὅτε

(α) Δεύτερ. ΛΒ', 9.

(β) Ματθ. Α', 21.

γὰρ ἡμεῖς ἐμάθομεν, τότε κἀκεῖναι δι' ἡμῶν, ὁρῶσαι τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, καὶ δι' αὐτῆς εἰς γνῶσιν ὁδηγούμεναι. Οὕτως ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης, ἐν τῇ ὀγδόῃ ὁμιλίᾳ τῆς ἑρμηνείας εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων. — *Κατὰ πρόθεσιν τῶν αἰώνων.*] Νῦν μὲν ἐγνώσθη, φησὶν, ἡ σοφία τῶν περὶ ἡμᾶς γενομένων, πλὴν ἄνωθεν ἦν προωρισμένη. *Κατὰ πρόθεσιν* γάρ, φησι, *τῶν αἰώνων*, τουτέστι, κατὰ πρόγνωσιν καὶ προείδησιν καὶ προοικονομίαν τῶν μελλόντων αἰώνων. Ἤδει γὰρ ὁ θεὸς τὰ ἐσόμενα, καὶ οὕτως ὥρισεν. Τοὺς γὰρ προορισμοὺς, *προθέσεις* εἶπεν· — ΑΛΛΟ. Ἡ κατὰ πρόθεσιν τῶν αἰώνων πολυποίκιλος σοφία τοῦ θεοῦ. Αὕτη γὰρ καὶ τῶν αἰώνων προετίθετο καὶ προώριστο, εἰ καὶ ἐν ἐσχάτοις καιροῖς διὰ τῆς ἐκκλησίας ἐγνώσθη.—Τὸ δὲ, *ἣν ἐποίησεν ἐν Χριστῷ*, ὅτι καὶ ταύτην διὰ τοῦ Χριστοῦ καὶ προέθετο τῶν αἰώνων καὶ προώρισεν. Οὐδὲν γὰρ ἄνευ τοῦ υἱοῦ, οὔτε ἠβουλήθη, οὔτε ὥρισεν, οὔτε ἐποίησε. Δι' αὐτοῦ γὰρ καὶ τοὺς αἰῶνας ἐποίησεν (α). *Ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει.*] Προσήχθημεν οὖν τῷ θεῷ καὶ πατρὶ διὰ τοῦ Χριστοῦ· προσήχθημεν δὲ, οὐχ ὡς αἰχμάλωτοι, οὐδὲ ὡς συγγνώμης ἀξιωθησόμενοι, ἐφ' οἷς ἡμάρτομεν· ἀλλὰ μετὰ παῤῥησίας, καὶ παῤῥησίας οὐχ ἁπλῶς, ἀλλὰ ἐν θάῤῥει τινὶ καὶ πεποιθήσει· ἁγιάσας γὰρ ἡμᾶς διὰ τοῦ ἰδίου αἵματος, προσήγαγεν ἡμᾶς θαῤῥοῦντας. Πόθεν δὲ ταῦτα ἡμῖν, *Δια τῆς πίστεώς*, φησιν· αὕτη γὰρ λύσασα τὰ ἁμαρτήματα, παῤῥησίαν καὶ θάῤῥος ἡμῖν ἐνέθηκεν. *Διὸ αἰτοῦμαι, μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν.*] Διό, φησιν, αἰτῶ, μὴ ἐκκακεῖν, μηδὲ θορυβεῖσθαι ἐν ταῖς θλίψεσί μου, αἵτινες ὑπὲρ ὑμῶν καὶ δι' ὑμᾶς εἰσί μοι. Πῶς; Ὅτι οὕτως ὑμᾶς ἠγάπησεν ὁ θεὸς, ὡς μὴ μόνον τὸν υἱὸν αὐτοῦ δοῦναι

(α) Ἑβρ. Α', 2. — « Οὐδὲ γὰρ αἱ ἀόρατοι δυνάμεις ᾔδεσαν τὸ μυστήριον, ἀλλὰ διὰ τῆς περὶ τὴν ἐκκλησίαν οἰκονομίας τὴν ἄῤῥητον τοῦ θεοῦ σοφίαν κατέμαθον. Κατὰ πρόθεσιν δὲ τῶν αἰώνων λέγει, ἀντὶ τοῦ, Ταῦτα πρὸ τῶν αἰώνων μὲν προέθετο, ἐποίησε δὲ διὰ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας. » Θεοδώρητος.

ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ ἡμᾶς τοὺς δούλους αὐτοῦ ἐᾶσαι θλίβεσθαι ὑπὲρ τοῦ ὑμᾶς σωθῆναι. Ἆρα οὐ δόξα ὑμῶν τὸ οὕτως ἀγαπᾶσθαι ὑπὸ θεοῦ; Καθ' ὑπερβατὸν δὲ ἡ σύνταξις· οἷον· *Διὸ αἰτοῦμαι, μὴ ἐκκακεῖν ἐν ταῖς ὑπὲρ ὑμῶν θλίψεσί μου* (1).

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Εὐχὴ ὑπὲρ τῆς ἐκκλησίας εἰς δύναμιν καὶ ἀγάπην θεοῦ.

14 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πα-
15 τέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶ-
16 σα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· ἵνα
δώῃ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνά-
μει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν
17 ἔσω ἄνθρωπον (2)· κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς
πίστεως ἐν ταῖς καρδίαις ὑμῶν· ἐν ἀγάπῃ ἐῤῥιζω-
μένοι καὶ τεθεμελιωμένοι·

Τούτου χάριν κάμπτω τὰ γόνατά μου.] Ἐπειδὴ οὕτως ἠγαπήθητε παρὰ θεοῦ, καὶ ἀκατάληπτά εἰσι τὰ ἀγαθὰ, ὧν ἐτύχετε καὶ τεύξεσθε, εὔχομαί, φησιν, ἵνα δοθῇ ὑμῖν χάρις, ἐνοικήσαντος ὑμῖν τοῦ Χριστοῦ, καταλαβεῖν αὐτὰ, καὶ γνῶναι, πῶς ἠγαπήθητε. Τὴν δὲ μετὰ κατανύξεως δέησιν ἐσήμανε διὰ τοῦ, *κάμπτω τὰ γόνατά μου.* *Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρα-*

(1) « Διότι μέγα τὸ μυστήριον τῆς κλήσεως ὑμῶν, καὶ μεγάλα, ἃ ἐνεπιστεύθην ἐγὼ, ὥστε κηρύττειν ὑμῖν, καὶ ἀνάγκη ἐστὶ δεδέσθαί με, καὶ πάσχειν κακῶς παρὰ τῶν μὴ συνιέντων τὸ μυστήριον, ἀλλ' ἀντιλεγόντων· αἰτοῦμαι ὑμᾶς, ἵνα μὴ ἐκκακῆτε, τουτέστι, ταράσσησθε καὶ θορυβῆσθε, ὡς παραλόγου τινὸς γενομένου. Δόξα γὰρ ὑμῶν μᾶλλον τοῦτό ἐστιν, ὅτι οὕτως ἠγάπησεν ὑμᾶς ὁ θεὸς, ὥστε οὐ μόνον τὸν υἱὸν αὐτοῦ δοῦναι ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ ἡμᾶς τοὺς δούλους αὐτοῦ διὰ τὴν ὑμετέραν ὠφέλειαν εἰς κινδύνους ἐκδιδόναι καὶ δεσμά. Εἰ δὲ αἱ ἐμαὶ θλίψεις δόξα ὑμῶν, πολλῷ μᾶλλον διὰ τῶν ὑμετέρων δοξασθήσεσθε. Ὥστε μηδὲ ὅταν αὐτοὶ θλίβησθε, ἐκκακεῖτε.» Θεοφύλακτος.

(2) Τὸ, εἰς τὸν ἔσω ἄνθρωπον, συνάπτεται παρ' ἄλλοις τῷ ἑπομένῳ, κατοικῆσαι, ὡς καὶ ἐν τῇ ἑρμηνείᾳ.

νοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται.] Ἐκ τοῦ ἄνω πατρὸς πᾶσα, φησί, πατριά· ἐπὶ γῆς μὲν πατριάς, τὰ γένη καλῶν, ἀφ' ὧν καὶ πατέρες καλοῦνται· ἐν οὐρανῷ δέ, ἔνθα οὐκ ἔστιν ὅδε ἐκ τοῦδε, *πατριὰς* τὰ συστήματα λέγει (1). Αὐτὸς γὰρ τάς τε ἄνω καὶ τὰς κάτω φυλὰς ἐδημιούργησε, καὶ ἀπ' αὐτοῦ εἰσὶν οἱ ὀνομαζόμενοι πατέρες (2). *Ἵνα δώῃ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι.*] Ὅρα μεθ' ὅσης ἀπληστίας ἐπεύχεται αὐτοῖς τὰ ἀγαθά! Εὔχομαι, ἵνα δώῃ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, κραταιωθῆναι ὑμᾶς πρὸς τοὺς πειρασμούς, ὥστε μὴ κλονεῖσθαι ὑπὸ τούτων καὶ παραφέρεσθαι. Οὐκ ἀρκεσθεὶς δὲ τῷ, *κραταιωθῆναι*, προσέθηκε καὶ τό, *δυνάμει*· ἐκ περιουσίας γὰρ αὐτοῖς ἐπεύχεται τὰ ἀγαθά. Πῶς δὲ κραταιωθῆναι; Διὰ τοῦ πνεύματος αὐτοῦ· αὐτὸ γάρ ἐςι τὸ τὴν ἰσχὺν παρέχον. *Εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν.*] Καὶ οὐ μόνον κραταιωθῆναί, φησιν, ἀλλὰ καί, τὸ μεῖζον καὶ περισσότερον, *κατοικῆσαι τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον*. Τουτέστιν, Ἵνα δώῃ ὑμῖν, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν· ἵνα ναὸς θεοῦ γένησθε. Καὶ οὐχ ἁπλῶς *κατοικῆσαι*, ἀλλὰ καί, *ἐν ταῖς καρδίαις ὑμῶν*· τουτέστιν, οὐκ ἐπιπολαίως, ἀλλ' ἐν βάθει· ὁ γὰρ *ἔσω ἄνθρωπος* καὶ *αἱ καρδίαι*, τὴν κατὰ βάθους ἐνοίκησιν καὶ τὴν οἷον συμφυῆ καὶ ἐρριζωμένην δηλοῖ. *Διὰ τῆς πίστεως.*] Πῶς δὲ ἔσται τοῦτο; *Διὰ τῆς πίστεως*, φησι, καὶ τοῦ ἐν ἀγάπῃ εἶναι

(1) « Ἐπὶ τῆς γῆς μὲν τὰς γενεὰς ὀνομάζων πατριάς, ἀπὸ τοῦ τῶν πατέρων ὀνόματος οὕτω καλουμένας· ἐν οὐρανῷ δέ, ἐπεὶ ἐκεῖ οὐδεὶς ἐξ οὐδενὸς γεννᾶται, πατριὰς τὰ συστήματα λέγει. » Θεοφύλακτος.

(2) « Κυρίως πατήρ, καὶ ἀληθῶς πατὴρ ὁ θεός· οὐ γὰρ ἐγένετο πρῶτον υἱός, εἶτα πατήρ· ἀλλ' ἀεὶ πατήρ ἐστι, καὶ φύσει πατήρ· οἱ δὲ ἄλλοι πατέρες, εἴτε σωματικοί, εἴτε πνευματικοί, ἄνωθεν τὴν προσηγορίαν εἰλήφασιν. Λέγει δὲ ἐπὶ γῆς πατέρας, τοὺς φύσει πατέρας· οὐρανίους δὲ πατέρας, τοὺς πνευματικοὺς καλεῖ. Τοιοῦτος ἦν αὐτὸς ὁ θεῖος ἀπόστολος· καὶ τοῦτο Κορινθίοις γράφων ἐδίδαξεν. Ἐὰν γάρ, φησι, μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. Ἐν γὰρ Χριςῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα (Α' Κορ. Δ', 15.). Λέγει τοίνυν, ὅτι δεόμενος καὶ ἀντιβολῶν, κάμπτω τὰ γόνατά μου, καὶ ἱκετεύω τὸν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ πατέρα, ὃς ἀληθῶς ὑπάρχει πατήρ, ὃς οὐ παρ' ἄλλου τοῦτο λαβὼν ἔχει, ἀλλ' αὐτὸς τοῖς ἄλλοις μετέδωκε τοῦτο. » Θεοδώρητος.

ὑμᾶς ἐῤῥιζωμένους καὶ τεθεμελιωμένους, ὑπὸ μηδενὸς κινουμένους (1). — *Ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι.*] Τὸ, *ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι*, ἢ σφάλμα ἐστὶ γραφικὸν, δέον κατ' αἰτιατικὴν γράψαι, *ἐῤῥιζωμένους καὶ τεθεμελιωμένους*· ἢ, εἰ μὴ τοῦτο, κατ' ἔθος ἀρχαϊκῆς συντάξεως ἐχρήσατο ὁ θεῖος Παῦλος ἀντὶ αἰτιατικῆς μετοχικῇ εὐθείᾳ. Πολὺ δὲ καὶ παρὰ τοῖς ἔξω τὸ τοιοῦτον σχῆμα, καὶ μάλιστα παρὰ τῷ Θουκυδίδῃ. Εἰ δὲ δεῖ καὶ τὴν εὐθεῖαν πρὸς εὐθεῖαν, ἀλλὰ μὴ κατὰ ἀντίπτωσιν, ἐκλαβεῖν, καὶ οὕτω τὸ ἀκόλουθον φυλαχθήσεται, καθ' ὑπερβατὸν τὴν σύνταξιν ποιουμένων, ᾧ καὶ μάλιστα σχήματι φαίνεται κεχρημένος ὁ θεῖος Παῦλος, οἷον ἵνα ᾖ συντεταγμένον τὸ ῥητὸν οὕτως· *Ἵνα ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, καὶ μῆκος*, καὶ ἑξῆς (Φωτίου).

18 Ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγί-
οις, τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος,
19 γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγά-
πην τοῦ Χριστοῦ· ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλή-
20 ρωμα τοῦ θεοῦ. Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆ-
σαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ
21 τὴν δύναμιν, τὴν ἐνεργουμένην ἐν ἡμῖν, αὐτῷ ἡ δόξα
ἐν τῇ ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ εἰς πάσας τὰς
γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν.

Ἵνα ἐξισχύσητε καταλαβέσθαι.] Ταῦτα δὲ ὑμῖν ἐπεύχομαί, φησιν, *ἵνα ἐξισχύσητε καταλαβέσθαι*. Πολὺν δὲ ἔδειξε τὸν κάματον τῷ τε *ἐξισχύσαι* καὶ τῷ *καταλαβέσθαι* εἰπεῖν. *Τί τὸ πλάτος, καὶ μῆκος.*] Σωματικοῖς ὑπογράφει σχήμασι τὸ τοῦ

(1) « Ἐν γὰρ ταῖς πισταῖς καρδίαις οἰκεῖ Χριστὸς, μετὰ τοῦ πατρὸς ἐρχόμενος, καὶ μονὴν παρ' αὐταῖς ποιῶν, καθὰ προείρηται αὐτῷ (Ἰωαν. ΙΔ', 23.). Τούτων δὲ ἐπιτεύξεσθε, ἐῤῥιζωμένοι ἐν τῇ ἀγάπῃ αὐτοῦ, καὶ μὴ παραφερόμενοι καὶ κλονούμενοι.» Θεοφύλακτος.

Ὁ Θεοφύλακτος προστίθησι κατόπιν τούτων τὰ ἑξῆς· « Ἤτοι οὖν δύο αὐτοῖς ἐπεύχεται, τό, τε κραταιωθῆναι διὰ τοῦ πνεύματος, καὶ τὸ κατοικῆσαι τὸν Χριστὸν ἐν ταῖς καρδίαις αὐτῶν· ἢ, ἵνα κραταιωθῆτέ, φησι, καὶ ἐπιτήδειοι γένησθε, ὥστε κατοικῆσαι τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον ὑμῶν. »

μυστηρίου μέγεθος, τοῦ ὑπὲρ τῶν ἐθνῶν οἰκονομηθέντος (1). — Τίνος πλάτος, καὶ μῆκος; καὶ βάθος, καὶ ὕψος; Ἢ τοῦ μυστηρίου, ἵνα ᾖ κατ' ἔλλειψιν εἰρημένον· ἢ καὶ χωρὶς ἐλλείψεως, καθ' ὑπερβατὸν δέ· *Ἵνα ἐξισχύσητε, καταλαβέσθαι, τι τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος τῆς γνώσεως τοῦ Χριστοῦ, γνῶναί τε τὴν ὑπερβάλλουσαν εἰς ἡμᾶς ἀγάπην αὐτοῦ*. Ἔστι *δὲ γνῶσις μὲν Χριστοῦ*, ἡ τῆς περὶ ἡμᾶς αὐτοῦ οἰκονομίας φανέρωσις· *ἀγάπη δὲ Χριστοῦ*, ὅτι τε τὴν πρᾶξιν αὐτὴν τὴν ὑπερθαύμαστον αὐτὸς καὶ οὐκ ἄλλος ὑπὲρ ἡμῶν εἰργάσατο, καὶ ὅτι αὐτός ἐστιν ἡμῖν χορηγὸς ταύτης τῆς γνώσεως, καὶ ὅτι δι' αὐτῆς μάλιστα ἐπέγνωμεν τὸν Χριστόν. Ἀλλὰ γνῶσις μὲν Χριστοῦ αὕτη· *μῆκος* δὲ αὐτῆς ἐστι, τὸ ἀπὸ τῶν αἰώνων αὐτὴν προωρίσθαι· *πλάτος* δὲ, ὅτι εἰς πάντας αὐτῆς ἡ εὐεργεσία ἐξαπλοῦται, εἰς τοὺς πρὸ νόμου, εἰς τοὺς ἐν νόμῳ καὶ μετὰ τὸν νόμον, εἰς τοὺς ζῶντας, εἰς τοὺς τετελευτηκότας, εἰς τοὺς Ἰουδαίους, εἰς τοὺς Ἕλληνας, εἰς τοὺς βαρβάρους, εἰς πάντα τὰ ἔθνη, εἰς τὰ οὐράνια, εἰς τὰ ἐπίγεια· εἰρήνην γὰρ εἰργάσατο ἐν αὐτοῖς ὁ Χριστὸς, πρότερον ἐκπεπολεμωμένοις οὖσιν εἰς ἀλλήλους τοῖς ἀγγέλοις καὶ τοῖς ἀνθρώποις. Εὔχεται οὖν αὐτοῖς ταῦτα καταλαβέσθαι· καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὸ *βάθος* αὐτῆς· ὅτι μέχρι τῶν τοῦ ᾅδου ταμείων τὴν ἄφατον αὐτοῦ δύναμιν καὶ εὐεργεσίαν ἐπεδείξατο, ἐκεῖνον μὲν καταργήσας καὶ αἰχμαλωτίσας, τοὺς δὲ αἰχμαλώτους ἀναῤῥυσάμενος καὶ ἐλευθερώσας. Εἶτα καὶ τὸ *ὕψος*· ὅτι ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς (α)· ὅτι ὑπεράνω τῶν οὐ-

---

(1) « Ὅπερ ἀρχόμενος ηὔξατο, ἵνα δοθῇ αὐτοῖς πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, εἰς τὸ εἰδέναι, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως, καὶ τὰ ἑξῆς (Κεφ. Α', 17. 18)· τοῦτο καὶ νῦν φησιν, Ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, ἤτοι, τοῖς πιστοῖς, τὸ μυστήριον, τὸ ὑπὲρ ὑμῶν οἰκονομηθὲν, οὕτω μέγα ὂν, ὥστε πανταχοῦ ἐκτετάσθαι. Διὸ καὶ σωματικοῖς αὐτὸ ὑπέγραψε σχήμασι, περιλαβὼν καὶ τὰ ἄνω, καὶ τὰ κάτω, καὶ τὰ ἐκ πλαγίων. Εἶπον μὲν γάρ, φησι, καὶ ἐγὼ περὶ τούτων· οὐκ ἔστι δὲ διὰ τῶν ἐμῶν λόγων ταῦτα μαθεῖν ἱκανῶς, ἀλλὰ διὰ τοῦ πνεύματος τοῦ ἁγίου· οὐδ' ἂν ἄλλως ἐξισχύσητε ταῦτα καταλαβεῖν, εἰμὴ κραταιωθῆτε διὰ τοῦ πνεύματος· ἰσχύος γὰρ πολλῆς χρεία· καὶ εἰμὴ ἐνοικήσῃ ὑμῖν ὁ Χριστὸς, οὐδ' ἂν κατορθῶσαι δυνηθείητε. » Θεοφύλακτος.

(α) Ἐφεσ. Δ', 10.

ρανῶν ἀνήγαγε τὴν ἀπαρχὴν ἡμῶν· ὅτι ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος. Ὁρᾷς ὕψος ἄφατον τῆς οἰκονομίας Χριστοῦ καὶ τῆς γνώσεως αὐτοῦ! Ταῦτα ἐπεύχεται αὐτοῖς ὁ Παῦλος κατανοῆσαι, ταῦτα καταλαβέσθαι. Ἂν δὲ ταῦτα καταλάβωνται, τί; Τότε γνώσονται τὴν εἰς ἡμᾶς ὑπερβάλλουσαν ἀγάπην αὐτοῦ. Ἂν δὲ γνῶμεν ταύτην, τί; Τίς ἀντερεῖ τὸ μὴ οὐχὶ χρεώστας εἶναι πληρωθῆναι ἐν παντὶ πληρώματι θεοῦ; οἷον ὅλον αὐτὸν διὰ τῶν ἔργων τὸν οὕτως ἀγαπήσαντα εἰσδέξασθαι; (Φωτίου). — (1). *Γνῶναί τε.*] Ἀπὸ κοινοῦ τὸ, *Ἵνα ἐξισχύσητε*· οἷον, *Ἵνα ἐξισχύσητε καταλαβέσθαι, καὶ γνῶναι. Τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ.*] Καὶ ἵνα, φησὶ, γνῶτε τὴν ὑπερβάλλουσαν πᾶσαν ἀνθρωπίνην γνῶσιν ἀγάπην τοῦ Χριστοῦ, καὶ οἷον τῆς γνώσεως ὑπεράνω. Ἔςι μὲν γὰρ, φησιν, ὑπεράνω γνώσεως, πλὴν ὑμεῖς γνώσεσθε, εἰ τὸν Χριστὸν σχοίητε ἐνοικοῦντα (2), *ἵνα ἐκ τούτου πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ. Πλήρωμα δὲ τοῦ θεοῦ* ἐστὶν, ἢ τὸ γνῶναι ὡς ἐν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι ἁγίῳ προσκυνεῖται ἡμῖν ὁ θεός· τοῦτο γὰρ *πλήρωμα τοῦ θεοῦ*, ἡ Τριάς· ἢ, ἵνα ἦτε, φησὶ, πεπληρωμένοι πάσης ἀρετῆς, ἧς πλήρης ὁ θεός. Κρεῖττον δὲ, οἶμαι, νοεῖσθαι οὕτως· Ἵνα ἦτε τέλειοι ἐν πάσῃ τῇ κατὰ θεὸν τελειότητι, πάντα γινώσκοντες τὰ θεῖα, ὡς ἔνεστι (3). *Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι.*] Ἐγὼ μέν, φησιν, εὔχομαι· αὐτὸς δὲ καὶ τῶν

---

(1) « Δυνατὸν ἡμᾶς διὰ τῆς πίστεως καὶ ἀγάπης, τῆς πνευματικῆς χάριτος ἀπολαῦσαι, καὶ διὰ ταύτης καταμαθεῖν τῆς γεγενημένης οἰκονομίας τὸ μέγεθος· διὰ γὰρ τοῦ μήκους, καὶ πλάτους, καὶ βάθους, καὶ ὕψους τὸ μέγεθος παρεδήλωσεν· ἐπειδὴ ταῦτα μεγέθους δηλωτικά.» Θεοδώρητος.

(2) « Ἐπεὶ οὖν ὑπερέχει πάσης γνώσεως, πῶς γνωσόμεθα ἡμεῖς; Πρῶτον μὲν οὖν γνώσεως ὑπερέχειν ταύτην εἶπεν, ἀνθρωπίνης δηλαδή· ὑμεῖς δὲ οὐ δι' ἀνθρωπίνης γνώσεως, ἀλλὰ διὰ πνεύματος ἐπιγνώσεσθε ταύτην. Ἔπειτα, οὐδὲ τοῦτο εἶπεν, ὅτι γνώσεσθε αὐτὴν, πόση τίς ἐστιν, ἀλλ' αὐτὸ τοῦτο, ὅτι μεγάλη ἐστὶ, καὶ ὅτι ὑπερέχει πάσης γνώσεως. Τοῦτο δέομαι ὑμᾶς παρὰ τοῦ πνεύματος μαθεῖν.— Ὅρα δέ· εἰ ἡ ἀγάπη αὐτοῦ ὑπερέχει πάσης γνώσεως, πόσῳ μᾶλλον ἡ οὐσία; »Θεοφύλακτος.

(3) « Τὸ, Ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ, ἀντὶ τοῦ, ἵνα τελείως αὐτὸν ἔνοικον δέξησθε.» Θεοδώρητος.

ἡμῶν εὐχῶν μείζονα ἐργάσεται. Δύναται γὰρ οὐ μόνον πάντα, ἃ εὔχεταί τις, ἀλλὰ καὶ *ὑπὲρ πάντα* ποιῆσαι, καὶ *ὑπερεκπερισσοῦ*, τουτέστι, φιλοτίμως καὶ δαψιλῶς. Ὅρα δὲ, δύο ὑπερβολὰς τίθησι, τὸ, *ὑπὲρ πάντα ποιῆσαι* τὰ εἰρημένα, καὶ τὸ, *ὑπερεκπερισσοῦ ποιῆσαι* ἃ ποιεῖ. Ἔνι γὰρ καὶ πλείονα ποιεῖν τῶν αἰτηθέντων, μὴ μέντοι *ὑπερεκπερισσοῦ*, ὅ ἐστι δαψιλῶς καὶ μετὰ φιλοτιμίας ἕκαστον ποιῆσαι. *Κατὰ τὴν δύναμιν, τὴν ἐνεργουμένην ἐν ἡμῖν.*] Καὶ ὅτι ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν δυνατός ἐστι ποιῆσαι, δῆλον ἐκ τῆς ἐνεργούσης ἐν ἡμῖν δυνάμεως αὐτοῦ. Τίς γὰρ τοῦτο προσεδόκησε περὶ τῶν ἐθνῶν, ὅτι οἱ τοσοῦτον ἀπεῤῥωγότες θεοῦ, ἐν τοῖς υἱοθετηθεῖσιν ἔσονται (1); *Αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ.*] Ἐπειδὴ δεῖ τὸν τοσαῦτα δωρησάμενον δοξάζεσθαι. Ὥστε καὶ ἡ δοξολογία, δεῖγμα ὑπάρχει τοῦ μεγέθους τῶν ὑπηργμένων ἡμῖν ὑπὲρ πᾶσαν ἐλπίδα καὶ προσδοκίαν ἀνθρωπίνην ἀγαθῶν. Καλῶς δὲ τὸ, *ἡ δόξα αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ*· ἐπειδὴ γὰρ αὕτη διηνεκῶς μένει, ἐν ταύτῃ εἴη, φησὶν, ἡ δόξα τοῦ θεοῦ, ἵνα ἡμῖν ᾖ διηνεκῶς δοξαζόμενος, καὶ *εἰς πάσας* ἔλθῃ τοῦτο *τὰς γενεάς*. Ὥστε καὶ ἡ δοξολογία αἰώνιος. Ἢ, ὅτι τῇ ἐκκλησίᾳ ἐπεύχεται, ὥστε διατηρεῖν ἀεὶ τὴν δοξολογίαν τοῦ θεοῦ, καὶ μή ποτε παρεκτραπῆναι ἀπ' αὐτῆς. Τὸ δὲ, *ἐν Χριστῷ Ἰησοῦ*, ἢ, *σὺν Χριστῷ Ἰησοῦ*, νόει, ἢ, εἰ νοήσεις, *δια Ἰησοῦ Χριστοῦ*, διὰ τὴν σάρκα τοῦτο νόει εἰρῆσθαι (2).

---

(1) « Ἀλλ' ὁ θεὸς ἀμφότερα δύναται, ὥσπερ οὖν καὶ ἤδη ἠδυνήθη, καὶ ἐνήργησεν ἐν ἡμῖν μεγάλα καὶ ἐξαίσια, υἱοθετήσας τοὺς ἐχθροὺς αὐτοῦ ἐθνικούς.» Θεοφύλακτος.

(2) « Οὐχ ἁπλῶς δέ φησιν, αὐτῷ ἡ δόξα, ἀλλὰ καὶ, ἐν Χριστῷ Ἰησοῦ, ἤτοι, διὰ Ἰησοῦ Χριστοῦ. Τῷ ὄντι γὰρ οὐδεὶς δύναται οὐδὲ δοξάσαι, εἰ μὴ ἐν τῇ τοῦ Χριστοῦ χάριτι καὶ δυνάμει. Αὐτος γάρ ἐστιν, ὁ καὶ πρὸς δοξολογίαν ἡμᾶς χαριτῶν, καὶ διδάσκων, πῶς δεῖ τοῦτο ποιεῖν.» Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Παραίνεσις περὶ ἀγάπης ἑνωτικῆς, εἰ καὶ τὰ χαρίσματα διῄρηται πρὸς ὠφέλειαν κοινήν.

ΚΕΦ. IV, 1 Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν
Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλή-
2 θητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πρᾳότητος,
μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ·
3 σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος
4 ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Ἓν σῶμα καὶ ἓν πνεῦ-
μα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως
5 ὑμῶν· εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς
Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ
πάντων, καὶ ἐν πᾶσιν ἡμῖν.

Οὐκ αὐθεντεῖν δεῖ τὸν διδάσκαλον, ἀλλὰ δουλεύειν τοῖς μαθηταῖς ὑπὲρ τῆς σωτηρίας αὐτῶν· διὸ καὶ ὁ Παῦλος ὡς δοῦλος παρακαλεῖ· προβάλλεται δὲ καὶ τὴν ἅλυσιν εἰς ἱκετηρίαν, ὡς διὰ ταύτης δυσωπήσων αὐτούς. *Παρακαλῶ*, φησὶν, *ὑμᾶς ἐγὼ, ὁ δέσμιος*, οὐ διά τι ἔργον πονηρὸν, ἀλλὰ διὰ τὸν Κύριον. Βαβαὶ! ὅσον ἀξίωμα τὸ δεδέσθαι διὰ τὸν Χριςόν! Αἰδέσθητε οὖν τὰ διὰ τὸν Κύριον δεσμά. *Ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε.*] Τί δὲ παρακαλῶ; Οὐχ ὑπὲρ ἐμαυτοῦ, ἀλλ' ὑπὲρ ὑμῶν, ἵνα περιπατήσητε ἀξίως τῆς κλήσεως. Μεγάλη γὰρ ἡ κλῆσις, καὶ ἐπὶ μεγάλοις ἐκλήθητε, ἐπὶ τῷ ἔχειν κεφαλὴν τὸν Χριστὸν, ἐπὶ τῷ εἰς υἱοὺς εἶναι θεοῦ· καὶ οὐ δεῖ καταισχύνειν τὸ ἀξίωμα ὑμῶν δι' ἔργων ἀναξίων Χριστοῦ. Ἀπὸ δὲ τοῦ δογματικοῦ εἰς τὸ ἠθικὸν κατέβη, καταγλυκαίνων τὸν λόγον. *Μετὰ πάσης ταπεινοφροσύνης.*] Δείκνυσι, πῶς ἔνεστιν ἀξίως τῆς κλήσεως περιπατῆσαι, ὅτι ἐὰν ταπεινὸς ῇς. Ἐννοήσεις γὰρ πάντως, τίς ὢν, τίνων ἠξιώθης, καὶ συσταλήσῃ, καὶ σπουδάσεις θεραπεῦσαι τὸν εὐεργέτην. *Μετὰ πάσης δὲ*, φησι, *ταπεινο-*

φροσύνης, μὴ τῆς ἐν ῥήμασι μόνον, ἀλλὰ καὶ τῆς ἐν πράγμασι, καὶ ἐν σχήματι, καὶ ἐν φθέγματι· καὶ μὴ πρὸς τοῦτον μὲν ταπεινός, πρὸς τοῦτον δὲ οὔ· ἀλλὰ κἂν μικρὸς ᾖ, κἂν μέγας. *Καὶ πραότητος, μετὰ μακροθυμίας.*] Ἔστι γὰρ ταπεινὸν μὲν εἶναι, ὀξὺν δὲ καὶ ὀργίλον· ἀλλ' οὐδὲν ὄφελος ἐκ τῆς τοιαύτης ταπεινότητος. *Ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ.*] Διδάσκει τί τὸ κέρδος τῆς πραότητος καὶ μακροθυμίας, δηλαδὴ τὸ ἀνέχεσθαι ἀλλήλων. Εἶτα, ἵνα μή τις εἴπῃ· Πῶς ἀνέξομαι τοῦ πλησίον ὀργίλου καὶ ὑβριστοῦ ὄντος; ἐπιφέρει καὶ τὸν τρόπον, ὅτι *ἐν ἀγάπῃ*· ἔνθα γάρ ἐστιν ἀγάπη, πάντα ἐστὶν ἀνεκτά. *Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος.*] Καθάπερ ἐπὶ τῶν ἡμετέρων σωμάτων, τὸ πνεῦμα ἡμῶν ἐστι τὸ ἐνεργοῦν ἐν πᾶσι τοῖς μέλεσι, καὶ πάντα συνέχον, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἡμῖν ἐδόθη, τοὺς γένει καὶ τρόπῳ καὶ ἤθεσι διαλλάσσοντας ἑνοῦν, καὶ ποιοῦν ἡμᾶς ἓν σῶμα. Ταύτην οὖν σπουδάσωμεν φυλάξαι τὴν ἑνότητα, τὴν διὰ τοῦ ἁγίου δοθεῖσαν ἡμῖν πνεύματος· ἣ τις γίνεταί, φησι, διὰ τοῦ συνδέσμου τῆς εἰρήνης (1). *Ἓν σῶμα.*] Γένεσθέ, φησιν, οὕτω συνηνωμένοι, οὕτως ἀλλήλων κηδόμενοι. Ἐκ τούτου γάρ, φησιν, ἔσεσθε καὶ *ἓν πνεῦμα* ἔχοντες, τουτέστιν, ὁμότιμον τὴν χάριν τοῦ πνεύματος. Ἢ, ὅτι ἔστι μὲν ἓν σῶμα εἶναι, οὐχ ἓν δὲ πνεῦμα, ὥσπερ εἴτις αἱρετικῶν φίλος εἴη, τοῖς δόγμασιν αὐτῶν μὴ συμπεριφερόμενος. Ἢ, ὅτι τοῦτό φησιν· Ἓν πνεῦμα διὰ τῆς πίστεως λαβόντες, οὐκ ὀφείλετε διχονοεῖν, ἀλλ' ἓν εἶναι σῶμα. Ἢ, ὅτι πνεῦμα ἐνταῦθα τὴν συμπροθυμίαν

(1) « Ὥσπερ ἐν τῷ σώματι τὸ πνεῦμά ἐστι τὸ πάντα συνέχον καὶ ἑνοποιοῦν, κἂν διάφορα ὦσι μέλη· οὕτω καὶ ἐν τοῖς πιστοῖς τὸ ἅγιον Πνεῦμά ἐστιν, ὅπερ ἑνοποιεῖ πάντας, κἂν διάφορα ἔχωμεν καὶ γένη, καὶ τρόπους, καὶ ἐπιτηδεύματα· καὶ διὰ τούτου τοῦ ἁγίου Πνεύματος ἓν σῶμα γινόμεθα. Σπουδάσωμεν οὖν ταύτην τὴν ἑνότητα τηρεῖν διὰ τῆς πρὸς ἀλλήλους εἰρήνης. Εἰ μὴ γὰρ τὸν σύνδεσμον τῆς ἀγάπης ἔχωμεν, καὶ εἰρηνεύωμεν πρὸς ἀλλήλους, ἀπολέσομεν τὴν ἑνότητα, ἣν τὸ Πνεῦμα δέδωκεν ἡμῖν· ὥσπερ ἐὰν διάστασις γένηται τῆς χειρὸς ἢ τοῦ ποδὸς πρὸς τὸ λοιπὸν σῶμα, καὶ διακοπῶσιν ἀπὸ τῆς πρὸς τὰ ἄλλα μέλη συνεχείας, οὐκέτι λοιπὸν ὑφ' ἑνὶ πνεύματι συγκρατοῦνται. Σπουδῆς οὖν δεῖ πολλῆς, καὶ οὐκ ἀπόνως ἰσχύσομεν εἰρηνεύειν, συνδέοντες ἑαυτοὺς ἀλλήλους, ἵνα, ἔνθα ἂν ὁ εἷς φέρηται, καὶ ὁ ἕτερος συμφέρηται· τοιοῦτοι γὰρ οἱ συνδεδεμένοι. » Θεοφύλακτος.

καλεῖ καὶ σύμπνοιαν, ὥσπερ ἂν εἰ ἔλεγεν· Ἓν σῶμα καὶ μία ψυχή. Ἢ, ὡς ἓν ὄντες πνεῦμα καὶ ἓν σῶμα· οὕτω γὰρ καὶ ἐκλήθητε.—ΑΛΛΩΣ. *Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδεσμῷ τῆς εἰρήνης.*] Ἐν τῷ συνδεδέσθαι ἀλλήλοις εἰρηνικῶς, καθ' ἓν σῶμα καὶ καθ' ἓν πνεῦμα· τοῦ το γὰρ ἡ *ἑνότης τοῦ πνεύματος*, ᾗ ἥνωσεν ὑμᾶς ἐκεῖνο, καὶ οὕτως ἐκλήθητε. Ἢ, Σπουδάζοντες ἀλλήλους τηρεῖν καὶ φυλάττειν ἓν σῶμα καὶ ἓν πνεῦμα *κατὰ τὴν ἑνότητα τοῦ πνεύματος*, καθὼς ὑμᾶς τὸ ἅγιον ἥνωσε Πνεῦμα, *καθὼς καὶ ἐκλήθητε*· τὴν τοιαύτην δὲ φυλάττει ἕνωσιν ὁ τῆς ἀγάπης σύνδεσμος. Ἀλλ' εἰ μὲν, ὡς τὸ πρότερον, ἐλλειπτικὴ ἂν εἴη μόνον ἡ σύνταξις, λειπούσης τῆς, Κατὰ, προθέσεως, οἷον, Καθ' ἓν σῶμα καὶ καθ' ἓν πνεῦμα· εἰδ', ὡς τὸ δεύτερον, τρεῖς ἔχει τρόπους, ὑπερβατὸν, καὶ ἀπὸ κοινοῦ μετὰ ζεύγματος, καὶ τρίτον, ἐλλειπτικὸν, κἀνταῦθα τῆς αὐτῆς μὲν προθέσεως ἐλλειπούσης, οἷον, *Κατὰ τὴν ἑνότητα*· τοῦ δὲ, *ἀλλήλους*, ἀπὸ κοινοῦ μετὰ ζεύγματος λαμβανομένου· *ἀλλήλους* γὰρ ἐξακουσθήσεται. Τὸ δὲ ὑπερβατὸν εὔδηλον (Φωτίου). — *Καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.*] Ὁ θεὸς ὑμᾶς, φησὶν, ἐπὶ τοῖς αὐτοῖς ἐκάλεσεν, οὐδενὶ πλεῖον ἀπονείμας· πᾶσιν ἀθανασίαν, πᾶσι ζωὴν αἰώνιον ἐπηγγείλατο, πᾶσι δόξαν ἀθάνατον, πᾶσιν ἀδελφότητα, πᾶσι κληρονομίαν· κοινὴ πάντων ἐγένετο κεφαλή· πάντας συνήγειρε καὶ συνεκάθισε, καὶ ἁπλῶς ὁμοτίμως πάντας προσελάβετο, καὶ τὰ αὐτὰ ἐλπίζομεν πάντες. Πάντα γὰρ τὰ εἰρημένα κοινή ἐςιν ὑμῶν ἐλπὶς, ἐκ τῆς κλήσεως γενομένη. Εἰ τοίνυν ἐν τοῖς πνευματικοῖς, φησὶ, τοσαύτην ἔχετε κοινωνίαν, ὀφείλετε καὶ ἓν σῶμα εἶναι ἐν τῇ τῆς ἀγάπης ἀνακράσει. *Εἷς κύριος, μία πίστις, ἓν βάπτισμα.*] Ἰδοὺ καὶ ἄλλη κοινωνία. Εἷς ἡμῖν Κύριος, μία πίστις, ἓν βάπτισμα. Οὐ δεῖ οὖν ἡμᾶς διεστάναι. *Εἷς θεὸς καὶ πατὴρ πάντων.*] Ἰδοὺ καὶ ἄλλη κοινωνία, καὶ ἀγάπης πρόφασις, τὸ εἶναι ἡμῖν ἕνα πατέρα τὸν θεόν. *Ὁ ἐπὶ πάντων.*] Τουτέστιν, ὁ ἐπάνω πάντων. *Καὶ*

διὰ πάντων.] Τουτέστιν, ὁ διὰ πάντων ἡμῶν χωρῶν τῇ προνοίᾳ καὶ διοικήσει. *Καὶ ἐν πᾶσιν ἡμῖν.*] Τουτέστιν, ὁ ἐνοικῶν ἐν πᾶσιν ἡμῖν (1).

7 Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέ-
8 τρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. Διὸ λέγει· « Ἀνα-
βὰς εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδω-
9 κε δόματα τοῖς ἀνθρώποις (α).» Τὸ δὲ, ἀνέβη, τί ἐστιν,
εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα
10 μέρη τῆς γῆς; Ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀνα-
βὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ
11 τὰ πάντα. Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν, ἀποστόλους,
τοὺς δὲ, προφήτας, τοὺς δὲ, εὐαγγελιστὰς, τοὺς
12 δὲ, ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτι-
σμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδο-
13 μὴν τοῦ σώματος τοῦ Χριστοῦ· μέχρι καταντήσω-
μεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ
τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ, εἰς ἄνδρα τέ-
λειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ
Χριστοῦ.

Εἰ πάντα ἐστὶν, ὡς λέγεις, κοινὰ, πόθεν ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον ἔχει χάρισμα; τοῦτο γὰρ αὐτοὺς, ὡς καὶ Κορινθίους, καὶ πολλοὺς ἄλλους, εἰς φθόνον μάλιστα ἦγε. Λύων οὖν τοῦτο, φησὶν, ὅτι *ἑκάστῳ ἐδόθη ἡ χάρις*, τουτέστι, τὸ χάρισμα, *κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ*, τουτέστιν, ὡς ἐμέτρησεν ὁ δωρησάμενος· ὡσεὶ εἶπεν· Εἰ αὐτὸς ἐμέτρησε, πάντως ὅτι καλῶς ἐμέτρησε, πάντως ὅτι καὶ συμφερόντως. Καὶ εἰ δωρεᾶς ἐστι τὸ πᾶν, ὑπὲρ μὲν οὗ ἔλαβες, εὐχαρίστει, ὑπὲρ δὲ οὗ οὐκ ἔλαβες, μὴ φθόνει· δωρεὰ γάρ ἐστιν· ὡσεὶ εἶπεν· Οἶδεν ὁ μετρήσας καὶ δωρησάμενος, πῶς καλῶς καὶ συμφερόν-

(1) « Πανταχοῦ τὸ Ἓν καὶ Εἷς τέθεικεν, εἰς συμφωνίαν συνάπτων τὴν ἐκκλησίαν. Ἕνα, φησὶ, Κύριον ἔχομεν, ἑνὸς βαπτίσματος ἀπηλαύσαμεν, μίαν πίστιν προσενηνόχαμεν, εἷς ὁ πάντων ἡμῶν θεὸς καὶ πατήρ. Προσήκει τοίνυν ὑμᾶς, ὡς ἀδελφοὺς, τὴν περὶ ἀλλήλους ἔχειν ὁμόνοιαν. Τὸ μέντοι, ἐπὶ πάντων, τὴν δεσποτείαν σημαίνει· τὸ δὲ, διὰ πάντων, τὴν πρόνοιαν· τὸ δέ γε, ἐν πᾶσι, τὴν ἐνοίκησιν. » Θεοδώρητος. (α) Ψαλ. ΞΖ΄, 19.

τῶς τοῦτο πεποίηκε. Τὰ μὲν γὰρ ἀναγκαῖα, καὶ ὧν χωρὶς οὐκ ἔστι χριστιανὸν εἶναι, κοινὰ πρόκειται· τὰ δὲ χαρίσματα δέδοται κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου καθαρότητος. Οὐκ εἶπε δέ· Κατὰ τὸ μέτρον τῆς ἑκάστου πίστεως· ἵνα μὴ εἰς ἀθυμίαν ἐμβάλῃ τοὺς τὰ ἐλάττονα ἔχοντας· ἀλλὰ τῇ θελήσει τοῦ διδόντος ἀνέθηκε τὸ μέτρον, ὡς ἂν μηδὲ τολμῶσιν ὅλως λογοπραγεῖν. *Διὸ λέγει· Ἀναβὰς εἰς ὕψος.*] Καὶ ὅτι, φησὶν, ἡ χάρις δωρεά ἐστι τοῦ Χριστοῦ, καὶ αὐτὸς, ὡς οἶδε, μετρήσας ἔδωκεν ἑκάστῳ αὐτὴν, ἄκουε, φησὶ, τοῦ Δαυὶδ λέγοντος· *Ἀναβὰς εἰς ὕψος*, καὶ ἑξῆς. Τὸ δὲ, *ἀναβὰς εἰς ὕψος*, ἀλλαχοῦ λέγει· Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν (α). *Ἠχμαλώτευσεν αἰχμαλωσίαν.*] Τίνα δὲ ᾐχμαλώτευσεν; Ἡμᾶς δηλονότι, τὴν καλὴν καὶ συμφέρουσαν αἰχμαλωσίαν· πολέμῳ γὰρ νοητῷ νικήσας τὸν διάβολον, αἰχμαλώτους εἷλεν ἡμᾶς, οὐχ ἵνα καταδουλώσηται· (πῶς γὰρ τοὺς ὄντας δούλους καὶ πάλαι;) ἀλλ' ἵνα τῆς πικρᾶς ἀπαλλάξῃ τυραννίδος τοῦ πονηροῦ (1). Τινὲς δὲ τὸ, *ἀναβὰς εἰς ὕψος*, ἐπὶ τοῦ σταυροῦ ἐνόησαν· οἷον, Ἀναβὰς ἐπὶ τοῦ σταυροῦ, ᾐχμαλώτευσε μὲν τὸν διάβολον, ἔδωκε δὲ, ἀντὶ τιμωρίας, δόματα καὶ χαρίσματα τοῖς αἰχμαλωτισθεῖσι (2). *Καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις.*] Καὶ μὴν ὁ προφήτης, *ἔλαβες*, φησι, *δόματα ἐν ἀνθρώποις*· ταὐτόν δέ ἐστι· διδοὺς γὰρ ὁ θεὸς τὰ χαρίσματα, ἀντιλαμβάνει τὴν διακονίαν· ὁ γὰρ λαβὼν χάρισμα, διὰ τὸ ἐνεργεῖν τι καὶ κοπιᾶν λαμβάνει (3). Ὥστε τοῦ Χριστοῦ τὰ δόματα. Τί οὖν ἀδημονεῖς πολὺ μὴ ἔχων, ἢ φθονεῖς τῷ ἔχοντι; Καὶ ὧδε μὲν οὕτω· παρακατιὼν δὲ δεί-

(α) Ψαλμ. Η, 2.

(1) « Ἀκριβῶς τὸ, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, τέθεικεν ὁ προφήτης. Οὐ γὰρ ἐλευθέρους ὄντας ἡμᾶς ᾐχμαλώτευσεν, ἀλλ' ὑπὸ τῷ διαβόλῳ γεγενημένους, ἀντηχμαλώτευσε, καὶ τὴν ἐλευθερίαν ἡμῖν ἐδωρήσατο. » Θεοδώρητος.

(2) « Εἰς ὕψος δὲ ἀνέβη ἢ τὸ τοῦ σταυροῦ, ἢ τὸ τοῦ οὐρανοῦ ἐν τῇ ἀναλήψει· ὃ καὶ μᾶλλον δοκεῖ, ὡς ἐκ τῶν ἐπαγομένων δῆλον. » Θεοφύλακτος.

(3) « Ὁ μὲν ψαλμὸς λέγει, Ἔλαβε δόματα ἐν ἀνθρώποις· αὐτὸς δὲ τὸ, ἔδωκε, τέθεικεν· ἀμφότερα δὲ γεγένηται· λαμβάνων γὰρ τὴν πίστιν, ἀντιδίδωσι τὴν χάριν. » Θεοδώρητος.

κνωσιν, ὅτι πρὸς ὠφέλειαν τῆς ἐκκλησίας ἕκαστος ἔλαβε τὸ χάρισμα, καὶ ὁ τὸ μέγα λαβὼν, καὶ ὁ τὸ μὴ τοιοῦτον, καὶ οὐ διὰ τὰ οἰκεῖα ἔργα, οὐδὲ διὰ τὸ ἄξιον εἶναί τινα τοῦ λαβεῖν. Τίς οὖν φθονήσειε τῷ διά τι εἰληφότι, καὶ πρὸς ἑτέρων ὠφέλειαν; ὅσον γὰρ μεῖζον τὸ χάρισμα, τοσοῦτον ἀκριβέστεραι αἱ εὐθύναι. *Τὸ δὲ, ἀνέβη, τί ἐστιν, εἰμὴ ὅτι καὶ κατέβη πρῶτον;*] Περὶ ταπεινοφροσύνης διαλεγόμενος ἐνταῦθα ὁ Παῦλος, τὸν Χριστὸν παράγει ὑπόδειγμα, ὥςπερ καὶ ἐν τῇ πρὸς Φιλιππησίους (α)· καί φησιν, ὅτι, ὥςπερ ἐκεῖνος οὐ παρῃτήσατο καταβῆναι, οὕτω μηδὲ ὑμεῖς παραιτεῖσθε τὴν διὰ ταπεινοφροσύνης συγκατάβασιν. Οὐκ ἂν δέ, φησιν, ἐδεήθη ὁ προφήτης τοῦ εἰπεῖν, *ἀνέβη*, εἰ μὴ ᾔδει, ὅτι καὶ κατέβη πρῶτον· περὶ γὰρ τοῦ καταβάντος τὸ, *ἀνέβη*, λέγει τις.—Ἐπειδὴ ὁ ἀναβαίνων, ἢ ἐν τῷ ἀναβαίνειν λαμβάνει τὴν ἀρχὴν τοῦ ἄνω γενέσθαι, ὥσπερ ὅτε τις ἀπέρχεται ἀναβαίνειν, μὴ ὢν ἐξ ἀρχῆς ἄνω· ἢ οὐ νῦν λαμβάνει τὴν ἀρχὴν τῆς ἀνόδου, ἀλλ' ἀπ' ἀρχῆς μὲν ἦν ἄνω, καταβὰς δὲ ἐκεῖθεν, νῦν πάλιν ἄνεισιν, εἰπὼν, *ἀναβὰς*, ἑρμηνεύει, πῶς δεῖ νοεῖν τὸ, *ἀναβάς*· ὅτι οὐχ ὡς νῦν, φησὶν, ἀρξάμενος ἀναβαίνειν· (ἦν γὰρ ἐξ ἀρχῆς ἐν τῷ ὕψει τῆς θεϊκῆς ἀξίας καὶ τῆς πατρικῆς δόξης·) ἀλλ' ὡς ἀπὸ τῆς κατὰ τὴν οἰκονομίαν συγκαταβάσεως, καὶ μέχρι τῆς εἰς ᾅδου καθόδου, εἰς τὴν πρέπουσαν τοῦ θεϊκοῦ ὕψους φανέρωσιν ἀνελθὼν πάλιν, λέγεται, ὅτι ἀνέβη (Φωτίου).—*Εἰς τὰ κατώτερα μέρη τῆς γῆς.*] Τουτέστι, μεθ' ἃ οὐκ ἔστι κατώτερα· λέγει δὲ τὸν ᾅδην, ὡς πρὸς τὴν κοινὴν συνήθειαν ἀφορῶν· οὕτω γὰρ λέγειν εἰώθαμεν. Ὡς καὶ ὁ Ἰακὼβ φησι· Καὶ κατάξετε τὸ γῆράς μου μετ' ὀδύνης εἰς ᾅδου (β)· καὶ ὁ Δαυίδ· Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον (γ). Κατέβη τοίνυν εἰς τὰ κατώτατα μέρη, μεθ' ἃ οὐκ ἔστιν

(α) Φιλιπ. Β', 8. (β) Γενεσ. ΜΒ', 38. (γ) Ψαλμ. ΚΖ, 1.—«Ἡ ἀνάβασις, τῆς καταβάσεως σημαντική. Κατελθὼν γὰρ πρότερον, καὶ τὴν ἡμετέραν πραγματευσάμενος σωτηρίαν, οὕτω πάλιν ἀνελήλυθε. Κατώτερα γὰρ μέρη τῆς γῆς, τὸν θάνατον ἐκάλεσεν. Οὕτω γὰρ καὶ ὁ προφήτης φησίν· Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ (Ψαλμ. ΠΖ', 7.)· καὶ πάλιν· Καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς (Ψαλμ. ΡΛΗ, 15.).» Θεοδώρητος.

ἕτερόν τι· καὶ ἀνέβη ὑπεράνω πάντων, ὑπὲρ ἃ οὐκ ἔστιν ἕτερα· καὶ οὐδὲν αὐτῷ πρὸς τὴν ἄνοδον ἐνεπόδισεν ἡ εἰς τὰ κατώτατα κάθοδος. Ὥστε, φησὶ, καὶ ὑμῶν ὅσῳ ἄν τις ταπεινοφρονῇ, τοσούτῳ μᾶλλον ὑψοῦται. *Ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβάς.*] Τοῦτο τὴν Νεστορίου καταβάλλει βλασφημίαν. Ὁ αὐτὸς, φησιν, ἐστὶν ὁ καταβὰς καὶ ὁ ἀναβάς. Καταβαίνει μὲν γὰρ εἰς τὴν σάρκωσιν, ὡς ὁ θεὸς, ἀναβαίνει δὲ, ὡς ἄνθρωπος· καὶ καταβαίνει μὲν εἰς τὸν ᾅδην, ὡς ἄνθρωπος, ἀνίσταται δὲ, ὡς θεός (1). Οὐ μόνον δὲ, ἀλλὰ καὶ *ὑπεράνω* γίνεται *τῶν οὐρανῶν*, καὶ οὐχ ἁπλῶς, ἀλλὰ *πάντων*, τῆς ἐκεῖσε λήξεως καὶ καθέδρας τὸ πρόσλημμα ἡμῶν ἀξιῶν. *Ἵνα πληρώσῃ τὰ πάντα.*] Τούτου χάριν ἐπεξεργάζεται ταῦτα, ἵνα πληρώσῃ τὰ πάντα τῆς δεσποτείας αὐτοῦ καὶ τῆς ἐνεργείας, καὶ ἐν σαρκί· καὶ γὰρ γυμνῇ τῇ θεότητι καὶ πρότερον τὰ πάντα ἐπλήρου. *Καὶ αὐτὸς ἔδωκεν.*] Ἐμφαντικῶς εἶπε τὸ, *αὐτός*. Ὁ γὰρ οὕτω, φησὶ, προνοησάμενος ἡμῶν, μὴ παραιτησάμενος διὰ τὴν ἡμῶν σωτηρίαν εἰς τὰ κατώτατα κατελθεῖν, οὐχ ἁπλῶς τὴν διανομὴν τῶν χαρισμάτων ἐποίησεν, ἀλλὰ δῆλον ὡς σοφῶς καὶ συμφερόντως. Ἆρα οὖν οὐ χρὴ ἀγανακτεῖν πρὸς τὴν διανομήν. Εἰ γὰρ αὐτὸς ἔδωκε, τί ἀντιλέγεις; Ἀλλαχοῦ δέ φησι, τὸ πνεῦμα διδόναι τὰ χαρίσματα· Πάντα γὰρ ταῦτα, φησὶν, ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα (α)· καὶ ἀλλαχοῦ τὸν πατέρα φησὶν, ὡς τό· Καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, καὶ τὰ ἑξῆς (β)· καὶ τό· Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ θεὸς ηὔξανεν (γ)· ἐνταῦθα δὲ τὸν υἱόν·

(1) « Ὁ γὰρ καταβὰς, δῆλον ὅτι ἄνω ὢν κατέβη, σαρκούμενος, εἰς τὴν γῆν, καὶ θανὼν, εἰς τὸν ᾅδην· καὶ ὁ αὐτός ἐστι καὶ εἷς, οὐκ ἄλλος καὶ ἄλλος.» Θεοφύλακτος.—«Οὐ γὰρ ἄλλος κατελήλυθε, καὶ ἄλλος ἀνελήλυθεν· ἀλλ' ἵνα συντόμως εἴπω, ἄλλως κατελήλυθε, καὶ ἄλλως ἀνελήλυθεν· ἀσώματος γὰρ κατελθὼν, μετὰ σώματος ἀνελήλυθεν· ἡ δέ γε κατάβασις οὐ τοπικήν τινα σημαίνει μετάβασιν, ἀλλὰ τῆς οἰκονομίας διδάσκει τὸ μέγεθος, ὅτι ὁ ὕψιστος τοσαύτης ἠνέσχετο ταπεινότητος.» Θεοδώρητος.

(α) Α' Κορ. ΙΒ', 11. (β) Α' Κορ. ΙΒ', 28. (γ) Α' Κορ. Γ', 6.

κοινὰ γὰρ τὰ πάντα τῇ ἁγίᾳ καὶ μακαρίᾳ Τριάδι. *Τοὺς μὲν, ἀποστόλους, τοὺς δὲ, προφήτας.*] Πρῶτοι οἱ ἀπόστολοι, ἐπειδὴ καὶ προφητείαν εἶχον· οἱ δὲ προφῆται, οἱ ἐν τῇ Νέᾳ δηλαδὴ, οὐκ εἶχον ἀποστολήν. *Τοὺς δὲ, εὐαγγελιστάς.*] Ἢ τοὺς τὸ εὐαγγέλιον συγγραψαμένους λέγει, ἢ τοὺς μὴ περιϊόντας μὲν πανταχοῦ, εὐαγγελιζομένους δὲ, ὡς Ἀκύλας καὶ Πρίσκιλλα. *Τοὺς δὲ ποιμένας καὶ διδασκάλους.*] Τοὺς τὰς ἐκκλησίας ἐμπεπιςευμένους λέγει, τοὺς ἐπισκόπους, οἷος ἦν ὁ Τιμόθεος, οἷος ὁ Τίτος, καὶ οἱ τοιοῦτοι (1). *Πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων.*] Ὁρᾷς τὴν αἰτίαν τῆς δόσεως τῶν χαρισμάτων; *Πρὸς τὸν καταρτισμόν*, φησι, τουτέστι, πρὸς τὸν ἀπαρτισμὸν, πρὸς τὴν πλήρωσιν *τῶν ἁγίων*, ἤτοι τῶν πιστῶν, εἰς τὸ ἐν τούτοις διακονεῖν τῇ ἐκκλησίᾳ καὶ οἰκοδομεῖν αὐτήν. Ὅσῳ οὖν τις μεῖζον ἔλαβε χάρισμα, τοσούτῳ μεῖζον ἔχει τὸ φορτίον. Ταῦτα δέ φησι πρὸς τοὺς τῷ φθόνῳ τῶν μειζόνων χαρισμάτων ἀποκεκομμένους τοῦ σώματος τῆς ἐκκλησίας, δεικνὺς, ὅτι πάντων τὸ ἔργον εἰς ἓν ὁρᾷ τέλος, τὸν καταρτισμὸν τῶν ἁγίων. Ποῦ οὖν χρεία φθόνου; *Μέχρι καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως.*] Μέχρι τότε, φησὶν, ἐργάζεσθαι χρὴ πάντας τοὺς χαρίσματα λαβόντας, καὶ κοπιᾷν καὶ οἰκοδομεῖν, ἕως οὗ φθάσωμεν *εἰς τὴν ἑνότητα τῆς πίστεως*· τουτέστιν, ἕως ἂν οἱ πάντες μίαν πίστιν σχῶμεν· ἑνότης γὰρ πίστεως τὸ μὴ διαφωνεῖν περὶ τὰ δόγματα. *Καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ.*] Τοῦτο *ἐπίγνωσις τοῦ υἱοῦ τοῦ θεοῦ*, τὸ μὴ διαφωνεῖν περὶ αὐτοῦ (2). *Εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας.*]

---

(1) « Δύνασαι δὲ **ποιμένας**, καὶ τοὺς πρεσβυτέρους καὶ ἐπισκόπους νοῆσαι· **διδασκάλους** δὲ, καὶ τοὺς διακόνους· καὶ γὰρ καὶ οὗτοι τὴν καθαρτικὴν τάξιν ἔχοντες, διὰ τοῦ λόγου καθαίρουσι πάντως. » Θεοφύλακτος.

« **Ποιμένας** καὶ **διδασκάλους**, τοὺς κατὰ πόλιν καὶ κώμην ἀφωρισμένους λέγει. Οὗ δὴ χάριν αὐτοὺς μετὰ τοὺς εὐαγγελιστὰς τέθεικεν, ἐπειδὴ ἐκεῖνοι περιϊόντες ἐκήρυττον. » Θεοδώρητος.

(2) « Τότε γὰρ ἡ ἀληθὴς ἑνότης τῆς πίστεως, τότε ἐπιγινώσκομεν τὸν υἱὸν τοῦ θεοῦ, ὅταν καὶ ἐν τοῖς δόγμασιν ὀρθοδοξῶμεν, καὶ τῆς ἀγάπης τὸν σύνδεσμον συντηρῶμεν· ἀγάπη γὰρ ὁ Χριστός.» Θεοφύλακτος.

Ἄνδρα τέλειον, καὶ, *μέτρον ἡλικίας*, λέγει τὴν τελείαν τοῦ Χριστοῦ ἔννοιαν καὶ εἴδησιν (1). *Τοῦ πληρώματος τοῦ Χριστοῦ*.] *Πλήρωμα τοῦ Χριστοῦ* φησὶ, τὴν περὶ Χριςοῦ ὁλοτελῆ καὶ ὁλόκληρον γνῶσιν καὶ πίςιν· οἷον ὅτι ἐκ παρθένου σάρκα ἔλαβεν· ὅτι ἐκ θεότητος καὶ ἀνθρωπότητος εἰς μίαν ὑπῆρξεν ὑπόςασιν· ὅτι μετὰ τοῦ σώματος συνεδριάζει τῷ πατρὶ, καὶ ἥξει μετ' αὐτοῦ, καὶ ὅσα ἄλλα περὶ αὐτοῦ ὀρθῶς νοεῖται καὶ λέγεται. Πῶς οὖν ἀλλαχοῦ ἀτελῆ λέγει τὴν γνῶσιν ἡμῶν; Ὡς πρὸς ἀντιδιαστολὴν τῆς μελλούσης γνώσεως· ἐνταῦθα δὲ ὡς πρὸς τὸ ἀμετάπτωτον εἶπε τελείαν τὴν γνῶσιν· ὅταν γὰρ μὴ μεταπίπτωμεν, τότε τέλειοί ἐσμὲν, ὡς δῆλον ἐκ τῶν ἑξῆς. — Ἵνα γὰρ μὴ ἀκούσας, *ἄνδρα τέλειον*, καὶ, *μέτρον ἡλικίας*, τὴν σωματικὴν νοήσῃς, ἐπήγαγε, *τοῦ πληρώματος τοῦ Χριστοῦ*, ὡς εἰ ἔλεγε· Μέχρις οὗ εἰς τελειότητα φθάσωμεν τῆς ὁλοτελοῦς τοῦ Χριστοῦ πίστεως καὶ γνώσεως. Οὐ γὰρ ὁ τυχὼν γίνεται μέρος τοῦ ὅλου πληρώματος, ἤτοι, τοῦ σώματος τοῦ Χριστοῦ, ἀλλ' ὁ εἰς ἄνδρα τέλειον τῆς ἐπιγνώσεως αὐτοῦ καταντήσας, καὶ εἰς μέτρον ἡλικίας, ἀξίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

14 Ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περι-
φερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυ-
βείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθο-
15 δείαν τῆς πλάνης· ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξή-
σωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ, ὁ
16 Χριστός· ἐξ οὗ πᾶν τὸ σῶμα, συναρμολογούμενον
καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορη-
γίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους
τὴν αὔξησιν τοῦ σώματος ποιεῖται, εἰς οἰκοδομὴν
ἑαυτοῦ ἐν ἀγάπῃ.

Ἵνα μηκέτι ὦμεν νήπιοι.] Ἐν τῷ εἰπεῖν, *μηκέτι*, δείκνυσιν αὐτοὺς καὶ πάλαι τοῦτο παθόντας, καὶ ὡς ἐν διηγήματος τάξει ἐπανορθοῦται αὐτοὺς, καὶ ἑαυτὸν συντάττων διὰ τὸ ἀνεπαχθές.

(1) « Τὴν τελειοτέραν τῶν δογμάτων γνῶσιν. » Θεοφύλακτος.

Νηπίους δὲ, τῇ πίστει φησί. *Κλυδωνιζόμενοι καὶ περιφερόμενοι.*] Νηπίων γὰρ ὄντως τὸ περιφέρεσθαι, καὶ οὐ βεβηκότων καὶ στεῤῥῶν. Εἰπὼν δὲ, *κλυδωνιζόμενοι*, ἔδειξεν, ἐν οἵῳ κινδύνῳ εἰσὶν αἱ ἀπαγεῖς πρὸς τὴν ὀρθοδοξίαν ψυχαί. Τῇ τροπῇ δὲ ἐπιμένων, καὶ *ἄνεμον διδασκαλίας* ἐκάλεσε τὰς διαφόρους διδασκαλίας. Ἵνα, φησὶν, αὐτὸ τὸ ὀλίγον μέτρον τῆς γνώσεως, ὃ ἐλάβομεν, κατέχωμεν βεβαίως καὶ στεῤῥῶς, καὶ μὴ ὡς νήπιοι σαλευώμεθα καὶ περιφερώμεθα ὑπὸ παντὸς διδασκάλου. *Ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων.*] *Κυβευταὶ* λέγονται οἱ τοῖς πεσσοῖς κεχρημένοι· κυβευταὶ δὲ λόγων, οἱ ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο διδάσκοντες, καὶ μεταβαίνοντες ἀεὶ ἀπὸ τούτου εἰς τοῦτο πανούργως. Τοιοῦτοι οἱ ψευδοδιδάσκαλοι, μετατιθέντες τοὺς ἀφελεστέρους, ὥσπερ πεσσοὺς, ὡς βούλονται. *Ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης.*] Οἱ δὲ τοιοῦτοι, φησὶ, καὶ πανοῦργοι πρὸς τὸ μέθοδον εὑρεῖν καὶ πρόφασιν πλάνης, πάντα πρὸς τὸ ἀπατῆσαι μηχανώμενοι (1). *Ἀληθεύοντες δὲ ἐν ἀγάπῃ.*] Ἐκεῖνοι μὲν νόθα, φησὶ, καὶ ψευδῆ διδάσκουσι περὶ ὧν ὁ λόγος· ἡμεῖς δὲ ἀληθεύοντες ἔν τε δόγμασι καὶ βίῳ καὶ λόγῳ ἐν ἀγάπῃ· ἄλλως γὰρ οὐκ ἔνι ἀληθεύειν· *αὐξήσωμεν* καὶ ἐποικοδομήσωμεν εἰς τὸν Χριστὸν, τὴν κεφαλὴν ἡμῶν, *τὰ πάντα* ἡμῶν, καὶ βίον, καὶ λόγον, καὶ δόγματα. Αὐτῷ γὰρ, κεφαλῇ ὄντι, ὀφείλομεν προσαρμόζειν τὰ ἡμέτερα, ἵνα μηδὲν ἀκατάλληλον φέρωμεν καὶ ἀνάρμοστον τῆς κεφαλῆς, ἀλλὰ πάντα πρὸς αὐτὸν αὐξάνωμεν. *Ἐξ οὗ πᾶν τὸ σῶμα, καὶ ἑξῆς.*] Καθάπερ ἐπὶ τῶν ἡμετέρων σωμάτων τὸ πνεῦμα τὸ ζωτικὸν,

---

(1) « Ἴδιον τῶν ἔτι νηπίων τὸ τῆς γνώμης ὀξύῤῥοπόν τε καὶ κοῦφον. Τοιοῦτοί, φησι, πρὸ τῆς κλήσεως ἦμεν, τῇδε κἀκεῖσε ὡς ὑπὸ κυμάτων φερόμενοι, καὶ τοῖς ἐξαπατῶσι πειθόμενοι. **Κυβείαν** δὲ τὴν πανουργίαν καλεῖ· πεποίηται δὲ ἀπὸ τοῦ κυβεύειν τὸ ὄνομα· ἴδιον δὲ τῶν κυβευόντων τὸ τῇδε κἀκεῖσε μεταφέρειν τὰς ψήφους, καὶ πανούργως τοῦτο ποιεῖν. **Μεθοδείαν** δὲ **πλάνης** τὴν μηχανὴν ἐκάλεσεν. Οὐ γὰρ προφανῶς ὁ διάβολος μοιχεύειν κελεύει, ἀλλ᾽ ἢ δι᾽ ὀφθαλμῶν δελεάζει, ἢ δι᾽ ἀκοῶν καταθέλγει· οὐδὲ προφανῶς ἀρνήσασθαι τὸν θεὸν παρεγγυᾷ, ἀλλ᾽ οἰωνοῖς, ἢ κληδόσιν, ἢ περιάπτοις παρασκευάζει κεχρῆσθαι.» Θεοδώρητος.

τὸ ἀπὸ τοῦ ἐγκεφάλου διὰ τῶν νεύρων κατιὸν, οὐχ ἁπλῶς πᾶσιν ἐμπνεῖ τοῖς μέλεσι δύναμιν, ἀλλὰ κατ' ἀναλογίαν ἑκάστῳ, τῷ μὲν πλεῖόν τι δέξασθαι δυναμένῳ, πλεῖον δίδωσι, τῷ δὲ ἔλαττον, ἔλαττον· οὕτω καὶ ὁ Χριστός· καθάπερ γὰρ μελῶν τῶν ἡμετέρων ψυχῶν ἐξ αὐτοῦ καὶ εἰς αὐτὸν ἀποκρεμαμένων; ἡ πνευματικὴ αὐτοῦ δύναμις καὶ ἡ τῶν χαρισμάτων διανομὴ, κατ' ἀναλογίαν ἑνὸς ἑκάστου μέλους αὐτοῦ προσαπτομένη, τὴν αὔξησιν ποιεῖται τῆς πνευματικῆς ἡλικίας. *Διὰ τῆς ἁφῆς δὲ*, φησὶ, *τῆς ἐπιχορηγίας*, τουτέστι, διὰ τῆς ἐν τῇ ἀφῇ, καὶ οἷον ἐρεύνῃ τοῦ ἐπιτηδείου ἐπιχορηγίας γινομένης· ἐκείνη γὰρ ἡ ἀπὸ τοῦ Χριστοῦ κατιοῦσα πνευματικὴ δύναμις, ἑνὸς ἑκάστου μέλους αὐτοῦ ἁπτομένη, οὕτως ἐνεργεῖ, ὡς ἂν εὕρῃ τινὰ πρὸς ὑποδοχὴν ἐπιτήδειον· ὡς εἰ ἔλεγε· Τὰ μέλη τοῦ Χριστοῦ ἡμεῖς οἱ ἄνθρωποι, κατὰ τὴν ἀναλογίαν τοῦ οἰκείου πνευματικοῦ μέτρου δεχόμενοι τὴν ἀπὸ τοῦ Χριστοῦ ἐπιχορηγίαν, αὔξομεν· τὸ γὰρ πνεῦμα, ἄνωθεν ἐπιῤῥέον ἀπὸ τοῦ Χριστοῦ ἀφθόνως καὶ χορηγούμενον, πάντων ἐφαπτόμενον τῶν εἰς μέλη τελούντων τοῦ Χριστοῦ, πρὸς τὴν ἀναλογίαν τῆς ἑκάστου δυνάμεως τὴν αὔξησιν ποιεῖται.—Ὅρα τί κἀγὼ ἐνόμισα· οὔτε γὰρ ἐχώρησα τὰ τοῦ μακαρίου νοῆσαι (1). *Ἐξ οὗ*, Χριστοῦ, *πᾶν τὸ σῶμα* τῆς ἐκκλησίας *συναρμολογούμενον* αὐτῷ *καὶ συμβιβαζόμενον*, τουτέστι, συγκεκολλημένον αὐτῷ καὶ προσηνωμένον, ὡς ἰδίᾳ κεφαλῇ· ἐξ αὐτοῦ γὰρ ἡμῖν τὸ κεκολλῆσθαι αὐτῷ· κεκολλημένον δὲ *διὰ πάσης ἁφῆς*, τουτέστιν, αἰσθήσεως, *τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους*, τουτέστι, διὰ τῆς κατ' ἐνέργειαν Χριστοῦ ἐπιχορηγίας τοῦ ἁγίου Πνεύματος, τῆς κατὰ τὸ μέτρον καὶ τὴν τῆς ὑποδοχῆς δύναμιν ἑνὸς ἑκάστου μέλους τοῦ Χριστοῦ γινομένης, *τὴν αὔξησιν τοῦ σώματος* τοῦ Χριστοῦ, τουτέστι, τῆς ἐκκλη-

(1) Ἐνταῦθα λαλεῖ ὁ Οἰκουμένιος αὐτός. Ἡ προηγουμένη ἑρμηνεία συνηρμολογήθη ἐκ τῆς ἑρμηνείας τοῦ Χρυσοστόμου· διὸ καὶ τὸ, τοῦ **μακαρίου**, εἰκάζω ὅτι ἀναφέρεται μᾶλλον εἰς τὸν Χρυσόστομον, ἢ εἰς τὸν Παῦλον.

σίας, ποιεῖται· αὔξησιν δὲ δηλαδὴ πνευματικήν· διὰ γὰρ τῆς ἐπιχορηγίας τοῦ ἁγίου Πνεύματος αὔξεται εἰς μέτρον τέλειον πνευματικῆς ἡλικίας ἡ ἐκκλησία, εἴτε διὰ χαρισμάτων, εἴτε διὰ γνώσεως, εἴτε διὰ πίστεως.—*Ἐξ οὗ πᾶν τὸ σῶμα*, ἤγουν, οἱ πιστοὶ, *συναρμολογούμενον καὶ συμβιβαζόμενον*, *τὴν αὔξησιν* τὴν ἰδίαν *ποιεῖται* ἐπὶ ἰδίᾳ οἰκοδομῇ καὶ τελειότητι, ἀλλ' οὐχὶ ἑτέρου τινὸς χάριν. Τὸ δὲ, *ἐν ἀγάπῃ*, λέγει· ὅτι οὐδ' ἄλλο μὲν τῶν καλῶν χωρὶς ἀγάπης συνίσταται καὶ τελειοῦται, μάλιστα δὲ ἡ κατὰ πίστιν ἑνότης καὶ ἁρμολογία. Ἀλλὰ πῶς ἁρμολογοῦνται καὶ συμβιβάζονται οἱ πιστοί; *Διὰ πάσης ἁφῆς*, φησίν· ἵνα μὴ ὁ μὲν τῷδε συνάπτηται, ὁ δὲ, τῷδε· ἀλλὰ πάντες πᾶσι· διὰ γὰρ τῆς ἁπάντων συναφῆς ἡ κοινὴ τοῦ σώματος παντὸς αὔξησις γίνεται. Αὕτη δὲ ἡ ἁφὴ, καὶ συνάφεια πόθεν φύεται; Τῆς ἐπιχορηγίας ἐστὶ τοῦ Χριστοῦ, φησίν· *ἐπιχορηγίας* δὲ, ὅτι μετὰ τῶν ἄλλων αὐτοῦ εὐεργεσιῶν, καὶ τὴν ἀλλήλων συνάφειαν αὐτὸς ἐπιχορηγεῖ. Τὸ δὲ, *κατ' ἐνέργειαν*, ὅτι οὐ μόνον τὸ ἐπιτηδείως ἔχειν πρὸς τὴν συνάφειαν, ἀλλὰ καὶ αὐτὸ τὸ συνάπτεσθαι, τῆς αὐτοῦ ἐπιχορηγίας ἐστί. Τὸ δὲ, *ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους*, ἵνα μὴ ἀκούσας, ὅτι αὐτὸς ἡμᾶς ἀλλήλοις συναρμολογεῖ, αὐτὸς ἐπιχορηγεῖ καὶ τὴν κατ' ἐνέργειαν συνάφειαν, τῆς αὐτοῦ ἐστι δωρεᾶς καὶ ἐπιχορηγίας ἅπαντα· ἵνα μὴ, τοῦτο λογισάμενος, αὐτὸς εἰς ῥαθυμίαν ἀποκλίνῃς, ὡς πάντα ἔχων ἐκεῖθεν προῖκα, προστίθησι ταῦτα, ὅτι, εἰ καὶ προῖκα ἐπιχορηγεῖται, ἀλλὰ κατὰ τὸ μέτρον τῆς προθυμίας ἑνὸς ἑκάστου τῶν δεχομένων ἡ διανομὴ γίνεται (Φωτίου).—*Εἰς οἰκοδομὴν ἑαυτοῦ.*] Αὔξων γὰρ τὴν ἐκκλησίαν ὁ Χριστὸς πνευματικῶς καὶ αἰσθητῶς, ἑαυτὸν οἰκοδομεῖ, ἐπειδὴ τὸ ἴδιον αὔξει σῶμα, ὡς κεφαλὴ τὰ μέλη. *Ἐν ἀγάπῃ.*] Καλῶς δὲ τὸ, *ἐν ἀγάπῃ*. Ἄνευ γὰρ τοῦ ταύτην ἡμῖν προσεῖναι, οὐδὲν τούτων ἡμῖν ἔσται. Ἢ, ἄνευ ταύτης οὐκ ἂν εἴς τινα καταβαίη τὸ πνεῦμα τὸ ἅγιον (1). Ἢ, *ἐν ἀγάπῃ*,

(1) Ἄλλως γὰρ οὐκ ἔστι δέξασθαι τὴν χορηγίαν τοῦ ἄνωθεν καταβαίνοντος

ἢ αὐτὸς ἡμᾶς ἀγαπᾷ· διὰ γὰρ τὸ ἀγαπᾷν ἡμᾶς, φησὶ, ταῦτα ποιεῖ.

ΚΕΦΑΛΑΙΟΝ Ζ′.

Περὶ σωφροσύνης καὶ δικαιοσύνης, ποιούσης ἡμᾶς θεοειδεῖς.

17 Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι
ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπα-
18 τεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι
τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ
θεοῦ, διὰ τὴν ἄγνοιαν, τὴν οὖσαν ἐν αὐτοῖς, διὰ
19 τὴν πώρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες ἀπηλγη-
κότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργα-
σίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.

Ἐχρῆν μὴ μόνον διὰ τοῦ παραινεῖν, ἀλλὰ καὶ διὰ τοῦ ἐκφοβεῖν, καὶ τῷ θεῷ παραδιδόναι, τὴν διδασκαλίαν ἐργάζεσθαι, ὥσπερ καὶ ἐνταῦθα ὁ Παῦλος ποιεῖ. *Μαρτύρομαί*, φησιν, *ἐν Κυρίῳ*, τουτέστι, μάρτυρα τὸν Κύριον καλῶ, ὅτι εἶπον, τί δεῖ ὑμᾶς πράττειν. Ὅρα δὲ σοφίαν! Οὐκ εἶπε, *Μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς περιπατεῖτε*· ἔπληξε γὰρ ἄν· ἀλλὰ τοῦτο μὲν ἐδήλωσεν, ἀπὸ δὲ ἑτέρων ἤγαγε τὸ παράδειγμα, *καθὼς*, λέγων, *καὶ τὰ λοιπὰ ἔθνη*, τὰ μηδέπω δηλαδὴ πεπιστευκότα, *περιπατεῖ*, τῷ παραδείγματι τούτῳ σωφρονίζων αὐτούς. *Ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν.*] Ἐν ματαιότητι δὲ τοῦ νοὸς αὐτῶν περιεπάτουν, καὶ ὡς τὰ εἴδωλα σεβόμενοι, καὶ ὡς τοῖς πάθεσι δουλεύοντες, καὶ τοῖς τοῦ κόσμου ματαίως προσηλώμενοι· ἃ *ματαιότης* λέγονται δι' αὐτὸ τοῦτο, ὅτι ἡμεῖς αὐτοῖς ματαίως χρώμεθα· οὐ γὰρ τῇ ἑαυτῶν φύσει μάταιά εἰσι· καλὰ γὰρ λίαν

πνεύματος, ὑφ' οὗ καὶ ζωογονούμεθα καὶ αὔξομεν, εἰ μὴ διὰ τῆς ἀγάπης συνδεδεμένοι ὦμεν, καὶ ἡνωμένοι ὡς ἓν σῶμα.» Θεοφύλακτος.

ἐκτίσθησαν (α).—Οὐ τὰ τῆς ἀληθείας φρονοῦντες, καὶ πιστεύοντες, καὶ ἀποδεχόμενοι, ἀλλ' ἅπερ ἂν ὁ νοῦς αὐτῶν μάτην ἀναπλάσῃ καὶ λογίσηται. Τί δ' ἂν καὶ λογίσοιτο τῶν καλῶν ὁ ἐσκοτισμένην ἔχων τὴν διάνοιαν; (Φωτίου).—*Ἐσκοτισμένοι τῇ διανοίᾳ.*] Τὸ γὰρ πλῆθος τῶν παθῶν καὶ τῶν βιωτικῶν φροντίδων, τὸ διορατικὸν τῆς διανοίας ἐπισκοτίζον, ἰδεῖν οὐκ ἐᾷ τὸν ἥλιον τῆς δικαιοσύνης Χριστόν. Ἔνθεν γὰρ ἡ πώρωσις τῆς καρδίας, ὅπερ παρακατιὼν φησιν, οἱονεὶ πήρωσίς τις οὖσα· καὶ ἀναισθησία· τὸ γὰρ ἐσκοτισμένον, ἀναίσθητον. *Ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ.*] Ῥεῦμα γὰρ πολὺ καὶ δυσίατόν εἰσι τά τε πάθη καὶ αἱ μέριμναι τοῦ κόσμου, ἐπιθολοῦσαι τὴν διάνοιαν. Διὰ τοῦτο καὶ τῆς *τοῦ θεοῦ ζωῆς*, ὅ ἐστι, τῆς κατὰ θεὸν, ἀπηλλοτριώθησαν οἱ οὕτως ἔχοντες. Τοῦ λογικοῦ γὰρ ζωὴ, τὸ τὴν ἀλήθειαν νοεῖν· ὁ δὲ πρὸς ταύτην τυφλωθεὶς, εἰκότως οὐδὲ ζῇ, διὰ τὸ τὴν ἀλήθειαν εἶναι οὐσίαν καὶ φῶς τοῦ λόγου. *Διὰ τὴν ἄγνοιαν, τὴν οὖσαν ἐν αὐτοῖς.*] Εἰ οὖν ἀγνοοῦσι, φήσειεν ἄν τις, καὶ εἰ πεπώρωνται, οὐκ ἄξιοι ἐγκλημάτων εἰσὶ καὶ τιμωριῶν, ἀλλὰ μᾶλλον τοῦ μαθεῖν· τὸν γὰρ ἀγνοοῦντα, διδάσκεσθαι δεῖ, οὐ κατηγορεῖσθαι. Ἀλλ' ἡ ἄγνοιά, φησι, *διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν* ἐπεγένετο αὐτοῖς, ὅ ἐστι, διὰ τὴν ἀναισθησίαν· ἀναισθησίαν γὰρ φέρει τοῦ φωτὸς ἡ σκότωσις, τῷ μὴ ἔχειν ἐν ἑαυτοῖς φόβον θεοῦ. Ὥστε ἐγκαλεῖσθαι ἄξιοι. Καὶ ὅρα, πῶς αὐτῶν ἀφαιρεῖται τὴν συγγνώμην. *Οἵτινές*, φησιν, *ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης*· δείκνυσι γὰρ, ὅτι τῆς ἀγνοίας καὶ τῆς πωρώσεως ὁ βίος αὐτοῖς αἴτιος· ὁ δὲ βίος, ἐξ οἰκείας γέγονε ῥᾳθυμίας καὶ ἀναλγησίας· *ἑαυτοὺς* γάρ, φησι, *παρέδωκαν*. Ὅταν οὖν εἰς τὴν πρὸς Ῥωμαίους εὕρῃς· *Παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν* (β), κατὰ τὴν ἐνταῦθα διάνοιαν αὐτὸ νόει· συνεχώρησε γὰρ ὁ θεὸς, παραδοθῆναι αὐτοὺς,

---

(α) Γενεσ, Α', 31. (β) Ῥωμ. Α', 28.

ἐπειδὴ τούτου ἀξίους ἑαυτοὺς ἐποίησαν. *Οἵ τινες ἀπηλγηκότες.*] Οἷον, ἀναλγήτως ἐσχηκότες, καὶ καταῤῥαθυμήσαντες, καὶ καμεῖν μὴ βουληθέντες πρὸς εὕρεσιν τοῦ καλοῦ, καὶ οἷον μεμωραμένοι, *ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ.* Πῶς γὰρ ὁ ἐν ἀσελγείᾳ ἐξεταζόμενος, δυνηθείη γνῶναι θεόν; Οὐκοῦν αἰτία τῆς ἀγνοίας, ἡ ἀσέλγεια, ἥ τις κατὰ γνώμην ἁμαρτάνεται. *Εἰς ἐργασίαν ἀκαθαρσίας πάσης.*] Ἵνα ἐργάζωνταί, φησι, τὴν ἀκαθαρσίαν· μελέτην γὰρ καὶ ἔργον διηνεκὲς ἔθεντο ταύτην· καὶ οὐχ ἓν εἶδος, ἀλλὰ πᾶσαν. Πῶς οὖν οὐκ ἔμελλον ἀναισθητεῖν οἱ ἑαυτοὺς παραδόντες ἀκαθαρσίᾳ πάσῃ; Ὁ γὰρ ἀκάθαρτος βίος, καὶ δογμάτων πονηρῶν αἴτιος, καὶ παντὸς καλοῦ ἄγνοιαν ἐμποιεῖ. *Ἐν πλεονεξίᾳ.*] Ἢ ὅτι δυσὶν ἑαυτοὺς παρέδωκαν πάθεσιν, οἷον ἀσελγείᾳ καὶ πλεονεξίᾳ, ἅ ἐστιν ἐπιπολάζοντα μᾶλλον τῶν ἄλλων ἁμαρτιῶν· ἢ ὅτι τὴν ἀσέλγειαν καὶ ἀκαθαρσίαν ἁπλῶς *ἐν πλεονεξίᾳ*, τουτέστι, καθ' ὑπερβολὴν καὶ ἀνενδότως εἰργάσαντο (1).

20. 21 Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριςόν· εἴγε
αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς
22 ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ· ἀποθέσθαι ὑμᾶς, κατὰ
τὴν προτέραν ἀναστροφὴν, τὸν παλαιὸν ἄνθρωπον,
τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης·
23 ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ
24 ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ θεὸν
κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

Τὰ μὲν ἔθνη οὕτως ἔχει· *Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν.*] Οὐκ ἐπὶ τούτῳ τῷ ὅρῳ, ὥστε τὰ ὅμοια ποιεῖν ἐκείνοις. Τὸ δὲ, Εἴγε *αὐτὸν ἠκούσατε*, ὁ ἅγιος Ἰωάννης βεβαιωτικὸν ἐδέξατο· Καθώς, φησιν, αὐτὸν ἠκούσατε (1). Δύναται

---

(1) « Καὶ τῷ εἰπεῖν δὲ, ἐν πλεονεξίᾳ, προαιρετικὴν τὴν ἀναισθησίαν αὐτοῖς προσμαρτυρεῖ. Ἐξῆν γάρ, φησιν, αὐτοῖς καὶ χρημάτων καὶ ἡδονῆς ἐν συμμετρίᾳ ἀπολαύειν· οἱ δὲ, τὴν ἀμετρίαν ἑλόμενοι, ἐν πᾶσιν εἰς πώρωσιν ἦλθον καὶ ἀναισθησίαν παντὸς ἀγαθοῦ. » Θεοφύλακτος.

(2) Χρυσος. Τόμ. ΙΑ΄. Σελ. 96. « Τὸ, εἴγε αὐτὸν ἠκούσατε, οὐκ ἀμφιβάλλοντός ἐστιν, ἀλλὰ καὶ σφόδρα διαβεβαιουμένου, καθάπερ καὶ ἀλλαχοῦ φησιν·

δέ τις καὶ ἐν ἀμφιβολίᾳ αὐτὸ δέξασθαι, ἵνα καὶ μᾶλλον αὐτοὺς πλήξῃ, ὡσεὶ εἶπεν· Ἀμφιβάλλω γὰρ, εἴ τις τὸν Χριστὸν ἀκούσας, καὶ διδαχθεὶς ἐν αὐτῷ, τοιαῦτα πράττει. *Καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ.*] Τὸ, *Καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ,* δύνῃ μὲν καὶ τῷ ἄνω ἁρμόσαι, οἷον· *Καὶ ἐν αὐτῷ ἐδιδάχθητε.* Τί δὲ ἐδιδάχθητε; *Καθώς ἐστιν ἀλήθεια ἐν αὐτῷ, ἀλήθειαν* λέγων τὴν δικαιοσύνην· τὸ γὰρ ψεῦδος ἐστὶν ἁμαρτία. Καθὼς οὖν ἐστιν ἐν αὐτῷ ἀλήθεια, οὕτω καὶ ὑμεῖς ἐδιδάχθητε· κατ' αὐτὴν γὰρ ἐδιδάχθητε. Δύνῃ δὲ καὶ τῷ ἑπομένῳ ἁρμόσαι αὐτὸ, οἷον· Καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, *ἀποθέσθαι ὑμᾶς·* τοῦτο γὰρ ἐδιδάχθητε, καὶ αὐτό ἐστιν ἡ ἐν τῷ Ἰησοῦ ἀλήθεια, τὸ, *ἀποθέσθαι ὑμᾶς τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν παλαιὸν ἄνθρωπον,* τὸν ἐν ἁμαρτίαις. *Παλαιὸν* γὰρ *ἄνθρωπον,* οὐ τὴν φύσιν ὠνόμασεν, ἀλλὰ τὴν τῆς ἁμαρτίας ἐνέργειαν· οὐδὲ γὰρ τὸ σῶμα ὁ βαπτιζόμενος ἀποτίθεται, ἀλλὰ τῆς ἁμαρτίας τὸ πιναρὸν ἔνδυμα (1). *Τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης.*] Διχῶς νοήσεις τὸ, *κατὰ τὰς ἐπιθυμίας·* ἢ ὅτι, *διὰ τῶν ἐπιθυμιῶν·* (δι' αὐτῶν γὰρ φθείρεται ὁ παλαιὸς ἡμῶν ἄνθρωπος, ὥσπερ τὸ ἔριον δι' ὧν τίκτει σητῶν· φθείρεται δὲ καὶ ἐν τῇ γεέννῃ, καὶ ἐν τῷ νῦν βίῳ· αἱ γὰρ ἀκολασίαι, καὶ αὐτοῦ τοῦ σώματος, οὐ μόνον τῆς ψυχῆς, εἰσὶ φθαρτικαί·) ἢ ὅτι, ὥσπερ αἱ ἐπιθυμίαι φθείρονται· (φθείρονται

Εἴπερ δίκαιον παρὰ θεῷ, ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν (Β' Θεσ. Α', 6.)».

« Οὐ γὰρ ἀμφιβάλλων, ἀλλὰ καὶ σφόδρα διαβεβαιούμενος ταῦτά φησι. Τοῦτο γάρ ἐστι μαθεῖν τὸν Χριστὸν, τὸ ὀρθῶς βιοῦν· ὡς ὅγε πονηρῶς ζῶν, ἀγνοεῖ τὸν Χριστόν. Θεὸν γάρ, φησιν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται (Τιτ. Α', 16.).» Θεοφύλακτος.

(3) « Τὸ δὲ, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, οὕτω νοήσῃς· ὅτι οὐχ ὥσπερ τὰ ἔθνη ἐν ματαιότητι περιπατοῦσιν, οὕτω καὶ ὑμεῖς ἐπὶ τοῖς αὐτοῖς συνέθεσθε. Οὐ γὰρ ματαιότης τὰ τοῦ Χριστοῦ, ἀλλ' ἀλήθεια, καὶ τὰ δόγματα καὶ ὁ βίος. Ἡμὲν γὰρ ἁμαρτία, ψεῦδος, ὡς ἀνυπόστατος, καὶ μὴ ἔχουσα τέλος· ἡ δὲ ἀρετὴ, ἀλήθεια, ὡς ὑφιστῶσα, καὶ τέλος ἔχουσα. Τί δὲ ἐδιδάχθητε; καὶ τί ἐστιν ἡ κατὰ Χριστὸν ἀλήθεια; Τὸ ἀποθέσθαι ὑμᾶς τὸν παλαιὸν ἄνθρωπον, τουτέστι, τὸν τῆς προτέρας ἀναστροφῆς τρόπον, καὶ τὴν παλαιὰν ζωὴν καὶ ἐφάμαρτον.» Θεοφύλακτος.

δὲ καὶ νόσῳ, καὶ χρόνῳ, καὶ, τελευταῖον, θανάτῳ·) οὕτω καὶ αὐτὸς, ὁ τὰς ἐπιθυμίας τίκτων ἄνθρωπος. Καλῶς δὲ τὴν ἐκ τῶν ἐπιθυμιῶν ἀποτελουμένην ἁμαρτίαν, *ἀπάτην* ἐκάλεσεν· ἀπάτη γὰρ, καὶ οὐ κυρίως ἡδονή. *Ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν.*] Ἵνα μή τις νομίσῃ, ὅτι ἕτερον ἐπεισάγει ἄνθρωπον, φησὶν, *ἀνανεοῦσθαι*· τουτέστιν, αὐτὸ τὸ γεγηρακὸς ἀνανεῶσαι, καὶ ἀλλοῖον ποιῆσαι. Ὥστε τὸ μὲν ὑποκείμενον, τὸ αὐτό· ἡ δὲ μεταβολὴ, τοῦ τρόπου ἐστὶ καὶ τῆς γνώμης. Πῶς δ' ἂν γένοιτο ἡ ἀνανέωσις; Διὰ τοῦ ἁγίου Πνεύματος, τοῦ ὄντος ἐν τῷ νῷ ὑμῶν· τὸ γὰρ Πνεῦμα παλαιῶν οὐκ ἀνέχεται πράξεων. Καλῶς δὲ τὴν τοιαύτην ἀνακαίνισιν, ἐν πνεύματι γίνεσθαι λέγει· οὐ γὰρ σωματικῶς ἄλλοι ἀντ' ἄλλων γινόμεθα, ἀλλὰ διὰ πνεύματός ἐστιν ἡ ἀνακαίνισις, μετανοίας ἡγουμένης, καὶ τὸ γῆρας τῶν ἁμαρτιῶν ἀποξυούσης. *Καὶ ἐνδύσασθαι.*] Ἐδιδάχθητε ἀποθέσθαι, ἐδιδάχθητε ἀνανεοῦσθαι, ἐδιδάχθητε *καὶ ἐνδύσασθαι*· ἀπὸ κοινοῦ γὰρ τὸ ἐδιδάχθητε.— ΑΛΛΩΣ. *Ἐνδύσασθαι*, φησὶν, ἐν τῷ βαπτίσματι· ἐνδύσασθαι καὶ διὰ μετανοίας καὶ πολιτείας χρηστῆς.— *Τὸν καινὸν ἄνθρωπον.*] Ὁρᾷς, ὅτι ἑκούσιόν ἐστι τὸ πρᾶγμα καὶ μᾶλλον εὐχερές (1); *Καινὸν δὲ ἄνθρωπόν* φησι, τὸν ἐν ἀρετῇ διαζῶντα, ὥσπερ παλαιὸν, τὸν ἐν ἁμαρτίαις (2). *Τὸν κατὰ θεὸν κτισθέντα.*] Ὁ γὰρ ἐν ἀρετῇ ζῶν, κατὰ θεὸν ἔκτισται, καὶ κατὰ θεὸν πολιτεύεται (3). *Ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.*]

(1) « Ὁρᾷς, ὅτι τὸ ὑποκείμενον ἕν ἐστι, τὸ ἐκδυόμενον καὶ ἐνδυόμενον· τὰ δὲ ἐνδύματα, διάφορα, τουτέστιν, ἡ κακία καὶ ἡ ἀρετή; Ὥσπερ γὰρ τὸ ἀποδύσασθαι καὶ ἐνδύσασθαι ῥᾴδιον, οὕτω καὶ ἡ κακία καὶ ἡ ἀρετὴ, ἐὰν θελήσωμεν. Διὰ τί δὲ ἄνθρωπον καλεῖ τὴν κακίαν, καὶ ἄνθρωπον, τὴν ἀρετήν; Ὅτι ἐκ τῶν ἔργων χαρακτηρίζεται ὁ ἄνθρωπος· καὶ οὐχ ἧττον φύσεως ταῦτα δεικνύουσι τὸν ἄνθρωπον, εἴτε ἀγαθὸν, εἴτε πονηρόν. Καινὸς οὖν ἄνθρωπος, ὁ νέος, ὁ ἐκ τοῦ βαπτίσματος, ὃς καὶ ἰσχυρὸς ὀφείλει εἶναι, καὶ ῥυτίδας μὴ ἔχων, καὶ ὑγιεινός· ταῦτα γὰρ πάντα τοῦ νέου.» Θεοφύλακτος.

(2) « Καινὸν ἄνθρωπον κέκληκε, τὸν κατὰ τὴν εὐαγγελικὴν νομοθεσίαν πολιτευόμενον. Ἄνθρωπον δὲ, καὶ τὴν ἀρετὴν, καὶ τὴν κακίαν ἐκάλεσεν· ἐπειδὴ παρ' ἀνθρώπων ἐνεργεῖται.» Θεοδώρητος.

(3) « Οὗτος, φησιν, ὁ ἄνθρωπος ἐκτίσθη, οὐ κατὰ τὰς ἐπιθυμίας, ἀλλὰ κατὰ θεόν· τουτέστιν, ὑπὸ θεοῦ κτίσιν τοιαύτην, ᾗ εὐαρεστεῖται ὁ θεὸς, ἐν τῇ κολυμβήθρᾳ, οὐκ ἐξ ὕδατος καὶ γῆς, ἀλλ' ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. Ταῦτα γὰρ ἡ οὐσία τοῦ τοιούτου ἀνθρώπου.» Θεοφύλακτος.

Δικαιοσύνη μὲν οὖν ἡ καθολική ἐστιν ἀρετὴ, ὥσπερ καὶ εἰώθαμεν *δίκαιον* ὀνομάζειν τὸν ἀνεπίληπτον. Καὶ ὁ Κύριος, *Ἐὰν μὴ περισσεύσῃ*, φησὶν, *ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Φαρισαίων* (α)· τὴν γὰρ πᾶσαν ἀρετὴν ἐνταῦθα *δικαιοσύνην* φησίν· *ὁσιότης* δὲ, ἡ καθαρότης. Ἦν δὲ καὶ παρὰ Ἰουδαίοις δικαιοσύνη καὶ ὁσιότης, ἀλλὰ τυπική· περὶ γὰρ σώματος κάθαρσιν ἠσχόληντο· ἀλλὰ μὴ ταύτην, ἀλλὰ τὴν ἐν ψυχῇ δικαιοσύνην καὶ ὁσιότητα ἐνδύσασθε· αὕτη γὰρ ἡ τῆς ἀληθείας. *Ἡ δικαιοσύνην τῆς ἀληθείας* λέγει, πρὸς ἀντιδιαστολὴν τῆς ἐν σχήματι καὶ ὑποκρίσει δικαιοσύνης.

25 Διὸ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν, ἕκα-
στος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλή-
26 λων μέλη. « Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε (β)· ὁ
ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν (γ)·
27 μήτε δίδοτε τόπον τῷ διαβόλῳ. Ὁ κλέπτων, μη-
28 κέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος
τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ
29 χρείαν ἔχοντι. Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόμα-
τος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθὸς
πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς
ἀκούουσι.

Εἶπε τὸν παλαιὸν ἄνθρωπον καθολικῶς, λοιπὸν καὶ ἰδικῶς αὐτὸν διαγράφει· καὶ πρῶτον αὐτοῦ τὸ ψεῦδος ἀποκόπτει, τὸ πρὸς ἀλλήλους· καὶ τὰς αἰτίας ἐπάγει, ὅτι τε πλησίον ἐσμὲν ἀλλήλων, καὶ, τὸ μεῖζον καὶ ἐντρεπτικώτερον, ὅτι *ἀλλήλων μέλη ἐσμέν*· ὡς εἰ εἶπε· Μὴ ὀφθαλμὸς, ἰδὼν θηρίον, ψεύδεται πρὸς τὸν πόδα, καὶ οὐ δίδωσιν αὐτῷ φυγεῖν; ἢ χεὶρ, ψηλαφήσασά τι πονηρὸν, ψεύδεται πρὸς τὰ λοιπὰ μέλη; Οὕτως οὖν, φησὶ, καὶ ἡμᾶς χρὴ διακεῖσθαι πρὸς ἀλλήλους· μέλη γὰρ ἐσμὲν ἑνὸς σώματος. *Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε.*] Εἶπε· Μὴ ψεύδεσθε· ἐπεὶ οὖν πολλάκις τις ψευδόμενος,

(α) Ματθ. Ε', 20. (β) Ψαλμ. Δ', 5. (γ) Δευτ. ΚΔ', 15.

ὀργῆς πρόφασιν παρεῖχε, φησίν, ὅτι καλὸν μὲν τὸ μὴ ὀργίζεσθαι καθόλου· εἰ δὲ ἄρα τοῦτο συμβῇ, κἂν μὴ πρὸς ἁμαρτίαν ἐξαχθῆτε ἐκ τοῦ ἀμέτρως χρήσασθαι τῇ ὀργῇ. *Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.*] Μηδὲ παραμενέτω, φησίν, ὑμῖν ἐπὶ πολὺ τὸ πάθος. Ἔνι γάρ, ὡς λέγει τις, ὀργῆς δικαίας πρὸς ὥραν ἐμπλησθῆναι· λῦσον δὲ αὐτὴν πρὸ ἡλίου δύσεως, διά τε τὸ μὴ δόξαι ἐπὶ ἀναξίοις ἀνατεταλκέναι τὸν ἥλιον, καὶ ἵνα μὴ ἡ νὺξ διὰ τῶν ἐννοιῶν χαλεπωτέραν ἐργάσηται τὴν πυράν (1). Ἤκουσά τινων ἑρμηνευσάντων, ὅτι μία ἀναμάρτητος ὀργή, ἡ πρὸς τοὺς δαίμονας καὶ τὰ πάθη, ἣν εἰσηγεῖται ἡμῖν ἐνταῦθα ὁ θεῖος ἀπόστολος. *Μήτε δίδοτε τόπον τῷ διαβόλῳ.*] Τὸ ἀλλήλοις πολεμεῖν, τόπον ἐστὶ διδόναι τῷ διαβόλῳ καθ' ἡμῶν αὐτῶν. Ἕως γὰρ ἂν ὦμεν ἡνωμένοι καὶ πεπυκνωμένοι, οὐδὲν ἐπεισάγει τῶν ἑαυτοῦ ἐκεῖνος, ἅτε μὴ εὑρίσκων τόπον· ἐπειδὰν δὲ εὕρῃ διάστασίν τινα ἐν ἡμῖν, τότε, ὡς τόπον εὑρών, παρεμβάλλει τὴν κεφαλὴν ὡς ὄφις, καὶ τοῦ λοιποῦ πάντα τὸν ὁλκὸν τοῦ σώματος συνεφέλκεται. Ἢ ὅτι τό, *Μήτε δίδοτε τόπον τῷ διαβόλῳ*, τοῦ ἄνω ἤρτηται, οἷον· Μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν, ἵνα μὴ δῶτε χώραν τῷ διαβόλῳ διὰ τῶν κατὰ τὴν νύκτα λογισμῶν, πλεῖον ὑμᾶς ἐκκαίειν κατὰ τῶν ἀδελφῶν. *Ὁ κλέπτων, μηκέτι κλεπτέτω.*] Ἰδοὺ τὰ μέλη τοῦ παλαιοῦ ἀνθρώπου, ψεῦδος, μνησικακία, κλοπή. Οὐκ εἶπε δέ· Κολαζέσθω ὁ κλέπτων· ἀλλ', Ἀποστήτω, φησί, τοῦ κακοῦ. Ἐκεῖνο μὲν γάρ, τῶν ἔξω δικαστηρίων· τοῦτο δέ, τῆς τοῦ Χριστοῦ διδασκαλίας. Ποῦ δέ εἰσιν οἱ ῥύπου μὲν γέμοντες, ἑαυτοὺς δὲ Καθαροὺς ἐπικαλοῦντες, οἱ μὴ δεχόμενοι τὴν μετάνοιαν; Ἰδοὺ γὰρ φανερῶς ἀκούουσιν· *Ὁ κλέπτων, μηκέτι κλεπτέτω.* Ἔστι γάρ, ἀποδύσασθαι τὸ ἔγκλημα, οὐ τῷ ἀποστῆναι μόνον τοῦ ἁμαρτήματος, ἀλλὰ καὶ τῷ ἀγαθόν τι ἐργάζεσθαι. *Μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος*

(1) «Μέτρον ἔδωκε τῷ θυμῷ, τῆς ἡμέρας τὸ μέτρον· ὑφορᾶται γάρ, μὴ νύκτωρ ἡσυχάζων ὁ λογισμὸς ἐπιτείνῃ τὴν νόσον.» Θεοδώρητος.

τὸ ἀγαθόν.] Οὐ γὰρ ἀρκεῖ, παύσασθαι τῆς ἁμαρτίας τὸν μετανοοῦντα, ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῆς ὁδὸν μετελθεῖν. *Κοπιάτω* δὲ, εἰπὼν, τὸ ἐπίπονον τοῦ ἔργου ἐδήλωσεν· *ἐργαζόμενος δὲ τὸ ἀγαθὸν*, φησι· καὶ γὰρ καὶ ὁ κλέπτων ἐργάζεται, ἀλλὰ κακόν. *Ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.*] Ἐργαζέσθω, φησὶ, τὸ ἀγαθὸν, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ κόπου· ἅμα μὲν, ἵνα συντρίψῃ τὸ σῶμα, τὸ πρὶν ἀπὸ τῆς ἀργίας τὰ κακὰ μεμαθηκός· ἅμα δὲ, ἵνα δαψιλεστέρους ἔχῃ τοὺς τῆς ζωῆς πόρους, καὶ μεταδιδῷ καὶ ἄλλοις, ἀνθ' ὧν πρὶν τὰ τῶν ἄλλων ὑφῃρεῖτο, αὐτὸς νῦν ἑτέρους εὐεργετῶν. *Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω.*] *Σαπρὸν*, ἢ τὸν ἀργὸν καὶ εἰκαῖον καλεῖ, ἢ τὸν σεσηπότα καὶ δυσώδη. Τί γὰρ λοιδορίας, καταλαλιᾶς, αἰσχρολογίας, εὐτραπελίας δυσωδέστερον ἢ πλέον σεσηπός; *Ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας.*] Ποίας χρείας; Τῆς παρούσης, φησὶ, περὶ ἧς ἡ διάλεξις. Δεῖ γὰρ τὸν πνευματικὸν ἄνθρωπον, πᾶσαν προκειμένην διάλεξιν περιτρέπειν εἰς οἰκοδομὴν τῶν συμπαρόντων. *Ἵνα δῷ χάριν τοῖς ἀκούουσιν.*] Ἵνα δῷ χάριν θεοῦ, φησὶ, τοῖς ἀκούουσιν· ἢ, ἵνα σοι χάριν εἴσωνται θεοῦ, ἐφ' οἷς λαλεῖς· ἢ, ἵνα εὐχαρὴς αὐτοῖς γένῃ πνευματικῶς. Ἔσται δὲ τοῦτο, ἐὰν περὶ σωφροσύνης, περὶ δικαιοσύνης, περὶ ἐλεημοσύνης λαλῇς.

30 Καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν
31 ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα
πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ
βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.

Καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ.] Φοβερόν τι λέγει· δείκνυσι γὰρ, ὅτι πᾶς ὁ σαπρὸν καὶ ἀνάξιον τοῦ χριστιανικοῦ στόματος λόγον λαλῶν, τὸ Πνεῦμα λυπεῖ τὸ ἅγιον, ὑφ' οὗ εὐηργετήθη, ὑφ' οὗ ἡγιάσθη αὐτοῦ τὸ στόμα. Εἶτα καὶ ἐκ τῆς εὐεργεσίας τοῦ Πνεύματος φοβερώτερον τὸν λόγον ποιεῖ. *Ἐν ᾧ γάρ*, φησιν, *ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.*]

ὀργῆς πρόφασιν παρεῖχε, φησὶν, ὅτι καλὸν μὲν τὸ μὴ ὀργίζεσθαι καθόλου· εἰ δὲ ἄρα τοῦτο συμβῇ, κἂν μὴ πρὸς ἁμαρτίαν ἐξαχθῆτε ἐκ τοῦ ἀμέτρως χρήσασθαι τῇ ὀργῇ. *Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.*] Μηδὲ παραμενέτω, φησὶν, ὑμῖν ἐπὶ πολὺ τὸ πάθος. Ἔνι γὰρ, ὡς λέγει τις, ὀργῆς δικαίας πρὸς ὥραν ἐμπλησθῆναι· λῦσον δὲ αὐτὴν πρὸ ἡλίου δύσεως, διάτε τὸ μὴ δόξαι ἐπὶ ἀναξίοις ἀνατεταλκέναι τὸν ἥλιον, καὶ ἵνα μὴ ἡ νὺξ διὰ τῶν ἐννοιῶν χαλεπωτέραν ἐργάσηται τὴν πυράν (1). Ἤκουσά τινων ἑρμηνευσάντων, ὅτι μία ἀναμάρτητος ὀργὴ, ἡ πρὸς τοὺς δαίμονας καὶ τὰ πάθη, ἣν εἰσηγεῖται ἡμῖν ἐνταῦθα ὁ θεῖος ἀπόστολος. *Μήτε δίδοτε τόπον τῷ διαβόλῳ.*] Τὸ ἀλλήλοις πολεμεῖν, τόπον ἐστὶ διδόναι τῷ διαβόλῳ καθ' ἡμῶν αὐτῶν. Ἕως γὰρ ἂν ὦμεν ἡνωμένοι καὶ πεπυκνωμένοι, οὐδὲν ἐπεισάγει τῶν ἑαυτοῦ ἐκεῖνος, ἅτε μὴ εὑρίσκων τόπον· ἐπειδὰν δὲ εὕρῃ διάστασίν τινα ἐν ἡμῖν, τότε, ὡς τόπον εὑρὼν, παρεμβάλλει τὴν κεφαλὴν ὡς ὄφις, καὶ τοῦ λοιποῦ πάντα τὸν ὁλκὸν τοῦ σώματος συνεφέλκεται. Ἢ ὅτι τὸ, *Μήτε δίδοτε τόπον τῷ διαβόλῳ*, τοῦ ἄνω ἤρτηται, οἷον· Μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν, *ἵνα μὴ δῶτε χώραν τῷ διαβόλῳ* διὰ τῶν κατὰ τὴν νύκτα λογισμῶν, πλεῖον ὑμᾶς ἐκκαίειν κατὰ τῶν ἀδελφῶν. *Ὁ κλέπτων, μηκέτι κλεπτέτω.*] Ἰδοὺ τὰ μέλη τοῦ παλαιοῦ ἀνθρώπου, ψεῦδος, μνησικακία, κλοπή. Οὐκ εἶπε δέ· Κολαζέσθω ὁ κλέπτων· ἀλλ', Ἀποστήτω, φησὶ, τοῦ κακοῦ. Ἐκεῖνο μὲν γὰρ, τῶν ἔξω δικαστηρίων· τοῦτο δὲ, τῆς τοῦ Χριστοῦ διδασκαλίας. Ποῦ δέ εἰσιν οἱ ῥύπου μὲν γέμοντες, ἑαυτοὺς δὲ *Καθαροὺς* ἐπικαλοῦντες, οἱ μὴ δεχόμενοι τὴν μετάνοιαν; Ἰδοὺ γὰρ φανερῶς ἀκούουσιν· *Ὁ κλέπτων, μηκέτι κλεπτέτω.* Ἔστι γὰρ, ἀποδύσασθαι τὸ ἔγκλημα, οὐ τῷ ἀποστῆναι μόνον τοῦ ἁμαρτήματος, ἀλλὰ καὶ τῷ ἀγαθόν τι ἐργάζεσθαι. *Μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος*

(1) «Μέτρον ἔδωκα τῷ θυμῷ, τῆς ἡμέρας τὸ μέτρον· ὑφορᾶται γὰρ, μὴ νύκτωρ ἡσυχάζων ὁ λογισμὸς ἐπιτείνῃ τὴν νόσον.» Θεοδώρητος.

τὸ ἀγαθόν.] Οὐ γὰρ ἀρκεῖ, παύσασθαι τῆς ἁμαρτίας τὸν μετανοοῦντα, ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῆς ὁδὸν μετελθεῖν. *Κοπιάτω δὲ*, εἰπὼν, τὸ ἐπίπονον τοῦ ἔργου ἐδήλωσεν· *ἐργαζόμενος δὲ τὸ ἀγαθὸν*, φησι· καὶ γὰρ καὶ ὁ κλέπτων ἐργάζεται, ἀλλὰ κακόν. *Ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.*] Ἐργαζέσθω, φησὶ, τὸ ἀγαθὸν, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ κόπου· ἅμα μὲν, ἵνα συντρίψῃ τὸ σῶμα, τὸ πρὶν ἀπὸ τῆς ἀργίας τὰ κακὰ μεμαθηκός· ἅμα δὲ, ἵνα δαψιλεστέρους ἔχῃ τοὺς τῆς ζωῆς πόρους, καὶ μεταδιδῷ καὶ ἄλλοις, ἀνθ' ὧν πρὶν τὰ τῶν ἄλλων ὑφῃρεῖτο, αὐτὸς νῦν ἑτέρους εὐεργετῶν. *Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω.*] *Σαπρὸν*, ἢ τὸν ἀργὸν καὶ εἰκαῖον καλεῖ, ἢ τὸν σεσηπότα καὶ δυσώδη. Τί γὰρ λοιδορίας, καταλαλιᾶς, αἰσχρολογίας, εὐτραπελίας δυσωδέστερον ἢ πλέον σεσηπός; *Ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας.*] Ποίας χρείας; Τῆς παρούσης, φησὶ, περὶ ἧς ἡ διάλεξις. Δεῖ γὰρ τὸν πνευματικὸν ἄνθρωπον, πᾶσαν προκειμένην διάλεξιν περιτρέπειν εἰς οἰκοδομὴν τῶν συμπαρόντων. *Ἵνα δῷ χάριν τοῖς ἀκούουσιν.*] Ἵνα δῷ χάριν θεοῦ, φησὶ, τοῖς ἀκούουσιν· ἢ, ἵνα σοι χάριν εἴσωνται θεοῦ, ἐφ' οἷς λαλεῖς· ἢ, ἵνα εὐχαρὴς αὐτοῖς γένῃ πνευματικῶς. Ἔσται δὲ τοῦτο, ἐὰν περὶ σωφροσύνης, περὶ δικαιοσύνης, περὶ ἐλεημοσύνης λαλῇς.

30 Καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν
31 ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα
πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ
βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.

Καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ.] Φοβερόν τι λέγει· δείκνυσι γὰρ, ὅτι πᾶς ὁ σαπρὸν καὶ ἀνάξιον τοῦ χριστιανικοῦ στόματος λόγον λαλῶν, τὸ Πνεῦμα λυπεῖ τὸ ἅγιον, ὑφ' οὗ εὐηργετήθη, ὑφ' οὗ ἡγιάσθη αὐτοῦ τὸ στόμα. Εἶτα καὶ ἐκ τῆς εὐεργεσίας τοῦ Πνεύματος φοβερώτερον τὸν λόγον ποιεῖ. *Ἐν ᾧ γάρ*, φησιν, *ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.*]

Ὥσπερ γὰρ δήλους ποιῶν ἡμᾶς, ὅτι ἐσμὲν θεοῦ λαὸς, ἐσφράγισεν ἡμᾶς ἐν τῷ βαπτίσματι· αὕτη γὰρ *ἡ ἡμέρα τῆς ἀπολυτρώσεως* (1). *Πᾶσα πικρία*.] Ἀνεῖλε μὲν καὶ διὰ τῶν ἀνωτέρω ῥηθέντων τὴν ὀργήν· καὶ νῦν δὲ πρόῤῥιζον αὐτὴν ἀνασπᾷ· ἡ γὰρ πικρία, καὶ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς ῥίζα. Ἐπειδὰν γὰρ ὁ χυμὸς πικρὸς γένηται δριμυσσόμενος, ἐπὶ πλέον ὑπερβαίνει τὸ στέγον ἀγγεῖον, καὶ καθ᾽ ὅλου χεῖται τοῦ σώματος, καὶ ἐκθηριοῖ τὸν ἄνθρωπον. *Πικρία* μὲν οὖν ἐστιν ἡ ὑπουλότης, ἡ δολιότης, ἡ πρὸς τὸ κακοποιεῖν παρασκευή· ὁ δὲ θυμὸς, γεννητικός ἐστι τῆς ὀργῆς· ἐκ δὲ τῆς ὀργῆς ἡ κραυγὴ πρόεισιν· ἐκ δὲ ταύτης ἡ βλασφημία, οἷον ἡ λοιδορία. Ταῦτα τοιγαροῦν ἅπαντα *ἀρθήτω*, φησὶν, *ἀφ᾽ ὑμῶν*· οὐ λέγει δὲ, Κατεχέσθω, ἢ, Κολαζέσθω· ἀλλὰ τὴν τελείαν αὐτῶν δηλῶν ἀναίρεσιν, *Ἀρθήτω*, φησὶ, *σὺν πάσῃ κακίᾳ*. Ἐπειδὴ γάρ εἰσιν ἄνθρωποι, ὥσπερ τῶν κυνῶν οἱ λαθροδῆκται, οἳ οὔτε κράζουσιν, οὔτε δήλην ποιοῦσι τὴν ὀργὴν, ἀλλὰ κατὰ ψυχὴν ἔχοντες ἀμύνονται ἐν καιρῷ τὸν λυπήσαντα, βούλεται καὶ τὴν ἐνδομυχοῦσαν κακίαν αἴρεσθαι καὶ ἐξορίζεσθαι. Διὰ τοῦτο προσέθηκε τὸ, *σὺν πάσῃ κακίᾳ*, τουτέστι, καὶ μικρᾷ καὶ μεγάλῃ.

32 Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι,
χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ
ΚΕΦ. V, 1 ἐχαρίσατο ὑμῖν (2). Γίνεσθε οὖν μιμηταὶ
2 τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητά· καὶ περιπατεῖτε ἐν
ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ
παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν
τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας.

Ἐπειδὴ οὐκ ἀρκεῖ μόνη ἡ τῶν κακῶν ἀποχὴ ἀπαλλάξαι τιμωρίας, εἰ μὴ καὶ ἀγαθόν τις προσεργάσηται· καὶ τοῦτο δηλοῦσιν

(1) « Τοῦτο γὰρ ἐσφράγισεν ἡμᾶς, καὶ τῆς βασιλικῆς ἀγέλης ἔδειξεν ὄντας· τοῦτο οὐκ ἀφῆκεν ἡμᾶς ἵστασθαι μετὰ τῶν ὑπευθύνων τῆς ὀργῆς τοῦ θεοῦ, ἀλλ᾽ ἐσφράγισεν ἡμᾶς, καὶ ἀφώρισεν εἰς τὸ εἶναι λελυτρωμένους ἐκ ταύτης. Τοῦτο οὖν λυποῦντες, οὐκ αἰσχυνόμεθα; » Θεοφύλακτος.

(2) Παρ᾽ ἄλλοις, ἡμῖν.

οἱ ἐξ εὐωνύμων, οἳ οὐδὲν ἐγκαλοῦνται κακὸν, ὅτι δὲ μὴ ἔθρεψαν, καὶ ἐπότισαν, καὶ ἐσκέπασαν, ἅπέρ ἐστι τῶν καλῶν ἐργασία (α)· Διὰ τοῦτο τὰ φαῦλα ἀνελὼν ὁ Παῦλος, ἐπὶ τὴν τῶν ἀγαθῶν ἐργασίαν παρακαλεῖ, καί φησι· *Γίνεσθε χρηστοί*· ὡς πρὸς ἀντιδιαστολὴν τῆς ὀργῆς· *εὔσπλαγχνοι*· ὡς πρὸς ἀντιδιαστολὴν τῆς πικρίας. Τὸ δὲ, *χαριζόμενοι ἑαυτοῖς*, ὅ ἐστι συγγνωμονικοὶ γίνεσθε, πρὸς ἀντιδιαστολὴν τῆς κακίας καὶ βλασφημίας τέθεικε. *Καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.*] Ἐπειδὴ δυσωπητικώτερα τὰ παραδείγματα, τὸν Θεὸν παράγει εἰς ὑπόδειγμα. Καὶ ἐδύνατο μὲν εἰπεῖν, ὅτι ὁ Θεὸς εἶπεν· Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν (ϐ)· ἀλλ' ἐπειδὴ πολλοὶ οὐ σφόδρα τοῖς μέλλουσι πιστεύουσιν, ἀπὸ τῶν προϋπηργμένων ποιεῖται τὴν παράκλησιν. *Χαριζόμενοι* γάρ, φησιν, *ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.* Τί δέ ἐςι τὸ, *ἐν Χριστῷ;* Τουτέςι, μετὰ κινδύνου τοῦ υἱοῦ αὐτοῦ, διὰ τῆς σφαγῆς αὐτοῦ καὶ τοῦ σταυροῦ. Σὺ μὲν γάρ, φησιν, ἴσως ἀκινδύνως χαρίζῃ· ὁ δὲ θεὸς μετὰ τοῦ θανάτου τοῦ μονογενοῦς αὐτοῦ ἐχαρίσατο ὑμῖν· καὶ σὺ μὲν τῷ ἀδελφῷ σου· ἐκεῖνος δὲ σοί, ἐχθρῷ ὄντι, ἀφῆκε καὶ ἐχαρίσατο. Ὁρᾷς ὑπερβολήν; Ὅρα δὲ, πῶς ἀντὶ τοῦ εἰπεῖν, *χαριζόμενοι ἀλλήλοις*, εἶπε, *χαριζόμενοι ἑαυτοῖς*, δεικνύων, ὅτι, ὅταν ἄλλοις χαριζώμεθα, εἰς ἡμᾶς αὐτοὺς τὴν χάριν ποιοῦμεν ἕκαστος. *Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ.*] Ἀρκεῖ τοῦτο πρὸς μισθὸν τῷ χαριζομένῳ, τὸ γενέσθαι μιμητὴν τοῦ θεοῦ. *Ὡς τέκνα ἀγαπητά.*] Ἰδοὺ καὶ ἄλλη πρὸς τὸ χαρίζεσθαι προτροπὴ, μᾶλλον δὲ ἀνάγκη· ἀνάγκην γὰρ ἔχετέ, φησι, μιμεῖσθαι τὸν πατέρα ὑμῶν. Εἶτα, ἐπειδὴ οὐ πάντα τὰ τέκνα μιμεῖται τὸν πατέρα, προσέθηκε τὸ, *ἀγαπητά*· τοῖς γὰρ τοιούτοις ἐξ ἀνάγκης τινὸς ἡ μίμησις. *Καὶ περιπατεῖτε ἐν ἀγάπῃ.*] Ἰδοὺ ἡ πάντων τῶν καλῶν ῥίζα· ταύτης γὰρ οὔσης, καὶ ἡ φυγὴ τῶν κακῶν,

---

(α) Ματθ. ΚΕ'. 41—43, (ϐ) Ματθ. ϛ'. 14.

καὶ ἡ ποίησις τῶν ἀγαθῶν, εὐχερῶς κατορθοῦται. *Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ ἑξῆς.*] Καίτοι οὐκ ἔστιν ὅμοιον τῆς τοῦ Χριστοῦ ἀγάπης τὸ ἡμέτερον. Ὁ μὲν γὰρ ἐχθροὺς ὄντας ἡμᾶς ἠγάπησε, σὺ δέ, φησι, τοῦτο κἂν εἰς τοὺς πλησίον ἐπίδειξον· ὁ μὲν Χριστὸς ἑαυτὸν εἰς θάνατον παρέδωκε, σοὶ δὲ ἀκίνδυνος καὶ ἀζήμιος ἔσται ἡ πρὸς τὸν πλησίον ἀγάπη. Εἰ δὲ ἐχθροὺς ἀγαπήσεις κατὰ μίμησιν τοῦ Χριστοῦ, γενήσῃ καὶ σὺ θυσία τῷ Θεῷ καὶ προσφορὰ, εἰς ὀσμὴν εὐωδίας λογιζομένη. Οὕτως ὁ Χριστὸς γέγονε· οὕτω καὶ ἡμεῖς, ἐὰν θελήσωμεν, ἐσόμεθα.

3 Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία ἢ πλεονεξία μηδὲ
4 ὀνομαζέσθω ἐν ὑμῖν, (καθὼς πρέπει ἁγίοις,) καὶ
αἰσχρότης, καὶ μωρολογία ἢ εὐτραπελία, τὰ οὐκ ἀνή-
5 κοντα· ἀλλὰ μᾶλλον εὐχαριστία. Τοῦτο γὰρ ἴστε
(1) γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ
πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κλη-
ρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ.
6 Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦ-
τα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς
7 τῆς ἀπειθείας. Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν.
8 Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ·

Εἶπε περὶ τοῦ θυμικοῦ πάθους, τῆς πικρίας, τοῦ θυμοῦ καὶ τῆς ὀργῆς· ἦλθε λοιπὸν καὶ εἰς τὸ ἐπιθυμητικόν· καὶ γὰρ ὁ νόμος πρῶτον εἰπὼν τό· *Οὐ φονεύσεις*, ὅπερ τοῦ θυμικοῦ πάθους ὑπάρχει, δεύτερον ἔταξε τό· *Οὐ μοιχεύσεις*, ὅπερ τοῦ ἐπιθυμητικοῦ καθέστηκε (α). Καθάπερ γὰρ ἡ πικρία, καὶ ἡ κραυγὴ, καὶ ἡ ὀργὴ, καὶ ἡ βλασφημία, τοῦ θυμικοῦ πάθους ἐστίν· οὕτω τοῦ ἐπιθυμητικοῦ, ἡ πορνεία, ἡ μοιχεία, ἡ ἀκαθαρσία, ἡ πλεονεξία· τῷ γὰρ αὐτῷ καὶ χρημάτων ἐρῶμεν καὶ σωμάτων. *Μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν.*] Μηδὲ ὀνομαζέσθωσάν, φησι, παρ' ὑμῖν τὰ τοιαῦτα, ἀλλ' ὁλόκληροι καθαρεύετε.

(1) Κοινότερον ἀναγινώσκεται, ἐστὲ, ἀντὶ τοῦ, ἴστε.
(α) Ἔξοδ. Κ΄, 13.

Οἶδε γὰρ τοὺς περὶ τούτων λόγους, ὑπέκκαυμα καὶ προτροπὰς τῶν ἔργων γινομένους. *Καθὼς πρέπει ἁγίοις.*] Ὥςε εἰ ἅγιοί ἐςε, καὶ ἡ γλῶσσα ὑμῶν ἁγία ἔστω. Οὕτω γὰρ πρέπει τοῖς ἁγίοις εἶναι σπουδάζουσιν. *Καὶ αἰσχρότης.*] Ὥσπερ ἄνω τὴν κραυγὴν περιεῖλεν, ὄχημα τῆς ὀργῆς ὑπάρχουσαν· οὕτω νῦν τὴν αἰσχρολογίαν, καὶ τὴν εὐτραπελίαν, καὶ μωρολογίαν, ὑπέκκαυμα τῆς πορνείας τυγχάνουσαν. Μὴ εἴπῃς γάρ, φησιν, ἀστεῖα, μηδὲ αἰσχρὰ, καὶ κατέσβεσας τὴν φλόγα τῆς πορνείας. Εἶτα, ἵνα μὴ δόξῃ φορτικὸς εἶναι καὶ δύσκολος, ὡς ἐκκόπτων καὶ τὴν εὐτραπελίαν, τὴν αἰτίαν ἐπάγει, λέγων· *Τὰ μὴ ἀνήκοντα·* τουτέςι, τὰ οὐδὲν πρὸς ὑμᾶς. Ὥσπερ γὰρ ὁ σκυτοτόμος οὐκ ἀνέξεταί τι ποιῆσαι τῶν μὴ ἀνηκόντων εἰς τὴν τέχνην αὐτοῦ· οὕτω καὶ ὁ χριστιανὸς, ἅγιος γενόμενος, οὐκ ὀφείλει λέγειν τὰ μὴ ἀνήκοντα εἰς ἁγιασμόν· τὰ γὰρ οὐκ ἐν χρείᾳ, οὐδὲν πρὸς ἡμᾶς· οὐδὲν κοινὸν ἡμῖν πρὸς αὐτά. Οὐ γὰρ γέλωτος ἢ εὐτραπελίας ὁ παρὼν καιρὸς, ἀλλὰ πένθους καὶ ἀγῶνος· ὡς εἰ ἔλεγεν· Ἐφέστηκεν ὁ διάβολος πάντοθεν, τρίζων τοὺς ὀδόντας κατὰ σοῦ, περιέρχεται ὠρυόμενος τοῦ ἁρπάσαι, καὶ σὺ παίζεις, καὶ ἀστεῖα λαλεῖς; Καὶ πῶς αὐτοῦ περιέσῃ; Δυσχερὲς γὰρ καὶ ἀγωνιζόμενον αὐτοῦ περιγενέσθαι, μήτι γε παίζοντα. Τί δέ ἐστιν *εὐτράπελος*; Ὁ εὔκολος, ὁ πάντα γινόμενος, ὁ εὐκόλως περιτρέπων τοὺς λόγους (1). *Ἀλλὰ μᾶλλον εὐχαριστία.*] Ἀλλ' ἂν θέλῃς λέγειν τι, εὐχαριστία ἔστω σοι πᾶν ῥῆμα· καὶ ἐὰν ἐθισθῇς εὐχαριστεῖν, ἀναμνησθήσῃ, τίς ὢν, τί γέγονας, καὶ πενθήσεις ἐπὶ τοῖς σοῖς κακοῖς, καὶ ὑπερεκπλαγήσῃ τὸν τοσούτων σε ἀξιώσαντα, καὶ οὐδὲ καιρὸν ἕξεις ἄλλο τι εἰπεῖν. *Τοῦτο γὰρ ἴστε γινώσκοντες.*] Ἦσαν ἴσως τινὲς παρ' αὐτοῖς οἱ λέγοντες, ὅτι φοβῆσαι θέλων ὁ θεὸς ταῦτα ἀπηγόρευσε τὰ εὐτελῆ· ἢ καὶ ἐξεφαύ-

(1) « Ὅρα καὶ αὐτὸ τοὔνομα. Εὐτράπελος λέγεται ὁ ποικίλος, ὁ παντοδαπὸς, ὁ ἄστατος, ὁ εὔκολος, ὁ πάντα γινόμενος· τοῦτο δὲ πόῤῥω τῶν τῇ πέτρᾳ δουλευόντων. Ταχέως τρέπεται ὁ τοιοῦτος, καὶ μεθίσταται. Δεῖ γὰρ αὐτὸν καὶ σχῆμα, καὶ ῥῆμα, καὶ γέλωτα, καὶ βάδισμα, καὶ πάντα μιμεῖσθαι. Καὶ σκώμματα δὲ ἐπινοεῖν χρὴ τὸν τοιοῦτον κ.τ.λ. » Χρυσόστομος.

λιζον τὰ τοιαῦτα, οὐχ ἱκανὰ ὄντα εἰς γέενναν ἐμβαλεῖν, οἷα καὶ νῦν γίνεται. Τί γάρ, φασιν, ἄτοπον τὸ εἰπεῖν, *Μωρὲ*, ἵνα ἔνοχος γένηται γεέννης ὁ εἰπὼν (α); Καὶ πῶς ὁ πλεονέκτης εἰδωλολάτρης; Τούτους οὖν αἰνίττεται ὁ ἀπόστολος· δηλοῖ γὰρ καὶ ἡ ἐπαγωγή· *Μηδεὶς ὑμᾶς ἐξαπατάτω κενοῖς λόγοις*. *Κενοὶ* γὰρ *λόγοι*, οἱ μὴ ἔχοντες τὸ ἐλπισθὲν αὐτοῖς πέρας, μηδὲ εἰς ἔργον ἐκβαίνοντες (1). [Ὅτι δὲ ὁ πλεονέκτης εἰδωλολάτρης, μάνθανε· *Οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ* (β). Ἀπέστη ἄρα ἀπὸ θεοῦ ὁ πλεονέκτης· δουλεύει δὲ χρυσῷ· πῶς οὖν οὐκ εἰδωλολάτρης; Καὶ οἱ μὲν Ἕλληνες τοῖς τοῦ θεοῦ κτίσμασι προσεκύνησαν· ὁ δὲ πλεονέκτης, τῷ ἑαυτοῦ ποιήματι προσκυνεῖ. Οὐ γὰρ ὁ θεὸς πλεονεξίαν ἐποίησεν, ἀλλ' ἡ ἡμετέρα ἀπληστία. Οὐκοῦν ὁ λατρεύων ἀργυρίῳ καὶ χρυσίῳ, εἰδωλολάτρης πάντως (2).] *Μηδεὶς ὑμᾶς ἀπατάτω.*] Ἄρα ἀπάτης ἐστὶ, τὸ τὰ τοιαῦτα λαλεῖν. *Διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.*] Ἢ διὰ τὴν πορνείαν καὶ ἀκαθαρσίαν καὶ τὰ λοιπά· ἢ διὰ τοὺς τοιούτους λόγους τῶν ἀπατεώνων. *Ἀπειθείας* δὲ *υἱοὺς*, τοὺς σφόδρα ἀπειθεῖς λέγει, τοὺς τῷ θεῷ ἀπιστοῦντας, τοὺς τὰ τοιαῦτα δογματίζοντας. *Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν.*] Ἀλλ' ὑμεῖς, φησι, μὴ συγκοινωνεῖτε αὐτοῖς. Εἶτα ἀναμιμνήσκει αὐτοὺς τὴν προτέραν κακίαν, λέγων· *Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ.*] Ἐννοήσατέ, φησι, τί ἦτε, καὶ τί γεγόνατε, καὶ ὅτι ἀπὸ σκότους, φῶς. Πρότερον μὲν γὰρ καὶ κατὰ τὰ δόγματα καὶ κατὰ τὸν βίον, σκότος αὐτόχρημα ἦτε· νῦν δὲ φῶς ἐστὲ, ἅτε καὶ θεὸν ἐπεγνωκότες, καὶ ἔργα φωτὸς μετιόντες. Τοῦτο δὲ γέγονεν ὑμῖν, οὐκ ἀπὸ τῆς ὑμετέρας ἀρετῆς, ἀλλ' *ἐν Κυρίῳ*, τουτέστι, διὰ τῆς θείας χάριτος. Οὐκ οὖν ὀφείλετε τοῖς υἱοῖς τῆς ἀπειθείας κοινωνεῖν, ἐφ' οὓς ἔρχε-

---

(α) Ματθ. Ε', 22.

(1) « Κενοὶ λόγοι, οἱ πρόσκαιρον χάριν ἔχοντες, ἐπὶ δὲ τῶν ἔργων ἄχρηστοι δεικνύμενοι, καὶ ἀπάτη τὸ τὰ τοιαῦτα χαρίζεσθαι. » Θεοφύλακτος.

(β) Ματθ. Ϛ', 24. (2) Ἐκ τοῦ Θεοφυλάκτου.

ται ἡ ὀργὴ τοῦ Θεοῦ. Ἦτε γάρ ποτε τοιοῦτοι, καὶ ἄξιοι ὀργῆς· νῦν δὲ οὐκέτι. Μὴ τοίνυν παλινδρομήσητε πρὸς τὸ σκότος.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τοῦ ζῆν ἐπαξίως τοῦ ἁγιασμοῦ, ἔργοις τὴν κακίαν ἐλέγχοντας, οὐ λόγοις, πνεύματι πληρουμένους διὰ ψαλμῶν, μὴ οἴνῳ.

9 Ὡς τέκνα φωτὸς περιπατεῖτε· (ὁ γὰρ καρπὸς τοῦ
πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ
10 ἀληθείᾳ·) δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ
11 Κυρίῳ· καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς
ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε.
12 Τὰ γὰρ κρυφῆ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι
13 καὶ λέγειν. Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φω-
τός, φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον, φῶς
14 ἐστι. Διὸ λέγει· «Ἔγειραι ὁ καθεύδων, καὶ ἀνά-
στα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.»

Ὡς τέκνα φωτὸς περιπατεῖτε.] Τουτέστιν, εὐσχημόνως, καὶ ὡς εἰκὸς τὸν ἐν φωτὶ περιπατοῦντα· ἐν γὰρ τῷ φωτί, πᾶς τις τοῦ εὐσχήμου προνοεῖ. Μᾶλλον δὲ καὶ ἄλλοις φῶς ἡμᾶς εἶναι διακελεύεται· τὸ γὰρ τοῦ φωτὸς τέκνον, πάντως καὶ αὐτὸ φῶς ἐστίν. *Ὁ γὰρ καρπὸς τοῦ πνεύματος.*] Ὥσπερ ἑφερμηνεύει ἡμῖν, τί ἐστι τὸ τέκνον τοῦ φωτός, καί φησιν, ὅτι τὸ τὸν καρπὸν τοῦ πνεύματος ἔχον. Τὸ γὰρ πνεῦμα τοιαῦτα καρποφορεῖ, καὶ οἱ πνευματικοί· ὡς τά γε ἕτερα, τοῦ Σατανᾶ εἰσὶ καρποί. *Ἐν πάσῃ ἀγαθωσύνῃ.*] Τοῦτο ὡς πρὸς τοὺς ὀργιζομένους, καὶ ὡς πρὸς τοὺς πικρούς· τὸ δέ, *δικαιοσύνῃ*, ὡς πρὸς τοὺς πλεονέκτας· τὸ δέ, *ἀληθείᾳ*, ὡς πρὸς τοὺς τὴν ψευδῆ τῆς ἀκολασίας καὶ ἁμαρτίας διώκοντας ἡδονήν. *Πᾶσαν δὲ*

ἀγαθωσύνην λέγει, τὴν πρὸς πάντας, οὐ μόνον φίλους, ἀλλὰ μᾶλλον πρὸς τοὺς ἐχθρούς. *Δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ.*] Τὸ *δοκιμάζειν*, τῶν τελείων ἐστὶ, τῶν κρίνειν δυναμένων. Ἄρα ἀδοκίμου καὶ παιδικῆς διανοίας τὸ μὴ τὰ τῷ Κυρίῳ ἀρέσκοντα αἱρεῖσθαι, οἷα τὰ ἄνω εἰρημένα πάθη. *Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῦ σκότους.*] Ἔργα *σκότους* εἶπε, γενικῶς ὀνομάσας, πᾶσαν ἁμαρτίαν. Διὰ τί δέ, φησιν, οὐκ ἐπεξῆλθον ἑκάστην αὐτῶν ὀνομαστὶ πρᾶξιν; Ὅτι καὶ ἐν αὐτῷ τῷ λέγειν αὐτὰς, αἰσχρότητος πληροῦται, καὶ ὁ ἐπεξιὼν αὐτάς. — *Σκότους* δὲ λέγει, τῶν ἐν πλάνῃ καὶ ἁμαρτίαις ἀνθρώπων.— *Τοῖς ἀκάρποις.*] Ποῖος γὰρ καρπὸς, ποῖον ὄφελος ἐξ ἐκείνων; Θάνατος μὲν οὖν. Καὶ τί λέγω, *Μὴ συγκοινωνεῖτε*; *Μᾶλλον δέ*, φησι, *καὶ ἐλέγχετε*, παιδεύοντες τοὺς τὰ τοιαῦτα πράττοντας διὰ τῶν ἐλέγχων. Τοῦτο δὲ οὐκ ἔστιν ἐναντίον τῷ, *Μὴ κρίνετε* (a)· ὧδε γὰρ τὸ, *ἐλέγχετε*, ἀντὶ τοῦ, *παιδεύετε*, κεῖται· ἐκεῖ δὲ τὸ, *κρίνετε*, ἀντὶ τοῦ, *κατακρίνετε*. Ἄλλο δὲ ἔλεγχος, καὶ ἄλλο κατάκρισις· ὁ μὲν γὰρ, ἐπὶ διορθώσει γίνεται· ἡ δὲ, ἐπὶ μώμῳ καὶ ἐκπομπεύσει. *Ἢ* ΟΥΤΩΣ. *Ἐλέγχετέ*, φησι, τῇ παραθέσει τοῦ οἰκείου βίου· οὐδὲ γὰρ λέγω ἐλέγχειν αὐτοὺς, τὰς πράξεις αὐτῶν ἐπεξιόντας αὐτοῖς καὶ ὀνειδίζοντας· οἶδα γὰρ, ὅτι τοῖς σπουδαίοις καὶ τὸ ὅλως μνημονεύειν αὐτῶν, αἰσχρότης νομίζεται. Οὐδὲν γὰρ ἔλαττόν, φησι, τῶν ὑμετέρων ἔργων ταῖς ἀρεταῖς ἀστραπτόντων ἐλεγχθήσονται, ἢ εἰ διὰ λόγων τίς αὐτοὺς ἀνεκάλυπτεν· ἀλλὰ καὶ μᾶλλον ἅπαντα τὰ ἔργα αὐτῶν διὰ τοῦ φωτὸς τοῦ ὑμετέρου βίου ἐλέγχεται, καὶ ἀποκαλύπτεται, καὶ φανεροῦται. Φανερούμενα δὲ, φωτίζεται καὶ εἰς τὸ ἄμεινον μετάγεται καὶ μεταποιεῖται. Ἡ γὰρ τῶν κρυφίων διὰ τῆς ἐναρέτου πολιτείας φανέρωσις, εἰς κατάγνωσιν προτρέπεται· ἡ δὲ, ἀρχὴ γίνεται ἐπιστροφῆς· αὕτη δὲ εἰς ἐργασίαν ἀρετῆς κατα-

(a) Ματθ. Ζ', 1.

λήγει, ὅπέρ ἐστι φῶς, ὡς πρόξενον τοῦ ἐκεῖθεν φωτός. Καὶ φῶς πάλιν, ὅτι τυφλῶττον ἐν ἡμῖν πρότερον περὶ τὰ πάθη, αὕτη καταλάμψασα τὸ ἡγεμονικὸν, ποιεῖ αὐτὸ καθορᾷν τὴν ἐν τῇ ἁμαρτίᾳ ἀσχημοσύνην, καὶ αἰσχρότητα, καὶ ἀμορφίαν. Τὸ δὲ, *Πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστιν*, ἢ, ὡς εἴρηται, ληπτέον, ἢ κατασκευαστικὸν τοῦ δύνασθαι ἐλέγχειν τοὺς σπουδαίους διὰ τοῦ οἰκείου βίου, τὴν τῶν φαύλων πολιτείαν. Φανεροῦται μὲν γὰρ ὁ τοῦ σπουδαίου βίος, φησί· φανερούμενος δὲ, φῶς ἐστί· φωτὸς δὲ λάμποντος, τὸ σκότος ἐλέγχεται, ὅπέρ ἐστιν ὁ τῶν φαύλων βίος. Ἢ ΟΥΤΩΣ. Ἐλέγχετε αὐτοὶ διὰ τοῦ ὑμετέρου λαμπροῦ καὶ σπουδαίου βίου, καὶ μὴ ἀναμένετε ἐκείνους, ἑαυτοὺς προσαγγέλλειν, καὶ κωμῳδεῖν τὰ οἰκεῖα, καὶ εἰς μέσον ἄγειν, καὶ οὕτω βελτιοῦσθαι. Εἰ γὰρ καὶ πράττουσιν ἃ μὴ θέμις, ἀλλ' οὖν ὑπὸ τῆς ἐμφύτου γνώσεως εἰδότες αὐτῶν τὴν αἰσχρότητα, αἰσχύνονται, καίτοι δέον ἀνακαλύπτειν τὴν ἀσχημοσύνην ἑαυτῶν. (Φωτίου). *Τὰ δὲ πάντα, ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς, φανεροῦται.*] Εἰπὼν, ὅτι φῶς ἐστὲ, τὸ δὲ φῶς ἐλέγχει τὰ ἐν τῷ σκότει γινόμενα, ἐπάγει· Ἂν τοίνυν ἦτε ὑμεῖς ἐνάρετοι, οὐ δύνανται λανθάνειν οἱ πονηροὶ, ἀλλ' αὐτὸς ὑμῶν ὁ βίος, καὶ πρὸ τῶν ὑμετέρων λόγων κατήγορός ἐστι, καὶ ἔλεγχος αὐτῶν. Ἐὰν γὰρ λανθάνωσιν, ἀδιόρθωτοι μένουσι· φανερούμενοι δὲ, διορθωθήσονται. *Πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι.*] Ἢ τοῦτο φησὶν, ὅτι ἡ ἁμαρτία, ἐπειδὰν φανερωθῇ, φῶς γίνεται· (οὐχὶ αὐτὴ ἡ ἁμαρτία, ἀλλ' ὁ ἐργαζόμενος αὐτήν·) τουτέστιν, εἰς δικαιοσύνην τρέπεται ἐκ μετανοίας· ἢ ὅτι ὁ ἐνάρετος ὑμῶν βίος οὐ δύναται κρυβῆναι· διὸ ἐλέγχει τὸ σκότος, τουτέστι, τοὺς πονηρούς. *Διὸ λέγει· Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν.*] *Καθεύδοντα* καὶ *νεκρὸν*, τὸν ἐν ἁμαρτίαις λέγει· καὶ γὰρ ἀνενέργητός ἐστι πρὸς τὸ ἀγαθὸν, καὶ δυσωδίας γέμει, καὶ εἰδεχθής ἐστιν, ὡς ὁ νεκρὸς, καὶ ὀνειρώττει, καὶ φαντάζεται τὰ ἀνυπόστατα, ὡς ὁ καθεύδων. *Καὶ ἐπιφαύσει σοι ὁ Χριστός.*]

ὅτι δὲ σκότος ἐστὶν ὁ ἐν ἁμαρτίαις, ἄκουσον πῶς αὐτὸν καθεύδοντα καὶ νεκρὸν ἡ γραφὴ καλεῖ, καὶ ὡς οὐκ ἂν ἄλλως *ἐπιφαύσειεν*, τουτέστιν, ἐπιλάμψειεν αὐτῷ ὁ Χριστὸς, πλὴν εἰ μὴ παύσηται τῆς ἁμαρτίας· τὸ γὰρ *ἔγειραι*, παῦσον ἐστί. Ταῦτα δὲ καὶ πρὸς ἀπίστους, καὶ πρὸς πιστοὺς ἁμαρτωλοὺς ἁρμόζει. — Ὅτι τὸ φανερούμενον καὶ ἀνακαλυπτόμενον φῶς γίνεται, μαρτυρεῖ καὶ ἡ χρῆσις. *Ἔγειραι* γάρ, φησιν, *ὁ καθεύδων*, οἷον, διανάστηθι ἀπὸ τῆς πρὸς τὰ πάθη κατακλίσεως καὶ προσεδρείας, *καὶ ἀνάστα ἐκ τῶν νεκρῶν*· τουτέστιν, ἔασον αὐτὰ νεκρὰ καὶ αἰσχρὰ, καθὼς εἰσι, φανερωθῆναι. Καὶ ἂν ταῦτα γένηται, *ἐπιφαύσει σοι* τότε, καὶ φωτίσει, καὶ καταυγάσει σε *ὁ Χριστός*. Ὥστε τὸ φανερούμενον, φῶς γίνεται, καὶ φωτίζεται (Φωτίου). (1).

15 Βλέπετε οὖν, πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς
16 ἄσοφοι, ἀλλ' ὡς σοφοί· ἐξαγοραζόμενοι τὸν και-
17 ρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ
γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες, τί τὸ θέλημα
18 τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν
19 ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, λαλοῦντες
ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματι-
καῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν
20 τῷ Κυρίῳ· εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων,
ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ
21 θεῷ καὶ πατρί· ὑποτασσόμενοι ἀλλήλοις ἐν φό-
βῳ θεοῦ.

Βλέπετε οὖν, πῶς ἀκριβῶς περιπατεῖτε.] Καὶ ἔτι τὴν πικρίαν καὶ τὴν ὀργὴν ἐκκαθαίρει, ὡς ἂν εἰ λέγων αὐτοῖς, ὅτι πρόβατά ἐστε ἐν μέσῳ λύκων· πολλοὶ πρὸς ὑμᾶς ἀγριαίνουσι, καὶ οἱ οἰκειότατοι. Διὸ πολλῆς παραφυλακῆς χρεία, μὴ ἀναδέξα-

(1) « Ἰστέον μέντοι, ὡς οὐ γραφική ἐστιν αὕτη ἡ μαρτυρία· οὐδαμοῦ γὰρ αὐτὴν παρὰ τῇ θείᾳ Γραφῇ κειμένην εὑρίσκομεν. Τινὲς δὲ τῶν ἑρμηνευτῶν ἔφασαν, πνευματικῆς χάριτος ἀξιωθέντας τινὰς, ψαλμοὺς συγγράψαι· καὶ τοῦτο αἰνίττεσθαι τὸν θεῖον ἀπόστολον ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ, Ἕκαστος ὑμῶν ψαλμὸν ἔχει (Α΄ Κορ. ΙΔ΄, 26.)». Θεοδώρητος.

σθαι ἔχθρας, πλὴν διὰ τὸ κήρυγμα. *Μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί.*] Οἱ γὰρ σοφοὶ ἴσασι, πῶς δεῖ περιπατεῖν. *Ἐξαγοραζόμενοι τὸν καιρόν.*] Πάντα γὰρ δεῖ, φησὶ, προΐεσθαι, καὶ ἀγοράζειν τὸ μὴ περὶ τὴν πίστιν ναυαγῆσαι. Ἢ ΟΥΤΩΣ. Ὁ καιρὸς οὐκ ἔστιν ἡμῖν βέβαιος· πάροικοι γάρ ἐσμεν· ἀγόρασον οὖν αὐτὸν, καὶ ποίησον ἴδιον. Πῶς δὲ τοῦτο ἔσται; Διὰ τοῦ ἐν αὐτῷ εὐαρεστῆσαι τῷ Θεῷ. Τότε γὰρ οὗτος ἴδιος γίνεται, ὅτε αἱ ἐν αὐτῷ καλαὶ πράξεις ἐπακολουθοῦσιν, ἐκεῖ δοξάζουσαι, ὥσπερ αἱ κακαὶ κατακρίνουσαι (1). *Ὅτι αἱ ἡμέραι πονηραί εἰσιν.*] Οὐχ αἱ ἐν αὐταῖς ὧραι ἢ οἱ χρόνοι πονηροί εἰσιν, μὴ γένοιτο! ἀλλ' ἐκ τῶν ἐν αὐταῖς παρ' ἡμῶν γινομένων κακῶν, τὰς ἡμέρας πονηρὰς ἐκάλεσεν· ὡς καὶ ἡμεῖς λέγομεν, Καλὴν, ἢ, Κακὴν ἡμέραν, οὐ τοῦτο λέγοντες, ὅτι αὐτὴ ἡ φύσις τῆς ἡμέρας καλὴ ἢ κακή· ἀλλ' ἐκ τῶν ἡμῖν συμβαινόντων, οὕτως αὐτὴν ὀνομάζοντες. Διὰ τοῦτο καὶ ὁ Χριστός φησιν· *Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς* (α)· τουτέστι, τὰ ἐν αὐτῇ παρ' ἡμῶν γινόμενα κακά. *Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες.*] Ἐπειδή, φησιν, ἡ πονηρία ἀνθεῖ, καὶ ἐπικρατεῖ τοῦ παρόντος βίου καὶ τῶν ἡμερῶν, *μὴ γίνεσθε ἄφρονες*, ὥστε ἁλίσκεσθαι αὐτῇ. *Ἀλλὰ συνιέντες.*] *Συνιέντες περιπατεῖτε*· (ἀπὸ κοινοῦ γὰρ τοῦτο·) ὥσπερ καὶ τὸ, *πληροῦσθε*, πάλιν ἐστὶν ἀπὸ κοινοῦ ἐκλαβεῖν· πρὸς τὸ, *λαλοῦντες* γὰρ, καὶ, *ᾄδοντες*, καὶ, *ψάλλοντες*, καὶ, *εὐχαριστοῦντες*, ἀποδίδοται, καὶ πρὸς τὸ, *ὑποτασσόμενοι*. *Τί τὸ θέλημα τοῦ Κυρίου.*] *Θέλημα τοῦ Κυρίου*, τὸ τὸν παρόντα καιρὸν ἐξαγοράζεσθαι (2). *Καὶ μὴ μεθύσκεσθε οἴνῳ.*] Καὶ ἔτι τὴν ὀργὴν κολάζει· καὶ γὰρ τοῦ

---

(1) « Οὐ ποικίλους ἡμᾶς εἶναι διδάσκει· ἀλλ' ἐπειδή, φησιν, οὐκ ἔστιν ὑμέτερος ὁ καιρὸς, ἀλλὰ πάροικοί ἐστε καὶ παρεπίδημοι καὶ ἀλλότριοι, μὴ ζητεῖτε τιμὴν καὶ δόξαν, μηδὲ ἐκδίκησιν, ἀλλὰ πάντα φέρετε, κἀν τούτῳ τὸν καιρὸν ἐξαγοράζετε· πάντα κατάθεσθε ὅσα ἂν θέλωσιν.» Θεοφύλακτος.

(α) Ματθ. ϛʹ, 34.

(2) « Ἐπειδή, φησιν, αἱ ἡμέραι πονηροὺς ἀνθρώπους ἔχουσιν, ὑμεῖς, ὡς φρόνιμοι, σπεύδετε μηδεμίαν αὐτοῖς ἀφορμὴν διδόναι. Τοῦτο γὰρ τὸ θέλημα τοῦ θεοῦ, τὸ ἐν πᾶσιν ἀνεπιλήπτους ἑαυτοὺς τηρεῖν μετὰ τοῦ καὶ τὴν πίστιν φυλάττειν.» Θεοφύλακτος.

οἴνου ἡ ἀμετρία ὀργίλους ποιεῖ καὶ θρασεῖς. Ὅτι δὲ τὴν ἀμετρίαν κολάζει, δῆλον· οὐ γὰρ εἶπε, Μὴ πίνετε, ἀλλὰ, Μὴ μεθύσκεσθε· ὁ γὰρ οἶνος, πρὸς εὐφροσύνην, οὐ πρὸς μέθην δέδοται. *Ἐν ᾧ ἐστὶν ἀσωτία.*] *Ἐν ᾧ*, τουτέστιν, ἐν τῷ μεθύσκεσθαι οἴνῳ, *ἐστὶν ἀσωτία*. Οὐ γὰρ σώζει, ἀλλ' ἀπόλλυσιν, οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχήν· καὶ τοῦτό ἐστιν ἡ ἀσωτία. Ἢ ἡ ἄμετρος τοῦ οἴνου χρῆσις, οὐ μόνον θυμώδεις ποιεῖ, καὶ θρασεῖς, καὶ ἀκροσφαλεῖς, ἀλλὰ καὶ πρὸς ἀσέλγειαν ἐπιῤῥεπεῖς. *Ἀλλὰ πληροῦσθε ἐν πνεύματι.*] Θέλεις, φησὶ, πληροῦσθαι καὶ, ὡς εἰπεῖν, μεθύσκεσθαι; Τοῦτο ποίει ἐν τῷ ἁγίῳ πνεύματι, πληρούμενος αὐτοῦ. Ἔσται δέ σοι τοῦτο διὰ ψαλμῶν καὶ ᾠδῶν· ᾠδῶν δὲ πνευματικῶν· εἰσὶ γὰρ καὶ διαβολικαὶ ᾠδαί. *Ἄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.*] Ἄδειν δὲ καὶ ψάλλειν μὴ τοῖς χείλεσι μόνον, ἀλλὰ καὶ κατὰ τὴν καρδίαν (1). Ὅρα δὲ, ὅτι μετὰ τὸ καθαρίσαι τὴν ψυχὴν ἀπὸ τῆς πικρίας καὶ τῶν ἄλλων παθῶν, καὶ εὐσπλάγχνους ποιῆσαι καὶ συγγνωμονικοὺς, τότε τὴν ἐκ τοῦ ἁγίου πνεύματος πλήρωσιν ἡμῖν ὑφηγεῖται· οὐ γὰρ ἁπλῶς ἐπελεύσεται, ἀλλὰ πληρώσει τὴν καρδίαν ἡμῶν. Τοσούτου δὲ ὄντος ἐν ἡμῖν φωτὸς, ῥᾳδία καὶ εὔκολος ἔσται καὶ ἡ λοιπὴ ἀρετή. *Εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων.*] Πάντοτε· οὐ γὰρ ἐν ἀνέσει μόνον, ἀλλὰ καὶ ἐν λύπαις· καὶ οὐχ ὑπὲρ τῶν ἀγαθῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν λυπηρῶν· καὶ ὑπὲρ ὧν ἴσμεν, καὶ ὑπὲρ ὧν οὐκ ἴσμεν· καὶ γὰρ διὰ πάντων εὐεργετούμεθα, κἂν ἀγνοῶμεν. Εὐχαριστέον δὲ τῷ *θεῷ καὶ πατρὶ ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν*· διὰ γὰρ τοῦ ὀνόματος τοῦ Χριστοῦ πάντα ἡμῖν ὑπάρχει. *Ὑποτασσόμενοι ἀλλήλοις ἐν φό-*

---

(1) « Βούλει, φησὶν, εὐφραίνεσθαι; Φεῦγε τὴν ἀπὸ τοῦ οἴνου πλήρωσιν, καὶ θέλησον πληροῦσθαι ἐν πνεύματι ἁγίῳ. Τοῦτο δὲ ἔσται σοι, ἐὰν μάθῃς ψάλλειν· οἱ ψάλλοντες γὰρ πνεύματος πληροῦνται ἁγίου, ὥσπερ οἱ ᾄδοντες τὰς σατανικὰς ᾠδὰς, πνεύματος ἀκαθάρτου· ψάλλειν δὲ ἐν τῇ καρδίᾳ, τουτέστι, μετὰ συνέσεως, καὶ μὴ ῥεμβομένης τῆς καρδίας· ὁ γὰρ προσέχων, ἐκεῖνος ἐν καρδίᾳ ψάλλει.» Θεοφύλακτος.

βῳ θεοῦ.] Ὅταν γὰρ ἕκαστος ἑκάστῳ εἴη ὑποτεταγμένος, καὶ μὴ διά τι πρᾶγμα κοσμικὸν ἢ ἄτοπον, ἀλλὰ διὰ φόβον Χριστοῦ, τί ἔσται λοιπὸν ἐν μέσῳ κακόν;

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Διάταξις οἰκειακῶν καθηκόντων ἀρχομένοις καὶ ἄρχουσιν κατὰ Χριστόν.

22 Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς
23 τῷ Κυρίῳ· ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικὸς,
ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας· καὶ αὐτός
24 ἐστι σωτὴρ τοῦ σώματος. Ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.

Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε.] Οὐχ ἁπλῶς καὶ εἰκῆ πολλὴν τὴν σπουδὴν ποιεῖται ὁ Παῦλος ὑπὲρ τῆς συζυγίας, ἀλλ' ἐπειδὴ καὶ ὁ θεὸς ταύτης ἐξ ἀρχῆς ἐφρόντισεν ὑπερβολικῶς. Καὶ ὁ βίος δὲ ἡμῶν διὰ τῶν συζυγιῶν συγκροτεῖται. Φησὶν οὖν, ὅτι αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν. Ἐὰν γὰρ ὦσιν οὗτοι ἐν εἰρήνῃ, πᾶσα ἡ οἰκία εἰρηνεύσει, καὶ πάντες ἀπολαύσουσι τῆς ἔνθεν ὠφελείας. *Ὡς τῷ Κυρίῳ.*] Βαβαὶ, ὑποταγῆς ἐπίτασις! Πῶς οὖν ἀλλαχοῦ φησὶν ὁ Χριστός· Ἐὰν μή τις ἀποτάξηται καὶ γυναικὶ καὶ ἀνδρὶ, οὐ δύναται ἀκολουθῆσαι μοι (α); Καὶ φαμὲν, ὅτι τὸ, ὡς, οὐ πάντως πανταχοῦ ἰσότητα σημαίνει· ἢ τοῦτό φησιν· Ὡς εἰδυῖαι, ὅτι τῷ Χριστῷ ἐστὲ ὑποτασσόμεναι ἐκ τούτου. *Ὅτι ὁ ἀνὴρ ἐστὶ κεφαλὴ τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας.*] Ἀπὸ λογισμῶν συνιστᾷ τὸ δεῖν ὑποτάσσεσθαι

(α) Λουκ. ΙΔ', 26.

τὰς γυναῖκας· καὶ τῆς ἀγάπης ὑπόθεσιν καὶ ἀφορμὴν τίθησι, τὸ τὸν μὲν ἄνδρα τὴν ἀρχικὴν καὶ προνοητικὴν τάξιν ἐπέχειν· κεφαλὴ γάρ ἐστί, φησιν, αὐτῆς καὶ σωτήρ· τὴν δὲ γυναῖκα, τὴν ὑποτακτικήν· σῶμα γάρ ἐστιν· ὥσπερ καὶ ὁ Χριστὸς τῆς ἐκκλησίας ὢν κεφαλὴ, προνοεῖται ταύτης καὶ σώζει. *Καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος.*] *Καὶ αὐτὸς*, ὁ ἀνήρ, ἐστι σωτὴρ τοῦ σώματος αὐτοῦ, τουτέστι, τῆς γυναικός· καὶ γὰρ ἡ κεφαλὴ, σωτηρία ἐστὶ τοῦ λοιποῦ σώματος, μικροῦ τὰς πάσας αἰσθήσεις ἔχουσα ἐν ἑαυτῇ. Πῶς οὖν οὐκ ὀφείλει ὑποτάσσεσθαι τῇ κεφαλῇ τὸ σῶμα, τῇ προνοουμένῃ καὶ σωζούσῃ; *Ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ.*] Τὸ ἅπαν δηλαδὴ πλῆθος· ἐν γὰρ τοῖς καθ' ἕκαστον, ἔνι καὶ ἀνυπότακτος. Ἐντεῦθεν δὲ μαθήσῃ σαφέστερον, ὃ ἀνωτέρω εἶπεν, ὅτι '*Υποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν*, *ὡς τῷ Κυρίῳ*. Ἐπεὶ γὰρ ὀφείλουσιν αἱ γυναῖκες ὑποτάσσεσθαι τοῖς ἀνδράσιν, ὡς ἡ ἐκκλησία τῷ Χριστῷ· ἡ δὲ ἐκκλησία καὶ γυναῖκές εἰσιν· ὡς τῷ Χριστῷ ἄρα τῷ ἀνδρὶ ὑποτάσσεσθαι ὀφείλει ἡ γυνή. *Ἐν παντί.*] Ἆρα ἐν παντὶ κελεύει ὑποτάσσεσθαι; ἆρα καὶ ὅταν εἰς ἀπιστίαν συνωθῇ ὁ ἀνήρ; Ἀλλ' οὐ περὶ ἀπίστων ἀνδρῶν ὁ λόγος νῦν τῷ Παύλῳ, ἀλλὰ περὶ πιστῶν, πρὸς οὓς δηλαδὴ καὶ ἔγραφεν.

25 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς
καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν
26 παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρί-
27 σας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι· ἵνα παρα-
στήσῃ αὐτὴν (1) ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ
ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ'
28 ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Οὕτως ὀφείλουσιν οἱ ἄν-
δρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυ-
τῶν σώματα. Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα,
29 ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρ-
κα ἐμίμησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτὴν,

(1) Παρ' ἄλλοις, αὐτὴν ἑαυτῷ.

30 καθὼς καὶ ὁ Κύριος τὴν ἐκκλησίαν· ὅτι μέ-
λη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐ-
31 τοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. Ἀντὶ τούτου
καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν
μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα
αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν (α).
32 Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς
33 Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. Πλὴν καὶ ὑμεῖς,
οἱ καθ' ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως
ἀγαπάτω, ὡς ἑαυτόν· ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν
ἄνδρα.

Εἶδες, πῶς συνώθησε τὴν γυναῖκα ὁ Παῦλος ὑποτάσσεσθαί σοι ἐν τῷ μέτρῳ, ᾧ καὶ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ· ἄκουε καὶ πῶς σε πάλιν ἀναγκάζει ἀγαπᾷν αὐτὴν, ἀλλ' οὐχὶ δεσποτικῶς προσφέρεσθαι. Θέλεις, φησὶν, αὐτὴν ὑποτετάχθαι σοι ὡς τῷ Κυρίῳ; Ἀγάπα αὐτὴν, ὡς ὁ Κύριος τὴν ἐκκλησίαν· προνόει αὐτῆς, ὡς καὶ ὁ Χριστὸς ἐκείνης. Καὶ πῶς ἠγάπησεν ὁ Χριστὸς τὴν ἐκκλησίαν; *Ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς.* Ὥστε καὶ σὺ, φησὶ, κἂν δέῃ τι παθεῖν ὑπὲρ τῆς γυναικὸς, κἂν ἀποθανεῖν, μὴ παραιτήσῃ. Σὺ μὲν γὰρ ἴσως, εἰς ὑποτεταγμένην καὶ ἀγαπῶσαν ταῦτα ἐπιδείξῃ· ὁ δὲ Χριστὸς, εἰς ἐχθρὰν καὶ ἀποστρεφομένην, καὶ φεύγουσαν. Καὶ ὥσπερ ἐκεῖνος τὴν ἀποστρεφομένην αὐτὸν προσηγάγετο, οὐκ ἀπειλαῖς, οὐδὲ ὕβρεσιν· οὕτω καὶ αὐτὸς, κἂν ἀποστρεφομένην ἴδῃς καὶ θρυπτομένην, τῇ πολλῇ ἀγάπῃ καὶ τῇ προνοίᾳ προσαγαγέσθαι σπεῦδε· κἂν πάθῃς τι ὑπὲρ αὐτῆς, μὴ ὀνειδίσῃς· οὐδὲ γὰρ ὁ Χριστὸς ὠνείδισε τὴν ἐκκλησίαν. *Ἵνα αὐτὴν ἁγιάσῃ.*] Ἄρα οὖν ἄναγνος ἦν, καὶ ἀκάθαρτος, καὶ τοιαύτη, οἵαν οὐν εἰ λάβοις γυναῖκα, οὐκ ἂν οὕτως ἀκάθαρτον λήψῃ· ἀλλ' οὐκ ὠνείδισεν ὁ Χριστὸς τὴν ἐκκλησίαν, οἵαν αὐτὴν οὖσαν· οὐκοῦν μηδὲ σὺ τὴν σαυτοῦ γυναῖκα, κἂν ἀμορφωτάτη ᾖ, κἂν εὐτελής. *Καθαρίσας τῷ*

(α) Γενεσ. Β', 24. Ματθ. ΙΘ', 5.

λουτρῷ τοῦ ὕδατος.] Τουτέστι, τῷ βαπτίσματι· ἀπέλουσε γὰρ αὐτῆς τὴν ἀκαθαρσίαν. *Ἐν ῥήματι.*] Ποίῳ ῥήματι; Ὁ αὐτὸς εἶπε τοῖς ἀποστόλοις· *Βαπτίζοντες αὐτοὺς, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος* (α). *Ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν.*] Οὐχ ἁπλῶς καθαρὰν, ἀλλ' *ἔνδοξον*. Ὥσπερ τοίνυν ὁ Χριστὸς πάντων αἴτιος τῶν ἀγαθῶν τῇ ἐκκλησίᾳ, οὕτω καὶ σὺ κατὰ δύναμιν ἔσο τῇ σῇ γυναικί· καὶ ὥσπερ αὐτὸς σώματος οὐκ ἐπιζητεῖ κάλλος, ἀλλὰ ψυχῆς, οὕτω καὶ σύ. Ἂν γὰρ ψυχῆς κάλλος ἐπιζητῇς παρὰ τῆς γυναικὸς, ταχέως αὐτῇ τοῦτο δημιουργήσεις, καὶ εἰς τοῦτο αὐτὴν ῥυθμίζων, καὶ τῷ Θεῷ, καὶ σαυτῷ καλὴν ἐργάσῃ. *Σπῖλον ἢ ῥυτίδα.*] Διὰ τούτων τὰ ψυχικὰ λέγει πάθη, τὰ δυσειδῆ τὸν ἐντὸς ποιοῦντα ἄνθρωπον. *Σπῖλοι* μὲν οὖν, τὰ πρόσφατα τῶν παθῶν, ἃ καὶ ἀπονίψασθαι ῥᾴδιον, ἃ καὶ μῶμον ἐνεποίει· *ῥυτίδες* δὲ, τὰ τῷ χρόνῳ παλαιωθέντα, ἃ καὶ ἀνάγνους ἐποίει, δυσαπόνιπτα ὄντα. Ἀλλὰ τὸ θεῖον λουτρὸν πάντα ἐκάθηρε, καὶ ἁγίους καὶ ἀμώμους παρέστησεν. *Ὡς τὰ ἑαυτῶν σώματα.*] Οὐχ ὡς εἰς μεῖζον ἐρχόμενος ὑπόδειγμα, τὸ τοῦ οἰκείου σώματος εἴρηκεν· (ὑπερβάλλει γὰρ τὸ κατὰ Χριστὸν πρὸς τὴν ἐκκλησίαν) ἀλλ' ὡς εἰς οἰκειότερον καὶ ἐγγύτερον· ἐκ τούτου γὰρ καὶ *ὀφειλὴν* τὸ πρᾶγμα δείκνυσιν. Εἰ γὰρ σῶμά ἐστι σὸν ἡ γυνή· (ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν·) κατὰ ὀφειλὴν προνοήσεις αὐτῆς, ὡς σαρκός σου. *Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ.*] Τὴν ἐπιτεταμένην, φησὶ, καὶ ἐπιμεμελημένην θεραπείαν προσφέρει πᾶς τῇ ἰδίᾳ σαρκί. Ὥστε καὶ σὺ τῇ γυναικί. *Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν.*] Ὅτι ἐστὶ σὰρξ τοῦ ἀνδρὸς ἡ γυνὴ, ἄκουε του Ἀδὰμ λέγοντος· *Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου (β). Καθὼς καὶ ὁ Κύριος τὴν ἐκκλησίαν.*] Συνεχῶς τῷ τοῦ Χριστοῦ χρῆται πα-

(α) Ματθ. ΚΗ', 19. (β) Γενεσ. Β', 23.

ραδείγματι, πρὸς ἀγάπην τοὺς ἄνδρας ἐκ τούτου παρακαλῶν (1). *Ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ.*] Ὡς εἰ εἶπε· Γνησίως ἐσμὲν ἐξ αὐτοῦ (2). *Ἐκ τῆς σαρκὸς αὐτοῦ.*] *Ἐκ τῆς σαρκὸς αὐτοῦ* λέγων, τὴν ἠκριβωμένην ἕνωσιν καὶ ἀγάπην δηλοῖ. *Καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.*] Ἐπειδὴ γὰρ τὰ ὀστᾶ καὶ τὸ σῶμα χαρακτηρίζει τὸν ἄνθρωπον, διὰ τὴν γνησιότητα φησὶν ἐξ αὐτῶν ἡμᾶς εἶναι. Ἐξ αὐτοῦ δὲ, καθὸ ἀπαρχὴ ἡμῶν ἐστι τῆς δευτέρας πλάσεως, ὥσπερ ἐκ τοῦ Ἀδὰμ, διὰ τὴν πρώτην (3). *Καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ.*] Ἰδοὺ καὶ ἕτερον δικαίωμα ἀγάπης, ὅτι σῶμα ἀλλήλων εἰσίν (4). *Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.*] Τοῦτο ἐκλαμβάνεται μὲν καὶ ἁπλῶς, ἀντὶ τοῦ, *Ἔσονται μία σάρξ*· αἰνίττεται δὲ καί τι ἕτερον· οἷον, ὅτι ἔσονται οἱ δύο εἰς τὸ ἀποτελέσαι μίαν σάρκα, τὸ τέκνον δηλαδή. *Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν.*] Πῶς μέγα; Ὅτι τῷ Χριστῷ ἐξὸν μένειν ἐπὶ τῆς ἰδίας δόξης, ἐταπείνωσεν ἑαυτὸν ἐνανθρωπήσας, ἵνα προσκολληθῇ τῇ ἐκκλησίᾳ, καὶ ἐγένοντο οἱ δύο εἰς πνεῦμα ἕν· ὁ γὰρ κολλώμενός, φησι, τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι (α). [Ἢ, μέγα τι καὶ θαυμαστὸν ᾐνίξατο ὁ μακάριος Μωϋσῆς. Τῷ ὄντι γὰρ μυστήριον, τὸ τοὺς γεννησαμένους, τοὺς ταλαιπωρηθέντας ἐπ' αὐτῷ, τοὺς εὐεργετήσαντας ἀφεῖναι, καὶ προσκολληθῆναι πρὸς τὴν μηδέποτε θεαθεῖσαν, μηδὲ προκατάρξασάν

---

(1) « Πάλιν τῷ Χριστῷ χρᾶται πρὸς ὑπόδειγμα, δεικνύων, ὅτι καὶ ὁ Χριστὸς ἡμᾶς ὡς οἰκείαν αὐτοῦ σάρκα ἠγάπησεν. » Θεοφύλακτος.

(2) « Τουτέστι, γνησιότητα πολλὴν πρὸς αὐτὸν ἔχομεν. » Θεοφύλακτος.

(3) « Ἀπὸ γὰρ τῆς ἡμετέρας γέγονεν ὕλης, ὥσπερ καὶ ἡ Εὔα ἐκ τοῦ Ἀδάμ. Καὶ ὥσπερ ἐκεῖ τοσαύτη ἐγγύτης ἐστὶν, οὕτω καὶ ἐφ' ἡμῶν. Καὶ ἄλλως δὲ ἐκ τῆς σαρκὸς αὐτοῦ ἐσμὲν, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ, ὅτι τε, ὥσπερ ἐκεῖνος ἐκ πνεύματος γεγέννηται ἄνευ συνουσίας, οὕτω καὶ ἡμεῖς ἐν τῷ λουτρῷ· καὶ ὅτι μεταλαμβάνοντες τῶν μυστηρίων, ἐκ τούτου εὐθέως μεταπλαττόμεθα. Συνελόντα οὖν εἰπεῖν, τοῦτό φησιν, ὅτι τὴν ἄκραν οἰκειότητα πρὸς αὐτὸν ἔχομεν. Καὶ γὰρ καὶ κατὰ τὸ ὁρώμενον ἐκοινώνησεν ἡμῖν σαρκὸς καὶ αἵματος, καὶ κατὰ τὸ νοούμενον, αἴτιος τῆς πνευματικῆς ἀναπλάσεως ἡμῖν ἐγένετο, ὥσπερ καὶ ὁ Ἀδὰμ τῇ Εὔᾳ τῆς πλάσεως. » Θεοφύλακτος.

(4) « Ἰδοὺ καὶ ἕτερον δικαίωμα· ὅτι καὶ τοὺς γεννησαμένους τις ἀφεὶς, ἐκείνῃ συμπλέκεται Καὶ οὐκ εἶπε, Συνοικήσει, ἀλλὰ, Προσκολληθήσεται, τὴν ἀδιάσπαστον ἕνωσιν δηλῶν. » Θεοφύλακτος. (α) Α' Κορ. ς', 17.

τινος ἀγαθοῦ. Μέγα ὄντως μυστήριον· τέως μέντοι εἰς Χριςὸν ἐκλαμβάνεται παρ' ἐμοῦ τοῦτό, φησιν, ὡς προφητικῶς περὶ αὐτοῦ λεχθέν. Καὶ γὰρ καὶ αὐτὸς ἀφῆκε τὸν πατέρα, οὐ τοπικῇ μεταβάσει, ἀλλὰ τῇ πρὸς τὴν σάρκα συγκαταβάσει, καὶ ἦλθε πρὸς τὴν νύμφην, τὴν πάντοτε αὐτὸν ἀγνοήσασαν, καὶ ἐγένετο αὐτῇ εἰς πνεῦμα ἕν. Ὁ γὰρ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι (1).] *Πλὴν καὶ ὑμεῖς, οἱ καθ' ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω, ὡς ἑαυτόν.*] Ὡς εἰ ἔλεγεν· Τὰ τοῦ κατὰ ἀναγωγὴν νοήματος, εἰς κοινότητα ὁρᾷ, τουτέςι, τὴν ἐκκλησίαν· πλὴν, εἰ καὶ ἀναγωγικῶς ἐξελαβόμην, ταῦτα ὅμως καὶ διὰ τὴν γυναῖκα εἴρηνται· καὶ ἡ ἀναγωγὴ τοῦ ὀνόματος καὶ ἡ πνευματικὴ ἐξήγησις, οὐκ ἀνατρέπει τὸ ἰδικόν· δύναται γὰρ καὶ πνευματικῶς καὶ ἰδικῶς ἑρμηνεύεσθαι (2) *Ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.*] Ἐπειδὴ οἶδεν, ὅτι ἡ ἰσοτιμία ἀκαταστασίας ὑπόθεσις γίνεται, διὰ τοῦτο τὸν φόβον εἰσάγει, ἵνα μία ἀρχὴ ᾖ, ὁ ἀνήρ. *Φόβον* δὲ ἐνταῦθα, τὴν ἐπιτεταμένην εὐλάβειαν καὶ συστολὴν λέγει. Ἐκ τοῦ τοιούτου φόβου καὶ ἡ ἀγάπη συγκροτηθήσεται, καὶ αὐτὴ πάλιν αὐτὸν συγκροτήσει. Ἀγαπήσει μὲν γὰρ ἡ γυνὴ τὸν ἄνδρα, ὡς μέλος· φοβηθήσεται δὲ, ἤτοι τιμήσει, ὡς κεφαλήν. Τί οὖν ἂν μὴ φοβῆται ἡ γυνή; Σύ ἀγάπα, τὸ σαυτοῦ ποίει. Ὁμοίως καὶ ἡ γυνὴ, κἂν μὴ ἀγαπᾶται, ὅμως δὲ φοβείσθω. Τί δήποτε δὲ περὶ τῆς ἀγάπης πολλὰ διαλεχθεὶς, περὶ τοῦ φόβου οὐχ οὕτως ἐποίησεν; Ὅτι προηγουμένως τὴν ἀγάπην κρατεῖν δεῖ· οὕτω γὰρ καὶ ὁ φόβος ἕψεται. Τὸ δὲ, *φοβεῖσθαι*, νόει, ὡς πρέπει γυναῖκα φοβεῖσθαι, μὴ δουλοπρεπῶς.

ΚΕΦ. VI, 1 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν
2 ἐν Κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον. Τίμα τὸν πα-
τέρα σου καὶ τὴν μητέρα· (ἥ τις ἐστὶν ἐντολὴ πρώ-
3 τη ἐν ἐπαγγελίᾳ·) ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ

(1) Ἐκ τοῦ Θεοφυλάκτου. (2) « Καὶ οὐκ ἀνατρέπει ἡ ἀλληγορία τὴν κατὰ τὸ γράμμα σχέσιν τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα. Ὀφείλει γὰρ ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἀγαπᾷν καὶ θάλπειν, ὡς ἑαυτόν. » Θεοφύλακτος.

4 **μακροχρόνιος ἐπὶ τῆς γῆς (α). Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.**

Καθάπερ τις σῶμα πλάττων, πρῶτον μὲν τὴν κεφαλὴν, ἔπειτα τὸν αὐχένα, εἶτα τελευταῖον τοὺς πόδας τίθησιν· οὕτω καὶ ὁ Παῦλος εἶπε περὶ τῆς πρώτης ἀρχῆς, τῆς κατὰ τὸν ἄνδρα, εἶπε καὶ περὶ τῆς γυναικὸς, τῆς δευτέρας ἀρχῆς· λέγει νῦν καὶ περὶ τῆς τρίτης ἀρχῆς, τῶν τέκνων· τῆς μὲν γὰρ γυναικὸς ὁ ἀνὴρ μόνος ἄρχει· τῶν δὲ παίδων καὶ ἡ γυνή. Ὑπακούετε οὖν, φησὶ, τοῖς γονεῦσιν ὑμῶν, ἀλλ' *ἐν Κυρίῳ*, τουτέστι, κατὰ Κύριον, ἐν οἷς δηλαδὴ μὴ βλάπτεται ἡ εὐσέβεια. Ἐπεὶ, ἐὰν προστῆσαι βούληται ὁ πατὴρ τὴν θυγατέρα, ἢ αἰσχρὰν διδάξαι τέχνην τὸν υἱὸν, ἢ πρὸς ἑλληνισμὸν ἀγαγεῖν, οὐ κατὰ Κύριόν ἐστι τὸ πρόσταγμα, οὐδὲ ὑπακούειν δεῖ. *Τοῦτο γάρ ἐστι δίκαιον.*] Καὶ φύσει δίκαιόν ἐστι, φησὶ, τοῦτο, καὶ ὑπὸ τοῦ νόμου προστάσσεται. Πῶς δέ φησιν· *Ἥτις ἐστὶν ἐντολὴ πρώτη*, καίτοι οὐκ ἔστιν αὕτη πρώτη; ἔστι γὰρ πρώτη, Οὐ φονεύσεις, Οὐ μοιχεύσεις. Ἀλλ' ὅρα τί προστέθεικεν, *ἐν ἐπαγγελίᾳ*· ἐκεῖναι γὰρ αἱ πρῶται, οὐκ ἔχουσιν ἐπαγγελίας καὶ ἀντιμισθίας· ἀναχωρήσεις γάρ εἰσι κακῶν, οὐκ ἀγαθῶν ἐργασίαι· οὐδεὶς δὲ μισθὸς τῷ τοῦ κακοῦ ἀπεχομένῳ. Αὕτη τοιγαροῦν, κατὰ τὸν τῆς ἐπαγγελίας λόγον ἐστὶ πρώτη· ἀγαθοῦ γάρ ἐστιν ἐργασία. Θαυμαστὴ δὲ ἡ τάξις. Ἐπειδὴ γὰρ ἀπήγαγε τῶν πονηρῶν πράξεων ὁ νομοθέτης τοὺς ἀνθρώπους, μέλλων εἰς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἐμβιβάζειν, πρώτην διετάξατο τὴν εἰς τοὺς γονέας τιμήν. Ἐπειδὴ γὰρ αὐτοὶ μετὰ θεὸν πρῶτοι εὐεργέται ἡμῖν, ἅτε τοῦ ζῆν αἴτιοι, εἰκότως πρῶτοι τῶν ἡμετέρων ἀπολαύουσι καρπῶν. *Ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.*] Ὅρα σοφίαν! Ἐπειδὴ πρὸς νηπίους ὁ λόγος αὐτῷ· (πρὸς γὰρ τὰ τέκνα λαλεῖ·)

(α) Ἐξοδ. Κ', 12.

αὐτὴν τὴν κειμένην ἀμοιβὴν εἴρηκε, καὶ οὐδὲν ὑψηλὸν, οὐ περὶ βασιλείας οὐρανῶν, οὐ περὶ μιμήσεως Χριστοῦ, ὅπερ ἐπὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐποίησεν. Τί γὰρ ἡδύτερον παισὶ τῆς μακροχρονίας; Καὶ γὰρ καὶ τοῖς Ἰουδαίοις, ὡς νηπίοις τὰς φρένας, ταῦτα ἐνομοθετήθη· οὐ γὰρ ἴσχυον τελειοτέρων ἀκούειν. *Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν.*] Οὐκ εἶπεν, Ἀγαπᾶτε· τοῦτο γὰρ αὐτοὺς ἡ φύσις καὶ ἄκοντας ἀπαιτεῖ· ἀλλὰ, *Μὴ παροργίζετε*, τουτέστι, Μὴ ἀποκληρονόμους, μὴ ἀποκηρύκτους ποιεῖτε, μὴ φορτικὰ καὶ δούλοις πρέποντα αὐτοῖς ἐπιτάσσετε, καὶ πρὸς αὐτοὺς ἀεὶ δυσχεραίνετε. *Ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.*] Τοῦτο τῆς παραινέσεως τὸ κεφάλαιον· τῶν πνευματικῶν γὰρ ὄντων, καὶ τὰ σαρκικὰ ἀκολουθήσει· τοῦτο γὰρ αὐτοὺς μάλιστα πειθηνίους ποιεῖ (1).

5 Οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, με-
τὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας
6 ὑμῶν, ὡς τῷ Χριστῷ· μὴ κατ' ὀφθαλμοδουλείαν,
ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ,
7 ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς, μετ'
εὐνοίας δουλεύοντες, ὡς τῷ κυρίῳ, καὶ οὐκ ἀνθρώ-
8 ποις· εἰδότες, ὅτι, ὃ ἐάν τι ἕκαςος ποιήσῃ ἀγαθὸν,
τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος,
εἴτε ἐλεύθερος.

Ἐπειδὴ καὶ ἡ τῶν οἰκετῶν ἀρετὴ εἰς σύστασιν τῆς οἰκίας συντελεῖ, οὐδὲ τούτου τοῦ μέρους ἀμελεῖ· τέθεικε δὲ τοὺς δούλους ἐσχάτους· ἐπειδὴ καὶ ἔσχατοί εἰσι τῷ ἀξιώματι. Οὐκέτι δὲ τούτοις ὡς παιδίοις νηπίοις διαλέγεται, ἀλλ' ὡς τελείοις,

(1) « Ἐπὶ τὴν ἀρχὴν καὶ αἰτίαν τῆς ὑποταγῆς ἀνάγει, καὶ δείκνυσι τοῖς πατράσι, πῶς πειθηνίους τοὺς παῖδας ποιήσουσιν. Ἐὰν γὰρ θέλῃς, φησὶν, ὑπακούειν σου τοὺς παῖδας, ἔκτρεφε αὐτοὺς τοῖς θείοις λόγοις· καὶ μὴ εἴπῃς, ὅτι μοναζόντων ἐςὶ τὸ ἀναγινώσκειν τὰς θείας Γραφάς· παντὸς γὰρ χριστιανοῦ τοῦτό ἐστι, καὶ μάλιστα τῶν κοσμικῶν, ὅσῳ καὶ πλείονος βοηθείας δέονται, ὡς ἐν ζάλῳ ὄντες. Ὥστε ὑπὲρ σοῦ γίνεται τὸ ἀκούειν αὐτοὺς τῆς Γραφῆς· μαθήσονται γὰρ ἐκεῖθεν, Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου. » Θεοφύλακτος.

καθὰ προϊόντες δείξομεν. *Κατὰ σάρκα δὲ κυρίοις*, τοῖς προσκαίροις φησίν. Ἐκ τούτου δὲ καὶ παραμυθεῖται αὐτοὺς, πρόσκαιρον ὑποδείξας τὴν δουλείαν, καὶ τῇ σαρκὶ συγκαταλυομένην. *Μετὰ φόβου καὶ τρόμου.*] Ἐπὶ μὲν τῆς γυναικὸς ἁπλῶς εἶπεν· *Ἵνα φοβῆται τὸν ἄνδρα·* ἐνταῦθα δὲ μετ᾽ ἐπιτάσεως· ὁ γὰρ τρόμος ἐπίτασίς ἐστι φόβου. Ἡ μὲν γὰρ γυνὴ, ὁμότιμος τῷ ἀνδρὶ, καὶ ἐλευθέρα· οἱ δὲ δοῦλοι, οὐκ εἰσὶ τῆς αὐτῆς τιμῆς. Εἰ γὰρ καὶ ἀδελφοὶ κατὰ Χριστόν εἰσιν· ἀλλ᾽ ἐπειδὴ καὶ τοὺς ἐλευθέρους ἀλλήλοις ὑποτάσσεσθαι κελεύει, καὶ τὴν γυναῖκα, τῷ ἀνδρὶ, πολλῷ μᾶλλον τοὺς δούλους τοῖς κυρίοις. Οὐδὲ γὰρ δυσγένεια τὸ πρᾶγμά ἐστιν, ἀλλὰ μᾶλλον πρώτη εὐγένεια, τὸ εἰδέναι μετριάζειν καὶ εἴκειν τῷ πλησίον. Καλῶς δὲ τὸ, *ἐν ἁπλότητι τῆς καρδίας·* ἔνι γὰρ καὶ μετὰ φόβου καὶ τρόμου δουλεύειν, ἀλλ᾽ οὐκ ἐξ εὐνοίας, ἀλλὰ κακούργως. *Μὴ κατ᾽ ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι.*] Τουτέστι, μὴ μόνον ὅταν πάρεισιν οἱ δεσπόται καὶ ὁρῶσιν, ἀλλὰ καὶ ἀπόντων αὐτῶν, ἵνα τὰ δέοντα ποιῶσιν. *Ἀλλ᾽ ὡς δοῦλοι τοῦ Χριστοῦ.*] Ἆρα οὖν ὁ ἀνθρωπάρεσκος οὐκ ἔστι δοῦλος τοῦ Χριστοῦ, ὥσπερ καὶ ἀλλαχοῦ λέγει· Εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην (α). *Ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς.*] Ἐπειδὴ ἔνι μὲν καὶ ἐν ἁπλότητι καρδίας καὶ ἀδόλως δουλεύειν, μὴ μέντοι γε ὅση δύναμις πάρεστιν, ἀλλὰ τὸ ὡρισμένον μόνον, διὰ τοῦτο προσέθηκε τὸ, *ἐκ ψυχῆς*, τουτέςιν, ἐκ πάσης τῆς δυνάμεως καὶ προθυμίας. *Θέλημα δὲ θεοῦ*, ἢ τὸ ὑποτάσσεσθαι· τοῦτο γὰρ θέλει ὁ θεὸς, τὴν εὐταξίαν· ἢ ὅτι εἰς ἐκεῖνα ὑποτάσσεσθε οἱ δοῦλοι τοῖς κυρίοις, εἰς ἃ θέλει ὁ θεός. Τυχὸν γὰρ, ὅπερ καὶ ἐπὶ τῶν τέκνων εἴρηται, εἰς αἰσχρά τινα συνωθοῦσιν οἱ δεσπόται, ἢ εἰς ἀσέβειαν, ἅτινα οὐκ εἰσὶ τοῦ θείου θελήματος. *Μετ᾽ εὐνοίας δουλεύοντες, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις.*] Τουτέστι, μετὰ πάσης ἀποδοχῆς, μὴ κατὰ βίαν, ἀλλ᾽ ἐκ προ-

(α) Γαλατ. Α, 10.

αἱρέσεως. *Ὡς τῷ Κυρίῳ δουλεύοντες.*] Αὐτὸς γὰρ ἀναδέχεται τὴν πρὸς τοὺς δεσπότας εὐγνωμοσύνην, ὁ καὶ τὴν εὐταξίαν νομοθετήσας· καὶ ὁ μὴ τούτοις, ὡς χρὴ, δουλεύων, τῷ θείῳ νόμῳ ἀνθίσταται. *Εἰδότες, ὅτι, ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου.*] Ἐπειδὴ εἰκὸς ἦν πολλοὺς τῶν δεσποτῶν, ἀπίστους ὄντας, μηδὲν ἀγαθὸν ποιεῖν τοῖς καλῶς δουλεύουσιν οἰκέταις, μηδ' ἀμείβεσθαι αὐτοὺς τῆς εὐνοίας, φησὶν ὅτι, κἂν μὴ παρὰ τοῦ κατὰ σάρκα δεσπότου λάβῃς τὰς ἀμοιβὰς, παρὰ τοῦ πάντων Δεσπότου ἐκδέχου.

9 Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς, ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες, ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ' αὐτῷ.

Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς.] *Τὰ αὐτά.* Ποῖα; Μετ' εὐνοίας δουλεύετε, καὶ μὴ ὡς ἀνθρωπάρεσκοι. Ἀλλὰ ταῦτα οὐ λέγει φανερῶς, καίτοι τὰ αὐτὰ διανοηθείς. Καὶ γὰρ καὶ οἱ κύριοι δουλεύουσι τοῖς δούλοις· ὅταν γὰρ, ἐκείνων κοιμωμένων καὶ ῥεγχόντων, ὁ δεσπότης περὶ τροφῶν, περὶ ἐνδύματος μεριμνῶν οὐ καθεύδει, ἄρα οὐ δουλεύει; Ἔστι δὲ καὶ ἐπὶ τῶν κυρίων τὸ, *μετὰ φόβου καὶ τρόμου*, ἁρμόσαι, τοῦ πρὸς θεὸν δηλονότι. *Ἀνιέντες τὴν ἀπειλήν.*] Οὐκ εἶπεν, Ἀνιέντες τὴν μάστιγα, ἀλλὰ, *τὴν ἀπειλὴν*, τουτέστιν, Ἀνιέντες καὶ αὐτὴν τὴν ἀπειλήν· πολλῷ γοῦν μᾶλλον τὴν τιμωρίαν· τουτέστι, μηδὲ ἐν ταῖς ἀπειλαῖς γίνεσθε φορτικοὶ, μηδὲ ἐπαχθεῖς. *Εἰδότες, ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς.*] Ὅρα, πῶς φοβεῖ· ᾧ γὰρ μέτρῳ, φησὶ, μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν· μὴ ἀκούσῃς καὶ σύ· *Δοῦλε πονηρέ! πᾶσαν ἐκείνην τὴν ὀφειλὴν ἀφῆκά σοι*, καὶ τὰ τούτων ἑξῆς (α). *Καὶ προσωποληψία οὐκ' ἔστι παρ' αὐτῷ.*] Μὴ νομίσῃς, φησὶν, ὅτι τῶν εἰς τὸν

(α) Ματθ. Ζ', 2. ΙΗ, 32.

δοῦλον γινομένων κακῶν καταφρονεῖ διὰ τὸ τοῦ προσώπου εὐτελές· οὐκ ἔνι γὰρ παρὰ θεῷ δοῦλος καὶ δεσπότης (1).

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ἐν σχήματι ὁπλίσεως περὶ τῆς κατὰ Χριστὸν δυνάμεως.

10 Τὸ λοιπὸν, ἀδελφοί μου, ἐνδυναμοῦσθε ἐν Κυρίῳ,
11 καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε
τὴν πανοπλίαν τοῦ θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς
12 στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ
ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ
πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κο-
σμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς
τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.
13 Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα
δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ
ἅπαντα κατεργασάμενοι στῆναι.

Μετά τὸ διατάξαι τὰ εἰκότα, τοῦτο ἀκόλουθον καὶ ὑπόλοιπον, τὸ *ἐνδυναμοῦσθαι ὑμᾶς ἐν Κυρίῳ*, τουτέστι, τῇ εἰς αὐτὸν ἐλπίδι (2). *Καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.*] Διὰ

---

(1) « Μὴ νομίσῃς, φησὶν, ὅτι, ἐὰν ἀπηνὴς ᾖ τῷ δούλῳ, οὐκ ἐξετασθήσῃ παρὰ τοῦ θεοῦ διὰ τὸ τοῦ προσώπου εὐτελές· ταῦτα γὰρ τῶν ἔξω νόμων, διαφορὰς εἰδότων εὐγενείας καὶ δουλείας· ἀνθρώπων γάρ εἰσι νόμοι· ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ καὶ αὐτὸς δοῦλος εἶ τοῦ αὐτοῦ κυρίου, κἂν εἰς ὁμόδουλον αὐστηρεύων. Ἐπεὶ οὐδὲ ἐξ ἀρχῆς δουλεύειν ἐποίησεν ὁ θεὸς, ἀλλ' ἡ πλεονεξία, ὡς ἐπὶ τῶν αἰχμαλώτων, καὶ ἡ πρὸς τοὺς πατέρας ὕβρις, ὡς ἐπὶ τοῦ Χαναὰν (Γενεσ. Θ', 25.). Πλὴν εἰ καὶ μὴ ὑπὸ θεοῦ γέγονεν, ὅμως τὴν ὑποταγὴν ὁ θεὸς ἐνομοθέτησε διὰ τὴν εὐταξίαν, καὶ ἵνα μὴ αἱμάτων ὁ βίος γέμῃ. » Θεοφύλακτος.

(2) « Στρατόπεδόν ἐστιν ἡ οἰκία ἑκάστου. Διατάξας οὖν τὰς ἀρχὰς πάσας, οὕτως ἐπὶ τὸν πόλεμον ἐξάγει· καὶ γὰρ ὅταν μὴ τὴν οἰκείαν τάξιν ὑπερβαίνωσιν ἕκαστοι, τότε καὶ τὰ τοῦ πολέμου εὖ κείσεται. Ἐπεὶ δὲ πολλὰ ἐπέταξε δοκοῦντα δυσκατόρθωτα, μὴ δείσητέ, φησιν, ἀλλ' ἐν τῇ τοῦ Κυρίου δυνάμει θαῤῥεῖτε. Οὐ γάρ ἐστιν ἰσχὺς ἁπλῶς αὐτῷ, ἀλλὰ κράτος ἰσχύος, τουτέστιν, ἄφατον ἔχει τὴν ἰσχὺν, καὶ πάντων κρατοῦσαν.» Θεοφύλακτος.

γὰρ τῆς αὐτοῦ βοηθείας ἐστὶν ἡμῖν τὸ ἐλπίζειν εἰς αὐτόν· ἰσχυρὸς γάρ ἐστί, φησι, καὶ ἱκανὸς πάντα κατορθῶσαι. *Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ.*] Μετὰ τὸ διοικῆσαι πάντας κατὰ τάξιν, λοιπὸν καὶ ὁπλίζει αὐτοὺς ὡς πρὸς πόλεμον. Τίς δέ ἐστιν ἡ πανοπλία μετ' ὀλίγον διδάξει. *Πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου.*] Ὅρα δὲ, πῶς οὐκ εἶπε, μάχας, ἢ πολέμους, ἀλλὰ *μεθοδείας*, ὅπέρ ἐστι χαλεπώτερον, οἷον, πρὸς τὰς ἐπιβουλὰς, πρὸς τὰς ἐνέδρας, πρὸς τοὺς δόλους· *μεθοδεία* γάρ ἐστι τὸ ἀπατῆσαι καὶ διὰ μηχανῆς ἑλεῖν. Οὐ γὰρ φανερὰ προτίθησιν ὁ ἐχθρὸς τὰ ἁμαρτήματα· οἷον, εἰδωλολατρεῖν φανερῶς οὐ παραινεῖ, ἀλλ' ἑτέρως αὐτὸ κατασκευάζει μεθοδεύων, τουτέστι, πιθανὸν τὸν λόγον ποιῶν, καὶ ἐπικαλύμματι χρώμενος. Διὰ δὲ τοῦ δεῖξαι τὸν ἀντίπαλον δεινὸν ὄντα καὶ ποικίλον, διεγείρει αὐτοὺς, καὶ νήφειν παρασκευάζει. *Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα.*] Ταῦτά φησι, δεικνὺς, ὅτι νήψεως χρεία καὶ γρηγορήσεως πρὸς τὸν πόλεμον, οὐ πτοῆσαι βουλόμενος· ὁ γὰρ διδάσκων τοῦ ἐχθροῦ τὴν δύναμιν, ἀσφαλεστέρους ποιεῖ τοὺς οἰκείους. Οὐ πρὸς τοὺς τυχόντας, φησὶν, ἔχομεν πάλην, οὐδὲ πρὸς ἀνθρώπους ὁμοιοπαθεῖς ἡμῖν καὶ ἰσοδυνάμους. *Ἀλλὰ πρὸς τὰς ἀρχάς.*] Περὶ δαιμόνων λέγει, οὓς ἡμεῖς ἑαυτῶν πεποιήκαμεν ἄρχοντας, ἑκόντες αὐτοῖς ὑποκλινόμενοι· οὐ γὰρ ἔλαχον τοῦ ἄρχειν ἡμῶν, ἀλλὰ πατεῖσθαι ὑφ' ἡμῶν. Ἰδοὺ γάρ, φησι, δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων (α). *Πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας.*] Ἐξουσίαι λέγονται, ὡς διὰ μόνον τῶν παθῶν κατεξουσιάζοντες ἡμῶν· *κοσμοκράτορες* δὲ, ὡς καταχρατοῦντες τῶν τὰ κοσμικὰ φρονούντων· οὐ γὰρ ἕξει περαιτέρω τοῦ κόσμου χώραν. *Κόσμον* οἶδεν ἡ Γραφὴ, τὰς πονηρὰς πράξεις καλεῖν, καὶ τοὺς ταύτας μετιόντας. Οὕτω καὶ ὁ Χριστὸς πρὸς τοὺς μαθητὰς, *Ὑμεῖς οὐκ ἐστέ*, φησι, *ἐκ τοῦ κόσμου τούτου* (β), καίτοι ἦσαν· ἀλλὰ τὰς πονηρὰς πράξεις λέγων,

(α) Λουκ. Ι, 19. (β) Ἰωάν. ΙΕ', 19.

οὕτως εἶπε. *Κοσμοκράτορας* οὖν φησὶ τοὺς δαίμονας, ὡς τῶν πονηρῶν πράξεων καθηγεμόνας. *Τοῦ σκότους τοῦ αἰῶνος τούτου.*] Ἵνα μὴ φοβηθῇς, ἀκούων κοσμοκράτορας, ἐπήγαγε τίνος ἄρχουσι, τῆς πονηρίας, φησί· *σκότος γὰρ τοῦ αἰῶνος τούτου*, τὴν πονηρίαν λέγει, ἥτις ἐν τῷ αἰῶνι τούτῳ φαίνεται καὶ συνίσταται· περαιτέρω δὲ αὐτοῦ οὐ πρόεισι. *Πρὸς τὰ πνευματικὰ τῆς πονηρίας.*] Τουτέστι, τὰ δαιμόνια, τὰ ὄντα ἢ τῆς πονηρίας, οἷον, τοῦ διαβόλου· (ὑπ' αὐτὸν γὰρ τελοῦσιν·) ἢ τῶν πονηρῶν πράξεων καθηγηταί. *Ἐν τοῖς ἐπουρανίοις.*] Ὡς εἰ ἔλεγεν· Ἔστι δὲ ἡμῖν ἡ πρὸς τούτους πάλη, οὐ περὶ μικρῶν τινῶν, ἀλλὰ περὶ μεγάλων, οὐ περὶ ἐπιγείων καὶ φθαρτῶν, ἀλλὰ περὶ τῶν ἐν τοῖς ἐπουρανίοις πραγμάτων, οἷον, βασιλείας οὐρανῶν, καὶ υἱοθεσίας. Τὸ γὰρ, *Ἐν*, ἀντὶ τοῦ, *Ὑπέρ*, ἐστι, καὶ τοῦ, *Διά*· ὡς εἰ ἔλεγε· Διὰ τὰ ἐπουράνια πολεμοῦμεν· διὸ νήφειν χρή. *Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ.*] Ἐπειδή, φησι, χαλεποὶ οἱ ἐχθροί. *Ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ.*] *Ἡμέραν πονηρὰν*, τὸν παρόντα καλεῖ βίον, διὰ τὰ ἐν αὐτῷ γινόμενα πονηρὰ πράγματα, δεικνὺς βραχὺν τὸν τοῦ πολέμου καιρὸν, καὶ ταύτῃ παραμυθίαν αὐτοῖς διδούς (1). *Καὶ ἅπαντα κατεργασάμενοι στῆναι.*] *Ἅπαντα*, οἷον, τὰ πάθη, καὶ τὰς ἀτόπους ἐπιθυμίας, *κατεργασάμενοι*, οἷον, καταπολεμήσαντες, καθελόντες, *στῆναι*, οἱονεὶ νικηφόροι τινὲς καὶ λαμπροὶ τῷ τροπαίῳ. Ἐπειδὴ γὰρ πολλοὶ μετὰ τὸ νικῆσαι, πάλιν ἔπεσον, φησί, *στῆναι*· δεῖ γὰρ μετὰ τὴν νίκην στάσεως, ἵνα μὴ ὁ νικηθεὶς πάλιν ἀναμαχέσηται. Εἰ γὰρ ῥαθυμήσομεν, ἀναζήσει πάντως ὁ νικηθεὶς καὶ νεκρωθεὶς ἐχθρός.

14 Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης,

---

(1) « Ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, τουτέστιν, ἐν τῷ παρόντι αἰῶνι· τοῦτον γὰρ ἡμέραν πονηράν φησιν, ἀπὸ τῶν ἐν αὐτῷ γινομένων κακῶν. Παραμυθεῖται δὲ καὶ ἀπὸ τοῦ δεῖξαι βραχὺν ὄντα τὸν τοῦ πολέμου καιρόν· διὰ γὰρ τοῦ, ἡμέραν, εἰπεῖν, τὸ βραχὺ ἐδήλωσεν. » Θεοφύλακτος.

15 καὶ ὑποδυσάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ
16 εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν
θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέ-
17 λη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν
περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μά-
χαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ·

Ἐν τοῖς τακτικοῖς πρῶτόν ἐστι τὸ εἰδέναι ἑστάναι καλῶς. Διὰ τοῦτο ὁ Παῦλος ἐπὶ πόλεμον προτρέπων, πρῶτον περὶ τῆς στάσεως παραινεῖ, στάσιν ἀπαιτῶν εὔτακτον, καὶ στρατιώταις πρέπουσαν, καὶ ὀρθήν. Ὁ γὰρ τῷ ὄντι ἑστὼς, ὀρθὸς ἕστηκεν, οὐκ ἐπικλινόμενός τινι, ὡς ὅγε μὴ ἑστὼς, οὐδὲ ὀρθός ἐστιν. Εἶτα λοιπὸν καθοπλίζει, καὶ πρῶτον ζώννυσι τὸν στρατιώτην νοητῶς πάντως, καὶ περισφίγγει τὸν διαῤῥέοντα, καὶ διακεχυμένον ταῖς ἐπιθυμίαις καὶ χαμαὶ τοὺς λογισμοὺς συρομένους ἔχοντα, καὶ ἀναστέλλει τῇ νοητῇ ταύτῃ ζώσει. *Τὴν ὀσφῦν ὑμῶν.*] Ὥσπερ ἐπὶ τῶν νηῶν ἡ τρόπις τὸ πᾶν συνέχει, θεμέλιός τις οὖσα, οὕτως ἐφ' ὑμῶν ἡ ὀσφῦς. Οἱ γοῦν ἀποκαμόντες, πολλάκις, ὥσπερ εἴς τινα θεμέλιον, ἐκεῖ τὰς χεῖρας ἐπιτιθέντες, ἐπαναπαύονται. Τὴν τοίνυν ἀρχὴν ἡμῶν πρῶτον συσφίγγει, οἷον τὸν ἐν ἡμῖν τόνον τῆς ψυχῆς, ὃν τροπικῶς, *ὀσφῦν*, ἐκάλεσε· καὶ τοῦτον *τῇ ἀληθείᾳ* περιζώννυσιν· ἡ δὲ ἀλήθεια εἰς πολλὰ νοεῖται· ἀλήθεια δογμάτων· ἀλήθεια βίου χρηστοῦ, ὑποκρίσεως κεχωρισμένου· ἀλήθεια λόγων, τὸ δολερὸν ἀρνουμένων· ἀλήθεια ἐνθυμήσεως, οὐδὲν ἐχούσης τοῦ νόθου καὶ κιβδήλου τῶν δαιμόνων σπόρου. Δύνῃ δὲ καὶ ὡς πρὸς τὸν Χριστὸν ταύτην νοῆσαι, τὸν ὄντως ἀλήθειαν· ἐγὼ γάρ εἰμι, φησὶν, ἡ ἀλήθεια (α)· ὃν καὶ ἐνδύσασθαι, οὐ μόνον περιζώσασθαι τοῖς ἀνθρώποις δεδώρηται· ὅσοι γάρ, φησιν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε (β). Διὰ δὲ τοῦ *περιεζῶσθαι*, τὸ ἀεὶ δεῖν ἡμᾶς ὡπλίσθαι δηλοῖ, ὡς καὶ ὁ Δαυὶδ λέγει· Ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται (γ)· ἀεὶ γὰρ πο-

(α) Ἰωαν. ΙΔ', 6. (β) Γαλατ. Γ', 27. (γ) Ψαλμ. ΡΗ, 19.

λεμούμεθα. *Καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης.*] *Δικαιοσύνην* ἐνταῦθα, τὸν καθόλου φησὶν ἐνάρετον βίον, ὡς ἂν εἰ ἔλεγεν· Ἐνστερνισάμενοι τὰ δίκαια πράγματα. Ὡς γὰρ ὁ θώραξ ἄτρωτον τηρεῖ τὸν ἄνθρωπον, οὕτω καὶ τὸ δίκαιον τὸν τοῦτο ἐνστερνισάμενον. *Θώραξ* δέ ἐστιν, ὁ σιδηροῦς χιτών. *Καὶ ὑποδυσάμενοι τοὺς πόδας.*] Καλῶς κνημῖδας ἡμῖν περιτίθησιν. Ἢ τοῦτο γοῦν φησὶν, ὅτι χρὴ τοὺς πόδας ἡμῶν ἑτοίμους εἶναι πρὸς τὸ εὐαγγελίζεσθαι καὶ κηρύσσειν· Ὡς ὡραῖοι γάρ, φησιν, οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην (α)· ἢ ὅτι ἐν ἑτοίμῳ ὀφείλομεν εἶναι πρὸς τὴν ἔξοδον, καὶ βίον ἔχειν, ὡς τὸ εὐαγγέλιον ὑφηγεῖται. Οἱ μὲν γὰρ πόδες, τοῦ βίου σύμβολον· διὸ καὶ λέγει· *Βλέπετε, πῶς ἀκριβῶς περιπατεῖτε* (β)· *ἑτοιμασία* δὲ *τοῦ εὐαγγελίου*, πράξεις ἀγαθαὶ, αἷς προσέχει καὶ ὁ Κύριος, κατὰ τὸ εἰρημένον· *Τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου* (γ). *Ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης.*] Τὸ γὰρ εὐαγγέλιον, εἰρήνην μὲν πρὸς τὸν θεὸν ποιεῖ, πόλεμον δὲ πρὸς τοὺς δαίμονας. *Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως.*] Τοῦτό ἐστι τὸ, *ἐπὶ πᾶσιν*, ἀντὶ τοῦ, ἐν ἀληθείᾳ, καὶ τῇ δικαιοσύνῃ, καὶ τῇ ἑτοιμασίᾳ τοῦ εὐαγγελίου· πίστεως γὰρ ταῦτα πάντα δεῖται· πίστιν δὲ ἐνταῦθα οὐ τὴν τῆς ἀληθοῦς θρησκείας ἐπίγνωσίν φησιν, ἀλλὰ τὴν ἀδίστακτον, τὴν περὶ τῶν μελλόντων πιςεύειν ποιοῦσαν, ὡς παρόντων, τὴν καὶ τὰ σημεῖα ποιοῦσαν, καὶ οὕτω διάπυρον καὶ θερμὴν, ὡς καὶ ὄρη μεθιστᾷν, περὶ ἧς ὁ Κύριος φησίν· *Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι, καὶ μεταβήσεται* (δ). Ὥσπερ οὖν ὁ θυρεὸς, ἤγουν, ἡ ἀσπὶς, προβέβληταὶ παντὸς τοῦ σώματος, οἷόν τις θύρα φυλάττων καὶ περικλείων αὐτὸ, οὕτω καὶ ἡ ἀδίστακτος πίστις, φυλακή ἐστι τῆς ψυχῆς ὅλης. Ἡ πίστις δέ ἐςι θυρεὸς, οὐ τὰ σοφίσματα· ὁ θυρεὸς σκέπει, ἐκεῖνα δὲ συμπο-

(α) Ἡσ. ΝΒ', 7. Ῥωμ. Ι', 15. (β) Ἐφεσ. Ε', 15. (γ) Ψαλμ. Θ', 38.
(δ) Ματθ. ΙΖ', 20.

δίζουσιν. *Ἐν ᾧ δυνήσεσθε τὰ βέλη τοῦ πονηροῦ, τὰ πεπυρωμένα, σβέσαι.*] *Βέλη τοῦ πονηροῦ*, τὰς ἀτόπους ἐπιθυμίας λέγει, τοὺς τῆς ἀπιστίας λογισμοὺς, καὶ τοὺς πειρασμούς. Καλῶς δὲ τὸ, *πεπυρωμένα*· τοιαῦται γὰρ αἱ ἄτοποι ἐπιθυμίαι. *Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε.*] Τῆς σωτηρίας ὑμῶν, τουτέστι, τῆς ἐλπίδος. Τὸ δὲ, *δέξασθε*, οἷον, φορέσατε καὶ δέξασθε τῇ κεφαλῇ. *Καὶ τὴν μάχαιραν τοῦ πνεύματος.*] Διὰ μὲν τῶν ἄνω ῥηθέντων καθώπλισεν ἡμᾶς ὁ Παῦλος, ὥστε μὴ βλάπτεσθαι ὑπὸ τῶν ἐχθρῶν· νῦν δὲ δίδωσιν ἡμῖν ὅπλα, δι' ὧν αὐτοὶ μᾶλλον βλάπτειν τοὺς ἐχθροὺς ἰσχύσομεν. Ἤτοι οὖν τὸ πνεῦμα αὐτὸ *μάχαιραν πνεύματος* περιφραστικῶς εἴρηκε, διὰ τὸ τομὸν καὶ μεριστικὸν τῶν ἐναντίων ἕξεων· ἢ τὴν πνευματικὴν ζωὴν καὶ πολιτείαν, ἥ τις ὡς μάχαιρα ἐνεργήσει, φησὶ, κατὰ τῶν νοητῶν ἐχθρῶν· ἢ ὅτι τὰ πνευματικά φησι χαρίσματα, ἅπέρ ἐστι διὰ ῥήματος καὶ προστάγματος θεοῦ· ἢ τὸ, *ὅπέρ ἐστι ῥῆμα θεοῦ*, τῷ κάτω συζευκτέον, ἵνα ᾖ οὕτως· Ὅπέρ ἐστι ῥῆμα θεοῦ καὶ πρόσταγμα, τοῦτο ποιεῖτε. Ποῖον; Ἵνα ἦτε διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι. Ἢ κατὰ τὸ ἐνεργεῖν καὶ τέμνειν, τὰ πνευματικὰ χαρίσματα, ῥῆμά ἐστι θεοῦ· τμητικὸν γάρ τὸ ῥῆμα τοῦ θεοῦ. Οὕτω μᾶλλον καὶ ὁ μακάριος Ἰωάννης· διὰ γὰρ ῥήματος θεοῦ ἐπετελεῖτο τὰ χαρίσματα. Πᾶν γὰρ, ὃ ἐὰν αἰτήσητέ, φησιν ὁ Χριστὸς, ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν ὁ πατὴρ (α).

18 Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι
ἐν παντὶ καιρῷ ἐν πνεύματι· καὶ εἰς αὐτὸ τοῦτο
ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει
19 περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι
δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παῤῥησίᾳ (1), γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου,

(α) Ἰωαν. ιϛ΄, 23.

(1) Παρ' ἄλλοις τὸ, ἐν παῤῥησίᾳ, συνάπτεται τῷ ἑπομένῳ, γνωρίσαι, ὡς καὶ παρὰ τῷ Χρυσοστόμῳ, τῷ Θεοδωρήτῳ, τῷ Οἰκουμενίῳ αὐτῷ καὶ τῷ Θεοφυλάκτῳ.

20 ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι, ὡς δεῖ με λαλῆσαι.

Μετὰ τὸ καθοπλίσαι αὐτοὺς μετὰ πάσης ἀσφαλείας, λοιπὸν πῶς δεῖ τὸν βασιλέα καλεῖν, ὥστε ὀρέξαι χεῖρα, διδάσκει. Ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, *δυνήσεσθε σβέσαι*, ἵνα μὴ φυσιωθῶσι, φησὶν, ὅτι δεῖ ὑμῖν τοῦ θεοῦ, καὶ κατορθώσετε τὸ πᾶν μετὰ τῶν εἰρημένων καὶ προσευχόμενοι· οὐχ ἁπλῶς, ἀλλὰ *διὰ πάσης προσευχῆς καὶ δεήσεως*, τῆς μετὰ κλαυθμοῦ, τῆς μετὰ στερνοκτυπίας, τῆς μετὰ γονυκλισίας, καὶ τῶν τοιούτων. Ἀλλὰ καὶ *ἐν παντὶ καιρῷ*, οὐκ ἐν τακταῖς ὥραις· καὶ *ἐν πνεύματι*, τουτέστι, πνευματικὰ αἰτοῦντες, μηδὲν κοσμικόν. Διὰ δὲ τοῦ εἰπεῖν, *προσευχόμενοι διὰ πάσης προσευχῆς*, ἠνίξατο, ὅτι ἐστὶ καὶ προσευχὴν ποιοῦντα μὴ προσεύχεσθαι, ὅταν βαττολογῇ τις. *Καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες.*] Εἴτε παννυχίδας ἐνταῦθα λέγει, εἴτε τὴν νῆψιν τῆς ψυχῆς, ἀμφότερα δεκτά· νηφάλιον γὰρ εἶναι δεῖ τὸν καθωπλισμένον, τὸν παρὰ βασιλεῖ ἑστῶτα. *Ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει.*] Τοῦτο γὰρ ὄντως εὐχὴ, ἡ μετὰ καρτερίας. *Περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ.*] Οὐκ ἄρα ὑπὲρ ἑαυτῶν μόνον προσεύχεσθαι δεῖ. Ὅρα δὲ ταπεινοφροσύνην! Καὶ γὰρ καὶ ἔσχατον ἑαυτὸν τίθησι, καὶ δεῖται τῆς τῶν μαθητῶν εὐχῆς, καὶ ταῦτα ἅλυσιν ὑπὲρ Χριστοῦ περικείμενος· καὶ γὰρ καὶ τὸν Πέτρον, ἐκτενὴς ὑπὲρ αὐτοῦ παρὰ τῆς ἐκκλησίας εὐχὴ γενομένη, ἔλυσε τῶν δεσμῶν (α). *Ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου.*] Καλῶς τὸ, *ἐν ἀνοίξει*· οὐδὲ γὰρ προεμελέτα, τί λαλήσει, Χριστῷ πειθόμενος (β)· ἀλλ' ἐξ ὑπογύου, καὶ ἐν αὐτῷ τῷ ἀνοῖξαι τὸ στόμα ὁ λόγος προήει. Ἐντεῦθεν νοήσεις τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ. *Ἐν παῤῥησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου;*] Ἢ ἵνα ἀπολογήσωμαι *ἐν παῤῥησίᾳ*, ἤτοι μετὰ παῤῥησίας καὶ ἀνδρείας καὶ συνέσεως πολλῆς, ἢ ἵνα ἐν

(α) Πραξ. ΙΒ', 5. (β) Ματθ. Ι', 19.

παῤῥησίᾳ εὐαγγελίζωμαι. *Ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει.*] Ὑπὲρ οὗ εὐαγγελίου πρεσβεύω πρὸς τοὺς ἀνθρώπους, ἵνα αὐτοὺς καταλλάξω τῷ θεῷ· ἀλλ' οὗτοι ἔδεσάν με, καίτοι τοὺς πρέσβεις νόμος μηδὲν πάσχειν κακόν. *Ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι.*] Ἐν δεσμοῖς ἦν, καὶ ἀπολογεῖσθαι ἔμελλεν. Ἡ μὲν οὖν ἅλυσίς, φησι, περιετέθη μοι, ἵνα ἐπιστομίσῃ τὴν παῤῥησίαν· ἡ δὲ ὑμετέρα εὐχὴ ἀνοίξει μοι τὸ στόμα, ἵνα μετὰ παῤῥησίας, καὶ οὕτως, ὡς χρὴ τὸν ὑπὲρ τηλικούτων ἀπολογούμενον, ἀπολογήσωμαι.

21 Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ, τί πράσσω,
πάντα ὑμῖν γνωρίσει Τυχικὸς, ὁ ἀγαπητὸς ἀδελ-
22 φὸς καὶ πιστὸς διάκονος ἐν Κυρίῳ· ὃν ἔπεμψα πρὸς
ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν καὶ
23 παρακαλέσῃ τὰς καρδίας ὑμῶν. Εἰρήνη τοῖς ἀδελ-
φοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ πατρὸς
24 καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ἡ χάρις μετὰ πάν-
των τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν
Χριστὸν ἐν ἀφθαρσίᾳ. Ἀμήν.

Ἅπερ ἦν δογμάτων καὶ παρακλήσεως, αὐτὸς διὰ τῆς ἐπιστολῆς ἐδήλωσε· τὰ δὲ κατ' αὐτὸν, τῷ φέροντι τὴν ἐπιστολὴν Τυχικῷ λαλῆσαι ἐπέτρεψε. *Ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος.*] Εἰ οὖν ἀγαπητὸς, πάντα οἶδεν· εἰ πιστὸς, οὐκοῦν καὶ ἀληθεύσει. Διάκονος δέ ἐστιν *ἐν Κυρίῳ*, τουτέστι, διὰ θεὸν διακονῶν, καὶ ἐν τοῖς θείοις, οὐ διά τι κοσμικὸν, ἢ ἔν τινι τῶν γηΐνων· ἢ, *ὁ ἀδελφὸς ἐν Κυρίῳ*, τουτέστιν, ὁ πνευματικὸς ἀδελφός. *Ἵνα γνῶτε τὰ περὶ ἡμῶν.*] Τοῦτο καὶ τῆς Παύλου ἀγάπης καὶ τῆς ἐκείνων σημεῖον ἦν, τὸ ἐθέλειν παντὶ τρόπῳ γνωσθῆναι αὐτοῖς, ἐν οἷς ἦν. *Καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.*] Ἐπειδὴ γὰρ ἐν ἁλύσεσιν ἦν ὁ διδάσκαλος, ἔχρῃζον οἱ μαθηταὶ παρακλήσεως, τοῦ μὴ καταπεσεῖν ὑπὲρ αὐτοῦ, ὡς ἐν δεινοῖς ὄντος, καὶ ἅλυσιν φοροῦντος. *Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως.*] Ἐπεύχεται αὐτοῖς εἰρήνην καὶ τὴν μετὰ πίστεως ἀγάπην. Τοῦτο δὲ τοιοῦτόν ἐστιν, ἢ ὅτι

ἵνα μὴ ἑτεροδόξους ἀγαπῶσιν, ἀλλὰ μόνους πιστούς· ἢ ὅτι δεῖ καὶ πίστιν ἔχειν αὐτοὺς, ὥστε καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων. Χωρὶς γὰρ πίστεως οὐδέν ἐστι τῆς ἀγάπης κέρδος, μᾶλλον δὲ οὐδ' ἂν γένοιτο ἀγάπη χωρὶς πίστεως· ὅπερ εἶπεν εἰρήνην καὶ ἀγάπην μετὰ πίστεως. *Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἐν ἀφθαρσίᾳ.*] Ἐνταῦθα διεῖλε τὴν εἰρήνην ἀπὸ τῆς χάριτος, ἰδίᾳ θεὶς ἀμφοτέρας, καίτοι πανταχοῦ συνάπτων. Τὸ δὲ, *ἐν ἀφθαρσίᾳ*, ἤτοι, ἐν κοσμιότητι, ἢ *τῶν ἀγαπώντων τὸν Κύριον*, μὴ ἐν πλούτῳ ἢ ἐν δόξῃ, ἀλλ' ἐν τοῖς ἀφθάρτοις, τουτέστι, διὰ τὰ ἄφθαρτα· ἢ ὅτι ἡ εἰς τὸν Χριστὸν ἀγάπη, ἄφθαρτος καὶ ἀμείωτος, μᾶλλον δὲ καθ' ἑκάστην ἐπιδιδοῦσα τὴν ἡμέραν ὀφείλει εἶναι.

Γένοιτο οὖν καὶ ἡμᾶς τὴν πρὸς τὸν Χριστὸν ἀγάπην δεικνύειν διά τε κοσμιότητος βίου, καὶ διὰ τοῦ τὰ ἄφθαρτα ἐκεῖνα ζητεῖν ἀγαθά· καὶ ἁπλῶς, διὰ πάσης τῆς ἐναρέτου πολιτείας, ἥτις ἄφθαρτον τηρεῖ τὴν ψυχὴν, μὴ διαφθειρομένην ἐν ἐπιτηδεύμασι πανηροῖς καὶ ἀνομίαις, ἐν αὐτῷ τῷ Χριστῷ, τῷ ἀφθάρτῳ νυμφίῳ τῶν παρθένων καὶ ἀδιαφθόρων ψυχῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

Τ Ε Λ Ο Σ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ.

Η
ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ῥώμης, ἑωρακὼς αὐτοὺς ἅμα καὶ διδάξας. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Πεμψάντων Φιλιππησίων διακονίαν τῷ Παύλῳ, καὶ τινων περιερχομένων καὶ διαφθειρόντων τὰς ἀκοὰς τῶν ἀκεραιοτέρων, προφάσει τῆς σκιᾶς τοῦ νόμου καὶ τῆς περιτομῆς, καὶ λεγόντων χωρὶς ταύτης μὴ δύνασθαι δικαιωθῆναι, μαθὼν ὁ ἀπόστολος, γράφει Φιλιππησίοις. Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῶν τὴν πίςιν, καὶ σημαίνει μνημονεύειν αὐτῶν. Ἔπειτα διηγεῖται, ὡς ἀπελογήσατο ἐν Ῥώμῃ, καὶ ὅτι τινὲς αὐτῷ βαρεῖς γεγόνασιν ἐν τοῖς δεσμοῖς, φθόνον αὐτῷ κινοῦντες. Ἔπειτα αὐτοὺς προτρέπεται, ἀλλήλους ἀγαπᾷν, ἐξηγούμενος τὴν τοῦ Σωτῆρος φιλανθρωπίαν, ὅτι Θεὸς ὢν, ἄνθρωπος γεγονε δι' ἡμᾶς. Εἶτα περὶ τῆς περιτομῆς καὶ τοῦ παλαιοῦ νόμου διαλαβὼν, ἀποδεικνύει ἀργὴν γεγενῆσθαι λοιπὸν τὴν περιτομὴν, λαμβάνων ἀφ' ἑαυτοῦ τὸ παράδειγμα, καὶ λέγων, ὅτι ταῦτα πάντα ἥγημαι διὰ τὸν Χριςὸν ζημίαν (α). Διὸ καὶ τοὺς μὲν διδάσκοντας ἔτι περιτομὴν, καὶ θέλοντας αὐτοὺς ἀπατῆσαι μεμψάμενος καὶ εἰπὼν, ἐχθροὺς αὐτοὺς εἶναι τοῦ Χριστοῦ, ἀποδέχεται Φιλιππησίους διὰ τὴν πρὸς αὐτὸν τῆς κοινωνίας δόσιν· καὶ προτρεψάμενος πάλιν εἰς τὰ ἤθη αὐτοὺς, τελειοῖ τὴν ἐπιστολήν.

(α) Φιλιπ. Γ', 7.

ΑΛΛΗ.

Οἱ *Φιλιππήσιοι* ἀπὸ πόλεώς εἰσι τῆς Μακεδονίας *Φιλίππων*, οὕτω καλουμένης ἀπὸ τοῦ οἰκιστοῦ, ὑπὸ μητρόπολιν τὴν Θεσσαλονίκην τελοῦντες. Πολλὰ δὲ αὐτοῖς ὁ Παῦλος χρηστὰ μαρτυρεῖ. Ἐν δεσμοῖς δὲ ὤν, ἔγραψε τὴν ἐπιστολήν· μετὰ γὰρ τὴν πρώτην ἀπολογίαν, ἧς ἐμνήσθη ἐν τῇ πρὸς Τιμόθεον, αὖθις ἐδέθη. Ἦσαν δὲ οἱ Φιλιππήσιοι δι' Ἐπαφροδίτου τὰ πρὸς τὴν χρείαν πέμψαντες αὐτῷ, ἅμα δὲ καὶ γνῶναι θέλοντες τὰ κατ' αὐτόν. Ἐπειδὴ δὲ ἐθορυβοῦντο, ἀκούοντες ἐν δεσμοῖς εἶναι τὸν διδάσκαλον, αὐτὸ τοῦτο γράφει αὐτοῖς, διδάσκων, ὅτι τὰ δεσμὰ οὐ θορύβου πρόξενα, χαρᾶς δὲ μᾶλλον ὤφειλεν εἶναι, διὰ τὸ ὑπὲρ Χριστοῦ εἶναι. Συμβουλεύει δὲ αὐτοῖς καὶ περὶ ὁμονοίας καὶ ταπεινοφροσύνης. Καθάπτεται δὲ καὶ τῶν Ἰουδαίων, οἵτινες ἐν σχήματι χριστιανισμοῦ διέφθειρον τὸ κήρυγμα, καὶ κύνας αὐτοὺς καλεῖ, καὶ κακοὺς ἐργάτας. Διαλέγεταί τε αὐτοῖς πολλὰ περὶ ἠθῶν. Μέμνηται δὲ συνετῶς καὶ τῶν πεμφθέντων χρειωδῶν. Μετὰ τιμῆς δὲ φαίνεται γράφων τοῖς Φιλιππησίοις· ἐνάρετοι γὰρ ἦσαν. Ἐνταῦθα ἦν ἡ πορφυρόπωλις· ἐνταῦθα ὁ ἀρχισυνάγωγος ἐπίστευσεν· ἐνταῦθα ἐτυπτήθη μετὰ τοῦ Σίλα ὁ Παῦλος ὑπὸ τῶν στρατηγῶν, οἳ ἐκ συναρπαγῆς αὐτὸν τυπτήσαντες, τέλος ἀπελογήσαντο· ἐνταῦθα ὁ δεσμοφύλαξ πιστεύσας, σὺν τῷ οἴκῳ αὐτοῦ ἐβαπτίσθη. Καὶ ταῦτα πάντα ἀπὸ τῶν Πράξεων μανθάνομεν. Προσμαρτυρεῖ δὲ αὐτοῖς ὁ Παῦλος, οὐ μόνον πίστιν ὀρθὴν καὶ κινδύνους ὑπὲρ αὐτῆς, ἀλλὰ καὶ πρὸς εὐποιΐαν ἐπιρρεπῶς ἔχειν· δι' ἃ πάντα σφόδρα φιλῶν αὐτοὺς καὶ τιμῶν φαίνεται.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ
Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ, τοῖς
οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ διακόνοις·
2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ
Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐνταῦθα ὡς πρὸς ὁμοτίμους ἐπιστέλλων, οὐ τίθησιν αὐτοῦ τὸ τῆς διδασκαλίας ἀξίωμα, τουτέστι, τὴν ἀποστολὴν, ἀλλὰ τῷ κοινῷ πάντων ὀνόματι κέχρηται. *Δοῦλος*, φησὶν, *Ἰησοῦ Χριστοῦ. Πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ.*] Ἐπειδὴ ἦσαν καὶ Ἰουδαῖοι λέγοντες ἑαυτοὺς ἁγίους, ὡς λαὸς ἅγιος, διὰ τοῦτο προσέθηκε τὸ, *ἐν Χριστῷ Ἰησοῦ*· οἱ γὰρ ἐν Χριστῷ Ἰησοῦ ὄντες, ἅγιοι ὄντως εἰσίν· ἐκεῖνοι δὲ, βέβηλοι. *Σὺν ἐπισκόποις καὶ διακόνοις.*] Τί δή ποτε ὧδε τῷ κλήρῳ γράφει, οὐκ ἔχων ἔθος; Ὅτι αὐτοὶ οἱ κληρικοὶ ἦσαν οἱ τὸν Ἐπαφρόδιτον πέμψαντες, ἐπαγόμενον τὰ πρὸς χρείαν τῷ ἀποστόλῳ. *Ἐπισκόπους* δὲ λέγει, οὐκ ἐπειδὴ ἐν μιᾷ πόλει πολλοὶ ἦσαν ἐπίσκοποι, ἀλλ' *ἐπισκόπους* τοὺς πρεσβυτέρους καλεῖ· τότε γὰρ ἔτι ἐκοινώνουν τοῖς ὀνόμασι· καὶ οἱ ἐπίσκοποι, διάκονοι καὶ πρεσβύτεροι ἐκαλοῦντο· καὶ τὸ ἔμπαλιν, οἱ πρεσβύτεροι, ἐπίσκοποι (1).

(1) « Ἐπισκόπους εἶπε τοὺς πρεσβυτέρους· οὐ γὰρ δὴ ἐν μιᾷ πόλει πολλοὶ ἦσαν ἐπίσκοποι· οὔπω γὰρ ἦσαν διακεκριμένα τὰ ὀνόματα· ἀλλὰ καὶ οἱ ἐπίσκοποι, διάκονοι καὶ πρεσβύτεροι ἐκαλοῦντο. Τῷ γὰρ Τιμοθέῳ, ἐπισκόπῳ ὄντι, φησί· « Τὴν διακονίαν σου πληροφόρησον (Β' Τιμ. Δ', 5.)· » καί· « Ὃ ἐδόθη σοι μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου (Α', Τιμ. Δ', 14.), τουτέστι, τῶν ἐπισκόπων· οὐ γὰρ πρεσβύτεροι τὸν ἐπίσκοπον ἐχειροτόνουν. Καὶ αὖ, οἱ πρεσβύτεροι, ἐπίσκοποι ἐλέγοντο, ὡς ἐπισκοποῦντες δηλαδὴ καὶ αὐτοὶ τὸν λαὸν, ὥστε

Χάρις ὑμῖν καὶ εἰρήνη.] Τὸ σύνηθες πρόσρημα προστίθησιν, ἐπευχόμενος αὐτοῖς, ἵνα κεχαριτωμένοι εἶεν, καὶ μὴ ἐπαρθέντες κατ' ἀλλήλων, ἐκπέσωσι τῆς εἰρήνης καὶ τῆς ὁμονοίας· τὰ γὰρ χαρίσματα τοῖς μὴ προσέχουσι τύφου πρόξενα.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Εὐχαριστία ὑπὲρ τῆς Φιλιππησίων ἀρετῆς, καὶ εὐχὴ τελειώσεως.

3 Εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν,
(πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν
5 μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος,) ἐπὶ τῇ κοινω-
νίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας
ἄχρι τοῦ νῦν·

Ἐπειδὴ ἦσαν εἰς ἀρετὴν προκόψαντες, μετὰ εὐχαριστίας τῆς εἰς θεὸν ἐμέμνητο αὐτῶν. *Ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν.*] Ὁσάκις ὑμῶν ἀναμνησθῶ, φησί· (πάντοτε δὲ μέμνημαι ὑμῶν·) εὐχαριστῶ τῷ θεῷ, ὅτι τοσοῦτον εἰς ἀρετὴν ἐπιδεδώκατε· οὐμὴν, ἐπειδὴ οὕτως εὐδόκιμοί ἐστε ἐν τοῖς θείοις, παύομαι δεόμενος·

καθαίρειν καὶ φωτίζειν τοὺς δεομένους.» Θεοφύλακτος. Ἴδ. Πραξ. Κ', 17. 28. Σελ. 175. 177.—«Ἐπισκόπους, τοὺς πρεσβυτέρους καλεῖ· ἀμφότερα γὰρ εἶχον κατ' ἐκεῖνον τὸν καιρὸν τὰ ὀνόματα. Καὶ τοῦτο ἡμᾶς καὶ ἡ τῶν Πράξεων ἱστορία διδάσκει. Εἰρηκὼς γὰρ ὁ μακάριος Λουκᾶς, ὡς εἰς τὴν Μίλητον τοὺς Ἐφεσίων μετεπέμψατο πρεσβυτέρους ὁ θεῖος ἀπόστολος, λέγει καὶ τὰ πρὸς αὐτοὺς εἰρημένα. «Προσέχετε γάρ, φησίν, ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Χριστοῦ (Πραξ. Κ΄, 28.).» Καὶ τοὺς αὐτοὺς καὶ πρεσβυτέρους καὶ ἐπισκόπους ὠνόμασεν. Οὕτω καὶ ἐν τῇ πρὸς τὸν μακάριον Τίτον ἐπιστολῇ.» Διὰ τοῦτο κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην (Τιτ. Α΄, 5.).» Καὶ εἰπὼν ὁποίους εἶναι χρὴ τοὺς χειροτονουμένους, ἐπήγαγε· «Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς θεοῦ οἰκονόμον (Α΄, 7.).» Καὶ ἐνταῦθα δὲ δῆλον τοῦτο πεποίηκε· τοῖς γὰρ ἐπισκόποις τοὺς διακόνους συνέζευξε, τῶν πρεσβυτέρων οὐ ποιησάμενος μνήμην. Ἄλλως τε οὐδὲ οἷόν τε ἦν πολλοὺς ἐπισκόπους μίαν πόλιν ποιμαίνειν. Ὡς εἶναι δῆλον, ὅτι τοὺς μὲν πρεσβυτέρους, ἐπισκόπους ὠνόμασε· τόν δέ γε μακάριον Ἐπαφρόδιτον ἐν αὐτῇ τῇ ἐπιστολῇ, ἀπόστολον αὐτῶν κέκληκεν· «Ὑμῶν γάρ, φησιν, ἀπόστολον, καὶ συνεργὸν τῆς χρείας μου (Φιλιπ. Β΄, 25.).» Σαφῶς τοίνυν ἐδίδαξεν, ὡς τὴν ἐπισκοπικὴν οἰκονομίαν αὐτὸς ἐπεπίστευτο, ἔχων ἀποστόλου προσηγορίαν.» Θεοδώρητος.

ἀλλὰ καὶ δέομαι ὑπὲρ πάντων ὑμῶν, ἵνα ἔτι εὐοδωθῆτε. *Μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος.*] Ἔνι γὰρ καὶ μετὰ λύπης μεμνῆσθαι ἐπὶ τῶν μὴ ἐναρέτων. Ἐκ γὰρ πολλῆς θλίψεως, φησὶν ἀλλαχοῦ, καὶ συνοχῆς καρδίας, ἔγραψα ὑμῖν (α). Ὥςε τὸ μετὰ χαρᾶς μεμνῆσθαι, σημεῖον ἦν τῆς ἐκείνων ἀρετῆς. *Ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον.*] Τί εὐχαριστῶ, φησὶ, τῷ θεῷ; *Ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον.* Μέγα τι ἐνταῦθα καὶ ἀποστολικὸν τῷ ὄντι αὐτοῖς προσμαρτυρεῖ· ὅτι, φησὶν, *ἀπὸ πρώτης ἡμέρας*, ἐξ ἧς ἐπιστεύσατε, *ἄχρι τοῦ νῦν*, πάντα πράττετε πρὸς τὸ κοινωνοί μου γενέσθαι τοῦ εὐαγγελίου. Πῶς δὲ κοινωνεῖτε; Συμπαρόντες ἀεί μοι, φησὶ, τῷ ἀποστέλλειν τὰ πρὸς τὴν χρείαν, καὶ κηδόμενοί μου.—*Ἐπὶ τῇ εἰς τὸ εὐαγγέλιον κοινωνίᾳ ὑμῶν.* Τὸ δὲ, *ἀπὸ πρώτης ἡμέρας*, ἢ ὅτι ἀπὸ πρώτης ἡμέρας, ἀφ᾽ ἧς ἐπιστεύσατε μέχρι τοῦ νῦν, εὐχαριστῶ τῷ θεῷ μου ὑπὲρ πάντων ὑμῶν, μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος· ἢ, ἐπὶ τῇ εἰς τὸ εὐαγγέλιον κοινωνίᾳ ὑμῶν, τῇ ἀπὸ πρώτης ἡμέρας μέχρι τοῦ νῦν διακονουμένῃ. Ἔοικε δὲ τὸ ἐφεξῆς μᾶλλον τῇ προτέρᾳ ἐκδοχῇ συμφωνεῖν. Πῶς γὰρ ἀπ᾽ ἀρχῆς ηὐχαρίστεις, μήπω βεβαιωθέντας ἐπὶ τῇ κοινωνίᾳ ἰδών; Πεποιθώς, φησιν, ὅτι ὁ τοιαύτην πρόθυμον καὶ θέρμης γέμουσαν ἀρχὴν ἐνθεὶς, αὐτὸς καὶ εἰς τελειότητα ἔργου ταύτην προαγάγοι (Φωτίου).

6 Πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν
ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ
7 Χριστοῦ, καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν
ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ
ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ
καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς μου
τῆς χάριτος πάντας ὑμᾶς ὄντας.

Εὐχαριστῶ, φησὶ, τῷ θεῷ ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, *πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν* ποιεῖν,

(α) Β΄ Κορ. Β΄, 4.

αὐτὸς τοῦτο καὶ *ἐπιτελέσει*, τουτέςι, πληρώσει ἄχρι τῆς συντελείας· ἀπὸ γὰρ τῶν παρελθόντων καὶ περὶ τῶν μελλόντων στοχάζομαι. Ὅρα δὲ, πῶς πάντα ἐπὶ τὸν θεὸν ἀνέθηκε, καὶ οὐκ ἐπ' αὐτοὺς μόνους, ἵνα μὴ φρονῶσι μέγα· ὅμως καὶ οὕτως ἐγκώμιον μέγα αὐτοῖς τὸ ὅλως ἰσχύσαι ἐπισπάσασθαι τὸν θεὸν εἰς τὸ ἐνεργεῖν εἰς αὐτούς· τοῦτο γὰρ ἄνευ μεγίστης ἀρετῆς οὐκ ἂν ἐγένετο. *Ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ.*] Τουτέςιν, ἄχρι τῆς παρουσίας τοῦ Κυρίου. Οὐ περὶ ὑμῶν, φησι, μόνον θαῤῥῶ, ἀλλὰ καὶ περὶ τῶν ἐξ ὑμῶν, ἄχρι τῆς συντελείας τοῦ κόσμου (1). Ἢ τὴν ἑκάστου τελευτὴν, *ἡμέραν Ἰησοῦ Χριστοῦ* νόει, τουτέστι, συντέλειαν. *Καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν.*] Πεποιθὼς αὐτὸ τοῦτο, καθώς ἐςι δίκαιον· τουτέστιν· Ἐπειδὴ δίκαιόν ἐστιν ἐμοὶ, τῷ ἀκριβῶς εἰδότι τὰ καθ' ὑμᾶς, τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν. Ποῖον; Ὅτι *ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν*, *ἐπιτελέσει αὐτὸ ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ*. Φρονεῖ γὰρ καὶ λογίζεται, ἀγαθὰ καὶ μεγάλα διανύειν τοὺς μαθητὰς, ὁ μεγάλην σπουδὴν καὶ ἐπιμέλειαν εἰς αὐτοὺς καταβεβληκώς. *Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς.*] Εἶπε τὴν αἰτίαν, καθ' ἣν δίκαιον ἦν αὐτῷ τοῦτο φρονεῖν, ὅτι ὁ ἐναρξάμενος ἐν αὐτοῖς ἔργον ἀγαθὸν θεὸς καὶ πληρώσει. *Διὰ τὸ ἔχειν με*, φησὶν, *ἐν τῇ καρδίᾳ ὑμᾶς*. Ὅσον δὲ ἐγκώμιον τὸ εἶναι ἐν τῇ καρδίᾳ Παύλου, τοῦ μὴ ἁπλῶς οὕτως, ἀλλὰ μετὰ κρίσεως, καὶ τοὺς ἀξίους ἀγαπῶντος! *Ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου.*] Οὐδὲ κατ' ἐκεῖνόν, φησι, τὸν καιρὸν, καθ' ὃν εἰσῄειν εἰς τὸ δικαστήριον ἀπολογησόμενος, ἐξεπέσατέ μου τῆς μνήμης. *Βεβαίωσιν* δὲ *τοῦ εὐαγγελίου*, τοὺς πειρασμοὺς λέγει, καὶ τὰς θλίψεις, καὶ τὰ δεσμά. Καὶ *ἀπολογίαν* δὲ αὐτὰ ταῦτα εἴποις ἄν. Πῶς; Ὅτι ᾑρεῖτο ταῦτα·

(1) « Οὕτω, φησὶ, θαῤῥῶ, ὅτι οὐκ ἐν μόνοις ὑμῖν ὁ θεὸς ἐνεργήσει, ἀλλὰ καὶ ἐν τοῖς ἐξ ὑμῶν, ἄχρι τῆς συντελείας τοῦ κόσμου, » Θεοφύλακτος.

καίτοι ἐξὸν αὐτῷ μὴ ὑπομένειν, ἐβεβαίου τούτοις τὴν ἀνάστασιν, καὶ τὴν ἀνταπόδοσιν. Οὐ γὰρ ἄν, φησι, ταῦτα ὑπομένειν ἠνειχόμην, μὴ ὄντων ἀληθῶν τῶν παρ' ἐμοῦ κηρυσσομένων. Οὐ γὰρ μόνον ἀνιστάμενοι νεκροί, οὐδὲ λεπροὶ καθαιρόμενοι, ἀλλὰ καὶ ἡμεῖς δεσμούμενοι, βεβαιοῦμεν τὸ εὐαγγέλιον. Πῶς; καὶ τίνι τρόπῳ; Ὅτι μυρία πάσχοντες, καὶ μὴ ἐνδιδόντες, ἀλλὰ προθυμότεροι γινόμενοι, ἱκανὴν παρέχομεν ἀπόδειξιν τοῦ ἀληθείας εἶναι κήρυκες, καὶ θείαν τινὰ δύναμιν ἐν ἡμῖν εἶναι, καὶ ταῦτα πάντα ἐξευμαρίζουσαν, καὶ οὐκ ἐῶσαν τῶν πειρασμῶν τὸ πλῆθος περιγενέσθαι τῶν κηρυττόντων· οὐ γάρ ἐστιν ἀνθρωπίνης δυνάμεως, διὰ τοσούτων κρατῆσαι κωλυμάτων. Οὐ τοῖς ἄλλοις δὲ μόνον ταῦτα βεβαίωσις τοῦ εὐαγγελίου, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς· δοκιμωτέρους γὰρ ἡμᾶς ἐργάζεται, καὶ ἰσχυροτέρους μᾶλλον καταφρονεῖν τῶν ἐπιβουλῶν. *Συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας.*] Δείκνυσιν ἐνταῦθα, ὅτι οὐκ ἀκρίτως αὐτοὺς ἀγαπᾷ. Διὰ τί, φησί, μαρτυρῶ ὑμῖν ταῦτα; καὶ διὰ τί ὑμᾶς ἔχω ἐν τῇ καρδίᾳ μου; Ἐπειδὴ *συγκοινωνοί μου τῆς χάριτός ἐστε*, τουτέστι, τῶν θλίψεων καὶ τῶν δεσμῶν· καὶ σπουδάζετε μὴ ἀπολειφθῆναι ἡμῶν ἐν ταῖς θλίψεσιν, ἀλλὰ τῶν ὑπὲρ τοῦ εὐαγγελίου πειρασμῶν κοινωνῆσαι. Ὅτι δὲ χάρις τὰ δεσμά, δῆλον ἐξ οὗ λέγει ὁ Κύριος· *Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται* (α). Συνεθλίβοντο γὰρ αὐτῷ ὡς διδασκάλῳ καὶ πατρὶ πνευματικῷ. Ὅρα δέ, πῶς οὐκ εἶπε, Κοινωνούς, ἀλλά, *Συγκοινωνούς*, δεικνύς, ὅτι καὶ αὐτὸς ἄλλοις ἐστὶ κοινωνός, ὥσπερ ἀλλαχοῦ φησιν· *Ἵνα συγκοινωνὸς γένωμαι τοῦ εὐαγγελίου* (β), τουτέςιν, ἵνα κοινωνήσω τῶν ἐπηγγελμένων καὶ ἀποκειμένων τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἀγαθῶν. — Ἤ, Δίκαιον ἐμοὶ τοῦτο λογίζεσθαι, τῷ τοιαύτην ἔχοντι διάθεσιν περὶ ὑμᾶς, ὥστε μηδὲ ἐν τοῖς δεσμοῖς μου ἐπιλανθάνεσθαι ὑμῶν, ἀλλ'

(α) Β' Κορ. ΙΒ', 9. (β) Α' Κορ. Θ', 23.

ἐγκαρδίους ὑμᾶς ἀεὶ περιφέρειν. Τί δὲ τὸ αἴτιον τοῦ ἐγκαρδίους αὐτοὺς καὶ ἀνεπιλήστους ἔχειν; Ὅτι *συγκοινωνοί μου*, φησὶ, *τῆς χάριτός* εἰσι· *χάριτος* δὲ, ἢ τῆς διὰ πίστεως ἐπιχορηγουμένης αὐτοῖς πνευματικῆς δωρεᾶς, ποικίλως αὐτοῖς ἐνεργουμένης τότε· ἢ ἁπλῶς *χάριτος*, τῆς διὰ τοῦ βαπτίσματος παλιγγενεσίας καὶ υἱοθεσίας. Ἢ, *ἐν τῇ καρδίᾳ ὑμᾶς* εἶπον *ἔχειν*, φησὶ, *συγκοινωνούς μου ὄντας τῆς χάριτος*, *ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου*. Τὸ δὲ, *τῆς χάριτος*, ἀντὶ τοῦ, διὰ τῆς χάριτος· ἄνευ γὰρ θείας χάριτος οὐδεὶς ἀξιοῦται τῆς τοιαύτης κοινωνίας.

8 Μάρτυς γάρ μου ἐστὶν ὁ θεὸς, ὡς ἐπιποθῶ πάντας
9 ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ. Καὶ τοῦτο
προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ
μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει·
10 εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε
εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ,
11 πεπληρωμένοι καρπῶν δικαιοσύνης, τῶν διὰ Ἰησοῦ
Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον θεοῦ.

Μάρτυς γάρ μου ἐστὶν ὁ θεός.] Οὐχ ὡς ἀπιστούμενος μάρτυρα τὸν θεὸν καλεῖ, ἀλλὰ σφόδρα τε ἀληθεύων, καὶ σφόδρα ἀγαπῶν πάντας· πάντες γὰρ ἦσαν ἐνάρετοι· οὐκ ἔχων δὲ παραστῆσαι τοῦτο διὰ λόγου, τῷ θεῷ καταλιμπάνει, τῷ τὰς καρδίας ἐξετάζοντι. Τοῦτο δὲ τοῦ ἀληθεύειν αὐτὸν τεκμήριον· οὐ γὰρ ἂν, εἰ ἐκολάκευεν αὐτοὺς, μάρτυρα τὸν θεὸν ἐκάλεσεν. *Ἐν σπλάγχνοις.*] Τὸ ἐπιτατικὸν τῆς ἀγάπης διὰ τῶν σπλάγχνων ἐσήμανεν. *Ἰησοῦ Χριστοῦ.*] Τουτέστιν, ἐν ἀγάπῃ τῇ διὰ Χριστὸν, ὅτι πιστοί ἐστε. Τοῦτο δέ φησιν, ἵνα μὴ νομίσωσι, διὰ τὸ πέμψαι αὐτῷ τὰ πρὸς χρείαν φιλεῖσθαι παρ' αὐτοῦ. Ἢ, ὅτι ποθῶ ὑμᾶς τοῖς ἐκ τοῦ Χριστοῦ δοθεῖσι μοι σπλάγχνοις. Ἢ, *ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ*, οἷον, οὐκ ἀνθρωπίνοις, οὐδέ τι ἀνθρώπινον πάσχουσιν, ἀλλ' ὅλον κατὰ Χριστὸν Ἰησοῦν διακειμένοις. Μέγα μὲν, τὸ ὑπὸ τοῦ Παύλου

ποθεῖσθαι· τὸ δὲ *ἐν σπλάγχνοις*, μεῖζον· τὸ δὲ καὶ *ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ*, οὐδεμίαν ὑπερβολὴν ἀπολιμπάνει. *Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν περισσεύῃ.*] Καίτοι οὕτως ἀγαπώμενος παρ' αὐτῶν, ὅμως εὔχεται ἔτι μᾶλλον καὶ μᾶλλον φιλεῖσθαι· οὐκ ἔνι γὰρ τῆς κατὰ Χριστὸν ἀγάπης πέρας. Ὅρα δὲ, πῶς ἐπιτατικωτέραις ἐχρήσατο ταῖς λέξεσιν, εἰπὼν, *ἔτι*, καὶ, *μᾶλλον καὶ μᾶλλον*, καὶ, *περισσεύῃ*. Φησὶ δὲ ταῦτα, οὐ μόνον ἵνα αὐτὸν ἀγαπῶσιν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων, ἵνα κἀκείνους ἀγαπῶσιν. *Ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει.*] Τουτέστιν, ἵνα μὴ ἁπλῶς πάντας ἀγαπᾶτε, ἀλλὰ μετὰ δοκιμασίας καὶ γνώσεως καὶ κρίσεως, μή πως ἡ πρὸς αἱρετικοὺς φιλία βλάψῃ ὑμᾶς. *Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα.*] Ἐὰν γάρ, φησι, μετὰ δοκιμασίας καὶ κρίσεως ἀγαπᾶτε, δύνασθε τὸ συμφέρον δοκιμάσαι, καὶ ἐπιγνῶναι, τίνας μὲν χρὴ φιλεῖν, ὅτι τοὺς πιστούς· καὶ τίνας δὲ μὴ, ὅτι τοὺς ἀπίστους καὶ αἱρετικούς. Πῶς οὖν ἀλλαχοῦ φησιν· *Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε* (α); Καὶ φαμὲν, ὅτι πρῶτον μὲν, οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ προσδιώρισεν, *Εἰ δυνατὸν, μετὰ πάντων εἰρηνεύετε*· ἔπειτα δὲ, ἕτερόν ἐστι τὸ εἰρηνεύειν, καὶ ἕτερον τὸ ἀγαπᾷν· τὸ μὲν γὰρ, τὸ μὴ μάχεσθαι· τὸ δὲ ἀγαπᾷν, διάθεσιν ψυχῆς ἀπαιτεῖ, καὶ οἷον σύγκρασιν, καὶ ἤθους ὁμοιότητα· ὅπερ πρὸς αἱρετικοὺς οὐ δεῖ ἐνδείκνυσθαι. *Διαφέροντα* δὲ, τὰ συμφέροντά φησιν. *Ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ.*] Οὐ πρὸς τὸ ἐμὸν συμφέρον ταῦτα λέγω, ἀλλ' ἵνα ὑμεῖς μηδὲν νόθον δόγμα τῷ τῆς ἀγάπης προσχήματι παραδέξησθε. *Εἰλικρινεῖς* δὲ εἶπεν, ὡς πρὸς τὸν Θεόν· *ἀπρόσκοποι* δὲ, ὡς πρὸς τοὺς ἀνθρώπους. Πολλοὺς γὰρ σκανδαλίζει τὸ ἰδεῖν πιστὸν μετὰ ἀπίστου ἢ αἱρετικοῦ φιλίαν ἔχοντα· τὸ δὲ σκανδαλίζειν τινὰ, ὑπὸ τιμωρίαν ἐστίν. Ὥστε πῶς ἐν τῇ ἡμέρᾳ Χριστοῦ εὐ-

(α) Ῥωμ. ΙΒ', 18.

ρεθῆς εἰλικρινὴς, σκανδαλίζων τοὺς ἀδελφούς; *Πεπληρωμένοι καρπῶν δικαιοσύνης.*] Τουτέστιν, ἵνα μετὰ τῆς τῶν δογμάτων ὀρθότητος, καὶ βίον ἀκατάγνωστον ἔχητε. *Δικαιοσύνην* γὰρ, τὴν πᾶσαν ἀρετὴν φησὶν, ἢ τὴν ἐλεημοσύνην ἰδικώτερον. Οὐχ ἁπλῶς δὲ εἶπεν, Ἵνα ἐστὲ δίκαιοι, ἀλλ', Ἵνα ἦτε πεπληρωμένοι ἐν τούτῳ. *Τῶν διὰ Χριστοῦ Ἰησοῦ.*] Ἔστι γὰρ δῆθεν δικαιοσύνη, ἀλλ' οὐ κατὰ Χριστὸν, οἷα ἡ τῶν Ἑλλήνων, οἳ διὰ κενοδοξίαν καὶ ἀνθρωπαρέσκειαν τοῦ δικαίου δῆθεν ἐπιμελοῦνται. *Εἰς δόξαν καὶ ἔπαινον θεοῦ.*] Τοιοῦτοι δὲ εἰ ἐστὲ, φησὶν, εἰς δόξαν θεοῦ τὸ πρᾶγμα ἔσται, οὐκ εἰς δόξαν ἐμήν· οὐ γὰρ διὰ τὸ ἐμὲ τὸν διδάσκαλον δοξασθῆναι, ταῦτα παραινῶ καὶ εὔχομαι· τὸ γὰρ γινόμενον, εἰς δόξαν θεοῦ καὶ ἔπαινον προχωρεῖ, τοῦ καὶ συνεργοῦντος πρὸς τοῦτο.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Διήγησις τῆς ἑαυτοῦ διαγωγῆς ἀγωνιστικῆς, καὶ τῆς προθυμίας.

12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοὶ, ὅτι τὰ κατ'
ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν·
13 ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέ-
σθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς πᾶσι,
14 καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πε-
ποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾷν
15 ἀφόβως τὸν λόγον λαλεῖν. Τινὲς μὲν καὶ διὰ φθό-
νον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν
16 κηρύσσουσιν. Οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν κα-
ταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐπι-
17 φέρειν τοῖς δεσμοῖς μου· οἱ δὲ ἐξ ἀγάπης, εἰδότες,
18 ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. Τί γάρ;
πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ,

Χριστὸς καταγγέλλεται· καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι.

Εἰκὸς ἦν αὐτοὺς, μαθόντας, ὅτι δέδεται, θορυβεῖσθαι, ὡς τοῦ κηρύγματος διὰ τούτου ἐμποδιζομένου. Ταύτην οὖν τὴν ὑπόνοιαν ἀναιρῶν, φησὶν, ὅτι οὐ μόνον οὐκ ἐμποδισμὸς τὰ δεσμά μου γέγονε τοῦ εὐαγγελίου, ἀλλὰ μᾶλλον καὶ εἰς προκοπὴν ἐγένοντο· καὶ λέγει τὴν αἰτίαν. Φιλοῦντος δὲ ἦν, τὸ δηλοῦν τὰ καθ' ἑαυτόν. *Ὥστε τοὺς δεσμούς μου φανεροὺς γενέσθαι.*] Οὔτε γὰρ οἱ δεσμοί μου, φησὶν, οἱ κατὰ Χριστὸν, ἐκρύβησαν, ἀλλὰ δῆλοι γεγόνασιν, *ἐν τε τῷ πραιτωρίῳ ὅλῳ*, τουτέστι, τῷ παλατίῳ (1), καὶ *τοῖς λοιποῖς πᾶσι*, καὶ ἐν τῇ πόλει πάσῃ. Καὶ τί πρὸς τοῦτο; ὅτι, φησὶν, ἐκ τούτου θάρσος γέγονε τοῖς πιστοῖς, καὶ ὁδὸς ἐπιστροφῆς πολλοῖς τῶν ἀπίστων. Τὸ δὲ, *ἐν Χριστῷ*, ἢ τοὺς ἐν Χριστῷ δεσμοὺς, τουτέστι, τοὺς διὰ Χριστὸν, ἵνα ᾖ καθ' ὑπερβατὸν ἡ σύνταξις· ἢ, τοὺς δεσμούς, φησι, τοὺς ἐν Χριστῷ φανεροὺς γεγενημένους· τουτέστιν, εὐδοκίᾳ καὶ οἰκονομίᾳ Χριστοῦ φανερωθέντας. Καὶ γὰρ οὐδὲν ἦν ὃ πάσχων καὶ κατορθῶν Παῦλος, εἰ οὐκ ἀνέφερεν εἰς Χριστόν. Ἢ, ἐκείνων ἐν Χριστῷ οἱ δεσμοὶ φανεροῦνται, τῶν μὴ κατ' ἐπίδειξίν τι πραττόντων, ἀλλ' οὕτω πραττόντων, ὥςε τοὺς ὁρῶντας ὠφελεῖσθαι, καὶ τὸν ἐν οὐρανοῖς δοξάζειν Θεόν. *Καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ*, καὶ ἑξῆς.] Καὶ πρότερον μὲν ἐπαῤῥησιάζοντο· νῦν δὲ, πεποιθότες τοῖς δεσμοῖς μου, περισσοτέρως τολμῶσιν ἀφόβως λαλεῖν τὸν λόγον· θάρσος γὰρ αὐτοὺς ἔλαβε, βεβαιωθέντας διὰ τῶν Παύλου δεσμῶν πρὸς τὴν πίςιν (2). Εἰ γὰρ μὴ θεῖον ἦν, ἔφασκον, τὸ κήρυγμα, οὐκ ἂν ὁ Παῦλος ἠνείχετο ὑπὲρ αὐτοῦ δεδέσθαι. Τοῦτο καὶ

(1) «Τὰ βασίλεια πραιτώριον προσηγόρευσεν· εἰκὸς δὲ ὅτι καὶ οὕτω κατ' ἐκεῖνον ὠνομάζετο τὸν καιρόν· ἀρχὴν γὰρ εἶχεν ἡ Ῥωμαϊκὴ δυναστεία.» Θεοδώρητος.

(2) «Καὶ πρότερον μὲν ἐπαῤῥησιάζοντο· νῦν δὲ περισσότερον, ἐκ τοῦ ἐμὲ ἰδεῖν πλέον παῤῥησιαζόμενον, καὶ ταῦτα δεδεμένον. Ἐπεὶ γὰρ εἶδον ἐμὲ δεδεμένον, ἀνεῤῥώσθησαν κἀκεῖναι εἰς ζῆλον.» Θεοφύλακτος.

ἄνω εἶπεν, *ἐν βεβαιώσει τοῦ εὐαγγελίου*· βεβαίωσις γὰρ τοῦ κηρύγματος, τὰ δεσμὰ τοῦ ἁγίου Παύλου. Ἐπειδὴ δὲ εἶπεν, ὅτι θάρσος οἱ δεσμοὶ αὐτοῦ παρέσχον, μέγα δὲ τὸ ῥῆμα ἐδόκει, ἐπάγει, *ἐν Κυρίῳ*, τουτέστι, διὰ τὸν Κύριον. Εἰ τοίνυν οἱ ἐγγὺς τῶν δεσμῶν μου ὄντες, οὐ ταράττονται, ἀλλὰ μᾶλλον πλεῖον θάρσος δέχονται, πολλῷ μᾶλλον ὑμᾶς χρὴ πεποιθόντας εἶναι. *Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν τὸν Χριστὸν κηρύσσουσιν.*] Ἐπειδὴ γὰρ κατεσχέθη ὁ Παῦλος, πολλοὶ τῶν ἀπίστων, βουλόμενοι εἰς ὀργὴν ἀγαγεῖν τὸν Νέρωνα, εἰς τὸ πάντως αὐτὸν φονεῦσαι, ἐκήρυσσον τὸν Χριστὸν, ἵνα, ἀκούσας ὁ Νέρων τὸ κήρυγμα κατασπειρόμενον, τὸν τούτου αἴτιον Παῦλον ἀποκτείνῃ. Τοῦτο οὖν ἐστι τὸ, *διὰ φθόνον καὶ ἔριν*. Ἢ ὅτι αὐτοὶ τιμᾶσθαι βουλόμενοι, καὶ ὑποσπᾷν τι τῆς δόξης αὐτοῦ· (μεγάλη γὰρ ἦν ἡ τιμὴ τοῦ Παύλου·) καὶ ταῦτα ἄπιστοι ὄντες, ἐκήρυσσον τὸν Χριστόν. *Τινὲς δὲ καὶ δι' εὐδοκίαν.*] Διὰ πίστιν, δι' ἀγάπην, διὰ γνώμην καὶ βουλὴν ἀγαθήν. *Οἱ μὲν ἐξ ἐριθείας.*] Ἐκ φιλονεικίας καὶ φθόνου καὶ ἔριδος. *Οὐχ ἁγνῶς.*] Τουτέστιν, οὐκ ἀπὸ καθαρᾶς καρδίας, οὐδὲ δι' αὐτὸ τὸ καλόν. *Οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου.*] Νομίζοντές, φησιν, ἐκ τούτου εἰς μείζονα κίνδυνον καθιστᾷν με, κατὰ τὰ ἄνω παραγεγραμμένα, καὶ θλίψιν ἐπὶ θλίψει ἐπάγειν· ἀλλ' οὐχ οὕτως ἀπέβαινεν αὐτοῖς τὸ τέχνασμα, ὡς ἐνόμιζον· λαμπρότερον γὰρ ἐκ τούτου τὸ κήρυγμα γίνεται, καὶ ἡ ἐμὴ χαρὰ διὰ τοῦτο μείζων. *Οἱ δὲ ἐξ ἀγάπης.*] Οἱ δέ, φησιν, ἀπὸ ἀγάπης, τῆς εἰς τὸν Κύριον καὶ εἰς ἐμὲ, κηρύττουσιν, *εἰδότες, ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.*] Ἴσασι γάρ, φησιν, ὅτι ἐνετάλθην παρὰ θεοῦ, κηρύξαι τὸ εὐαγγέλιον, καὶ ὅτι εὐθύνας ὑπὲρ τούτου δώσω· ἐπικουφίζει δέ μοι τὰς περὶ τούτου εὐθύνας, τὸ πολλοὺς κατηχῆσθαι, καὶ δεδραμηκέναι τὸ κήρυγμα. Τοῦτο οὖν εἰδότες, φησίν, ἐκεῖνοι, ἵνα μοι τὰς πρὸς τὸν θεὸν εὐθύνας ἐπικουφίσωσι, κατηχοῦσι πολλοὺς, τὸν λόγον κηρύσσοντες. *Τί γάρ;*] Τὸ, *Τί γὰρ*, ἢ, Τί γὰρ ἄλλο, εἰ μὴ

τοῦτο; Οἷον, Τί ἄλλο γὰρ, εἰ μὴ εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι; Τί γὰρ μακρολογῶ; ἢ, τί μοι, φησὶ, μέλει, ποίῳ σκοπῷ τις κηρύσσει, ὁπότε ὀρθῶς κηρύσσει; *Εἴτε προφάσει*, τουτέστιν, ἐριθείᾳ καὶ ὑποκρίσει· ἢ διὰ τὸν πρὸς ἐμὲ φθόνον· *εἴτε ἀληθείᾳ*, τουτέστιν, εὐθύτητι γνώμης, *Χριστὸς καταγγέλλεται;* Ἐκ τούτων τινὲς ἄφρονες ὑπειλήφασιν, ὅτι πάσαις ταῖς αἱρέσεσι πάροδον ἔδωκεν ὁ ἀπόστολος, τῷ εἰπεῖν; *Εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται.* Ἀλλὰ σὺ πρόσχες· πρῶτον μὲν οὐκ εἶπε, Καταγγελλέσθω, ἵνα τοῦτο νομοθετεῖν νομισθείη· ἀλλὰ, *Καταγγέλλεται*, τὸ γινόμενον ἐξηγούμενος. Ἔπειτα δὲ, εἰ καὶ ὡς νομοθετῶν εἰρήκει· (καὶ γὰρ πολλοὶ τῶν αἱρετικῶν παρεποίησαν τὴν Γραφὴν, ὡς ἔχουσαν, *Χριστὸς καταγγελλέσθω*·] οὐδὲ οὕτω πάροδον ταῖς αἱρέσεσι δέδωκε. Πῶς; Ὅτι οὗτοι, περὶ ὧν φησιν, οὐ νόθα δόγματα εἰσῆγον, ἀλλ' ὀρθὰ μὲν ἐκήρυσσον, οὐκ ὀρθῶς δὲ, οὐδὲ εὐθεῖ σκοπῷ, ὡς βουλόμενοι ἢ τιμᾶσθαι, ἢ εἰς μείζονα κίνδυνον τὸν ἀπόστολον ἐμβαλεῖν· οἱ δὲ αἱρετικοὶ, μετὰ τοῦ καὶ διάνοιαν ἔχειν πονηράν· (οἱ γὰρ πλείους καὶ τοῦτο ἔχουσι·) καὶ δόγματα εἰσηγοῦνται νόθα, οἱ μὲν, οὐχ ὁμολογοῦντες τὸν σταυρωθέντα θεόν· οἱ δὲ, δύο λέγοντες ὑποστάσεις μετὰ τὴν ἕνωσιν· οἱ δὲ, ὡς οὐκ ἔλαβε σάρκα ὁμοούσιον ἡμῖν· οἱ δὲ, ἥττονα τοῦ πατρὸς τὸν υἱὸν, καθὸ ἔστι καὶ νοεῖται θεός· οἱ δὲ, σύγχυσιν ἐπὶ τῆς ἁγίας Τριάδος τερατεύονται. *Καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι.*] Ἐκεῖνοι μέν, φησι, πρὸς τὸ λυπῆσαί με ταῦτα ποιοῦσιν· ἐγὼ δὲ χαίρω, ὅτι ὁ Χριστὸς πλέον κηρύττεται. Καὶ τί λέγω, *χαίρω*; Κἂν ἔτι τοῦτο ποιήσωσιν, ἐπὶ πλέον *χαρήσομαι* τὴν αἰώνιον χαράν.

19 Οἶδα γὰρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτη-
ρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ
20 πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδο-
κίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι,
ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ, ὡς πάντοτε, καὶ νῦν με-

γαληνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου.

Τοῦτο.] Ποῖον; Ἢ τὸ δεδέσθαι· ἢ τὸ κηρύσσεσθαι τὸν Χριστὸν παρ' αὐτῶν· ἢ καὶ τὸ ἐπιβουλεύεσθαι παρ' αὐτῶν (1). *Διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος.*] Ὅρα ταπείνωσιν! Ἀπὸ μυρίων κατορθωμάτων ἔχων ὀφειλομένην τὴν σωτηρίαν, ὅμως φησὶν, ὅτι, ἐὰν τῶν ὑμετέρων εὐχῶν ἀξιωθῶ, καὶ δι' αὐτῶν ἐπιχορηγηθῇ μοι πλεῖον τὸ πνεῦμα, ἐντεῦθεν ἔσται μοι ἡ σωτηρία. *Ἐπιχορηγίαν* δὲ λέγει τὴν πλείω ἐπίδοσιν τῆς χάριτος τοῦ πνεύματος. Κατὰ τὴν *ἀποκαραδοκίαν.*] *Ἀποκαραδοκίαν* φησὶ τὴν σφοδρὰν καὶ ἐπιτεταμένην ἐλπίδα, ἣν τίς, καὶ αὐτὴν ἐπικινῶν τὴν κεφαλὴν, δοκεύει καὶ περισκοπεῖ (2). Φησὶ γοῦν, ὅτι ἐλπίζω βεβαίως σωθήσεσθαι. *Σωτηρίαν* δὲ καὶ τὴν ἀπαλλαγὴν τῆς τοῦ Νέρωνος ὠμότητος νοήσεις. Ὥσπερ γάρ, φησι, τὸν πρῶτον κίνδυνον, οὕτω καὶ τὸν παρόντα διαφεύξομαι. *Καὶ ἐλπίδα μου.*] Ἐκ τούτων διδάσκει, μὴ δεῖν ἐπὶ μόναις ταῖς ἑτέρων εὐχαῖς θαῤῥεῖν, εἰ μὴ καὶ οἴκοθεν συνεισενέγκῃ τις, ὥσπερ οὖν καὶ αὐτὸς τὴν ἐλπίδα, τὴν πάντων τῶν ἀγαθῶν αἰτίαν. Τοιγαροῦν, φησι, καὶ ἐγὼ συνεισφέρω τὴν ἐλπίδα, ἧς μεῖζον οὐδέν· ἡ γὰρ ἐλπὶς, φησὶν ἀλλαχοῦ, οὐ καταισχύνει (α)· καί· Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ (β). *Ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι.*] Τουτέστιν, οὔτε ἐν τῷ ζῆν· κηρύττω γάρ· οὔτε ἐν τῷ θανεῖν· οὐ γὰρ περιέσονται οἱ ἐπίβουλοι. Κἂν γὰρ ἀποκτείνωσι, τότε μοι μάλιστα ἡ ἀνεπαίσχυντος δόξα. Ὅμως οὐκ ἔσται οὐδὲ τοῦτο αὐτοῖς. *Ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ, καὶ ἑξῆς.*] Ἐκεῖνοι μέν, φησι, διὰ τοῦ ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλειν, ᾤοντ-

---

(1) « Τὸ αὐξάνεσθαι τὸ κήρυγμα διὰ τῆς πρὸς ἐμὲ ἔχθρας καὶ τοῦ ζήλου » Θεοφύλακτος.

(2) « Ἀποκαραδοκίαν, τὴν βεβαίαν καὶ ἀμετάθετον ἐλπίδα φησὶ, παρὰ τὸ τὴν κάραν ὅλην δοκεῖν καὶ ἐπινεύειν πρὸς τὸ βεβαίως ἐλπιζόμενον.» Θεοφύλακτος.

(α) Ῥωμ. Ε', 5. (β) Ψαλμ. ΛΒ', 22.

τό με ἀναιρεῖν· τὸ δὲ οὐχ οὕτως ἔσται· *ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ*, τουτέστι, σαφῶς, φανερῶς, οὐ συνεσκιασμένως, *καὶ νῦν μεγαλυνθήσεται ὁ Χριστὸς ἐν τῷ σώματί μου*, ὡς πάντοτε, ἐξαιρούμενός με, ὡς ἔθος αὐτῷ, καὶ λυτρούμενος. Εἶτα, ἐπειδὴ τὴν μὲν πρώτην ἀπολογίαν διαφυγὼν, αὖθις δὲ ἀνῃρέθη, φησὶ, μεγαλύνεται ὁ Χριστὸς *εἴτε διὰ ζωῆς*· ἐπειδὴ ἐξήρπασέ με ἐκ τοῦ στόματος τοῦ Νέρωνος· *εἴτε διὰ θανάτου*· ἐπειδὴ ἐνεύρωσέ με, ὥστε δι' αὐτὸν καταφρονῆσαι τοῦ θανάτου. Τοῦτο δέ φησιν, οὐχ ὡς εὐθέως ἀποθανούμενος, ἀλλ' ἀσφαλιζόμενος αὐτοὺς, μὴ θορυβεῖσθαι, τούτου γενομένου· σφόδρα γὰρ αὐτοῦ περιείχοντο (1).—Πάντοτε ἐμεγαλύνετο ὁ Χριστὸς ἐν τῷ Παύλῳ, καὶ ὅτε παρεχώρει αὐτὸν τοῖς δεσμοῖς καὶ ταῖς μάστιξιν ἐνταλαιπωρεῖσθαι, καὶ ὅτε ἐξεῖλκε καὶ ἐλυτροῦτο αὐτόν. Διὰ μὲν γὰρ ἐκείνου, ἐβεβαιοῦτο καὶ ἐκρατύνετο τὸ κήρυγμα, λογιζομένων τῶν ὁρώντων τὰ Παύλου δεσμὰ καὶ τὰς θλίψεις, ὡς εἰ μὴ θεῖόν τι καὶ πανάληθες αὐτοῦ τὸ κήρυγμα, οὐκ ἂν ἑαυτὸν μυρίοις χαίρων ἐξεδίδου κακοῖς, ἐνὸν, παυσάμενον, ἀπαλλάττεσθαι. Διὸ εἰκότως ἐμεγαλύνετο ὁ Χριστὸς, τοῦ κηρύγματος βεβαιουμένου. Πάλιν δὲ, ὅτε ἐξεῖλκε καὶ ἐξήρπαζεν αὐτὸν ἐκ τῶν κινδύνων, αὐτόθεν ἐμεγαλύνετο. Εἰ μὴ γὰρ θεία τις καὶ ὑπὲρ ἄνθρωπον ἦν ἡ ῥυομένη τὸν Παῦλον χάρις, πῶς ἐλύετο τὰ δεσμά; πῶς ἀνεῴγνυντο αἱ θύραι (α); πῶς τὰ μυρία θαύματα ἐκεῖνα ἐγεγόνει; Ἐμαρτύρει οὖν ὁ Χριστὸς δι' ὧν ἐῤῥύετο τῶν κινδύνων Παύλῳ, καὶ Παῦλος πάλιν, δι' ὧν ἐνεκαρτέρει τοῖς πειρασμοῖς, ἐμαρτύρει τῷ κηρύγματι, καὶ δι' ἀμφοῖν ὁ Χριστὸς ἐμεγαλύνετο. Οὕτως οὖν καὶ νῦν φησιν, εἴτε ἐξαιρεῖταί με τοῦ θανάτου, εἴτε μὴ, ὁ Χριστὸς ἐν ἐμοὶ με-

---

(1) « Τὸ, μεγαλυνθήσεται, εἴρηκεν, ἀντὶ τοῦ, Δειχθήσεται ὅς ἐστι, δῆλον αὐτοῦ τὸ τῆς δυνάμεως γενήσεται μέγεθος. Λέγει δὲ, ὅτι, κἂν διαφύγω τοῦ θανάτου τὸν κίνδυνον, κἂν ὑπομείνω τὸν θάνατον, ὁμοίως τὸ δυνατὸν δειχθήσεται τοῦ δεσπότου Χριστοῦ. Ἐὰν μὲν γὰρ κρείττων γένωμαι τῶν κινδύνων, θαυμάσουσιν ἅπαντες τὸν ἐκ τοιούτων με καὶ τηλικούτων ἀρκύων ἁρπάσαντα· εἰ δὲ καὶ ἀναιρεθείην, ἐκπλαγήσονται τοῦ κηρύγματος τὴν ἰσχὺν, ὅτι καὶ θανάτου καταφρονεῖν παρασκευάζει τοὺς κήρυκας. » Θεοδώρητος.

(α) Πραξ. ις', 26.

γαλυνθήσεται· ἐγὼ γὰρ καὶ ζῶν, τῆς ὑπὲρ τοῦ κηρύγματος παῤῥησίας οὐκ ἀποστήσομαι· κἂν δέῃ με τεθνάναι, μετὰ ταύτης τεθνήξομαι (Φωτίου).

21 Ἐμοὶ γὰρ τὸ ζῆν, Χριστὸς, καὶ τὸ ἀποθανεῖν,
22 κέρδος. Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς
23 ἔργου, καὶ, τί αἱρήσομαι, οὐ γνωρίζω· συνέχομαι δὲ
ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι,
24 καὶ σὺν Χριστῷ εἶναι· πολλῷ μᾶλλον κρεῖσσον· τὸ
δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς.
25 Καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαρα-
μενῶ πᾶσιν ὑμῖν, εἰς τὴν ὑμῶν προκοπὴν καὶ χα-
26 ρὰν τῆς πίστεως, ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ
ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας
πάλιν πρὸς ὑμᾶς.

Ἐμοὶ γὰρ τὸ ζῆν, Χριστός.] Ὅπερ ἀλλαχοῦ φησιν· *Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ, τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ ἀγαπήσαντός με* (α)· τοῦτο καὶ νῦν λέγει· αὐτὸν ἔχω ζωήν· οὐδὲ γὰρ ὁ τοῦ κόσμου καταφρονῶν, τὴν κοσμικὴν ἔζη ζωὴν, ἀλλὰ τὴν Χριστοῦ, τουτέστιν, ἣν ὁ Χριστὸς ἠβούλετο. *Καὶ τὸ ἀποθανεῖν, κέρδος.*] *Κέρδος* δὲ τὸ ἀποθανεῖν φησι, διὰ τὸ σὺν Χριστῷ εἶναι καὶ τῶν στεφάνων ἐπιτυχεῖν (1). *Εἰ δὲ τὸ ζῆν ἐν σαρκί.*] Ἵνα μή τις νομίσῃ τὴν παροῦσαν ζωὴν αὐτὸν διαβάλλειν, ὅρα τί φησιν· *Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου*· τουτέστιν· Εἶπον μὲν, ὅτι κέρδος μοι τὸ ἀποθανεῖν· πλὴν ἐπειδὴ καὶ τὸ ζῆν ἐν σαρκὶ, οὐκ ἄκαρπόν μοί ἐστι· (δύναται γάρ τις τῇ ζωῇ χρήσασθαι εἰς καρπὸν ἔργων ἀγαθῶν· καρποφοροῦντες γάρ, φησι, καὶ αὐξανόμενοι (β).) Ἐπεὶ οὖν καὶ τὸ ζῆν πρὸς τὸ καρποφορῆσαι συντελεῖ, οὐκ οἶδα, οὐδὲ γνωρίζω, *τί αἱρήσομαι*, καὶ ἐπιλέξομαι, τὸ ζῆν, καὶ καρ-

(α) Γαλ. Β', 20. (1) « Τὸ δὲ ἀποθανεῖν, κέρδος, ὅτι αὐτῷ [τῷ Χριστῷ] τότε σαφέστερον συνέσομαι. Ὥστε μοι κέρδος προξενήσουσιν οἱ τῆς ἐν τῷ κόσμῳ ζωῆς ἐκβαλεῖν με σπεύδοντες, τῷ Χριστῷ, ὅς ἐστιν ἐμὴ ζωὴ, παραπέμποντές με. » Θεοφύλακτος. (β) Κολοσ. Α', 10.

ποφορεῖν τῷ θεῷ, ἢ τὸ ἀποθανεῖν, καὶ σὺν Χριστῷ εἶναι. Ὅρα δὲ, ὅτι ἔδειξεν ἑαυτὸν κύριον ὄντα τοῦ ζῆν καὶ τοῦ ἀποθανεῖν· εἰ γὰρ βουλοίμην, φησὶν, αἰτήσασθαι τοῦτο τον θεὸν, δώσει χάριν. *Συνέχομαι δὲ ἐκ τῶν δύο.*] Ἐπεὶ οὖν, τί αἱρήσομαι, οὐ γνωρίζω, εἰκότως *συνέχομαι*, τουτέστι, στενοχωροῦμαι, *ἐκ τῶν δύο*, τοῦ τε ἀναλῦσαι, καὶ τοῦ προσμεῖναι τῇ ζωῇ. Εἶτα, ὦ Παῦλε, ὁ τοσοῦτον τὸν Χριστὸν ἀγαπῶν, ὅλως διστάζεις καὶ ἀμφιβάλλεις, τί σε δεῖ αἱρεῖσθαι; Καίτοι ἀναμφίβολόν σοι ὤφειλεν εἶναι, ὅτι καλὸν, τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. Οἶδα, φησὶ, τοῦτο κἀγὼ, ἀμέλει *τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι*· καὶ ταύτην πολλῷ μᾶλλον κρείσσονά μοι οὖσαν εἰδὼς, εἶπον, ὅτι *συνέχομαι ἐκ τῶν δύο*. Διὰ τί δὲ τοῦτο; Διὰ τὴν ὑμετέραν σωτηρίαν, φησὶ, καὶ δι᾽ ὑμᾶς, ὅπερ ἀναγκαιότερον ἡγοῦμαι· ἐπειδὴ οὐ τὸ ἐμὸν σκοπῶ, ἀλλὰ τὸ ὑμῶν συμφέρον. Ὁρᾷς ψυχὴν προτιμῶσαν τοῦ οἰκείου συμφέροντος τὴν τῶν μαθητῶν ὠφέλειαν; Ἐπιμένων γὰρ ἐν τῇ σαρκὶ, τούς τε προκατηχηθέντας ἐβεβαίου, καὶ ἄλλους προσελάμβανε. *Πολλῷ μᾶλλον κρεῖσσον.*] Νοεῖται τὸ, *ἔχων*, ἀπὸ κοινοῦ· οἷον, Τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ ἔχων πολλῷ μᾶλλον κρεῖσσον τὸ σὺν Χριστῷ εἶναι. *Τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι᾽ ὑμᾶς.*] Καὶ κατ᾽ ἄλλο ἀναγκαιότερον· ὅτι τὸ προσάγειν θεῷ διὰ πίστεως πλείονας, πλεῖον αὐτὸν οἰκειοῖ τῷ Χριστῷ (1). *Καὶ τοῦτο πεποιθὼς οἶδα.*] Τὸ εἶναι ἀναγκαιοτέραν τὴν ἐν σαρκὶ προσμονήν. *Ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν.*] Οἶδα, φησὶν, ὅτι μενῶ καὶ συμπαραμενῶ

(1) « Ταῦτα λέγει, προπαρασκευάζων αὐτοὺς ἐνεγκεῖν γενναίως τὴν μέλλουσαν αὐτοῦ τελευτήν. Τί γὰρ ἀλγεῖτέ, φησιν, ἐπὶ τῷ θανάτῳ τῷ ἐμῷ; Τοῦτο ἐπιθυμῶ, καὶ κρεῖττόν μοι τοῦτό ἐστι· δίδωσι γάρ μοι τὸ σὺν Χριστῷ εἶναι. Ὥστε οὐ δεῖ ὑμᾶς ἀλγεῖν. Πλὴν πάλιν τὸ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον διὰ τὴν ὑμετέραν ὠφέλειαν· οὐ γὰρ ζητῶ τὸ ἐμαυτοῦ, ἀλλὰ τὸ ὑμῶν. Συνεχόμενος οὖν ἐκ τῶν δύο τούτων, τουτέστι, στενοχωρούμενος, καὶ μὴ εἰδὼς, ποῖον προτιμήσω· ὅμως ἀναγκαιότερον κρίνω τὸ ὑμᾶς ζῶν ὠφελεῖν. Ἆρά ἐστι τι τῆς τοῦ Παύλου ψυχῆς ἀντάξιον; ὅς γε καὶ τοῦ συνεῖναι Χριστῷ αἱρετώτερον ἔκρινε καὶ προτιμότερον τὴν τῶν ἄλλων ὠφέλειαν· καὶ ἵνα πλέον οἰκειωθῇ τῷ Χριστῷ ὑπερτιθέμενος τὴν μετὰ Χριστοῦ συνδιαγωγήν; » Θεοφύλακτος.

πᾶσιν ὑμῖν. Ἐπειδὴ γὰρ θαῤῥῶ, ἀναγκαιότερον εἶναι τὸ ἐπιμένειν ἐν τῇ σαρκὶ, οἶδα ὅτι *μενῶ*, οὐ μόνον ἐν δεσμοῖς, ἀλλὰ καὶ σὺν ὑμῖν, καὶ ὄψομαι ὑμᾶς. Μενῶ δὲ *εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως.*] Ἔνι γὰρ *ἐν πίστει προκόψαι*, τὸ μᾶλλον εἰς αὐτὴν βεβαιωθῆναι καὶ στηριχθῆναι, καὶ χαίρειν τὴν πνευματικὴν χαράν (1). Τοῦτο δὲ ἠρέμα καὶ φοβοῦντός ἐστιν· Εἰ γὰρ δι' ὑμᾶς μενῶ, ὁρᾶτε, μὴ καταισχύνητέ μου τὴν ἐν σαρκὶ παραμονήν.—*Καὶ τοῦτο πεποιθὼς οἶδα*, ἀντὶ τοῦ, Καὶ τοῦτο τεθαῤῥηκὼς καὶ οὐ διστάζων οἶδα. Τί δέ ἐστιν ὃ θαῤῥῶν καὶ οὐ διστάζων οἶδεν; Ὅτι ἀναγκαιότερον τὸ δι' αὐτοὺς ἐπιμένειν τῇ σαρκί. Εἶτα, *οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ*. Ἀπὸ κοινοῦ γὰρ τὸ, *οἶδα*· ἢ καὶ τὸ ὅλον ἀπὸ κοινοῦ· οἷον, Ὅτι θαῤῥῶν οἶδα, οὐ μόνον ὅτι ἀναγκαιότερον τὸ ἐπιμένειν με τῇ σαρκὶ, ἀλλ' ὅτι καὶ ἐπιμενῶ καὶ συμπαραμενῶ· ὁ γὰρ τῶν ἀποῤῥήτων καὶ ὑπερουρανίων μύστης, οὐδὲ τὴν ἑαυτοῦ ζωὴν ἐν διαγμῷ ᾔδει, καὶ ὅτι ἔτι νῦν ἐπιβιώσεται. Δύναται δέ τις καὶ ἑτέρως τὸ ῥητὸν συντάξας, οὕτως ἐκλαβεῖν ἑτοιμότερον. Τὸ ἐπιμένειν, φησὶν, ἀναγκαιότερον δι' ὑμᾶς· εἶτα, Καὶ εἰς τοῦτο θαῤῥῶν, ὅτι ἀναγκαιότερόν ἐστιν, *οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ*, καὶ ἑξῆς (Φωτίου). — *Ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοί.*] Πῶς δ' ἂν αὐτῶν περισσεύσοι τὸ καύχημα; Διὰ τοῦ ἐστηρίχθαι ἐν τῇ πίστει, καὶ ὀρθῶς βιοῦν δηλονότι. Ἐπειδὴ δὲ εἶπε, τὴν παραμονὴν αὐτοῦ εἰς τὴν ἐκείνων γενέσθαι προκοπὴν, νῦν θέλει δεῖξαι, ὅτι ἡ προκοπὴ αὐτῶν, καὶ εἰς τὴν αὐτοῦ ὠφέλειαν συντείνει, ἵνα μὴ δόξῃ βαρεῖν αὐτοὺς, ὡς δι' αὐτοὺς τοῦ οἰκείου περιορῶν συμφέροντος, ὅτι, φησὶ, τὸ ὑμῶν καύχημα, καὶ ἐν ἐμοὶ περισσεύει. Ἂν γὰρ ὑμεῖς ἦτε δόκιμοι, ἡ καύχησις

(1) « Ἐπειδή, φησιν, ἀναγκαῖόν ἐστι τὸ ἐπιμένειν τῇ σαρκὶ, πεποιθότως καὶ ἀδιστάκτως οἶδα, ὅτι μενῶ, τουτέστι, ζήσω· καὶ οὐχ ἁπλῶς, ἀλλὰ μεθ' ὑμῶν, ὅ ἐστιν, ὄψομαι ὑμᾶς. Τίνος ἕνεκεν; Ἵνα ὑμεῖς προκόψητε ἐν τῇ πίστει, τουτέστι, στηριχθῆτε καὶ παγιωθῆτε ἔν τε τῷ δόγματι, καὶ τῷ βίῳ· ἥτις προκοπὴ, χαρά ἐστιν ἀληθὴς καὶ ὑμῶν καὶ ἐμοῦ. » Θεοφύλακτος.

καὶ εἰς ἐμὲ ἀνατρέχει τὸν διδάσκαλον. *Διὰ τῆς ἐμῆς παρουσίας.*] Ἡ γὰρ Παύλου παρουσία, ὠφέλεια ἦν τῶν ἁπάντων. Ἔδειξε δὲ, ὅτι ἀπελεύσεται πρὸς αὐτούς. Τί οὖν; ἦλθε πρὸς αὐτούς; Τοῦτο ἄδηλόν ἐστι, καὶ ζητεῖται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Παραίνεσις τῆς κατὰ θεὸν πολιτείας, καὶ τῆς ἐνθέου ζωῆς.

27 Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα, εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν, ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου,
28 καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ
29 σωτηρίας· καὶ τοῦτο ἀπὸ θεοῦ· ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν,
30 ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε (1) ἐν ἐμοί, καὶ νῦν ἀκούετε ἐν ἐμοί.

Ἐγὼ μὲν οὖν, φησὶ, συμπαραμενῶ πρὸς τὴν προκοπὴν ὑμῶν· μόνον τοῦτο ποιήσατε· *ἀξίως τοῦ εὐαγγελίου πολιτεύεσθε*, τουτέστι, πρὸς ἀρετὴν ἐπίδοτε. *Ἵνα, εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπών.*] Οὐχ ὡς μεταθέμενος τὸ ἀπελθεῖν, οὐδ' ὡς οὐκέτι ἥξων εἶπε τοῦτο· ἀλλὰ τὸ συμβαῖνον εἶπεν. Ἐὰν γάρ, φησιν, ἀξίως τοῦ εὐαγγελίου πολιτεύησθε, ἐλθὼν καὶ ὁρῶν ὑμᾶς, εὐφρανθήσομαι· (τοῦτο γὰρ προσυπακουστέον·) ἀλλὰ καὶ ἐὰν τυχὸν οὐκ ἔλθω, ἀπὼν καὶ ἀκούων τὰ περὶ ὑμῶν, εὐφρανθήσομαι. Ὥστε μὴ ἀναπέσητε, κἂν μὴ παραγένωμαι, ἀλλ' ὡς μαθησομένου

(1) Παρ' ἄλλοις, ἴδετε.

μου τὰ καθ' ὑμᾶς, νήφετε. *Ὅτι στήκετε ἐν ἑνὶ πνεύματι.*] Ἐν τῷ αὐτῷ χαρίσματι, τῷ τῆς ἀγάπης καὶ ὁμονοίας. *Μιᾷ ψυχῇ.*] Τοσοῦτον τῇ ἀγάπῃ συνδεδεμένοι, ὡς μίαν ἔχειν δοκοῦντες ψυχήν. *Συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου.*] Συναντιλαμβανόμενοι ἀλλήλων ἐν τοῖς ὑπὲρ τοῦ εὐαγγελίου ἄθλοις καὶ ἀγῶσι. *Καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων.*] Οὐ λέγω, φησὶ, μὴ καταπίπτοντες, ἀλλὰ, *μὴ πτυρόμενοι*, τουτέστι, μὴ θορυβούμενοι ἐν μηδενὶ, κἂν θάνατον ἀπειλῶσιν οἱ ἀντικείμενοι, κἂν ὀνειδίζωσιν ὑμᾶς τὰ ἐμὰ δεσμά· οὐδὲν γὰρ ἀνύσουσιν, ἀλλὰ πτύρουσι μόνον· οὕτως εἰσὶν ἀνίσχυροι. *Ἥτις αὐτοῖς μέν ἐστι ἔνδειξις ἀπωλείας.*] Ἐὰν ἦτε, φησὶ, μὴ πτυρόμενοι ὑπὸ τῶν ἀντικειμένων, ἡ ἐπανάστασις αὐτῶν ἡ καθ' ὑμῶν, τραπήσεται αὐτοῖς εἰς ἔνδειξιν ἀπωλείας. Οἷον, ἢ ὅτι ἐπιδειχθήσεται αὐτοῖς καὶ φανερωθήσεται διὰ τῆς ὑμῶν στεῤῥότητος τὰ τῆς ἀπωλείας, καὶ ἀποστήσονται ἀπὸ τῆς ματαίας δόξης καὶ τῶν ἐπιτηδευμάτων αὐτῶν, καὶ ἐκ τούτου ἔσται ὑμῖν μᾶλλον πλοῦτος σωτηρίας, ὡς καὶ ἑτέροις προξενήσασι φυγεῖν τὴν ἀπώλειαν, καὶ κερδῆσαι τὴν σωτηρίαν. Ἢ οὖν οὕτως νοητέον, ἢ ἁπλούστερον, ὅτι ἡ ἐπιχείρησις αὐτῶν καὶ ὁ πόλεμος αὐτῶν ὁ καθ' ὑμῶν, ὑμῶν μὴ πτυρομένων, ἐκείνοις μὲν, πλὴν τῆς ἰδίας ἀπωλείας, οὐδὲν ἄλλο ἐνδείξεται, οὐδὲ προξενήσει, ὑμῖν δὲ ἀντὶ βλάβης, καὶ σωτηρίας ὑπόθεσις, καὶ ἀφορμὴ τελειοτέρας ἀρετῆς χρηματίσει.—ΑΛΛΩΣ. Ἥτις ἐπχείρησις αὐτῶν, ἔσται αὐτοῖς δεῖγμα ἀπωλείας, εἰ ὑμεῖς στῆτε ἀθόρυβοι. Πῶς; Εἰ γὰρ πάντα τρόπον ἐπιβουλῆς κινήσαντες, οὐ λέγω μὴ καταβάλωσιν, ἀλλὰ μήτε θορυβήσωσιν ὑμᾶς, γνώσονται, ὅτι ἀληθῆ καὶ θεῖα τὰ ὑμῶν, καὶ σωτηρίας πρόξενα· ψευδῆ δὲ τὰ ἐκείνων, καὶ ἀπωλείας αἴτια. Λέγει δὲ περί τινων ἀπίστων ἀντικειμένων τῷ κηρύγματι. — *Καὶ τοῦτο ἀπὸ θεοῦ· ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ.*] Μεῖζον καὶ ἀξιολογώτερον ποιῶν τὸ ὑπὸ τῶν ἀντικειμένων τῷ κηρύγματι διενοχλεῖσθαι, ὑπὸ θεοῦ λέγει αὐτοῖς τοῦτο δεδωρῆσθαι, τό τε πιστεύ-

σαι τῷ Χριστῷ, καὶ τὸ ἐναθλεῖν δύνασθαι τοῖς πειρασμοῖς (1). *Τὸν αὐτὸν ἀγῶνα ἔχοντες.*] Δείκνυσι τὰ αὐτὰ ἀγωνιζομένους αὐτῷ, τὰ αὐτὰ ἀθλοῦντας, ὃ μεγάλην αὐτοῖς ἀρετὴν προσμαρτυρεῖ. Οἷον δὲ ἐστὶ τὸ τὸν αὐτὸν ἀγῶνα Παύλῳ ἔχειν! Τύπος γὰρ αὐτοῖς ὁ Παῦλος ἐγένετο, ἀθλήσας ἐν Φιλίπποις (α), πῶς δεῖ ὑπὲρ τῆς πίστεως ἀγωνίζεσθαι.

ΚΕΦ. II, 1 Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι
παραμύθιον ἀγάπης, εἴτις κοινωνία πνεύματος, εἴ
2 τις (2) σπλάγχνα καὶ οἰκτιρμοὶ, πληρώσατέ μου
τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγά-
3 πην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν
κατ' ἐρίθειαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύ-
4 νῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν· μὴ
τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων
ἕκαστος.

Εἴτις οὖν παράκλησις ἐν Χριστῷ, καὶ ἑξῆς.] Εἴτις, φησὶν, ὑμῖν ἐμοῦ γίνεται λόγος, καὶ εἴ τινά μοι βούλεσθε παράκλησιν ἐν τοῖς πειρασμοῖς μου δοῦναι· εἴτινα παραμυθίαν, ἐξ ἀγάπης κινούμενοι· εἰ μέλλετε δεῖξαι, ὅτι ἔχετε μετ' ἐμοῦ κοινωνίαν ἐν τῷ ἁγίῳ Πνεύματι· καὶ εἰ ἔστιν ἐν ὑμῖν σπλάγχνων καὶ οἰκτιρμῶν τί, *πληρώσατέ μου τὴν χαρὰν* ἐν τῷ ἀλλήλους ἀγαπᾷν (3)· ὡσεὶ ἔλεγεν· Εἴ τινα ἀμοιβήν μοι δοῦναι ἐποφείλετε ὑπὲρ τῶν εἰς ὑμᾶς πόνων μου, ἐν τούτῳ μοι ἀπόδοτε, ἐν τῷ ἀλλήλους ἀγαπᾷν. *Ἵνα τὸ αὐτὸ φρονῆτε.*] Καὶ τί ἐστιν ὃ βούλει ἀντὶ πάντων παρασχεθῆναί σοι παρ' ἡμῶν; Οὐχ ἵνα, φησὶ, τῶν κινδύνων ῥυσθῶ, ἢ λάβω τι παρ' ὑμῶν,

(1) « Δῶρα θεοῦ κέκληκε καὶ τὸ πιστεῦσαι, καὶ τὸ λαμπρῶς ἀγωνίσασθαι, οὐ τὸ αὐθαίρετον τῆς γνώμης ἐκβάλλων, ἀλλὰ διδάσκων, ὡς αὐτὴ καθ' ἑαυτὴν ἡ γνώμη, γεγυμνωμένη τῆς χάριτος, οὐδὲν δύναται κατορθῶσαι τῶν ἀγαθῶν. Ἀμφοτέρων γὰρ χρεία, καὶ τῆς ἡμετέρας προθυμίας, καὶ τῆς θείας ἐπικουρίας. Οὔτε γὰρ τοῖς τὴν προθυμίαν οὐκ ἔχουσιν ἐπαρκεῖ τοῦ πνεύματος ἡ χάρις, οὔτ' αὖ πάλιν ἡ προθυμία, ταύτης ἐστερημένη, τῆς ἀρετῆς δύναται συναθροῖσαι τὸν πλοῦτον. » Θεοδώρητος. (α) Πράξ. ΙϚ, 22—24. (2) Παρ' ἄλλοις, εἴ τινα.

(3) « Εἰ μέλλετε δεῖξαι, ὅτι κοινωνίαν τινὰ ἔχετε μετ' ἐμοῦ ἐν τοῖς πνευματικοῖς καὶ κατὰ Κύριον· εἰ σπλαγχνίζεσθε καὶ οἰκτείρετέ με ἐφ' οἷς πάσχω· ταῦτα πάντα ἐν τούτῳ μοι ἀπόδοτε, ἐν τῷ ἀλλήλους ἀγαπᾷν. » Θεοφύλακτος.

ἀλλ' *ἵνα ὑμεῖς τὸ αὐτὸ φρονῆτε*, καὶ μηδεὶς πρὸς τὸν ἕτερον στασιάζῃ. Ἢ καὶ περὶ τοῦ δόγματος λέγει, ἀντὶ πάντων ζητῶν τὸ ὁμόγνωμον εἰς τὴν πίστιν. *Τὴν αὐτὴν ἀγάπην ἔχοντες.*] Μὴ εἰς πολλὴν καὶ εἰς ὀλίγην, ἀλλὰ τὴν ἴσην καὶ τὴν αὐτὴν ἅπαντες. Μὴ, φιλούμενος ὑπερβαλλόντως αὐτὸς, φίλει χαύνως, ἀλλ' ἴσῳ τῷ μέτρῳ. *Σύμψυχοι.*] Ὁμόψυχοι γινόμενοι· τοῦτο γὰρ τὸ, *σύμψυχοι*. *Τὸ ἓν φρονοῦντες.*] Πάλιν διπλασιάζει τὸ ὁμοφρονεῖν. Ὡς μία, φησὶν, ὄντες ψυχὴ, οὐ τῇ οὐσίᾳ, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ ὁμονοίᾳ· ὃ δηλοῖ εἰπὼν, *τὸ ἓν φρονοῦντες*. *Μηδὲν κατ' ἐρίθειαν ἢ κενοδοξίαν.*] Λοιπὸν καὶ διδάσκει, πῶς ἔνι ὁμοψύχους εἶναι. Μηδὲν, φησι, *κατὰ ἐρίθειαν*, τουτέστι, κατὰ ζῆλον ἢ φιλονεικίαν, ἢ κατὰ κενοδοξίαν ποιοῦντες. *Ἀλλὰ τῇ ταπεινοφροσύνῃ.*] Βαβαὶ, οἷον λέγει! Διὰ τῆς ταπεινοφροσύνης, φησὶν, ἕκαστος ἡγείσθω τὸν ἕτερον ὑπερέχειν, καὶ μείζονα εἶναι κατὰ πάντα αὐτοῦ. Μέγα μὲν γὰρ, τὸ κἂν τὸ ἓν μέρος ἡγεῖσθαι, ὅτι ὁ δεῖνά μου προάγει· εἰ γὰρ τοῦτο ἡγήσεται, καὶ τιμήσει, καὶ αἰσχυνθήσεται, καὶ ἀγαπήσει, καὶ οὐδὲ φθονήσει· κρεῖττον γὰρ φθόνου τὸ ὑπερέχον· ἐπεὶ πρὸς τὸν ἀντίπαλον ὁ φθόνος γίνεσθαι φιλεῖ· εἰ δὲ καὶ ἐκ τῶν δύο μερῶν ἔσται αὕτη ἡ οἴησις, ὅρα τὴν εἰρήνην ὅση. Ὅρα δὲ, οὐκ εἶπε, μείζονας, ἀλλ', ὃ πλέον ἦν, *ὑπερέχοντας*, φησὶν, *ἑαυτῶν*. *Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε.*] Ὅταν γὰρ τὸ ἴδιον συμφέρον ἕκαστος ἀφεὶς, τοῦ συμφέροντος γίνηται τοῦ ἀδελφοῦ, ὡς σὲ μὲν τὸ ἐμὸν συμφέρον σκοπεῖν, ἐμὲ δὲ τὸ σὸν, ὁ τοιοῦτος οὐκέτι ἀνθρώπινος, ἀλλ' ἀγγελικὸς βίος.

5 Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ
6 Ἰησοῦ, ὃς, ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν
7 ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε,
μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων
8 γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος,
ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

Τ*οῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ.*]

Περὶ ταπεινοφροσύνης διαλαμβάνειν μέλλει. Τί δὲ ἐν Χριστῷ καὶ διὰ Χριστοῦ ἐφρονήθη; Ἡ ἄκρα ταπεινοφροσύνη (1). Βούλεσθέ, φησιν, εἰδέναι, ὅτι ἡ ταπεινοφροσύνη οὐδὲν ὑμᾶς βλάπτει, οὐδὲ ζημιοῖ, οὐδὲ καταβιβάζει τοῦ προσόντος ὕψους, ἀλλὰ μᾶλλον ἀπόδειξις αὐτὴ γίνεται τοῦ ἀληθινοῦ ὑμῶν ὕψους; Τὸν Χριστὸν ἐννοήσατε. Μάλιστα γὰρ ἐν τούτῳ δείκνυται φύσει θεὸς εἶναι, ἐν τῷ ταπεινωθῆναι καὶ φορέσαι τὸν ἄνθρωπον. Ἤδει γὰρ ὡς ἐκ ταύτης τῆς ταπεινώσεως οὐδὲν ζημιωθήσεται τοῦ προσόντος αὐτῷ κατὰ φύσιν τῆς θεότητος ὕψους. Εἰ δὲ ταύτην ἐπίκτητον εἶχεν, ἐδεδοίκει ἂν ἑαυτὸν ταπεινῶσαι, ἵνα μὴ ἐκπέσῃ τοῦ μόλις αὐτῷ ἐπικτηθέντος ἀξιώματος. Ἀπόδειξις οὖν ἡ ταπείνωσις τοῦ κατὰ φύσιν ὕψους αὐτοῦ τῆς θεότητος. Εἴτις οὖν ὑψηλὸς κατ' ἀρετὴν καὶ μέγας ἐφίεται εἶναι, ταπεινοφρονείτω· ἡ γὰρ ταπείνωσις ἐστὶν ἡ δεικνύουσα καὶ μαρτυροῦσα τὸ ὕψος τῆς ἀρετῆς· μιμείσθω τὸν Χριστὸν, καὶ οὐδὲν ἀπολέσει ταπεινούμενος, μᾶλλον δὲ μεγάλα κερδανεῖ. Ὁ πένης τὴν ἀρετὴν, οὐ δύναται ταπεινωθῆναι· φοβεῖται γὰρ, μὴ ἐκπέσῃ τοῦ ἐπιπλάστου καὶ κατεσχηματισμένου ὕψους· ὁ πλούσιος καὶ ὑψηλὸς τὴν ἀρετὴν, ταπεινούσθω· ἐν τούτῳ γὰρ μᾶλλον ἑαυτὸν δείκνυσιν ὡς ἀληθῶς ὑψηλὸν, ὅτι οὐ δέδοικε ταπεινωθῆναι, καὶ οἶδεν, ὅτι ἥδρασται. *Ὃς, ἐν μορφῇ θεοῦ ὑπάρχων.*] Ὅρα, πῶς ἐκ τῶν ὀλίγων τούτων ῥημάτων τοῦ πνεύματος, πᾶσαι καταλύονται αἱ αἱρέσεις. Πρῶτον μὲν γὰρ, *ὑπάρχων*, εἰπὼν, τὸ συναΐδιον τῷ πατρὶ δεδήλωκε, καὶ καταβέβληκεν Ἄρειον· εἶτα καὶ Μαρκίωνα τὸν Ποντικόν. Εἰ γὰρ ἦν *ἐν μορφῇ θεοῦ*, πῶς σὺ λέγεις, ὅτι ἀπὸ Μαρίας ἤρξατο; Σὺν τούτῳ καὶ Παῦλος ὁ Σαμοσατεὺς καταλύεται, ὃς ἔφη, ψιλὸν εἶναι τὸν

(1) «Ὥσπερ ὁ Χριστὸς, Γίνεσθε οἰκτίρμονές, φησιν, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος (Λουκ. Ϛ, 36.)· καὶ αὖθις· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι (Ματθ. ΙΑ', 29.)· οὕτω καὶ Παῦλος, ταπεινοφροσύνην διδάσκων, τὸν Χριστὸν εἰς τὸ μέσον παράγει, ἐκ περιουσίας ἡμᾶς ἐντρέπων, ὥσπερ καὶ ἀλλαχοῦ λέγει· Δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὢν (Β' Κορ. Η', 9.). Ὅταν γὰρ δείξῃ τὸν υἱὸν τοῦ θεοῦ, τὸν παντὸς ὕψους ἐπέκεινα, ἐν τοῖς κατωτάτοις γενόμενον, τίνα οὐκ ἂν ἐντρέψῃ τῶν ὑψηλοφρόνων;» Θεοφύλακτος.

Κύριον ἄνθρωπον, ἐνεργούμενον ὑπὸ θεοῦ. Καὶ γὰρ εἴποιμεν πρὸς αὐτόν· Ὥσπερ *μορφὴ δούλου*, ἡ φύσις τοῦ δούλου, ἀλλ' οὐκ ἐνέργειά ἐστιν· οὕτω καὶ *μορφὴ θεοῦ*, ἡ φύσις τοῦ θεοῦ, ἀλλ' οὐκ ἐνέργειά ἐστι (1). Καὶ Νεστόριος τὰ αὐτὰ φρονῶν, συγκαταλύεται. Σὺν τούτοις καὶ Μάρκελλος ὁ Γαλάτης, καὶ Σωφρόνιος, καὶ Φωτεινὸς ἀνετράπησαν. Ὅρα δὲ καὶ Σαβέλλιον πίπτοντα. *Οὐχ ἁρπαγμόν*, φησιν, *ἡγήσατο τὸ εἶναι ἴσα θεῷ*· *ἴσον* δὲ ἐπὶ ἑνὸς οὐ λέγεται προσώπου· τὸ γὰρ ἴσον, τινὶ ἴσον· ὥστε δύο πρόσωπα ἐντεῦθεν φαίνονται. Πῶς οὖν σὺ ψιλὰ φῂς ὀνόματα ἐπὶ μιᾶς ὑποστάσεως λεγόμενα τὸ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος; Ὅρα ἐκ δευτέρου τὸν Ἄρειον πληττόμενον. Εἴποιμεν γὰρ αὐτῷ· *Τί ἐστι τὸ, Μορφὴν δούλου λαβών*; Εὔδηλον, ὅτι ἄνθρωπος ἐγένετο. Οὐκοῦν καὶ μορφὴν θεοῦ λεγόμενος ἔχειν, θεὸς ἦν· ἐπὶ γὰρ τῶν δύο, *μορφὴ* κεῖται. Ἀλλὰ τί Ἄρειος; Μικρὸς θεὸς ὢν, φησὶν, ὁ υἱὸς, οὐχ ἥρπασε τὸ εἶναι ἴσα θεῷ τῷ μεγάλῳ· ἐκεῖνο γὰρ ἁρπάζει τις, ὃ οὐκ ἔχει. Ἀλλὰ τί ἡμεῖς πρὸς αὐτόν; Πρῶτον μὲν, ὅτι οὐδαμοῦ αἱ Γραφαὶ μέγαν ἡμῖν ἢ μικρὸν εἰσηγοῦνται θεόν· ἔπειτα δὲ, ὅτι ὁ μικρὸς, κατὰ τὸν ὑμῶν λόγον, πῶς ἂν ἥρπασε τὸ γενέσθαι μέγας; Οὐ γὰρ ἠδύνατο, κἂν ἠβουλήθη. Ἔπειτα ὁ Παῦλος, ταπεινοφροσύνης εἰσάγων παράδειγμα, ἄτοπος ἂν ἦν τοῦτο παραινῶν· Ἐπειδὴ ὁ μικρὸς θεὸς τῷ μεγάλῳ οὐκ ἐπανέστη θεῷ, ὀφείλετε καὶ ὑμεῖς ὑποκαταβαίνειν ἀλλήλοις· ἀλλὰ δείξας τὸ ἴσον πατρὸς καὶ υἱοῦ, εἶπεν, ὅτι ἀπὸ ταπεινοφροσύνης σάρκα ἐφόρεσε· τὸ γὰρ μὴ ἐπαναστῆναι τῷ μείζονι, ποία ταπεινοφροσύνη; ἀσθενείας μᾶλλον τοῦτο ἦν καὶ ἀδυναμίας· τὸ δὲ τὸν ἴσον καὶ ὁμοδύναμον θεῷ, ἑκόντα ταπεινωθῆναι καὶ ἄνθρωπον γενέσθαι, τοῦτο ταπεινοφροσύνη.

---

(1) «Ὅρα τοίνυν, πῶς πίπτουσι πάντες [οἱ αἱρετικοὶ] μιᾷ σχεδὸν μαχαίρᾳ. Ἐν μορφῇ θεοῦ ὑπάρχων. Πῶς οὖν οἱ περὶ Μάρκελλον λέγετε, ὅτι ἐνέργειά ἐστιν ὁ λόγος, οὐκ οὐσία δέ; Μορφὴ γὰρ θεοῦ, ἡ οὐσία λέγεται, ὥσπερ μορφὴ δούλου, ἡ φύσις τοῦ δούλου. Πῶς οὖν καὶ σὺ ὁ Σαμοσατεὺς, ὅτι ἀπὸ Μαρίας ἤρξατο; Προϋπῆρχε γὰρ ἐν μορφῇ καὶ οὐσίᾳ θεϊκῇ.» Θεοφύλακτος.

Ταῦτα μὲν οὖν ἱκανῶς. Λοιπὸν ὅρα τί φησιν· *Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ.*] Ὅταν τις ἁρπάσῃ τι, οὐδὲ ἀποθέσθαι αὐτὸ βούλεται, φοβούμενος τὴν ἀπώλειαν αὐτοῦ, ὡς οὐχ αὐτοῦ ὄντος· ὅταν δέ τι ἔχῃ φυσικὸν καὶ ἴδιον, εὐχερῶς αὐτὸ ἀποτίθεται· οἶδε γὰρ, ὅτι ἀναπόβλητον αὐτὸ ἔχει· κἂν δόξῃ ἀποθέσθαι, ὅταν θέλῃ, πάλιν ἀναλαμβάνει αὐτό. Τί οὖν φησιν; Ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὐκ ἐφοβήθη καταβῆναι τοῦ οἰκείου ἀξιώματος· οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὴν θεότητα αὐτοῦ· τουτέστιν, οὐ γὰρ ᾔδει κατὰ ἁρπαγὴν ἔχων τὸ εἶναι ἴσος τῷ θεῷ καὶ πατρὶ, ἀλλὰ κατὰ φυσικὸν ἀξίωμα. Διὸ καὶ ταπεινωθῆναι εἵλετο, ὡς καὶ ἐν τῇ ταπεινώσει τὸ ὕψος αὐτοῦ τηρῶν. *Ἀλλ' ἑαυτὸν ἐκένωσε.*] Ποῦ εἰσιν οἱ λέγοντες, ὅτι κατὰ ἀνάγκην καὶ ἐπιταγὴν τοῦ πατρὸς ἄκων ἐνηνθρώπησεν ; Ἀκουέτωσαν, ὅτι *ἑαυτὸν ἐκένωσεν*, ὡς κύριος, ὡς αὐτεξούσιος. Ἐπειδὴ γὰρ μὴ κατὰ ἁρπαγὴν ᾔδει ἔχων τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἀπὸ φύσεως καὶ συναϊδίου ἀξιώματος, διὰ τοῦτο θαῤῥῶν *ἐκένωσεν ἑαυτὸν*, τουτέστιν, ἐταπείνωσε, καὶ γέγονεν ἄνθρωπος, τὸ εἶναι θεὸς μὴ ἀποβαλών· ὡς εἴγε ᾔδει κατὰ ἁρπαγὴν ἔχων τὸ εἶναι ἴσα θεῷ, οὐκ ἂν ποτε ἐνηνθρώπησε, πτοούμενος, μὴ καταβιβασθῇ. *Μορφὴν δούλου λαβών.*] Ὅρα ἀσφάλειαν τοῦ Παύλου! Ἐπὶ μὲν τῆς θεότητος τὸ, *ὑπάρχων*, τέθεικε, τὸ συναΐδιον δηλῶν· ἐπὶ δὲ τῆς ἀνθρωπότητος, τὸ, *λαβὼν*, καὶ τὸ, *γενόμενος*, δεικνὺς ταύτην ἐπίκτητον (1). *Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος.*] Τί ἐστὶν *ὁμοίωμα ἀνθρώπων*; Δῆλον, ὅτι ἄλλος ἄνθρωπος. Διὰ τί δὲ εἶπεν *ὁμοίωμα ἀνθρώπων*; Ὅτι εἶχέ τινα καὶ ὑπὲρ ἄνθρωπον, οἷον, τὸ ἄνευ σπορᾶς συλληφθῆναι, τὸ ἄνευ φθορᾶς τεχθῆναι, τὸ μεῖναι ἀναμάρτητος, ὡς θεός (2). *Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.*] Ἐπειδὴ

(1) « Μορφὴν δούλου εἰπὼν, Ἀπολλινάριον ἐντρέπει. Ὁ γὰρ μορφὴν, ἤτοι, τὴν φύσιν τοῦ δούλου λαβὼν, καὶ νοερὰν πάντως ψυχὴν ἔχει.» Θεοφύλακτος.

(2) « Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος] Ἐνταῦθα οἱ Μαρκιωνισταί φασιν, ὅτι κατὰ φαντασίαν ἐσαρκώθη. Ὁρᾷς γάρ, φασι, πῶς ὁ Παῦλος ὁμοίωμα ἀνθρώπου λαβεῖν αὐτόν φησι, καὶ σχηματίσασθαι, οὐχὶ οὐσίᾳ γενέσθαι

εἶπεν, ὅτι *ἐκένωσεν ἑαυτὸν*, ἵνα μὴ μεταβολὴν νομίσῃς τὸ πρᾶγμα καὶ μετάπτωσίν, φησι· Μένων ὃ ἦν, ἔλαβεν ὃ οὐκ ἦν· οὐχ ἡ φύσις μετέπεσεν, ἀλλ' ἐν σχήματι ἐγένετο, τουτέστιν, ἐν σαρκί· σαρκὸς γὰρ ἴδιον τὸ ἐσχηματίσθαι ὡς ἄνθρωπος. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι *μορφὴν δούλου ἔλαβεν*, ἐθάρσησε λοιπὸν καὶ τοῦτο εἰπεῖν, ὡς ἐκείνου ταῦτα ἐπιστομίζοντος. Καλῶς δὲ εἶπε τὸ, *ὡς ἄνθρωπος*· οὐ γὰρ ἦν εἷς τῶν πολλῶν, ἀλλ' ὡς εἷς τῶν πολλῶν· οὐ γὰρ εἰς ἄνθρωπον μετέπεσεν ὁ Θεὸς Λόγος, ἀλλ' ὡς ἄνθρωπος ἐφάνη· καὶ ἀσχημάτιστος ὤν, ὑπὸ σχῆμα ἐγένετο. Ἢ τὸ, *Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος*, ἀντὶ τοῦ, οἷα δὴ ἄνθρωπος ἀληθῶς. Καὶ γὰρ καὶ περὶ βασιλέως μετὰ δόξης προελθόντος φαμέν· Ἐξῆλθεν ὡς βασιλεύς. Λέγει δὲ καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης· *Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς* (α), τουτέστιν, οἷα μονογενοῦς (1). *Ἐταπείνωσεν ἑαυτόν.*] Εἰ οὖν ἄνθρωπος ἦν ψιλὸς, ὃ δοκεῖ τοῖς αἱρετικοῖς, πῶς ἐταπεινοῦτο, γενόμενος ὃ ἦν; Πάλιν δὲ τὸ, *ἐταπείνωσεν ἑαυτὸν*, τὸ ἑκούσιον ἡμῖν δείκνυσιν (2). Ὁ γὰρ Χριστὸς καὶ Θεὸς ἡμῶν, οὐ τὸ ἑαυτοῦ ἐσκόπησεν, ἀλλὰ τὸ πάντων συμφέρον καὶ σωτήριον. Διὰ τοῦτο ταπεινοῖ ἑαυτὸν διὰ σαρκώσεως, καὶ ὑψοῖ πάντας ἡμᾶς διὰ τῆς οἰκείας ταπεινώσεως. Ὁ οὖν ἑαυτὸν ταπεινῶν, Χριστοῦ γίνεται μιμητής· καίτοι αὐτὸς, Θεὸς ὢν φύσει, καὶ ὑψηλὸς κατ' οὐσίαν· οἱ δὲ παρὰ ἀνθρώποις ὑψηλοὶ, ἐξ ἁρπαγῆς, ἐκ

ἄνθρωπον; Τί οὖν ἐστὶν εἰπεῖν; Ὅτι ὁ Κύριος οὐ πάντα τὰ ἡμέτερα εἶχεν, ἀλλὰ καί τινα οὐκ εἶχεν, οἷον τὸ ἀπὸ συνουσίας τεχθῆναι, τὸ ἁμαρτίαν ποιῆσαι. Οὐκ ἦν δὲ τὸ φαινόμενον μόνον, ἀλλὰ καὶ Θεός· οὐκ ἦν ψιλὸς ἄνθρωπος. Διὰ τοῦτό φησιν, ἐν ὁμοιώματι ἀνθρώπων· ἡμεῖς μὲν γὰρ, ψυχὴ καὶ σῶμα· ἐκεῖνος δὲ, ψυχὴ καὶ σῶμα, καὶ Θεός. Ἐπεὶ καὶ ὅταν λέγῃ, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας (Ῥωμ. Η, 3.), οὐ τοῦτο λέγει, ὅτι σάρκα οὐκ εἶχεν, ἀλλ' ὅτι ἡ σὰρξ ἐκείνη οὐχ ἥμαρτεν, ἀλλ' ὁμοία ἦν τῇ ἁμαρτωλῷ κατὰ τὴν φύσιν, οὐ κατὰ τὴν κακίαν. Ὥσπερ οὖν ἐκεῖ τὸ ὅμοιον διὰ τὸ μὴ πάντα εἶναι ἴσα· οὕτω καὶ ἐνταῦθα τὸ ὁμοίωμα, διὰ τὸ μὴ ἐκ συνουσίας τεχθῆναι, διὰ τὸ ἀναμάρτητον, διὰ τὸ μὴ ψιλὸν ἄνθρωπον εἶναι.» Θεοφύλακτος.

(α) Ἰωάν. Α', 14.

(1) «Ἀντὶ τοῦ, Οἵαν πρέπει ἔχειν τὸν μονογενῆ· τὸ γὰρ, Ὡς, σημαίνει καὶ διστανμὸν, σημαίνει καὶ βεβαίωσιν.» Θεοφύλακτος.

(2) «Ἵνα μὴ ὡς ἄκων νομισθῇ συγκαταβῆναι.» Θεοφύλακτος.

πλεονεξίας, προσεκτήσαντο τὸ ἐν αὐτοῖς ὑψηλόν· ἐπεὶ ἥ γε φύσις κοινὴ καὶ ἴση καὶ ὁμότιμος ἀνθρώπων ἁπάντων. Εἰ οὖν ὁ φύσει θεὸς καὶ φύσει ὑψηλὸς, ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς, οἱ φύσει ὁμότιμοι καὶ ὁμοίως ταπεινοὶ, οὐκ ὀφείλομεν ἀλλήλοις ταπεινοῦσθαι, καὶ τὰ οἰκεῖα συνεπίστασθαι μέτρα; Ἐὰν δὲ ταπεινωθῶμεν, ὑπερυψοῖ καὶ ἡμᾶς ὁ θεὸς, χαριζόμενος ἡμῖν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη (α). Μακάριοί, φησιν, οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν (β). Καίτοι καὶ εἰ μὴ τοῦτο ἦν, αὐτόθεν ἐστὶν ὑψηλὸν καὶ μέγα τὸ ἀξιωθῆναι μιμητὰς γενέσθαι Χριστοῦ (Φωτίου).—*Γενόμενος ὑπήκοος.*] Ὡς υἱὸς, οὐχ ὡς δοῦλος. Διὰ τούτου γὰρ μάλιστα ἔδειξεν, ὅτι ἐστὶ γνήσιος υἱὸς, ᾧ ὑπήκουσε. Διὰ τοῦτο γὰρ εἶπεν, *ἐταπείνωσεν ἑαυτὸν*, ἵνα μὴ δουλοπρεπές τι ἐνθυμηθῇς. Διὰ τοῦτο δὲ, *ὑπήκοος*, εἶπεν, ἵνα τὴν πρὸς τὸν πατέρα, ὡς αἴτιον, δείξῃ τιμήν (1). *Μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.*] Πολλαὶ ὑπερβολαὶ ταπεινώσεως, τὸ ἄνθρωπον γενέσθαι, τὸ ἀποθανεῖν, καὶ τοῦτο διὰ σταυροῦ (2).

9 Διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο
10 αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνό-
ματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπι-
11 γείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομο-
λογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν
θεοῦ πατρός.

Ὅταν τῆς ἐνανθρωπήσεως ἐπιλάβηται ὁ ἀπόστολος, πάντα λοιπὸν τὰ ταπεινὰ ἀδεῶς φθέγγεται, ὡς τῆς σαρκὸς ταῦτα

(α) Α' Κορ. Β', 9. (β) Ματθ. Ε', 3.

(1) « Ἀλλὰ φασὶν οἱ Ἀρειανοί· Ἰδοὺ, ὑπήκοος λέγεται. Καὶ τί τοῦτο, ὦ ἀνόητοι; Καὶ φίλοις ὑπακούομεν, καὶ οὐδὲν τοῦτο ἐλάττους ποιεῖ ἡμᾶς. Ὡς υἱὸς πατρὶ ὑπήκουσεν ἑκὼν, καὶ ἐν τούτῳ αὐτῷ δεικνὺς τὴν γνησιότητα· υἱοῦ γὰρ γνησίου τὸ τιμᾶν τὸν πατέρα. » Θεοφύλακτος.

(2) « Ὅρα ἐπιτάσεις! Δοῦλος ἐγένετο· ἀλλὰ καὶ θάνατον ἐδέξατο· καὶ, τὸ ἔτι τούτου μεῖζον, θάνατον ἐπονείδιστον· θανάτου γὰρ σταυροῦ, τουτέστι, τοῦ ἐπικαταράτου, τοῦ τοῖς ἀνόμοις ἀφωρισμένου. » Θεοφύλακτος.

δεχομένης. Οὕτως οὖν περὶ τῆς σαρκὸς ταῦτα δέξαι, μηδαμοῦ διαιρῶν τὸν ἕνα Χριστόν. Ποῖον δὲ τὸ χαρισθὲν ὄνομα τῇ ἀνθρωπίνῃ φύσει τοῦ ἑνὸς Χριστοῦ (1); Τὸ Χριστὸς, τὸ Υἱὸς, τὸ Θεός· ταῦτα γὰρ καὶ μετὰ σαρκὸς καλεῖται.—Εἰ μετὰ τὴν ἐνανθρώπησιν διὰ τὴν ὑπακοὴν, τὸ ὑπὲρ πᾶν ὄνομα τῷ υἱῷ, θεῷ ὄντι, ὁ πατὴρ ἐχαρίσατο, καὶ πᾶσα γλῶσσα ἐξωμολογήσατο Κύριον· πρὸ τῆς ἐνανθρωπήσεως δὲ οὔτε τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα εἶχεν, οὔτε παρὰ πάντων τὴν ὁμολογίαν τοῦ εἶναι Κύριος, μείζων οὖν ἐγένετο μετὰ τὴν ἐνανθρώπησιν τοῦ πρὸ τῆς ἐνανθρωπήσεως· ὅπερ ἄτοπον. Τοιοῦτον δέ ἐστι καὶ τό· *Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς* (α). Εἰς τὴν ἐνανθρώπησιν οὖν, καὶ οὐκ εἰς τὴν θεότητα ταῦτα δεῖ ἐννοεῖν (Βασιλείου). *Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ.*] Εἰς προσκύνησιν δηλονότι. *Επουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.*] Τουτέστιν, ὁ κόσμος πᾶς, καὶ ἄγγελοι, καὶ ἄνθρωποι, καὶ δαίμονες· καὶ γὰρ καὶ δαίμονες ἐπέγνωσαν· διό φασιν· *Οἴδαμέν σε, τίς εἶ, ὅτι ὁ ἅγιος τοῦ θεοῦ* (ϐ)· καὶ ἐπιγνώσονται, ὅταν ὡς κριτὴς καθίσῃ. Ἤ, ὅτι καὶ οἱ δίκαιοι καὶ οἱ ἁμαρτωλοί. *Καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται.*] Τί ἐξομολογήσεται; *Ὅτι Κύριος Ἰησοῦς Χριστὸς*, Κύριος καὶ Θεός ἐστιν. *Εἰς δόξαν θεοῦ πατρός.*] Δόξα γὰρ τοῦ πατρὸς, τὸ ἔχειν τοιοῦτον υἱὸν, πάντων δεσπότην, καὶ ποιητὴν, καὶ θεὸν, καὶ ᾧ κλινεῖ πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται. Ὁρᾷς, ὅτι ἡ ἀνάῤῥησις τοῦ μονογενοῦς, δόξα ἐστὶ τοῦ πατρός; ὥστε τοὐναντίον, ἡ ἐλάττωσις αὐτοῦ, ἀτιμία τοῦ πατρός.

12 Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε,
μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ
μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρό-
23 μου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε· ὁ θεὸς

(1) «Τὸ, υἱὸς, τὸ, θεός. Καὶ γὰρ ὁ ἄνθρωπος υἱὸς θεοῦ, καθὼς καὶ ὁ ἄγγελος εἶπε· Καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς θεοῦ (Λουκ. Α', 35.).» Θεοφύλακτος. (α) Ματθ. ΚΗ', 19. (ϐ) Λουκ. Δ', 34.

γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν, ὑπὲρ τῆς εὐδοκίας.

Τὰς παραινέσεις μετ᾽ ἐγκωμίων δεῖ ποιεῖσθαι· οὕτω γὰρ εὐχερῶς ἕκαστος αὐτὰς δέχεται. Διὸ καὶ αὐτὸς αὐτοὺς ἐγκωμιάζει, *ἀγαπητοὺς* καλῶν, καὶ, *καθὼς*, φησι, *πάντοτε ὑπηκούσατε*· τοῦτο λέγων, ὅτι ἔδειξα ὑμῖν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ὑπήκοος γέγονε· μιμήσασθε μὲν οὖν ἐκεῖνον· μιμήσασθε δὲ καὶ ἑαυτοὺς, καὶ ἃ ἐποιεῖτε, πάλιν ποιήσατε. *Μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον.*] Τότε μὲν γὰρ ἴσως ἐδοκεῖτε, διὰ τὴν πρὸς ἐμὲ αἰδῶ πάντα πράττειν· νῦν δὲ, ἐὰν ἐπιτείνητε τὴν ἀρετὴν, διὰ τὸν θεὸν δόξετε τὰ δέοντα ποιεῖν, καὶ οὐ δι᾽ ἐμέ. *Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε.*] Οὐ δι᾽ ἐμαυτόν, φησι, παρακαλῶ ὑμᾶς, ἀλλ᾽ ἵνα τὰ πρὸς τὴν ὑμετέραν σωτηρίαν ποιῆτε μετὰ φόβου, καὶ τούτου ἐπιτεταμένου, καὶ μετὰ τρόμου. Οὐ γὰρ ἔνι ἄνευ εὐλαβείας καὶ τοῦ δεδοικέναι καὶ τρέμειν ἀγαθόν τι πρᾶξαι. Πῶς δὲ ἔσται τὸ τρέμειν; Ἐὰν ἐνθυμώμεθα, ὅτι πανταχοῦ πάρεστιν ὁ θεὸς, καὶ πάντα ὁρᾷ καὶ ἀκούει, καὶ ὅτι χαλεπαὶ αἱ εὐθύναι. *Δουλεύσατε* γάρ, φησι, *τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ* (α). Ἔστι γὰρ ἀγαλλίασις μετὰ τρόμου, ὅταν τὸ καλόν τις ποιῶν, καὶ τοῦτο μετὰ τρόμου, εὐπαῤῥησίαστον ἔχῃ τὸ συνειδός. *Κατεργάζεσθε* δὲ εἶπεν, οὐχ, Ἐργάζεσθε, τουτέστι, μετὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας.—*Μετὰ φόβου καὶ τρόμου.*] Καλῶς· δεῖ γὰρ φοβεῖσθαι καὶ τρέμειν ἐν τῷ ἐργάζεσθαι τὴν ἰδίαν σωτηρίαν ἕκαστον, μή ποτε ὑποσκελισθεὶς, ἐκπέσῃ ταύτης. Πολλοὶ γάρ εἰσιν οἱ πειρασμοὶ, καὶ πολλοὶ οἱ ἐπιβουλεύοντες, ὅπουγε καὶ αὐτὸ τὸ τὴν ἀρετὴν ἀσκῆσαι ἐνίοις εἰς τοὐναντίον ἐκβέβηκεν, ἀπονοίας καὶ ὑπερηφανείας ὑπόθεσις γενόμενον. Δεῖ οὖν διὰ ταῦτα δεδοικότας καὶ τρέμοντας, τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθαι.

(α) Ψαλμ. Β', 11.

Εἰ μὴ γὰρ ὁ θεὸς, τὸν ἀγῶνα καὶ τὴν μετὰ φόβου σπουδὴν βλέπων, συναντιλάβηται, καὶ τὸ θέλειν αὐτὸ οὐκ εἰς ἀγαθὸν ἀποβήσεται τέλος, καὶ τὸ ἐνεργεῖν οὐκ ἂν κριθείη πρᾶξις ἀγαθή. Ἠθέλησε γὰρ ὁ Κάϊν θυσίαν τῷ θεῷ προσαγαγεῖν (α), πρᾶγμα θελήσας τότε μάλιστα ἐπαινετὸν, καὶ ἐνήργησεν· ἔθυσε γάρ· ἀλλ' οὐδέτερον ἀπεδέχθη παρὰ θεοῦ· οὐ γὰρ ἦν μετὰ φόβου καὶ τρόμου· διὸ οὐδὲ συναντελάβετο τὸ θεῖον, οὐδ' εἰς τέλος αὐτῷ ταῦτα ἐξέβη χρηστὸν (Φωτίου). — *Ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν.*] Ἐπειδὴ εἶπεν, *Μετὰ φόβου καὶ τρόμου*, νῦν φησί· Μὴ πτοηθῆτε διὰ τοῦτο· *ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν*, τουτέστι, τὸ πράττειν τὸ ἀγαθόν. Ὥστε ὑμᾶς χρὴ μόνον γνώμην εὐλαβῆ προσενεγκεῖν, καὶ τὸ θέλειν τὰ ἀγαθὰ μετὰ φόβου καὶ τρόμου. Ὅταν γὰρ ᾖ τοῦτο, λοιπὸν ὁ θεὸς καὶ τὸ θέλειν αὐτὸ αὔξει, καὶ τὸ κατεργάζεσθαι τὰ ἀγαθὰ ἐνεργήσει. Ἢ, ὅτι διὰ πολλὴν εὐγνωμοσύνην ὁ Παῦλος καὶ αὐτὸ τὸ θέλειν λέγει ἐκ τοῦ θεοῦ ὑμῖν ἐνεργεῖσθαι, ὡς ὅταν καὶ τὰ κατορθώματα αὐτοῦ, πολλάκις *χαρίσματα* καλεῖ, οὐκ ἀναιρῶν τὸ αὐτεξούσιον, ἄπαγε! ἀλλὰ σφόδρα ὢν εὐχάριστος, καὶ πάντα ἀνατιθεὶς τῷ θεῷ, ἵνα καὶ ὑπὲρ ὧν ἡμεῖς κατορθοῦμεν, χάριν ἔχωμεν τῷ θεῷ. — *Ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν*, καὶ ἑξῆς.] Εἰκότως *ἐνεργεῖν* φησι τὸν θεόν· καὶ γὰρ συναντιλαμβανόμενος ἡμῶν, αὐτός ἐστιν ὁ τελειῶν καὶ οἱονεὶ μορφοποιῶν τὴν ἡμετέραν καὶ θέλησιν καὶ ἐνέργειαν. Δύναται δὲ τὸ, *Ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν*, καὶ ἑξῆς, καὶ ὡς αἴτιον εἰρῆσθαι τοῦ, *χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν*. Τί γὰρ γογγύζεις, φησὶν, ὡς κοπιῶν; Ὁ θεός ἐστιν ὁ πάντα ἐνεργῶν· καὶ τί διαλογίζῃ τὸ ἐπίπονον τῆς ἀρετῆς, θεὸν ἔχων συνεργόν; (Φωτίου).— *Ἐν ὑμῖν.*] *Ἐν ὑμῖν* τοῖς μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργαζομένοις· ἐν γὰρ τοῖς τοιούτοις ἐνεργεῖ ὁ θεὸς τὰ πάντα. *Ὑπὲρ τῆς*

(α) Γενεσ. Δ', 3.

εὐδοκίας.] Τουτέστιν, ὑπὲρ τοῦ πληρωθῆναι εἰς ὑμᾶς τὴν εὐδοκίαν καὶ τὴν βουλὴν αὐτοῦ, ἵνα οὕτω ζῶμεν, ὡς αὐτὸς βούλεται. Ὥστε καὶ ἐκ τούτου θαρσεῖτε· πάντως γὰρ συνεργήσει ὑμῖν ὁ θεὸς πρὸς τὸ ὀρθῶς ζῆν, εἰ καὶ μὴ δι' ἄλλο τι, διότι γοῦν αὐτὸς ἀποδέχεται.

14 Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν·
15 ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα θεοῦ
ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμ-
16 μένης· ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λό-
γον ζωῆς ἐπέχοντες· εἰς καύχημα ἐμοὶ εἰς ἡμέ-
ραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν ἔδραμον, οὐδὲ εἰς
κενὸν ἐκοπίασα.

Χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν.] Ὁ διάβολος, ἐπειδὰν οὐ δυνηθῇ καθάπαξ ἀπὸ τοῦ καλοῦ κωλῦσαί τινα, ἢ ἀπόνοιαν αὐτῷ εἰσηγεῖται, ἢ κενοδοξίαν· ἢ, εἰ μὴ ταῦτα, γογγυσμὸν, ἢ ἀμφιβολίαν καὶ ἀπιστίαν. Ἐπεὶ οὖν ἐν πειρασμοῖς καὶ κινδύνοις συνεχέσιν ἦσαν, ἐκ τούτων δὲ πολλοὶ εἰς γογγυσμοὺς ἐξετραχηλίζοντο καὶ βλασφημίας, *χωρὶς γογγυσμῶν*, φησι, *καὶ διαλογισμῶν πάντα ποιεῖτε*· ὁ γὰρ γογγύζων, ἀχαριστεῖ τῷ θεῷ· ὁ δὲ ἀχαριστῶν, δυσφημεῖ. *Διαλογισμοὺς* δέ φησι τὰς ἀμφιβολίας (1). Ἐντολῆς γὰρ θεοῦ προκειμένης, οὐ δεῖ ἀμφισβητεῖν, ἄρα δεῖ ποιῆσαι ἢ μὴ ποιῆσαι, ἀλλὰ πεποιθότως πάντα ποιεῖν. *Ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι.*] Ἵνα γένησθέ, φησιν, εἰλικρινεῖς, καὶ ἀπρόσκοποι, καὶ ἄψεκτοι. *Ἐν μέσῳ γενεᾶς σκολιᾶς.*] Δείκνυσιν, ὅτι πολλοὶ ἦσαν οἱ πολεμοῦντες, καὶ πρὸς γογγυσμὸν ἐπάγοντες· ἀλλὰ τοῦτο μάλιστά, φησιν, ἐνάρετον, τὸ καὶ παρακνιζόμενόν τινα μήτε γογγύσαι, μήτε εἰς ἀμφιβολίαν πεσεῖν ἢ δισταγμόν. *Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ.*] Ἐν οἷς σκολιοῖς καὶ διεστραμμένοις, ὡς φωστῆρες φαίνεσθε· καὶ

---

(1) «Διαλογισμοὺς δὲ τὴν διάκρισίν φησι καὶ τὸν δισταγμόν.» Θεοφύλακτος.

γὰρ, ὥσπερ οἱ φωστῆρες ἐν σκότει λάμπουσιν, οὕτω καὶ ὑμεῖς ἐν μέσῳ τῷ σκότει τῶν ἁμαρτιῶν αὐτῶν λάμπετε. *Λόγον ζωῆς ἐπέχοντες.*] Τουτέστι, σπέρματα ζωῆς καὶ ἐφόδια ἐν ὑμῖν αὐτοῖς ἔχοντες. Ὡσεὶ ἔλεγε· Γινώσκοντες, ὅτι ὑμεῖς τῶν ζησομένων ἐστὲ τὴν ἀθάνατον ζωήν· ἐκεῖνοι γὰρ, τῶν τεθνηξομένων εἰσὶ τὸν ἀθάνατον θάνατον. Ὁρᾷς καὶ ἐντεῦθεν εὐθὺς τὰς ἀμοιβὰς τῆς ἀρετῆς; *Εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ.*] Τοῦτο γὰρ οὐ μόνον ὑμῖν, ἀλλὰ καὶ ἐμοὶ φέρει καύχημα, ὅτι τοιούτους ὑμᾶς ἐπαίδευσα (1). *Ὅτι οὐκ εἰς κενὸν ἔδραμον.*] Ποῖον καύχημα ἔχεις, ὦ μακαρία ψυχή; ὅτι *οὐκ εἰς κενὸν ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα*· τουτέστιν, ὅτι οὐ ματαία καὶ ἀνωφελὴς γέγονέ μοι ἡ εἰς ὑμᾶς διδασκαλία.

17 Ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ
τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶ-
18 σιν ὑμῖν· τὸ αὐτὸ καὶ ὑμεῖς χαίρετε, καὶ συγχαί-
ρετέ μοι.

Ἀλλ', *εἰ καὶ σπένδομαι.*] Τουτέστιν, εἰ καὶ ἀποθνήσκω, καὶ οἷον θυσίαν μέλλω καὶ σπονδὴν ἐμαυτὸν προσφέρειν Χριστῷ· (τὸ γὰρ ὑπὲρ Χριστοῦ ἀποθανεῖν, θυσίαν ἐστὶν ἑαυτὸν προσενέγκαι Χριστῷ·) ὅμως *χαίρω, καὶ συγχαίρω πᾶσιν ὑμῖν*· χαίρω μὲν οὖν, ὅτι σπονδὴ γίνομαι· συγχαίρω δὲ, ὅτι τὴν πίστιν ὑμῶν ὡς θυσίαν προσάγω τῷ Χριστῷ. Τοῦτο δὲ εἶπεν, οὐχ ὡς νῦν ἀποθνήσκειν μέλλων, ἀλλὰ τὸ ὕστερον ἐσόμενον προεξηγεῖται, καὶ προπαραμυθεῖται τοὺς μαθητὰς, δεικνὺς, ὡς οὐ χρὴ λυπεῖσθαι ἐπὶ τῇ τελευτῇ αὐτοῦ, ἥτις ὡς σπονδὴ καὶ θυσία προσάγεται Χριστῷ, ἀλλὰ καὶ χαίρειν.—ΑΛΛΩΣ. Εἰ καὶ τελευτῶ, φησι, καὶ σπένδομαι, *χαίρω καὶ συγχαίρω ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν*, τουτέστι, χαίρω, ὅτι καὶ ὑμᾶς ὡς θυσίαν καὶ λειτουργίαν προσφέρω Χριστῷ·

(1) « Τοσαύτη ἔστω ἡ ὑμετέρα ἀρετὴ, ὥστε μὴ μόνον ὑμᾶς εἰς τὴν ζωὴν ἄγειν, ἀλλὰ καὶ ἐμὲ λαμπρότερον ποιεῖν ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ. » Θεοφύλακτος.

μᾶλλον δὲ οὐχ ὑμᾶς, ἀλλὰ τὴν πίστιν ὑμῶν, ὡς θυσίαν καὶ λειτουργίαν προσφέρω. Χαίρω οὖν, ὅτι ἐγὼ σπένδομαι· συγχαίρω δὲ καὶ ὑμῖν, ὅτι τὴν πίστιν ὑμῶν ὡς θυσίαν καὶ λειτουργίαν προσφέρειν μέλλω Χριστῷ. — Τὸ χωρίον τοῦτο, ἢ ὡς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο ἐκληπτέον, ἢ καὶ οὕτως· Ἀλλ' εἰ καὶ θύομαι διὰ τὴν θυσίαν καὶ λειτουργίαν τῆς πίστεως ὑμῶν, ἣν ἱερούργησα τῷ θεῷ, χαίρω μὲν ὡς ἀληθῶς· χαρὰ γὰρ διδασκάλου, ἡ τῶν μαθητευθέντων τελειότης· συγχαίρω δὲ, ὅτι καὶ αὐτοὶ τελειούμενοι χαρᾶς ἀπολαύετε μεγίστης. Ὥστε ἐγὼ μὲν διὰ τοῦτο χαίρω καὶ συγχαίρω ὑμῖν, καὶ ὑμεῖς δὲ ὀφείλετε χαίρειν, ὅτι γίνεσθε ἐν τελειότητι, καὶ συγχαίρειν ἐμοὶ, ὅτι ηὐφράνατε τὸν διδάσκαλον. Δοκεῖ δὲ ἴσως τὸ, *Ἀλλ' εἰ καὶ σπένδομαι*, ἔννοιαν παρεισάγειν, ὅτι εἰ μὴ ἐπὶ τῇ θυσίᾳ αὐτῶν ἐσπένδετο, ἐλυπεῖτο ἄν· τοῦτο γὰρ ὑποφαίνει ὁ τοῦ λόγου σχηματισμός· καὶ φαμὲν, ὅτι οὐδὲ τοῦτο ἄτοπον· εἰ γὰρ αὐτὸς προέφη, ἀναγκαιότερον ἡγεῖσθαι τὸ ἐπιμένειν αὐτὸν τῇ σαρκὶ διὰ τὴν προκοπὴν καὶ τὴν τελείωσιν τῶν μαθητῶν (α), πάντως ἂν ἐλυπήθη θυόμενος, ἐκείνους μήπω τελειώσας, μηδὲ τὴν πίστιν αὐτῶν ὡς θυσίαν ἔχων καὶ λειτουργίαν προσαγαγεῖν τῷ Χριστῷ. Καὶ ἄλλως δέ· Οὐχ ἁπλῶς ἂν ἠρετήσατο θύεσθαι, εἰ μὴ ἐφ' ᾧ σπουδαῖος καὶ θερμὸς κῆρυξ τῆς πίστεως γέγονε, καὶ ἐφ' ᾧ τοὺς μαθητὰς οὕτω κατήρτισεν, ὥστε δύνασθαι αὐτῶν ὡς θυσίαν καὶ λειτουργίαν τὴν πίστιν προσάγειν τῷ θεῷ. Ὁ γὰρ διὰ ταῦτα θυόμενος, οὗτος ὡς ἀληθῶς χαίρει καὶ ἀγάλλεται θυόμενος. Οὐδεὶς γὰρ μάτην αἱρεῖται σφάττεσθαι. Δυνατὸν δὲ καὶ οὕτω· Σπένδομαι νῦν τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσι· καὶ γὰρ ἀλλαχοῦ φησι· *Καθ' ἡμέραν ἀποθνήσκω* (β)· ἀλλ' εἰ καὶ θύομαι τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσι· (δεσμὰ γὰρ περιέκειτο αὐτῷ·) ἀλλ' οὖν *ἐπὶ τῇ θυσίᾳ* καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν

(α) Φιλιπ. Α', 24. (β) Α' Κορ. ΙΕ', 31.

χαίρω, καὶ ἑξῆς. Ἢ καὶ οὕτως· Ἀλλ' οὖν ὅτι ἐπὶ τῇ θυσίᾳ, τουτέστιν, ἕνεκεν ὑμῶν καὶ τοῦ εἰς ὑμᾶς κηρύγματος, χαίρω, καὶ ἑξῆς (Φωτίου). — *Τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε, καὶ συγχαίρετέ μοι.*] Ἐπὶ μὲν τῇ πίστει ὑμῶν χαίρετε· ἐφ' οἷς δὲ σπένδεσθαι μέλλω, συγχαίρετέ μοι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ Τιμοθέου καὶ Ἐπαφροδίτου, οὓς ἀπέστειλε πρὸς αὐτούς.

19 Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ, Τιμόθεον ταχέως
πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ
20 ὑμῶν. Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως
21 τὰ περὶ ὑμῶν μεριμνήσει· οἱ πάντες γὰρ τὰ ἑαυτῶν
22 ζητοῦσιν, οὐ τὰ Χριστοῦ Ἰησοῦ. Τὴν δὲ δοκιμὴν
αὐτοῦ γινώσκετε, ὅτι, ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ
23 ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. Τοῦτον μὲν οὖν ἐλ-
24 πίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμὲ, ἐξαυτῆς·
πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως
ἐλεύσομαι.

Ὥσπερ πάντα, οὕτω καὶ τὸ πέμψαι τὸν Τιμόθεον, τῇ γνώμῃ τοῦ Ἰησοῦ Χριστοῦ ἀνατίθησιν. *Ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν.*] Καθὼς, φησιν, ὑμεῖς εὐψυχεῖτε, μαθόντες διὰ τῆς ἐπιστολῆς μου ταύτης τὰ κατ' ἐμὲ, ὅτι τε εἰς προκοπὴν ἦλθε τὸ εὐαγγέλιον, καὶ ὅτι οἱ ἐχθροὶ κατῃσχύνθησαν, τῶν κατασκευασμάτων αὐτῶν εἰς ἀγαθὸν ἐμοὶ περιτραπέντων, οὕτω κἀγὼ εὐψυχῶ, καὶ εὐθυμῶ, γνοὺς τὰ καθ' ὑμᾶς, παρὰ τοῦ Τιμοθέου ἀκριβῶς μοι ἀπαγγελθησόμενα. *Οὐδένα γὰρ ἔχω ἰσόψυχον.*] Ἠδυνάμην μέν, φησι, καὶ ἄλλον πέμψαι· πλὴν οὕτως ὑμῶν ἀντιλαμβανόμενον, ἢ κηδόμενον τῶν καθ' ἡμᾶς, οὐδένα ἔχω ἕτερον· ἰσοψυχίας γὰρ τὸ ὁμοίως Παύλῳ κήδεσθαι

αὐτῶν καὶ τὸν Τιμόθεον. Ὅρα δὲ κηδεμονίαν! Ὅτε μὴ αὐτὸς ἐπιδημεῖν εὐκαίρει, ἄλλους ἔπεμπεν, ἵνα μηδένα καιρὸν ῥαθυμῶσιν οἱ μαθητευόμενοι. *Οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσι.*] Τουτέστι, τὴν ἰδίαν ἀνάπαυσιν, καὶ τὸ ἐν ἀσφαλείᾳ εἶναι· οὐδεὶς γὰρ εὐχερῶς πρός τε τὸ τῷ Χριστῷ δοκοῦν καὶ τὸ ὑμῶν συμφέρον ἕλοιτο τοσαύτην ἀποδημίαν στείλασθαι τὴν ἄχρις ὑμῶν. Τοῦτο δέ φησιν, οὐ τοὺς ἄλλους λοιδορῶν, ἀλλὰ τὸν Τιμόθεον ἐγκωμιάζων, καὶ ἡμᾶς διδάσκων, μὴ τοῖς ἴσοις περιπεσεῖν. Πλὴν, ὅρα, ὅτι ὁ ἄνεσιν ζητῶν, ἢ τὸ οἰκεῖον μόνον συμφέρον, οὐ τὰ τοῦ Χριςοῦ ζητεῖ. *Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι, ὡς πατρὶ τέκνον.*] Οὐ δεῖσθε, φησὶ, παρ' ἐμοῦ μαθεῖν, ὅτι μετὰ τοῦ ἐμοὶ ὑποτετάχθαι, ἐδούλευσε σὺν ἐμοὶ εἰς τὸ κήρυγμα· ὑμεῖς γὰρ ἐστὲ μάρτυρες τούτου. Παρατίθεται δὲ διὰ τούτων αὐτοῖς τὸν Τιμόθεον, καὶ τοῦτο διὰ τὸ ἐκείνων συμφέρον, ἵνα, ἔντιμον ἔχοντες αὐτὸν, πλέον ἀκούσωσι, καὶ πλέον ὠφεληθῶσιν. *Ὡς ἂν ἀπίδω τὰ περὶ ἐμέ.*] Ὅταν ἴδω, φησὶν, εἰς ποῖον ἥξει τὰ κατ' ἐμὲ πέρας, *ἐξαυτῆς*, τουτέστιν, εὐθέως πέμψω τοῦτον. *Πέποιθα δὲ ἐν Κυρίῳ.*] Οὐχ ὡς μὴ ἐρχόμενος, φησὶ, τὸν Τιμόθεον πέμπω, ἀλλ' ἵνα, ὅπερ ἔφην, ἐν τῷ μέσῳ χρόνῳ εὐθυμῶ, γνοὺς τὰ περὶ ὑμῶν. Ὅρα δὲ, πῶς πάντα τῷ θεῷ ἀνατίθησι, καὶ οὐδὲν ἀφ' ἑαυτοῦ λαλεῖ, *Πέποιθα*, λέγων, *ἐν Κυρίῳ*· τουτέστιν, ἐὰν ὁ θεὸς βούληται.

25 Ἀναγκαῖον δὲ ἡγησάμην, Ἐπαφρόδιτον, τὸν ἀδελφὸν
καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου, πέμψαι
26 πρὸς ὑμᾶς· ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ
27 ἀδημονῶν, διότι ἠκούσατε, ὅτι ἠσθένησε. Καὶ γὰρ
ἠσθένησε παραπλήσιον θανάτῳ· ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ.

Μετὰ ἐπαίνων καὶ τοῦτον ἀποστέλλει, ὡς τὸν Τιμοθέον, διὰ τὴν ἐκεῖ γεγραμμένην αἰτίαν. *Καὶ συστρατιώτην μου.*] Τοῦτο

μεῖζον τοῦ συνεργοῦ. Ἔνι γὰρ καὶ ἐν ψιλοῖς συνεργεῖν· ὁ δὲ συστρατιώτης, πάντως ἐν κινδύνοις καὶ πειρασμοῖς συνεργεῖ. *Ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου.*] Τουτέστι, τὸν παρ' ὑμῶν ἀποσταλέντα πρός με, ὑμῖν χαρίζομαι· δι' αὐτοῦ γὰρ ἦσαν αὐτῷ τὰ πρὸς χρείαν πέμψαντες. Διὸ *ἀπόστολον* ἐκείνων, καὶ τῆς οἰκείας χρείας *λειτουργὸν* αὐτὸν καλεῖ. *Ἐπειδὴ ἐπιποθῶν ἦν.*] Τὴν ἀγάπην αὐτοῦ, εἰς σύστασιν προΐσχεται. *Καὶ ἀδημονῶν.*] Εἰδὼς, φησὶν, ὅτι φιλεῖται παρ' ὑμῶν, καὶ διὰ τοῦτο γινώσκων, ὅτι ἐλυπήθητε ἐπὶ τῇ ἀῤῥωςίᾳ αὐτοῦ, ἐπιποθεῖ ἰδεῖν ὑμᾶς, ἵνα τῆς λύπης ὑμᾶς ἀπαλλάξῃ, ἣν ἔχετε ἐπὶ τῇ ἀσθενείᾳ αὐτοῦ. *Καὶ γὰρ ἠσθένησε.*] Δείκνυσιν, ὅτι οὐκ ἀμελήσας ἤργησε πέμψαι τινὰ πρὸς αὐτοὺς, ἀλλ' ἠναγκάσθη· ὁ γὰρ Ἐπαφρόδιτος ἠῤῥώστει· καὶ μακρὰ ἦν αὐτοῦ ἡ ἀῤῥωστία· παραπλησία γὰρ θανάτῳ· Τιμόθεον δὲ, τὸν καὶ ἐλθεῖν δυνάμενον, μόνον εἶχε παρ' ἑαυτῷ. Πῶς οὖν ἀπέςειλεν ἂν αὐτόν; *Ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησε.*] Τί ἐροῦσιν οἱ αἱρετικοὶ, οἱ λέγοντες κακὸν τὸν κόσμον; Εἰ γὰρ πονηρὸς ὁ κόσμος, καὶ ἡ ἐν τούτῳ ζωὴ, πῶς νῦν ὁ ἀπόστολος *ἔλεον θεοῦ* καλεῖ τὸ ἐαθῆναι τὸν Ἐπαφρόδιτον ἐν τῇ ζωῇ; Διὰ τί δὲ ὅλως· (τοῦτο γὰρ ὡς πρὸς χριστιανοὺς ζητητέον, εἰ τὸ ἀναλῦσαι καὶ σὺν Χριςῷ εἶναι καλόν·) *ἔλεον* λέγει *θεοῦ* εἶναι τὴν ἐνταῦθα ζωήν; Καὶ φαμὲν, ὅτι δι' ἣν αἰτίαν ἄνω εἶπεν· *Ἀναγκαιότερον δὲ τὸ ἐπιμεῖναι τῇ σαρκὶ δι' ὑμᾶς*· διὰ ταύτην καὶ νῦν τοῦτο φησίν. *Ἀλλὰ καὶ ἐμέ.*] Ὅρα, πῶς καὶ ἀπὸ τούτου αἰδέσιμον αὐτὸν ποιεῖ; εἴγε τῇ ἐκείνου ὑγείᾳ καὶ ἑαυτὸν ἠλεῆσθαι παρὰ θεοῦ λέγει. *Ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ.*] Τουτέστιν, ἵνα μὴ πρὸς τῇ ἀπὸ τῆς ἀῤῥωστίας αὐτοῦ ἐπιγενομένῃ μοι, καὶ ἑτέραν λύπην σχῶ, τὴν ἀπὸ τοῦ θανάτου αὐτοῦ.

28 Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα, ἰδόντες αὐ-
29 τὸν πάλιν, χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ. Προσ-
δέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς,
30 καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε· ὅτι διὰ τὸ ἔργον

τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος (1) τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν.] Τουτέστιν, ἀνυπερθέτως. *Ἵνα, ἰδόντες αὐτὸν πάλιν, χαρῆτε.*] Ἵνα μὴ μόνον ἐκ τῆς ἀκοῆς, ἀλλὰ καὶ ἐκ τῆς θέας, μαθόντες, ὅτι ὑγείανεν, ἀπαλλαγῆτε τῆς ἐπ' αὐτῷ ἀδημονίας, μᾶλλον δὲ χαρῆτε. *Κἀγὼ ἀλυπότερος ὦ.*] Ἐὰν γὰρ, φησὶν, ὑμεῖς χαρῆτε, καὶ ἐγὼ χαίρω. Ἀλλ' οὐχ εἶπε, Χαίρω, ἀλλ' οὐδὲ, Ἄλυπος ἔσομαι, ἀλλὰ, *Ἀλυπότερος*, δεικνὺς, ὅτι οὐδέ ποτε ἦν χωρὶς λύπης τῆς ὑπὲρ τῶν μαθητῶν, καὶ τῆς ὑπὲρ τοῦ πολέμου τῆς πίστεως· ὑπὲρ γὰρ τῆς ἐλπίδος ἀεὶ ἔχαιρε. *Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ.*] Δέξασθε οὖν αὐτὸν, ἢ διὰ τὸν Κύριον, ἢ θεοῦ θέλοντος (2). *Καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε.*] Οὐ δι' αὐτοὺς ἐκείνους, ἀλλὰ δι' ὑμᾶς τοὺς δεχομένους, ἵνα πλεονάσῃ ὑμῶν ὁ μισθός. Ἵνα δὲ μὴ δόξῃ αὐτῷ μόνῳ χαρίζεσθαι, κοινῶς παραινεῖ, πάντας τοὺς τὴν αὐτὴν ἀρετὴν ἐπιδεικνυμένους τιμᾷν. *Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισεν.*] Οὗτος ἀπελθὼν ἐν τῇ Ῥώμῃ, ἐν τῷ ἀποκομίζειν τὰ πρὸς τὴν χρείαν τῷ Παύλῳ, εἰκὸς, ὅτι εὗρεν αὐτὸν ἐν πολλῷ κινδύνῳ, ὡς μηδὲ τὸ ἐγγίζειν αὐτῷ ἀφίεσθαί τινι, ἀλλὰ καὶ κίνδυνον εἶναι τοῖς ἐντυγχάνουσιν. Ὁ οὖν Ἐπαφρόδιτος, τοιούτου κινδύνου καταφρονήσας, καὶ συνέτυχε, καὶ τὰ πρὸς τὴν χρείαν ἔδωκε, καὶ διηκόνει αὐτῷ. *Ἔργον* δὲ τοῦ *Κυρίου* καλεῖ τὸ τοιοῦτον· ὁ γὰρ ἐμέ, φησιν, ἀναπαύων, οὐ δι' ἐμὲ τοῦτο ποιεῖ, ἀλλὰ διὰ τὸν Κύριον.— *Διὰ τὸ ἔργον τοῦ χριστοῦ.*] Καλῶς *ἔργον* αὐτὸ *τοῦ Χριστοῦ* καλεῖ. Εἰ γὰρ

---

(1) Παρ' ἄλλοις ἀναγινώσκεται, παραβολευσάμενος, παρὰ τὸ, παράβολος, καὶ τοῦτο παρὰ τὸ, παραβάλλεσθαι, τὸ εἰς προφανῆ κίνδυνον ἐπιρρίπτειν ἑαυτόν. Το δὲ, παραβουλευσάμενος, σημαίνει κυριωτέρως τὸ, κακῶς ἢ παρὰ τὸ δέον βουλευσάμενος, ἢ ἐπικινδύνως ἑαυτῷ βουλευσάμενος.

(2) « Ἐν ὑποδοχῇ τῇ κατὰ θεὸν, ὡς ἀποδέχεται ὁ θεὸς, ἤγουν, ἀξίως τῶν ἁγίων. » Θεοφύλακτος.

ὁ δεχόμενος τοὺς μαθητὰς, αὐτὸν δέχεται τὸν Χριστόν· (ὁ γὰρ δεχόμενος ὑμᾶς, φησιν, ἐμὲ δέχεται (α)·) καὶ ὁ ὑπηρετῶν ἔν τινι τοῖς μαθηταῖς, Χριστῷ ὑπηρετεῖ. Καὶ ἄλλως δὲ *ἔργον* ἐστὶ τοῦ *Χριστοῦ*, ὅτι ἐντολὴ ἐςι Χριςοῦ, τὸ τιθέναι ὑπὲρ τῶν φίλων τὴν ἰδίαν ψυχὴν (β)· εἰ δὲ ὑπὲρ φίλων, πόσῳ μᾶλλον ὑπὲρ διδασκάλων; (Φωτίου). — *Παραβουλευσάμενος τῇ ψυχῇ.*] Τουτέστιν, ἐπιῤῥίψας ἑαυτὸν εἰς προφανῆ κίνδυνον θανάτου. Τί γὰρ εἰ ὁ Θεὸς αὐτόν, φησιν, ἔσωσεν ἐκ παραδόξου; Πλὴν αὐτός γε τὴν προαίρεσιν ἔδειξεν. *Ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.*] Ἀπεστείλατέ μοι, φησὶ, τὰ πρὸς τὴν χρείαν, καὶ ἐμνήσθητέ μου ἀπόντος, καὶ τὴν ἀγάπην ἐδείξατε. Ἐλείπετο τοίνυν τῷ παντὶ ἔργῳ, καὶ τὸ ἀπολαβεῖν με τὰ ἀποσταλέντα, καὶ τοῦτο ὑστέριζε μόνον. Οὗτος τοιγαροῦν τὸ περιλιμπανόμενον ὑστέρημα εἰς τὴν ἐμὴν λειτουργίαν ἐπλήρωσε, παραβουλευσάμενος τῇ ψυχῇ. Δείκνυσι δὲ, ὅτι ὑπὲρ τούτου καὶ τοῖς ἀποστείλασιν ἔσται μισθὸς, εἴγε τὸ ἐλλεῖπον τοῦ ἀπαρτισθῆναι τὸ κατὰ Θεὸν ἔργον οὗτος προσανεπλήρωσεν ὁ Ἐπαφρόδιτος. Εἰπὼν δὲ, *τὸ ὑμῶν ὑστέρημα*, καὶ, *τῆς πρός με λειτουργίας*, ἔδειξεν ὀφειλόμενον τὸ ἀποστέλλεσθαι παρὰ τῶν ἐν ἀσφαλείᾳ ὄντων τοῖς ἐν κινδύνοις οὖσι. Τοῦτο δέ φησι, καταστέλλων αὐτοὺς, καὶ δεικνὺς, χρέος πεπληρωκέναι.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ πνευματικοῦ βίου τοῦ μὴ ὡς ἐν σαρκὶ, ὅ ἐστι μίμησις θανάτου Χριστοῦ.

ΚΕΦ. III, 1 Τὸ λοιπὸν, ἀδελφοί μου, χαίρετε ἐν

(α) Ματθ. ί, 40. (β) Ἰωαν. ιέ, 13.

Κυρίῳ. Τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ
2 ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. Βλέπετε τοὺς κύνας,
βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κα-
3 τατομήν. Ἡμεῖς γὰρ ἐσμὲν ἡ περιτομὴ, οἱ πνεύ.
ματι θεῷ (1) λατρεύοντες, καὶ καυχώμενοι ἐν Χρι-
4 στῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες· καίπερ
ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί.

Τὸ *λοιπὸν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ.*] Εἰ ἐγώ, φησιν, οὐ τεθνήξομαι νῦν, καὶ τὸ εὐαγγέλιον εἰς ἐπίδοσιν ἔλθῃ, καὶ οἱ ἐχθροὶ καταισχυνθήσονται, χαίρειν ὀφείλετε ἐν Κυρίῳ· τὰ γὰρ συμβάντα, εἰς δόξαν συντείνει τοῦ Κυρίου. Καὶ ἔτι· Εἰ ὁ ἀπόστολος [ὁ Ἐπαφρόδιτος] ὑμᾶς ἀνέῤῥωσε, καὶ ἀπεστάλη πάλιν πρὸς ὑμᾶς, καὶ ἐγὼ τῆς ἐπ' αὐτῷ λύπης ἀπήλλαγμαι, καὶ τὸ ὑμῶν ὑστέρημα ἀναπεπλήρωται, χαίρειν ὀφείλετε χαρὰν πνευματικὴν καὶ ἀξίαν Κυρίου. *Τὰ αὐτὰ γράφειν ὑμῖν, καὶ ἑξῆς.*] Μετὰ τὸ πολλὰ αὐτοὺς ἐπαινέσαι, τότε τὴν παραίνεσιν εἰσάγει, ἵνα μὴ ἐξ ἀρχῆς φορτικὸς δόξῃ (2). *Τοὺς κύνας.*] Ἦσαν γὰρ ἀπὸ Ἰουδαίων τινὲς δῆθεν πιστοὶ, οἳ μετὰ τῆς πίστεως καὶ τὸν ἰουδαϊσμὸν ἀνεμίγνυον, καὶ διέφθειρον τὸ κήρυγμα, οὓς *κύνας* καλεῖ. *Κύνες δέ* ποτε οἱ ἐθνικοὶ ἐλέγοντο (3), διὰ τὸ ἀγνοεῖν τὸν θεόν· καὶ γὰρ καὶ οἱ κύνες καὶ τὸν διδόντα ὑλακτοῦσι· νῦν δὲ οὗτοι κύνες· (οἱ γὰρ τὸν υἱὸν ἀρνούμενοι, οὐδὲ τὸν πατέρα ἴσασιν (α)·) ἢ διὰ τὸ ἀναίσχυντον, ἢ ὥσπερ ἐπιστρέφοντες εἰς τὸ ἴδιον ἐξέραμα (ϐ), ἢ διὰ τὸ λαθραιόδηκτον. Ἐπεὶ οὖν ἦσαν δυσδιάγνωστοι, διὰ τοῦτό φησι, *Βλέπετε*, τουτέστι, τηρεῖτε ἑαυτοὺς καὶ φυλάττεσθε. *Βλέπετε τοὺς κακοὺς ἐργάτας.*] Ἐνταῦθα καὶ τῆς τῶν κυνῶν προσηγορίας ἀποστερεῖ αὐτούς. Κύνες μὲν γὰρ πολ-

(1) Παρ' ἄλλοις, θεοῦ. (2) «Οὐκ ἄλλην αὐτοῖς ἐπιστολὴν γέγραφεν, ἀλλ' ἐν ταύτῃ πολλὰς αὐτοῖς προσήνεγκεν εἰσηγήσεις.» Θεοδώρητος.

(3) Ματθ, ΙΕ, 26. (α) Αʹ Ἰωαν. Βʹ, 22. (ϐ) Βʹ Πετρ. Βʹ, 22.

λοὶ καὶ ἐπιτραπέζιοί, φησίν, εἰσι, καὶ τὰς τῶν δεσποτῶν οἰκίας φρουροῦσιν· οὗτοι δὲ ἐργάζονται μὲν, ἀλλ' ἐπὶ κακῷ, καὶ ἀργίας πολλῷ χείρονα· τὰ γὰρ καλῶς φυτευθέντα ἀνασπῶσι. *Τὴν κατατομήν.*] Τοὺς περιτομὴν ἔχοντας, τοὺς περιτεμνομένους. Ἐπειδὴ δὲ οὐκέτι νομίμως ἐγίνετο παρὰ Ἰουδαίοις ἡ περιτομή· (ἡ γὰρ νομίμη νῦν ἐστι, τὸ τῷ πνεύματι περιτέμνεσθαι τὴν ψυχήν·) *κατατομὴν* αὐτὴν ἐκάλεσε, δηλῶν, ὅτι οὐδὲν ἕτερόν ἐστι ἡ περιτομὴ, ἢ σώματος κατατομή· τῆς γὰρ ἀληθείας ἐλθούσης, ἀνάγκη τοὺς τύπους ἀργεῖν. Ἢ, ὅτι τὴν περιτομὴν κηρύττοντες, κατατέμνειν πειρῶνται τὸ σῶμα τῆς ἐκκλησίας. *Οἱ πνεύματι θεῷ λατρεύοντες.*] Οἱ πνευματικῶς τῷ θεῷ λατρεύοντες, καὶ πνευματικῶς περιτεμνόμενοι· ἄλλως γὰρ οὔτε λατρεύειν τῷ θεῷ δύναταί τις. Οὐκ εἶπε δέ· *Ἐν ἡμῖν γάρ ἐστιν ἡ περιτομή· ἀλλ'*, *Ἡμεῖς ἐσμὲν ἡ περιτομή.* Τοῦτο γάρ ἐστιν ἀληθῶς ἄνθρωπος, ἡ περιτομὴ ἡ ἐνάρετος. Καὶ πάλιν οὐκ εἶπεν· *Ἐν ἐκείνοις ἡ κατατομή·* ἀλλ' αὐτόχρημά εἰσιν ἀπώλεια καὶ κακία. *Καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ.*] Ὅρα, πῶς τὴν διαφορὰν ἔδειξε! Ποῖον γὰρ ἄμεινον; ἐν Χριστῷ καυχᾶσθαι, τῷ περιτέμνοντι τὰς καρδίας ἡμῶν, καὶ εἰς τὴν εὐγένειαν τῶν υἱῶν τοῦ θεοῦ ἀνάγοντι διὰ τοῦ λουτροῦ, ἢ ἐν σαρκὶ καυχᾶσθαι, τουτέστιν, ἐν τῇ σαρκικῇ περιτομῇ μεγαλοφρονεῖν, ὡς Ἀβραὰμ υἱοὺς ὄντας; Δῆλον, ὅτι τῷ Χριστῷ. Οὐκοῦν ἀληθής ἐστιν ἡμῶν ἡ περιτομὴ, τῶν ἐν Χριστῷ καυχωμένων, καὶ οὐ τῶν ἐν σαρκί. *Καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί.*] Εἰ ἐβουλόμην, φησὶ, καυχήσασθαι, ὥσπερ ἐκεῖνοι, ἔχω μᾶλλον πεποίθησιν κἀγὼ καὶ ἐν σαρκί· οἷον, ἠδυνάμην κἀγὼ, ὡς ἐκεῖνοι, καὶ ἐπὶ τῇ τῆς σαρκός μου περιτομῇ καυχήσασθαι, καὶ πλέον ἐκείνων. — ΑΛΛΩΣ. Εἰ ἦν ἐξ ἐθνῶν ὁ ἀπόστολος, εἶχεν ἄν τις εἰπεῖν, ὅτι διὰ τοῦτο ἐξευτελίζει τὴν περιτομὴν, τὴν τῶν Ἰουδαίων, ὡς ἀπεστερημένος αὐτὸς τῆς αὐτῶν εὐγενείας. Νῦν δέ φησι· *Καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκὶ,* ὅμως ταῦτα λέγω· οὐκ ἐπειδὴ

καύχησις ἦν αὐτῷ αὕτη· (τοῦτο γὰρ ἡ *πεποίθησις*·) ἀλλὰ δι' ἐκείνους οὕτως εἶπεν (1).

4 Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλ-
5 λον· περιτομὴ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυ-
λῆς Βενιαμὶν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον
6 Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κα-
τὰ δικαιοσύνην, τὴν ἐν νόμῳ, γενόμενος ἄμεμπτος.

Εἴτις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί.] Καλῶς τὸ, *δοκεῖ*· ἢ ὡς οὐκ ἐχόντων τοσαύτην πεποίθησιν ἐκείνων, ὅσην αὐτὸς ἔχει· ἢ ὡς τῆς ἐν σαρκὶ πεποιθήσεως, οὐκ οὔσης κυρίως πεποιθήσεως, ἀλλὰ δοκούσης. Εἶπε δὲ, *Εἴτις δοκεῖ ἄλλος*, δεικνὺς, ὅτι οὐκ ἄν ποτε εἰς τοὺς λόγους τούτους ἐλήλυθεν, εἰ μὴ ἄλλοι, εἰς τὴν σάρκα πεποιθότες, εἰς τοῦτο αὐτὸν ἤγαγον. Ὅρα δὲ καὶ πῶς ἀνωνύμως αὐτῶν καθάπτεται, φοβούμενος, μὴ ἀναισχυντοτέρους αὐτοὺς ποιήσῃ. *Περιτομὴ ὀκταήμερος.*] Τὸ τίμιον παρ' αὐτοῖς τέθεικε πρῶτον, τὴν περιτομήν. Ὅρα δὲ, πόσην σωματικὴν εὐγένειαν λέγει, ἵνα μὴ νομίσωσιν οἱ Ἰουδαῖοι, ὡς τούτων αὐτὸν ἀπεστερημένον, λέγειν ἅπερ εἴρηκεν. Ἄλλως γὰρ κατησχύνοντο, ἐκείνου ψέγοντος τὰ παρ' αὐτοῖς, τοῦ μάλιστα πάντα ἔχοντος. Λέγων δὲ, *περιτομὴ ὀκταήμερος*, δείκνυσιν, ὅτι οὐκ ἦν προσήλυτος. *Ἐκ γένους Ἰσραήλ.*] Δείκνυσιν, ὅτι οὐδὲ ἐκ προσηλύτων γονέων, ἀλλὰ κἀκείνων Ἰσραηλιτῶν. *Φυλῆς Βενιαμίν.*] Τῆς εὐδοκιμούσης, φησὶ, παρὰ Ἰουδαίοις (2). *Ἑβραῖος ἐξ Ἑβραίων.*] Ἄνωθέν, φησι, τῶν εὐδοκίμων Ἰουδαίων εἰμί· (ἔνι γὰρ εἶναι ἐκ γένους Ἰσραὴλ, καὶ μὴ Ἑβραῖον ἐξ Ἑβραίων·) τὸ, *Ἑβραῖος*, ὡς πρὸς τὴν εἴδησιν τῆς Ἑβραΐδος γλώσσης δεξάμενος. Μετὰ γὰρ τὸ κατασπαρεῖναι τοὺς Ἑβραίους ἐν

(1) « Νῦν δὲ καὶ αὐτὸς, φησὶν, ἔχω ταύτην, ἣν φατὲ ὑμεῖς, πεποίθησιν καὶ καύχησιν, τὴν ἐπὶ τῇ σαρκικῇ περιτομῇ. Δῆλον οὖν, ὅτι οὐχ ὡς ἀπεστερημένος τῆς δοκούσης εὐγενείας ὑμῶν, ἀλλὰ δι' αὐτὴν τὴν ἀλήθειαν καταγινώσκω τῆς περιτομῆς. » Θεοφύλακτος.

(2) « Καὶ οὐδὲ τῶν ἡμιδούλων εἰμι, ἀλλ' ἐκ τῆς ἐλευθερίας ἐβλάστησα, ἐκ τῆς Ῥαχὴλ τῆς ἠγαπημένης, ὑπὲρ ἧς ὁ πατριάρχης ἐδούλευσεν (Γενεσ. ΚΘ', 18.). » Θεοδώρητος.

τοῖς ἔθνεσι, πολλοὶ, τῇ ἀγνοίᾳ τῆς πατρίου γλώσσης, οὐκ ἠκριβῶντο τὰς παρὰ Ἰουδαίοις γραφὰς, οὐδὲ τὸν νόμον αὐτόν. Ἐγὼ οὖν, φησιν, Ἑβραῖός εἰμι, τουτέστι, σώζω τὸν χαρακτῆρα. Ἢ τὴν πολλὴν εὐγένειαν διὰ τούτων δείκνυσι. *Κατὰ νόμον Φαρισαῖος.*] Λοιπὸν δὲ καὶ τὴν ἐκ προαιρέσεως αὐτοῦ ἀρετὴν λέγει· τὰ γὰρ πρῶτα, ἀπροαίρετα ἦν. Ἐκ προαιρέσεως γὰρ ὁ ζῆλος, ἀπροαίρετα δὲ ἡ περιτομὴ, τὸ ἐκ γένους Ἰσραὴλ εἶναι, τὸ ἐκ φυλῆς Βενιαμὶν, καὶ τὰ ἑξῆς. *Κατὰ νόμον δὲ Φαρισαῖος*, τουτέστιν, ἐν τῇ τοῦ νόμου μαθήσει· ἡ γὰρ εὐδοκιμωτάτη παρὰ Ἰουδαίοις αἵρεσις οἱ Φαρισαῖοι ἦσαν. *Κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν.*] Ἐπειδὴ ἔστι μὲν εἶναι Φαρισαῖον, οὐ μὴν δὲ ζηλωτὴν, φησὶν, ὅτι ἐγὼ ζῆλον εἶχον, καὶ τοσοῦτον, ὥστε καὶ διώκειν τοὺς τοῦ Χριστοῦ. *Κατὰ δικαιοσύνην, τὴν ἐν νόμῳ, γενόμενος ἄμεμπτος.*] Ἐπειδὴ καὶ Ἰουδαῖοι ἐδίωκον τὴν ἐκκλησίαν, οὐ διὰ ζῆλον θεοῦ, ἀλλὰ διὰ φιλαρχίαν, καὶ τοῦτο ἀσφαλίζεται· ὁ γὰρ κατὰ τὴν ἐν νόμῳ δικαιοσύνην ἄμεμπτος ὢν, πῶς ἂν διὰ φιλαρχίαν ἔμελλε διώκειν, καὶ οὐ κατὰ ζῆλον θεοῦ;

7 Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν
8 Χριστὸν ζημίαν. Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ, τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν
9 κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην, τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει (1).

Ἀλλ' ἅτινα ἦν μοι κέρδη.] *Κέρδος* λέγει, τὰ ἀπὸ τοῦ νόμου συλλεγέντα αὐτῷ. Ὥστε οὐ κακίζει τὸν νόμον, ὡς οἱ ἀπὸ Μαρκίωνος ληροῦσιν. Εἰ δὲ καὶ ἡγεῖται αὐτὰ ζημίαν, οὐχ ά-

(1) Τὸ, ἐπὶ τῇ πίστει, συνάπτεται κοινότερον τῷ ἑπομένῳ, τοῦ γνῶναι· οἷον, ἐπὶ τῇ πίστει τοῦ γνῶναι αὐτόν· καὶ εἰς αὐτὴν τὴν ἀνάγνωσιν ἀναφέρονται κυριωτέρως αἱ ἑρμηνεῖαι τῶν Πατέρων, οἷον, τοῦ Χρυσοστόμου, τοῦ Θεοδωρήτου, τοῦ Θεοφυλάκτου, καὶ αὐτοῦ τοῦ Οἰκουμενίου.

πλῶς λέγει τοῦτο, ὅπερ ἂν ἦν κακίζοντος τὸν νόμον· ἀλλὰ ζημίαν αὐτὰ καλεῖ, τῇ πρὸς τὸν Χριστὸν συγκρίσει καὶ παραθέσει, ὅπερ μᾶλλον εἰς ἐγκώμιον τοῦ νόμου τελεῖ, τὸ μὴ ἄλλως τολμᾷν ζημίαν αὐτὸν καλεῖν, εἰ μὴ τῇ πρὸς τὸν Χριστὸν παραθέσει καὶ συγκρίσει. *Ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν.*] Εἰ ἡγῇ πάντα ζημίαν, ὦ Παῦλε, καὶ αὐτὰ τὰ σωματικῶς φυλαττόμενα τοῦ νόμου, *διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ*, πῶς λέγεις εὐθὺς, *δι' ὃν πάντα ἐζημιώθην;* Τὸ γὰρ λέγειν, *ἐζημιώθην*, οὐκ ἔστι ζημίαν ἀποβαλεῖν· (τοῦτο γὰρ μᾶλλον κερδῆσαί ἐστι, τὸ ἐλευθερωθῆναι ζημίας·) ἀλλὰ μᾶλλον πραγμάτων λυσιτελῶν τινῶν σημαίνει ἀποβολήν. Πῶς οὖν, ἃ ἥγησαι ζημίαν, ταῦτα ἀποτιθέμενος λέγεις, ὅτι *ἐζημιώθης;* Καὶ φαμὲν, ὅτι οὐχ ἁπλῶς ταῦτα ἡγεῖτο ζημίαν, ἀλλὰ πρὸς σύγκρισιν τελειοτέρας, τῆς κατὰ Χριστὸν γνώσεως· ἐπεὶ καθ' αὐτὸ, κέρδος αὐτὰ ἐνόμιζε (1). Διὸ τὸ μὲν, *ἡγοῦμαι πάντα ζημίαν*, πρὸς σύγκρισιν τῶν βελτιόνων· τὸ δὲ, *ἐζημιώθην*, καθ' αὑτὸ πρὸς τὴν φύσιν τοῦ νόμου. Ἢ καὶ τοῦτο δεῖ εἰπεῖν, ὡς οὐ μέλει τῷ θεσπεσίῳ Παύλῳ περὶ ἐκλογῆς Ἑλληνικῶν ὀνομάτων, ἀλλὰ μόνον τὸ ὑποκείμενον δηλῶσαι σκοπεῖ. Ὥσπερ γὰρ ἀλλαχοῦ, τὴν ἐξουσίαν τοῦ θανάτου ἡμῶν δηλῶσαι θέλων, οὐδὲν περὶ τὴν λέξιν ἠκριβώσατο· ἀλλ' ἀντὶ τοῦ εἰπεῖν, ἐτυράννησεν, ἢ, ἐβιάσατο, εἶπεν, *ἐβασίλευσεν* (α), ὀνόματι εὐφήμῳ τὴν δύσφημον αὐτῆς τυραννίδα σημαίνων· οὕτω καὶ νῦν, τὴν ἀποβολὴν τῶν ἐπιζημίων, εὔφημον οὖσαν, λέξει παρεδήλωσεν οὐκ εὐφήμῳ, εἰπὼν, *ἐζημιώθην*.— Φασί τινες τῶν αἱρετικῶν· Ἰδοὺ, ὁ νόμος ζημία ἐστὶ καὶ σκύβαλα. Πῶς οὖν φατὲ, ὑπὸ Θεοῦ αὐτὸν δεδόσθαι; Ἀλλ' ὅρα· οὐκ εἶπεν ὅτι ζημία ἐστὶν ὁ νόμος, ἀλλ' ἁπλῶς, ὅτι *ἥγημαι αὐτὸν ζημίαν*· καὶ γὰρ τοῖς τῷ γράμματι παρακαθημένοις καὶ

(1) « Τῇ παραθέσει τῶν κρειττόνων, ζημίαν ὠνόμασε τὰ ἐλάττονα. Περιττὸς γὰρ ὁ λύχνος, τοῦ ἡλίου φανέντος· περιττὸς ὁ παιδαγωγὸς τοῖς τὴν τελείαν σοφίαν δεξαμένοις· ἄχρηστόν ἐστι τῆς τιτθῆς τὸ γάλα τοῖς μεταλαχοῦσι τελείας τροφῆς.» Θεοδώρητος.

(α) Ῥωμ. Ε', 14.

ἀφισταμένοις Χριστοῦ, ζημίας γίνεται πρόξενος, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀπειρίαν τῶν κακῶς αὐτῷ χρωμένων. Καὶ γὰρ καὶ χρυσοῦ καὶ μολίβδου προκειμένων, καὶ ἀνάγκης οὔσης ἓν τῶν δύο λαβεῖν, εἰ ἐπιλέξεταί τις τὸν μόλιβδον, ζημίαν πέπονθεν, οὐ τοῦ μολίβδου φύσει ζημίας οὔσης, ἀλλὰ τῇ τοῦ βελτίονος ἀποστερήσει. Τοίνυν καὶ ὁ νόμος, εἰ μέν τις αὐτῷ χρήσαιτο, ὡς δεῖ, κέρδος ἐστί· Χριστῷ γὰρ παραπέμπει· ὁ γὰρ νομοθέτης Μωσῆς περὶ τοῦ Χριστοῦ εἰπὼν, ὅτι *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ θεὸς, ὡς ἐμὲ*, (*ὡς ἐμὲ* δὲ, διά τε τὴν σάρκα καὶ τὴν μεσιτείαν,) εἶπεν, αὐτοῦ δεῖν ἀκούειν (α). Εἰ δὲ τῷ γράμματι παρακαθίσει, ζημίας ἐστὶ πρόφασις. Ταῦτα καὶ περὶ τοῦ, *ἡγοῦμαι αὐτὸν σκύβαλα εἶναι*, νοεῖν ἔχεις. Καὶ πρῶτον μὲν εἰπεῖν ἔνι, ὅτι οὐ περὶ τοῦ νόμου τὸ, *σκύβαλα*, εἶπεν, ἀλλὰ περὶ τῶν κοσμικῶν πραγμάτων. Εἰ δὲ καὶ περὶ τοῦ νόμου, κατὰ τὴν τῆς ζημίας διάνοιαν νοήσεις, καὶ τοῦτο καλόν. Σκύβαλα γὰρ εἴρηται ἡ καλάμη τοῦ σίτου. Ἀλλ' ἄχρι μὲν μήπω φανῇ ὁ σῖτος, ἀναγκαία ἡ καλάμη, ὡς συντηρητικὴ οὖσα τοῦ ἐσομένου σίτου· φανέντος δὲ τοῦ σίτου καὶ ἐκλεγέντος, ἄχρηστος ἀνθρώποις ἡ καλάμη. Οὕτω καὶ ὁ νόμος· ἄχρι μὲν μὴ ἐνηνθρωπήκει ὁ Χριστὸς, χρειώδης ἦν· αὐτῷ γὰρ παρέπεμπε· φανέντος δὲ, περιττὸς ὅσον πρὸς τὸ σωματικῶς φυλάττεσθαι τὰ ἐν αὐτῷ. Ἦν δὲ καὶ ἄλλῳ τρόπῳ χρειώδης ὁ νόμος πρὸ Χριστοῦ· φιλοσοφώτερος μὲν γὰρ ἦν τῶν Ἑλληνικῶν δογμάτων, παχύτερος δὲ τῆς ἐν Χριστῷ φιλοσοφίας. Μέσος οὖν τῆς εἰδωλολατρείας καὶ τῆς Χριστοῦ πίστεως παρεντεθεὶς, ὠφέλησε, κατὰ μικρὸν ὑπεξαγαγὼν τῆς εἰδωλολατρείας, καὶ τοῦ ἐκεῖθεν πάχους, καὶ ἐπιτηδειοτέρους ποιῶν, Χριστῷ φανέντι πιστεῦσαι. Ἐπεὶ οὖν τὸ οἰκεῖον πεπλήρωκε, καὶ Χριστῷ παρέπεμψε, περιττὸς λοιπὸν εἰς τὸ σωματικῶς φυλάττεσθαι, ὥσπερ καὶ παιδὶ, εἰς ἄν-

(α) Δευτερ. ΙΗ, 15.

δρας τελέσαντι, ἡ παιδικὴ ἐσθὴς καὶ ἀγωγή. Δύνῃ δὲ καὶ κατ' ἄλλο *σκύβαλα* νοῆσαι τὸν νόμον. Τὸ γὰρ σκύβαλον, κτηνώδης ἐστὶ τροφή. Καὶ ὁ νόμος τοίνυν μετὰ τὴν πίστιν, ἀλογωτέροις ἀνθρώποις ἐστὶν ἐν παραφυλακῇ. Διά τί δὲ ὅλως ἥγησαι αὐτὸν ζημίαν καὶ σκύβαλα, ὦ Παῦλε; Ὅτι ἐπὶ πολὺν χρόνον ἐζημίωσέ με Χριστοῦ, τῷ γράμματι παρακαθήμενον· οὐχ ὅτι νῦν ἐζημιοῦτο ἐξ αὐτοῦ· ᾔδει γὰρ αὐτῷ πνευματικῶς χρήσασθαι· ἀλλὰ περὶ τῆς ζημίας ἐκείνης φησὶ, τῆς πρὸ τῆς πίστεως αὐτοῦ. Καὶ γὰρ μετὰ τὸ παρελθεῖν τὴν ζημίαν, τὴν ζημιώσασαν ἡμᾶς, ἔτι αὐτῆς μεμνημένοι, ζημίαν αὐτὴν καλοῦμεν. Ὅρα δὲ, πῶς ἀσφαλῶς εἶπεν· Ἡγοῦμαι αὐτὸν ζημίαν, διὰ τὸ ὑπερβάλλον τῆς γνώσεως τοῦ Χριστοῦ· ὡσεὶ εἶπε· Φύσει μὲν οὐκ ἔστι ζημία· ἀλλ' ἐπειδὴ δῆθεν φυλάττων αὐτὸν, οὐκ ἐπεγίνωσκον τὸν Χριστὸν, εἰς ζημίαν μοι ἐγένετο. *Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι.*] Ἐπειδὴ τὸ, *ἥγημαι*, παρεληλυθότος χρόνου ἔμφασιν εἶχε, φησίν, ὅτι καὶ νῦν *ἡγοῦμαι*· καὶ γὰρ πολύν με χρόνον ἐζημίωσε τοῦ Χριστοῦ, οὐ παρὰ τὴν οἰκείαν, ὡς ἄν τις εἴποι, θέλησιν, ἀλλὰ παρὰ τὴν ἐμὴν πρὸς αὐτὸν οὐ κατ' ἐπίγνωσιν σχέσιν. *Πάντα ζημίαν εἶναι.*] Εἰ γάρ, φησιν, ἀντιπαραθείη τις τὴν τοῦ νόμου σωματικὴν παραφυλακὴν πρὸς τὴν τοῦ Χριστοῦ γνῶσιν, ζημίαν εὑρήσει τὸν νόμον. Τοσαύτη διαφορὰ τῆς Χριστοῦ, φησι, γνώσεως. *Δι' ὃν τὰ πάντα ἐζημιώθην.*] Οὐ μόνον τὸν νόμον ἐακῶς εἰς τὸ μὴ σωματικῶς αὐτὸν καὶ τὰ ἐν αὐτῷ τηρεῖν, ἀλλὰ καὶ πάντα τὰ ἐν τῷ κόσμῳ· τὸ γὰρ, *ἐζημιώθην*, οἷον, εἴασα καὶ ἀπεστερήθην αὐτῶν (1). *Καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην.*] Ἵνα μὴ ἔχω

(1) «Διὰ τὸν Χριστόν, φησιν, ἐζημιώθην, τουτέστι, ζημίαν ἡγησάμην πάντα· ἢ ὅτι ἀπεβαλόμην. Ὁρᾷς, ὅτι οὐ φύσει ζημία ὁ νόμος, ἀλλὰ διὰ τὸν Χριςόν.» Θεοφύλακτος.

« Διὰ τὴν μείζονα γνῶσιν, τὴν ἐλάττονα ζημίαν καλῶ· καὶ καταφρονῶ τῶν μειόνων διὰ τὰ κρείττονα. Οὐ γὰρ ὡς φαῦλα φεύγω· ἀλλὰ προαιροῦμαι τὰ μείζονα· καὶ τὸν σῖτον λαβὼν, περιττὸν ἡγοῦμαι τὸ σκύβαλον· σκύβαλον γὰρ, τὸ παχύτερον καὶ σκληρότερον ἄχυρον ὀνομάζεται· τοῦτο δὲ φέρει τὸν σῖτον· ἀλλὰ μετὰ τὴν τοῦ σίτου συλλογὴν, ἀποβάλλεται τοῦτο. Οὕτως ὁ νόμος, ὑπέδειξε τὸν Χριστόν· τούτου δὲ φανέντος, λοιπὸν περιττὸς ὁ νόμος. » Θεοδώρητος.

ἐμὴν δικαιοσύνην, φησὶ, οἷον, τὴν ἐξ ἔργων ἐμῶν καὶ πόνων τῶν κατὰ τὸν νόμον, ὡς δῆθεν κατορθώσας αὐτά· ἡ γὰρ τοιαύτη, φησὶ, δικαιοσύνη, οὐδὲ ἔστι κυρίως δικαιοσύνη· (τί γὰρ καὶ ποιήσει ἄνθρωπος;) ἀλλὰ τὴν διὰ χάριτος καὶ πίστεως Χριστοῦ. *Τὴν ἐκ θεοῦ δικαιοσύνην.*] Ἡ γὰρ διὰ πίστεως Χριστοῦ δικαιοσύνη, ἐκ θεοῦ ἐστὶν, οὐκ ἐκ νόμου. *Ἐπὶ τῇ πίστει.*] Ἥτις ἐκ θεοῦ δικαιοσύνη, ἐπὶ τῇ πίστει ἐστὶ καὶ ἐρήρειστα (1). Εἰ οὖν ὁ ἔχων ἐξ ἔργων δικαιοσύνην, προσέδραμε τῇ ἐκ πίστεως ἵνα σωθῇ, ὁ μηδὲ ἔχων καὶ μὴ προστρέχων, τί πείσεται;

10 Τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως
αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ,
11 συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ· εἴ πως καταν-
12 τήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν. Οὐχ ὅτι ἤδη
ἔλαβον, ἢ ἤδη τετελείωμαι· διώκω δὲ, εἰ καὶ κα-
ταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ
13 Ἰησοῦ. Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὔπω (2) λογίζομαι
14 κατειληφέναι· ἓν δὲ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος,
τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν
διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ
ἐν Χριστῷ Ἰησοῦ.

Τοῦ γνῶναι αὐτόν.] Ὁ γὰρ τὸν υἱὸν γινώσκων, γινώσκει τὸν πατέρα (α), καὶ ἔμπαλιν. *Καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ.*] Εἰ γὰρ μὴ πίστις ἡμῖν δηλώσει τὴν δύναμιν τῆς ἀναστάσεως, ποῖος παραστήσει λόγος; *Δύναμιν* δὲ εἶπεν ἀναστάσεως· τῷ γὰρ ὄντι μεγάλη ἡ ἰσχὺς τὸ ἀναστῆναι. Καὶ ἄλλως δὲ, ἡ ἀνάστασις δύναμιν ἐνίησιν ἡμῖν εἰς τὸ τὴν αὐτὴν ὁδεύειν

(1) « Ἥτις ἐστὶν ἐκ θεοῦ δικαιοσύνη, τουτέστι, θεῖον δῶρον, χάριτι δικαιοῦσα τοὺς πιστεύοντας. Ἐὰν γὰρ πιστεύσῃς τῇ καρδίᾳ, καὶ ὁμολογήσῃς τῷ στόματι, σωθήσῃ (Ῥωμ. Ι', 9.). Τὰ δὲ θεῖα δῶρα πολλῷ τῷ μέτρῳ ὑπερβαίνει τὴν εὐτέλειαν τῶν ἀνθρωπίνῃ σπουδῇ τελουμένων κατορθωμάτων, ὥσπερ καὶ ὁ σῖτος τὰ σκύβαλα. » Θεοφύλακτος.

(2) Παρ' ἄλλοις, οὐ λογίζομαι. (α) Ἰωαν. ΙΔ', 7. 9.

ὁδόν (1). *Καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ.*] Καὶ γὰρ καὶ τὸ δεῖν κοινωνεῖν τῶν παθημάτων τοῦ Χριστοῦ, διὰ πίστεως ἔγνωμέν τε καὶ ἐπιτελοῦμεν· ὁ γὰρ μὴ πιστεύων, ὅτι, συμπάσχων, καὶ συμβασιλεύσει, οὐδέποτε συμπάθοι. *Συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ.*] Τουτέστιν, ἐξομοιούμενος. Ὥσπερ γὰρ αὐτός, φησιν, ὑπὲρ ἀνθρώπων ἀπέθανεν, οὕτω κἀγὼ ὑπὲρ ὠφελείας ἀνθρώπων ἀποθνήσκω· τοῦτο δέ ἐστι, καὶ ὑπὲρ Χριστοῦ ἀποθανεῖν. *Εἴπως καταντήσω.*] *Εἴπως*, φησίν. Ὁρᾷς αὐτὸν μετὰ τοσαῦτα ἔτι ἀμφιβάλλοντα; Εἴπως φθάσω· οὐ θαῤῥῶ γάρ, φησίν, οὔπω. Οὕτως ἐταπεινοφρόνει! Ὅπερ ἀλλαχοῦ λέγει· Ὁ δοκῶν ἑστάναι, βλεπέτω, μὴ πέσῃ (α)· καί· Μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι (β). *Εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν.*] Τὴν ἀνάστασιν ἐκείνην τὴν ἔνδοξον, τὴν πρὸς αὐτὸν ἄγουσαν, περὶ ἧς ἀλλαχοῦ φησι· *Καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα* (γ). *Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι.*] Ἐπειδὴ εἶπε, *συμμορφούμενος τῷ θανάτῳ τοῦ Χριστοῦ*, μέγα δὲ ἦν τὸ ῥῆμα, οὐκ ἠρκέσθη μόνον τῷ εἰπεῖν· *Εἴπως καταντήσω εἰς τὴν ἐξανάστασιν*· ἀλλὰ καὶ σαφέστερον ἡμῖν ἐνδεικνύμενος, ὅτι καὶ συμμορφούμενος τῷ θανάτῳ τοῦ Χριστοῦ, οὔπω τι ἄξιον ποιεῖ τοῦ σταυροῦ τοῦ Χριστοῦ, ἐπάγει· *Οὐχ ὅτι ἤδη ἔλαβον* τὸ βραβεῖον διὰ τοῦ συμμορφωθῆναι τῷ θανάτῳ τοῦ Χριστοῦ, ἢ ἤδη ἐκ τούτου τέλειός εἰμι (2). *Διώκω δέ, εἰ καὶ καταλάβω.*] Διώκω δέ, φησιν, ἔτι τὸ βραβεῖον, εἰ ἄρα καὶ καταλάβω αὐτό. Ὅρα δέ, πόσην ἔμφασιν ἔχει ὁ λόγος τοῦ, *διώκω, εἰ καὶ καταλάβω.* Ὁ γὰρ διώκων καὶ ἀμφιβόλως ἔχων, εἰ ἄρα καταλάβῃ, οὐδὲν ἄλλο ὁρᾷ, οὐδὲν

---

(1) « Ὥστε γνῶναι διὰ τῆς πίστεως, ὅτι τῶν ἁπάντων ἐστὶ θεός τε καὶ ποιητής, καὶ τὴν ἡμετέραν ἀνέλαβε φύσιν, τὴν ἡμετέραν πραγματευσάμενος σωτηρίαν, καὶ ἀνέστησεν ὅπερ ἔλαβε σῶμα, τὴν κοινὴν ἁπάντων ἀνθρώπων ἀνάστασιν μηνυχνώμενος· δύναμιν γὰρ τῆς ἀναστάσεως αὐτοῦ, τὸν σκοπὸν τῆς ἀναστάσεως κέκληκε. » Θεοδώρητος.

(α) Α' Κορ. Ι, 12. (β) Α' Κορ. Θ', 27. (γ) Α' Θεσσαλ. Δ', 17.

(2) » Εἰπών, Εἴπως καταντήσω, κατασκευάζει τοῦτο, καί φησιν, ὅτι διὰ τοῦτο οὕτως εἶπον διστακτικῶς, ὅτι οὔπω ἔλαβον τὸ βραβεῖον, οὔπω τετελείωμαι. » Θεοφύλακτος.

ἄλλο λογίζεται, ἢ τὸ ἐπιτυχεῖν τοῦ διωκομένου. *Ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ.*] Τουτέστιν, ἐν ᾧ πράγματι κατελήφθην ὑπὸ τοῦ Χριστοῦ. Ἤδη γάρ με, φησί, φεύγοντα κατέλαβε, καὶ πιστεῦσαι πεποίηκεν. Ἐφ' οἷς οὖν κατελήφθην, οἷον, ἐπὶ τῷ κηρύξαι, ἐπὶ τῷ βαστάσαι τὸ ὄνομα αὐτοῦ ἔμπροσθεν ἐθνῶν καὶ βασιλέων (α), ἐπὶ τούτοις ἐγὼ τρέχω, εἰ καταλάβω, τοιοῦτος γενέσθαι, οἷος ἐπελέχθην. Ἢ τό, ἐφ' ᾧ, Ἐπειδὴ νόει, ἵνα οὕτως ᾖ ὁ νοῦς· Διώκω δέ, εἰ καὶ καταλάβω· ἐπειδὴ κἀγὼ κατελήφθην· ὀφειλὴν τὸ πρᾶγμα λέγων. *Ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι.*] Ἐπειδὴ πολλὰ ἐπῄνεσε Φιλιππησίους, νῦν καταστέλλει αὐτῶν τὸ φρόνημα, διὰ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος κἀκείνους διδάσκων μετριοφρονεῖν, καὶ μὴ φυσιοῦσθαι, ὡς κατειληφότας. Ὡς ἐπὶ δρομέως δὲ τὰ πάντα λέγει. Τί δὲ οὐ λογίζῃ κατειληφέναι; Τὸν σκοπόν, φησιν, ἐφ' ᾧ ἀπέσταλμαι, τὸ βραβεῖον, τὸ εἶναι ἄξιος τῆς ἀποστολῆς. Εἰ δὲ Παῦλος, ὁ τοσοῦτος, μὴ κατείληφε, τί ἡμεῖς ἐροῦμεν; Πῶς οὖν ἀλλαχοῦ φησι· *Τὸν ἀγῶνα ἠγώνισμαι, καὶ τὸν δρόμον τετέλεκα* (β); Ἐπειδὴ πρὸς τῇ ἀναλύσει ἦν τότε. *Ἓν δέ.*] Ἓν δὲ ποιῶ, φησι, καὶ ἑνὸς γίνομαι μόνου, ὅπως ἀεὶ προκόπτοιμι. — Τό, *Ἓν δέ*, ἢ κατ' ἔλλειψιν εἰρῆσθαι νομιστέον, ὡς οἱ πρὸ ἡμῶν ἐξειλήφασι· καὶ γὰρ καὶ ἐν τούτῳ τῷ σχήματι πλεονάζει· ἵνα λείπῃ τό, Ἑνὸς δὲ φροντίζω, ἓν μελετῶ καὶ διαμεριμνῶ. Τί τοῦτο; Τὰ μὲν ὀπίσω, φησί, καὶ ἑξῆς. Ἢ οὖν οὕτως ἐκληπτέον, ἢ ἑτέρῳ μᾶλλον ὑποπίπτει σχήματι, τῷ ἀπὸ κοινοῦ· πολὺς γάρ ἐστι καὶ ἐν τούτῳ ὁ θεῖος Παῦλος· ἵνα ᾖ τό, *Λογίζομαι κατειληφέναι*, ἀπὸ κοινοῦ· οἷον, Οὐδὲν λογίζομαι κατειληφέναι, ἀλλ' ἢ ἕν. Ποῖον δέ ἐστιν ὃ λογίζομαι κατειληφέναι; Ὅτι *τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω*, καὶ ἑξῆς. Ἔδει γὰρ αὐτὸν κατειληφέναι, ὅτι

(α) Πράξ. Θ', 15. (β) Β' Τιμ. Δ', 7.

κατὰ σκοπὸν διώκει, καὶ οὐκ ἔστιν αὐτῷ μάταιος ὁ δρόμος. Διὸ καὶ ἀλλαχοῦ φησιν· *Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων·* καὶ πάλιν· *Οὕτω τρέχετε, ἵνα καταλάβητε* (α). (Φωτίου). — *Τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος.*] Τοῦτο γὰρ αὐτὸν ἐποίει τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι, τὸ τῶν ὄπισθεν ἐπιλανθάνεσθαι κατορθωμάτων. *Ἔμπροσθεν δέ* φησιν, ὡς πρὸς τὸ ἀποκείμενον βραβεῖον. Ἀεὶ γάρ, φησιν, ἔμπροσθέν μου νομίζων αὐτὸ, καὶ πολύ μου ἀπέχον, τρέχω ἐπ' αὐτό. Τὸ δὲ, *ἐπεκτεινόμενος*, τὸν σύντονον δηλοῖ δρόμον· ὡσεὶ εἶπεν· Ἔτι ἔχομαι τοῦ δρόμου, ὡς ἔμπροσθεν καὶ πολὺ ἀπέχοντος τοῦ βραβείου. Ἐκεῖνος γὰρ ἐπεκτείνεται, ὅς τις, καὶ τῶν ποδῶν τρεχόντων, τὸ λοιπὸν ἐπινένευκε σῶμα πρὸς τὸν σκοπὸν, καὶ μικροῦ τοὺς πόδας προλαμβάνων ἐν τῇ ἐπικλίσει τοῦ λοιποῦ σώματος (1). Τοῦτο δὲ ἀπὸ πολλῆς γίνεται προθυμίας καὶ θερμότητος. *Κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως.*] Οὐκ ἀσκόπως, φησὶ, τρέχω, ἀλλὰ πρὸς τὸν σκοπὸν ἀφορῶν. Τίς δὲ τοῦ δρόμου αὐτοῦ σκοπός; Ἡ βασιλεία τῶν οὐρανῶν, ἣν καὶ *βραβεῖον* καλεῖ. Ἑρμηνεύων γὰρ ἑαυτόν φησι· Τίς δὲ ὁ σκοπός; Τὸ *βραβεῖον*, φησὶ, *τῆς ἄνω κλήσεως*. Κάτω μὲν γὰρ ὁ ἀγὼν, ἀλλ' ὁ στέφανος ἄνω, ἐν τῇ τῶν ἁγίων λαμπρότητι. *Ἐν Χριστῷ Ἰησοῦ.*] Ὅλα τῷ Χριστῷ ἀνατίθησιν. Ἐν Χριστῷ γάρ, φησι, τρέχω· ἄνευ γὰρ Χριστοῦ καὶ τῆς ἐκείνου συνεργείας, οὐκ ἔνι τοῦτον ἀνῦσαι τὸν δρόμον, κἂν βουληθῶμεν.

15 Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν· καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀποκαλύψει·

(α) Α' Κορ. Θ', 26. 24.

(1) « Ἐπιλανθάνομαι τῶν κατορθωμάτων, καὶ ἀφίημι αὐτὰ ὀπίσω, καὶ οὐδὲ μέμνημαι ὅλως αὐτῶν, καὶ οὕτω τὰ ἔμπροσθεν διώκω, ὡς λείποντά μοι· ὡς ὅγε τετελειῶσθαι νομίζων, παύσεται τρέχων, ὡς ἤδη τὸ πᾶν κατωρθωκώς. Τί δέ ἐστι τὸ, ἐπεκτεινόμενος; Τοῦτ' ἔστι· Πρὶν φθάσαι, λαβεῖν σπουδάζων, καὶ τοὺς πόδας, καίτοι τρέχοντας, τῷ λοιπῷ σώματι προλαμβάνειν σπεύδων, τῷ ἐπικλίνειν ἑαυτὸν εἰς τὰ ἔμπροσθεν.» Θεοφύλακτος.

16 πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.

Ὅσοι τέλειοι, τοῦτο φρονῶμεν.] Τὸ ποῖον; Ὅτι δεῖ τῶν μὲν ὀπίσω ἐπιλανθάνεσθαι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτείνεσθαι. Τοῦτο γὰρ ποιεῖ τελείους, τὸ νομίζειν ἀπολείπεσθαι τοῦ βραβείου. *Καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀποκαλύψει.*] Εἴ τι ἑτέρως, φησὶ, κατωρθώσατε, νομίζοντες, ὅτι οὐκ ἀπολείπεσθε τοῦ βραβείου, ἀλλ' ἤδη ἐφθάσατε αὐτὸ, *ὁ θεὸς ὑμῖν ἀποκαλύψει*, ὅτι, οὐ καλῶς οὕτω φρονεῖτε· ὁ γὰρ οὕτω φρονῶν, ῥᾳθυμότερος γίνεται (1). Τὸ δὲ, *καὶ τοῦτο*, ὡς καὶ τὰ ἄλλα πάντα φησί· τὴν γὰρ οἰκείαν διδασκαλίαν τῷ θεῷ ἀνατίθησι. *Πλὴν εἰς ὃ ἐφθάσαμεν.*] Τέως δέ, φησιν, ἐν ὅσῳ ἐκεῖνο ἀποκαλύψει ὁ θεὸς, εἰς ὃ ἐφθάσαμεν μέτρον καὶ κανόνα, εἰς τοῦτον στῶμεν, τουτέστι, τὸ μὴ ἀπολέσαι τὰ προηνυσμένα. Τὸ δὲ, *στοιχεῖν*, οἷον, ἀρκεῖσθαι, πείθεσθαι, ἱστάναι. Ἢ, *κανόνα*, τὴν πίστιν φησίν· ὥσπερ γὰρ ἐπὶ τοῦ κανόνος, κἂν ἀφέλῃς, κἂν προσθῇς, ἐλυμήνω τὸ πᾶν, οὕτω καὶ ἐπὶ τῆς πίστεως (2). — Τέως, φησὶν, ἕως ἂν ὑμῖν ἀποκαλύψῃ ὁ θεὸς τὸ ἀληθὲς, ὃ κατελάβομεν, μὴ ἀπολέσωμεν. Ἀπόλλυται δὲ πῶς; Ἂν ἀμελήσωμεν τῆς προτέρας σπουδῆς, καὶ τοῦ δρόμου παρατραπῶμεν. Ἀλλὰ δεῖ *τῷ αὐτῷ κανόνι στοιχεῖν*, τουτέστι, τὸν αὐτὸν ἀγῶνα συντηρεῖν, τὸν αὐτὸν ἐπιδείκνυσθαι τρόπον, *τὸ αὐτὸ φρονεῖν*, περί τε τῆς πολιτείας, περί τε τῶν δογμάτων. Ὥσπερ γὰρ ὁ τί τῶν δογμάτων ἀλλοιώσας, ἅπαντα κατέλυσε καὶ τὰ ἔμπροσθεν· οὕτω καὶ τῆς πολιτείας ὁ τί μεταθέμενος, καὶ καθυφεὶς, καὶ μὴ τὴν αὐτὴν φυλάττων ἀκρίβειαν, καὶ τὰ προλαβόντα ἐλυμήνατο. Εἶτα, ἵνα μὴ δόξῃ, δυσκατόρ-

(1) « Ἐνταῦθα ἀσφαλίζεται αὐτούς. Εἰ νομίζετέ, φησι, τὸ πᾶν κατορθωκέναι, ὁ θεὸς ὑμῖν, ὡς ἀγνοοῦσιν, ὑποδείξει τὸ δέον. Ταῦτα δὲ περὶ βίου τελειότητος εἴρηται, καὶ τοῦ μὴ νομίζειν ἑαυτοὺς τελείους εἶναι.» Θεοφύλακτος.

(2) «Τέως, φησὶν, ὃ κατωρθώσαμεν, κατέχωμεν, τὸ τῆς εἰρήνης, τὸ τῆς ὁμονοίας· καὶ στοιχῶμεν τῷ αὐτῷ κανόνι, τουτέστι, τῇ αὐτῇ πίστει, τῷ αὐτῷ ὅρῳ· ὁ κανὼν γὰρ οὔτε πρόσθεσιν ἔχει, οὔτε ἀφαίρεσιν· μηδὲ ὑμεῖς οὖν τὰ παραγγέλματα τοῦ πνεύματος ἀλλοιοῦτε.» Θεοφύλακτος.

θωτον καὶ δύσκολον ἐπιτάττειν, τὸ δι' ὅλου τοῦ βίου ἀρεταῖς καὶ εὐσεβείᾳ συνασκεῖσθαι, ἐπάγει *συμμιμηταί μου γίνεσθε*. Ῥᾷστον, φησὶν, οὐδὲν ἀδύνατον ἀπαιτῶ· ἄνθρωπος γὰρ κἀγὼ ὁμοιοπαθής. Ὡς ὁρᾶτε με ἀγωνιζόμενον, οὕτω καὶ αὐτοὶ ἀγωνίζεσθε (Φωτίου). — *Τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν*.] Τὸ χωρίον τοῦτο, ἢ προτροπῆς ἐστιν, ἢ εὐχῆς. Ἀλλ' εἰ μὲν προτροπῆς, λείπει τὸ, δεῖ· ἤτοι, Δεῖ ὑμᾶς στοιχεῖν τῷ αὐτῷ κανόνι, τὸ αὐτὸ φρονεῖν· τουτέστιν, Εἰ ὀφείλετε στοιχεῖν τῷ αὐτῷ κανόνι, ὀφείλετε τὸ αὐτὸ φρονεῖν. Εἰ δὲ εὐχῆς, ἀπὸ κοινοῦ ληφθήσεται τὸ, *ἀποκαλύψει*· οἷον, Ἀποκαλύψει ὑμῖν ὁ θεὸς, τῷ αὐτῷ κανόνι στοιχεῖν, καὶ ἑξῆς. Οἶδε γὰρ ἄνευ τῆς θείας ῥοπῆς μηδὲν κατορθούμενον (τοῦ αὐτοῦ).

17 Συμμιμηταί μου γίνεσθε, ἀδελφοὶ, καὶ σκοπεῖτε τοὺς
οὕτω περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς.
18 Πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον
ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ
19 σταυροῦ τοῦ Χριστοῦ· ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ
θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν,
οἱ τὰ ἐπίγεια φρονοῦντες.

Συμμιμηταί μου γίνεσθε, καὶ σκοπεῖτε, καὶ ἑξῆς.] Ἄνω μὲν ἔλεγε· *Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας*, δηλαδὴ τοὺς ἔτι καὶ μετὰ τὴν πίστιν ἰουδαΐζοντας· καὶ ἀπήγαγε τοὺς Φιλιππησίους ἐκείνων· νῦν δὲ συγκολλᾷ αὐτοὺς τοῖς καλῶς περιπατοῦσι, καὶ κοινὴν αὐτοῖς δίδωσι παρατήρησιν· ἵνα τούτοις, φησὶν, ἀναμίγνυσθε, οἵτινες τύπον φέρουσι τῆς ἐμῆς πρὸς ὑμᾶς ἀναστροφῆς. Οὐ γὰρ διὰ λόγων μόνον ἐδίδασκεν ὁ μακάριος οὗτος, ἀλλὰ καὶ ἐν ἔργοις τύπος αὐτῶν ἐγίνετο· ἐπεὶ καὶ τοῦτο ἡ τελεία διδασκαλία. — Τὸ, *περιπατεῖν*, ἐνταῦθα, ἀντὶ τοῦ βιοῦν καὶ πολιτεύεσθαι ἐκλαμβάνει ἁπλῶς. Ἐπειδὴ, φησι, *πολλοὶ περιπατοῦσιν*, εἰς διάκρισιν τῶν ὀρθῶς περιπατούντων καὶ μὴ, *σκοπεῖτε*, τίνες περιπατοῦσι κατὰ τὸν τύπον, ὃν περιεπατήσαμεν ἡμεῖς, καὶ τούτοις ἕπεσθε (Φω-

τίου). — *Πολλοὶ γὰρ περιπατοῦσι.*] Κακῶς, φησὶ, καὶ ἄλλως, ἤπερ ἐγώ. *Οὓς πολλάκις ἔλεγον ὑμῖν.*] Οὐκ ὀνομαστὶ τούτους λέγει, ἵνα μὴ πλήξῃ, ἀλλὰ δίδωσιν αὐτοῖς ἀναγνῶναι τούτους· οὓς *γάρ*, φησι, *πολλάκις ἔλεγον ὑμῖν. Νῦν δὲ καὶ κλαίων λέγω.*] Ὅρα σπλάγχνα Παύλου! Οὐκ ἐπὶ τοῖς οἰκείοις ἔκλαιε κακοῖς· οὐ γὰρ εἶχεν· ἀλλ᾽ ἐπὶ τοῖς ἑτέρων. Ἐπειδὴ γὰρ αὐτοῖς ἐπέτεινε τὸ νόσημα, πενθεῖ αὐτούς. *Τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ.*] Ποίους τούτους κελεύεις ἡμᾶς παραφυλάττεσθαι; *Τοὺς ἐχθρούς*, φησι, *τοῦ σταυροῦ τοῦ Χριστοῦ*. Ἦσαν γάρ τινες χριστιανοὶ μὲν δῆθεν, ἐν τρυφῇ δὲ καὶ ἀνέσει ζῶντες, οὓς ἐχθροὺς τοῦ σταυροῦ φησιν· ἐναντία γὰρ αὐτῷ πράττουσιν. Ὁ μὲν γὰρ ψυχῆς δεῖται γενναίας, παρατεταγμένης εἰς κινδύνους, καὶ μιμουμένης τὸν ἴδιον δεσπότην· οἱ δὲ, γαστρὶ δουλεύουσιν. *Ὧν τὸ τέλος ἀπώλεια.*] Καλῶς *τὸ τέλος* εἶπεν *ἀπώλειαν*, ἐὰν ἄχρι τέλους μείνωσι τοιοῦτοι· εἰκὸς γὰρ ἦν καὶ μεταβληθῆναι. *Ὧν ὁ θεὸς ἡ κοιλία.*] Ὡς δεσποίνῃ γὰρ, μᾶλλον δὲ ὡς θεῷ δουλεύουσιν αὐτῇ, καὶ πᾶσαν θεραπείαν προσάγουσι· περὶ ὧν ἀλλαχοῦ φησι· *Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν* (α). Καὶ γὰρ κἀκεῖ περὶ γαστριμάργων ἔλεγε. *Καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν.*] Πολλοί φασι, τὴν περιτομὴν αὐτὸν εἰρηκέναι *δόξαν*· αὐτοὶ μὲν γὰρ δόξαν εἶχον αὐτὴν, αἰσχύνη δὲ ὄντως ἐστίν· ἀλλ᾽ οὐκ ἔστι τοῦτο· ἀλλ᾽ ὅτι, φησὶν, ἐφ᾽ οἷς ἐγκαλύπτεσθαι καὶ αἰσχύνεσθαι ἔδει, ἐπὶ τούτοις καυχῶνται. *Οἱ τὰ ἐπίγεια φρονοῦντες.*] Οἱ γὰρ ἄνεσιν καὶ τρυφὴν ἐπιζητοῦντες, οἱ θεὸν τὴν κοιλίαν ἔχοντες, οἱ μηδὲν πνευματικὸν ἢ οὐράνιον νοούμενοι, τὰ ἐπίγεια φρονοῦσιν.

20 Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ
οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χρι-
21 στόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώ-

(α) Α΄ Κορ. ΙΕ΄, 32.

σεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

Η*μῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.*] Ὥστε δεῖ ἡμᾶς τὰ ἐν οὐρανῷ ζητεῖν, πρὸς τὴν πατρίδα ἡμῶν σπεύδειν, ἔνθα ἡμῶν τὸ πολίτευμά ἐστιν· ἐκεῖ γὰρ στρατευόμεθα, ἐκεῖ πολιτευόμεθα. *Ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα.*] Ἐξ οὐρανοῦ τὸν Κύριον ἡμῶν καὶ σωτῆρα ἀπεκδεχόμεθα, ἐν τῇ πατρῴᾳ φανησόμενον δόξῃ, ἐν τῇ δευτέρᾳ παρουσίᾳ, μετὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων. *Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν.*] Ὅς, φησι, καὶ μετασχηματίσει καὶ μεταβαλεῖ τὸ νῦν ἡμῶν σῶμα. Τὸ δὲ, *μετασχηματίσει*, οὐκ ἐπὶ τῆς μεταποιήσεως τοῦ σχήματος τέθεικεν, ἀλλ' ἐπὶ τῆς ἀπαλλαγῆς τῆς φθορᾶς. *Ταπεινώσεως* δὲ αὐτὸ ἐκάλεσε, διὰ τὸ ὑποκεῖσθαι φθορᾷ καὶ πάθεσι καὶ ὀδύναις. Πολλοὶ δὲ νομίζουσιν, ἕτερον σῶμα πνευματικὸν ἐγείρεσθαι ἐν τῇ ἀναστάσει, καὶ οὐ τοῦτο, ὃ νῦν περικείμεθα, διὰ τὸ εἰρῆσθαι, *μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν* εἰς τὸ σῶμα τῆς δόξης αὐτοῦ. Ἀλλ' ὅρα, τί φησι Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ. « Καὶ τοῦτό ποτε ἡμῶν τὸ σῶμα, σῶμα δόξης ἦν πρὸ τῆς παραβάσεως· καὶ οὕτως ἔνδοξον ἦν, ὅτι νῦν μετὰ τὴν παράβασιν, *σῶμα ταπεινώσεως* λέγεται. Οὐ γὰρ ἂν εἰ μὴ ἔνδοξον ἦν, ταπεινώσεως νῦν ἐκλήθη. Ταπεινοῦται γὰρ ἀπὸ σφάλματος τὸ ἔνδοξον· τὸ γὰρ ἀεὶ ταπεινὸν, οὐκ ἄν τις εἴποι ὅτι διὰ τὴν παράβασιν ἐταπεινώθη· καὶ γὰρ καὶ περὶ τοῦ ἱσταμένου, εἰ πέσοι, λέγομεν ὅτι ἔπεσε· περὶ δὲ τοῦ ἀεὶ κειμένου, οὐκ ἄν τις εἴποι, ὅτι ἁμαρτήσας ἔπεσεν. Ὥστε τοῦτο τὸ σῶμα ἄφθαρτον καὶ ἔνδοξον γινόμενον, ἀνίσταται, καὶ οὐχ ἕτερον». *Εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ.*] Καὶ ποιήσει, φησὶν, αὐτὸ ὅμοιον ἐκείνῳ τῷ σώματι αὐτοῦ, τῷ ἐκ δεξιῶν τοῦ πατρὸς καθημένῳ, τῷ προσκυνουμένῳ παρὰ τῶν ἀσωμάτων δυνάμεων. Καὶ γὰρ εἰς ἄφθαρτον καὶ τὸ ἡμῶν μετα-

βληθήσεται σῶμα, χάριτι τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐαὶ τοῖς ἐκπίπτουσι ταύτης τῆς δόξης, καὶ μετὰ δαιμόνων τασσομένοις (1)! — ΑΛΛΩΣ. *Εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ.*] Ἰσχυρὰν καὶ ἀναμφίλεκτον πίστιν τίθησι τοῦ πάντως μετασχηματισθῆναι τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, ἂν μόνον βουλώμεθα, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Εἰ γὰρ, φησὶν, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπὶ τούτῳ παραγίνεται, τίς ἀμφισβητήσει, ὅτι οὐ πάντως ἔσται τοῦτο; Εἶτα θέλεις καὶ ἑτέραν ἀπόδειξιν; Ὑποτάξαι ἑαυτῷ βούλεται τὰ πάντα· *Δεῖ γὰρ αὐτὸν*, φησι, *βασιλεύειν, ἄχρις οὗ ἂν ὑποταγῇ αὐτῷ τὰ πάντα*· καί· *Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα* (α). Εἰ οὖν αὐτὸς ὁ υἱὸς βασιλεύει, ἵνα ὑποτάξῃ αὐτῷ τὰ πάντα, καὶ πάντα ὑποταγήσεται αὐτῷ πάντως, δῆλον, ὅτι καὶ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, ἄνπερ μόνον ἡμεῖς θελήσωμεν, ὑποταγήσεται αὐτῷ. Ὑποτάσσεται δὲ, ὅτε μηδὲν στασιῶδες καὶ πολέμιον πρὸς τὸν ὑποτάξαντα ἐν ἑαυτῷ φέρει, ἀλλὰ πάντα σύμφωνα καὶ συνᾴδοντα, ἔν τε πίστει καὶ ἐν πολιτείᾳ. Ὅταν δὲ οὕτως ὑποταγῇ αὐτῷ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, μετασχηματίζεται δηλονότι ἀπὸ τῆς ταπεινώσεως τῆς κατὰ τὴν ἁμαρτίαν καὶ τὴν φθορὰν, καὶ γίνεται σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. Μάταιος οὖν ὁ φόβος! Οὐ δεῖ δὲ λέγειν, ὅτι τῷ σώματι τοῦ υἱοῦ ὁ υἱὸς ὑποτάξει τὰ πάντα, ἀλλ' ὅτι αὐτὸς ἑαυτῷ, ὁ εἰπών· *Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς* (β)· ὡς καὶ ὁ Παῦλος ἀλλαχοῦ φησι· *Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ*· καί· *Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα* (γ). Τῶν οὖν θείων λογίων τρανῶς

(1) «Ἐπειδὴ, φησὶ, σύμμορφον αὐτοῦ ἐγένετο διὰ τῆς κοινωνίας τῶν παθῶν, σύμμορφον γενήσεται καὶ τῇ δόξῃ. Βαβαί! τί εἶπε; Τῷ ὑπὸ τῶν ἀγγέλων προσκυνουμένῳ, τῷ ἐν δεξιᾷ τοῦ πατρὸς καθημένῳ, τῷ τῆς δόξης ὄντι σώματι σύμμορφον γίνεται τὸ σῶμα ἡμῶν, καὶ οὕτω δοξάζεται ὡς ἐκεῖνο. Ἆρα, ἂν πᾶσα ἡ οἰκουμένη ἐπὶ τὸ αὐτὸ δακρύῃ τοὺς ἐκπίπτοντας τῆς τοιαύτης δόξης, ἀξίως δακρύσει;» Θεοφύλακτος.

(α) Α' Κορ ΙΕ', 25, 28.
(β) Ματθ. ΚΗ', 19.
(γ) Α' Κορ. ΙΕ', 25. 28.

ταῦτα λεγόντων, πῶς οὐ δεῖ λέγειν, ὅτι ὁ Κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς ὁ Χριστὸς αὐτός ἐστιν, ὁ καὶ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν μετασχηματίζων, καὶ ὁ ἐνεργῶν τὴν εἰς αὐτὸν τῶν πάντων ὑποταγήν; Τοῦ δὲ υἱοῦ ὑποτάσσοντος, καὶ ὁ πατὴρ ὑποτάσσει· κοινὰ γὰρ τὰ τοῦ πατρὸς καὶ υἱοῦ. — *Κατὰ τὴν ἐνέργειαν.*] Εἶτα λοιπὸν καὶ λογισμὸν δίδωσι τοῦ οὕτω παραδόξου πράγματος. Ἔστι γὰρ παράδοξον, τὸ γίνεσθαι σύμμορφον τὸ ἡμῶν σῶμα τῷ θείῳ ἐκείνῳ σώματι. Τοῦτο γάρ, φησιν, ὁ θεὸς καὶ πατὴρ ποιήσει, ἀπὸ τῆς ἐνεργείας, τουτέστι, κατὰ τὴν ἐνέργειαν ἐκείνην, ἐξ ἧς δύναται καὶ ἐδυνήθη ὑποτάξαι τῷ υἱῷ αὐτοῦ τὰ πάντα. Τοιγαροῦν, φησι, δουλώσεται αὐτὴν τὴν ταπείνωσιν ἡμῶν εἰς τὸ εἰς ἀφθαρσίαν μεταβαλεῖν. Ὅρα δὲ, πόσην οἶδεν ὁμογνωμοσύνην τῆς ἁγίας Τριάδος· ὅτι ἄνω τὸν υἱὸν ὑποθέμενος τὴν ἀλλαγὴν τοῦ σώματος ἡμῶν ποιεῖσθαι, νῦν τὸν πατέρα τοῦτο ποιεῖν λέγει. Ἆρα δὴ, ἐὰν οὕτω νοήσωμεν, μὴ τολμηρόν ἐστιν, ὅτι ὁ υἱὸς τοῦτο ποιήσει κατὰ τὴν δύναμιν αὐτοῦ ἐκείνην, ἐν ᾗ ὑπέταξε τῷ ἰδίῳ σώματι τὰ πάντα; Ἀλλ᾽ εἰ οὕτω νοήσομεν, δέος ἐστὶ, μὴ δόξωμεν διαιρεῖν μετὰ τὴν ἕνωσιν τὴν μίαν σεσαρκωμένην τοῦ θεοῦ Λόγου φύσιν (1).

(1) «Ἐπειδὴ μέγα εἶπε, καὶ σχεδὸν ἄπιστον, φησί· Μὴ ἀπιστήσῃς· δύναμιν γὰρ ἔχει, δι᾽ ἧς ἐνεργεῖ τὰ πάντα, καὶ ὑπέταξεν ἀγγέλους, καὶ ἀρχαγγέλους, καὶ δαίμονας. Ὥστε, ἐπεὶ ἐκεῖνα τὰ μείζω ἐποίησε, πολλῷ μᾶλλον τοῦτο τὸ ἔλαττον ἐκείνων ποιήσει. Τίς δὲ ὑπέταξεν; Οἱ μὲν φασὶν, ὅτι ὁ θεὸς καὶ πατὴρ ὑπέταξεν αὐτῷ, τῷ Χριστῷ δηλαδὴ, τὰ πάντα· πλὴν ἀνακόλουθόν ἐστιν· οὐ γὰρ εἶπεν ἄνω περὶ τοῦ πατρός. Βέλτιον οὖν περὶ τοῦ Χριστοῦ τοῦτο νοεῖν, ὃς διὰ τῆς δυνάμεως τῆς θεότητος ὑπέταξεν αὐτῷ, τῷ σώματι αὐτοῦ δηλαδὴ, τὰ πάντα. Οὐ γὰρ δὴ φοβηθησόμεθα, μήποτε διέλωμεν τὸν Χριστόν· ἕνα γὰρ οἴδαμεν αὐτὸν καὶ ἐν τῇ ἑτερότητι τῶν φύσεων.» Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ ς´.

Παραινέσεις ἴδιαι τινῶν καὶ κοιναὶ πάντων.

ΚΕΦ. IV, 1 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπό-
θητοι, χαρὰ καὶ στέφανός μου, οὕτω στήκετε ἐν
2 Κυρίῳ ἀγαπητοί. Εὐοδίαν παρακαλῶ, καὶ Συντύ-
3 χην παρακαλῶ, τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ· ναὶ ἐρω-
τῶ καὶ σὲ, σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς,
αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ
Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ
ὀνόματα ἐν βίβλῳ ζωῆς.

Ὥστε, *ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι.*] Μεγάλα τὰ ἐγκώμια, τὸ εἶναι Παύλου *ἀδελφούς*· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ *ἀγαπητοὺς*, καὶ *ἐπιποθήτους*· καὶ οὐ μόνον, ἀλλὰ καὶ χαρὰν αὐτοῦ, καὶ στέφανον, οὗ ἐνδοξότερον οὐκ ἔστιν ἄλλο τι. *Οὕτω στήκετε ἐν Κυρίῳ.*] Οὕτω. Πῶς; Ὡς νῦν, φησὶν, ἵστασθε, ἀκλινεῖς καὶ ἑδραῖοι ἐν τῇ πίστει Χριστοῦ. *Εὐοδίαν παρακαλῶ, καὶ Συντύχην.*] Δοκοῦσι μοι, ὅτι αὗται αἱ γυναῖκες, τῶν εὐδοκίμων ἦσαν σφόδρα. *Τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ.*] Ὅπερ νῦν φρονοῦσιν. *Ἐρωτῶ καὶ σέ.*] Παρακαλῶ καὶ σὲ, ὥσπερ ἐκείνας, φησίν. *Σύζυγε γνήσιε.*] Ἐκ τούτου τινὲς ὑπενόησαν, γυναῖκα ἔχειν τὸν Παῦλον, καὶ αὐτῇ γράφειν· ἀλλὰ μωρὸν τὸ τοιοῦτον. Οἷον γὰρ ἦν, εἰ ἐν Φιλίπποις, εἰς ξένην καὶ ἀλλοτρίαν, καταλελοίπει αὐτὴν, καὶ οὔτε ἐν Ταρσῷ, ἔνθα ἐγεγέννητο, οὔτε ἐν Ἱερουσαλὴμ, ἔνθα ἐτέθραπτο; Ἀλλ' ἐροῦμεν, ἢ ὅτι ἀνὴρ μιᾶς ἦν τῶν δύο, ὧν ἐμνήσθη, ἢ ὄνομα κύριον εὐδοκίμου τινὸς ἀνδρὸς, ᾧ καὶ παρατίθεται τὰς εἰρημένας γυναῖκας (1). *Συλλαμβάνου αὐταῖς.*] Σύμπραττε αὐταῖς

(1) « Τὸν σύζυγόν τινες ἀνοήτως ὑπέλαβον γυναῖκα εἶναι τοῦ ἀποστόλου, οὐ προσεσχηκότες τοῖς ἐν τῇ πρὸς Κορινθίους γεγραμμένοις, ὅτι τοῖς ἀγάμοις συνέταξεν ἑαυτόν· Λέγω γάρ, φησι, τοῖς ἀγάμοις, καὶ ταῖς χήραις· Καλὸν αὐτοῖς ἐστὶν, ἐὰν μείνωσιν, ὡς κἀγὼ (Α' Κορ. Ζ', 8.). Καὶ δῆλον μὲν ὡς, εἴτε ἄγαμος ἦν, εἴτε χῆρος, οὐκ εἶχε γυναῖκα· ἀλλὰ τὸ τῆς ἀγαμίας ἀληθέστερον· νεανίας γὰρ ὢν ἐκλήθη (Πράξ. Ζ', 58. Θ', 1, καὶ ἑξῆς.). Σύζυγον οὖν αὐτὸν καλεῖ, ὡς τὸν αὐτὸν ἕλκοντα τῆς εὐσεβείας ζυγόν. » Θεοδώρητος.

εἰς τὰ πρὸς τὸν θεόν. *Αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι.*] Κινδύνους αἰνίττεται, οὓς καὶ αὗται συνυπέμειναν. *Καὶ τῶν λοιπῶν συνεργῶν μου.*] Ἦσαν μέν, φησι, καὶ ἕτεροι πρὸς τὸ κήρυγμα συνεργοί· πλὴν καὶ αἱ γυναῖκες αὗται συνήθλησάν μοι. *Ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.*] Ὅπερ εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, τοῦτο καὶ ὁ Παῦλος περὶ ἐκείνων λέγει. Τί γὰρ ὁ Χριστός; Μὴ χαίρετε, φησίν, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς (α). *Ἐν βίβλῳ* δὲ *ζωῆς*, τουτέστι, τῇ γνώσει τοῦ Θεοῦ καὶ τῇ κρίσει. Ἢ τὴν ζωὴν αὐτοῖς ἐπεψηφίσατο ἐντεῦθεν ἤδη, ὥσπερ ὁ μὴ πιστεύων, ἤδη κέκριται (β), καὶ τάχα ἐν βίβλῳ θανάτου γέγραπται.

4 Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε.
5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. Ὁ
6 Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ
προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτή-
7 ματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν· καὶ ἡ εἰρή-
νη τοῦ θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρή-
σει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν
Χριστῷ Ἰησοῦ.

Χαίρετε ἐν Κυρίῳ πάντοτε.] Ὁ Χριστός φησι· Μακάριοι οἱ πενθοῦντες· καί· Οὐαὶ τοῖς γελῶσι (γ). Πῶς οὖν φησὶν ὁ Παῦλος· *Χαίρετε;* Οὐδὲ ὁ Χριστὸς τὸ πένθος τὸ κοσμικὸν ἐπέταξεν, οἷον, τὸ πενθεῖν ἐπὶ ἀποβολῇ προσηκόντων· ἀλλὰ τὸ πνευματικόν, τὸ πενθεῖν τὰς ἁμαρτίας· οὐδὲ ὁ Παῦλος τὴν κοσμικὴν λέγει χαράν· διὸ καὶ ἐπάγει, *Ἐν κυρίῳ.* Ὥστε τὸ πένθος ἐκεῖνο, ταύτης τῆς χαρᾶς γίνεται πρόφασις· ὁ γὰρ τὰς οἰκείας ἁμαρτίας πενθῶν, ἕξει τὴν ἐν Κυρίῳ χαράν, ταύτῃ ἀπαλείψας τὰς ἁμαρτίας διὰ τοῦ πένθους, καὶ τῷ Χριστῷ συνειδότι κατὰ θεὸν χαίρων. Τί δὲ βούλεται τὸ ἐπιδιπλασιάζειν

(α) Λουκ. Ι', 20. (β) Ἰωαν. Γ', 18.
(γ) Ματθ. Ε', 4. Λουκ. Ϛ', 25.

αὐτὸν, *Πάλιν ἐρῶ, χαίρετε;* Ἦσαν ἐν λύπῃ διὰ τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις, ἃς ὑπέμενον. Δείκνυσιν οὖν τὸ ὑπὲρ Χριστοῦ πάσχειν καὶ λυπεῖσθαι, χαρᾶς ὂν τῆς ἀληθοῦς πρόξενον· ἢ ὅτι ἡ ὑπὲρ Χριστοῦ λύπη, ἀπὸ τῶν διωκόντων συμβαίνουσα, αὐτοχαρά ἐστιν, ἐπισκοτιζούσης τῆς ἐν προσδοκίᾳ χαρᾶς τὴν παρὰ πόδα λύπην. *Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις.*] Ἐπειδὴ ἀνωτέρω διέβαλέ τινας, *τοὺς ἐχθροὺς τοῦ σταυροῦ*, λέγων, καὶ, *ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν*, εἰκὸς ἦν διὰ ταῦτα ἐκπολεμοῦσθαι πρὸς ἐκείνους τοὺς πιστούς. Φησὶν οὖν· Μὴ ὡς πολεμίοις χρῆσθε αὐτοῖς, ἀλλ' ἐπιεικῶς· καὶ οὐ μόνον αὐτοῖς, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις. *Ὁ Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε.*] Τί ἀλύετέ, φησι, διὰ τὰς ἐκείνων ἐπιβουλὰς καὶ ὕβρεις, ἢ τοὺς ἄλλους πειρασμούς; Ὁ Κύριος ἐγγὺς, ἤδη ἡ κρίσις ἐφέστηκε· καὶ ὑμεῖς κἀκεῖνοι τὰς ἀνταποδόσεις ἕξετε. *Μηδὲν* οὖν *μεριμνᾶτε*, μηδὲν ὑμῖν μελέτω μήτε τῆς ἐκείνων ὕβρεως, μήτε τῆς ὑμῶν θλίψεως. *Ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας*, καὶ ἑξῆς.] Ἔστι μὲν οὖν τοῖς θλιβομένοις μεγίστη παραψυχὴ, τὸ ἐγγὺς εἶναι τὸν Κύριον. Ἰδοὺ δὲ καὶ ἄλλο προστίθησι φάρμακον, τὴν ἐν παντὶ πράγματι εὐχὴν καὶ δέησιν, καὶ τοῦτο μετὰ εὐχαριστίας· αὕτη γὰρ καὶ κυρίως εὐχή· ὁ γὰρ μὴ εὐχαριστῶν ἐπὶ τοῖς παρεληλυθόσι, πῶς ἢ αἰτήσει ἢ λήψεται τὰ μέλλοντα; Διὰ οὖν τῆς μετὰ εὐχαριστίας εὐχῆς καὶ δεήσεως, *τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν*· ὡς αἵγε μὴ ἔχουσαι εὐχαριστίαν εὐχαὶ, οὔτε γνωρίζονται πρὸς τὸν θεὸν, οὔτε γνωρίζουσι τὰ αἰτήματα ἡμῶν πρὸς αὐτόν. *Καὶ ἡ εἰρήνη τοῦ θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν.*] *Εἰρήνην*, λέγει, τὴν καταλλαγὴν τοῦ θεοῦ, τὴν πρὸς τοὺς ἀνθρώπους. Καλῶς δὲ εἶπεν *εἰρήνην*· ἦμεν γὰρ αὐτῷ ἐκπεπολεμωμένοι, διὰ δὲ τοῦ αἵματος τοῦ μονογενοῦς κατήλλαξεν ἡμᾶς ἑαυτῷ. Αὕτη οὖν ἡ εἰρήνη, ἤτοι, ἡ καταλλαγὴ, ὑπερέχει πάντα νοῦν, οὐκ ἀνθρώπινον μόνον, ἀλλὰ καὶ ἀγγελικόν. Ἡ περὶ ἐκείνης τῆς εἰ-

ρήνης λέγει, περὶ ἧς φησὶν ὁ Χριστός· *Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν* (α). Ὅταν γὰρ λέγῃ καὶ πρὸς τοὺς ἐχθροὺς καὶ πρὸς τοὺς ἀδικοῦντας εἰρηνεύειν, οὐχ ὑπερβαίνει πάντα νοῦν; Εἰ δὲ ἡ εἰρήνη τοῦ θεοῦ ὑπερβαίνει πάντα νοῦν, πόσῳ μᾶλλον ἡ οὐσία; Τί οὖν εἴποι τις πρὸς τοὺς τὴν οὐσίαν αὐτοῦ περιεργαζομένους; *Φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν.*] Ὥστε μὴ ὑπὸ πειρασμῶν καταβαπτίζεσθαι, μήτε ὑπὸ ἀπάτης περιφέρεσθαι. Τὸ δὲ, *ἐν Χριστῷ Ἰησοῦ*, ἢ, ἐν αὐτῷ φυλάξει, ὥστε μὴ ἐκπεσεῖν αὐτοῦ, ἀλλὰ μᾶλλον μένειν ἐν αὐτῷ, ἢ, δι' αὐτοῦ φυλάξει.

8 Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ,
ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα,
εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε·
9 ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ
εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε· καὶ ὁ θεὸς τῆς εἰ-
ρήνης ἔσται μεθ' ὑμῶν.

Τὸ *λοιπὸν, ἀδελφοί.*] Πάντα ὑμῖν εἴρηται· τοῦτο λείπεται νῦν. Ἐπειγομένου δὲ τὰ ῥήματα. *Ὅσα ἀληθῆ.*] *Ἀληθῆ* λέγει τὰ ἐνάρετα· ψεῦδος γὰρ ἡ κακία· *σεμνὰ* δὲ, ὅσα ἐν σχήμασι, καὶ λόγοις, καὶ βαδίσμασι, καὶ πράξεσιν· *ἁγνὰ* δὲ, ὡς πρὸς ἀντιδιαστολὴν τῶν τὰ γήϊνα φρονούντων· *προσφιλῆ* δὲ, ἢ τῷ θεῷ, ἢ καὶ τοῖς ἀνθρώποις. Τοῦτο δὲ, διὰ τὸ μὴ προσκρούειν τισί. *Εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος.*] Βούλεται οὕτω ζῆν αὐτοὺς, ὡς καὶ ἀνθρώποις ἀρέσκειν· (ἀπρόσκοποι γάρ, φησι, γίνεσθε (β)·) οὐ πρὸς ἔπαινον ὁρῶντας, ἀλλ' ἐπαινετῶς ζῶντας. *Ταῦτα λογίζεσθε.*] Ἐπειδὴ ἀπὸ τῶν ἐννοιῶν αἱ πονηραὶ πράξεις γίνονται, *ταῦτα λογίζεσθέ*, φησι, τὰ προειρημένα. Ὁρᾷς, ὅτι καὶ ἔννοιαν κακὴν ἐκ τῶν ἡμετέρων ἐξορίσαι βούλεται ψυχῶν; *Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί.*] Ἐπειδὴ οὐκ ἐνῆν περὶ πάντων

(α) Ἰωαν. ΙΔ', 27. (β) Α' Κορ. Ι, 32.

ἀκριβολογεῖσθαι, περὶ σχημάτων, περὶ βαδίσεως, περὶ ῥημάτων, περὶ γέλωτος, καὶ ὅσα λοιπὰ, ἐν κεφαλαίῳ φησίν· Ὅσα ἐμάθετε καὶ ἠκούσατε διὰ διδασκαλίας, καὶ παρελάβετε ἐγγράφως, καὶ εἴδετε ἐν ἐμοὶ διὰ τῶν ἔργων αὐτῶν. Τοῦτο γὰρ, ὡς πολλάκις εἴρηται, διδασκαλία ἀρίστη, τὸ ἑαυτὸν τύπον παρέχειν. *Ταῦτα πράσσετε.*] Μὴ μόνον λογίζεσθε, ὡς ἀνωτέρω εἴρηται, μηδὲ λέγετε μόνον, ἀλλὰ καὶ πράττετε. *Καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.*] Τουτέστιν, ἂν ταῦτα ποιῆτε, ἔσεσθε ἐν ἀδείᾳ, ἐν εἰρήνῃ, ἐν ἀσφαλείᾳ. Ἐὰν γὰρ εἰρηνεύωμεν πρὸς τὸν θεὸν, διὰ τῆς ἀρετῆς δηλαδὴ, καὶ πρὸς τοὺς ἀνθρώπους· (μετὰ γὰρ τῶν μισούντων, φησὶ, τὴν εἰρήνην ἤμην εἰρηνικός (α)·) καὶ ὁ θεὸς ἔσται μεθ' ἡμῶν. Θεοῦ δὲ ὄντος μεθ' ἡμῶν, τί χρὴ τὰ λοιπὰ περιεργάζεσθαι;

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἀποδοχὴ τῆς ἀποσταλείσης αὐτῷ διακονίας.

10 Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ
ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρο-
11 νεῖτε, ἠκαιρεῖσθε δέ. Οὐχ ὅτι καθ' ὑστέρησιν
λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρκης
12 εἶναι. Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν·
ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, καὶ χορτάζεσθαι
13 καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι. Πάν-
14 τα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. Πλὴν
καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει.

Ἐ*χάρην δὲ ἐν Κυρίῳ μεγάλως.*] Διὰ τοῦτο μεγάλως ἐχάρη, ἐπειδὴ οὐ κοσμικὴ, οὐδὲ βιωτικὴ ἦν ἡ χαρὰ, ἀλλ' ἐν Κυρίῳ. Ἐχάρη δὲ, οὐχ ἐπειδὴ αὐτὸς ἔλαβεν, ἀλλ' ἐπειδὴ οἱ δόντες

(α) Ψαλμ. ΡΙΘ', 6.

ὠφελήθησαν· διὰ τοῦτο καὶ μεγάλως, ὅτι ὑπὲρ τῆς αὐτῶν ὠφελείας. Ἠρέμα δὲ ἐπιτιμήσας ὑπὲρ τοῦ παρελθόντος χρόνου, ὡς ἂν διδάξῃ, συνεχῶς καὶ διὰ παντὸς μεταδιδόναι, πάλιν αὐτὸ συνεσκίασε· τὸ γὰρ, *ὅτι ἤδη ποτὲ*, χρόνον δηλοῖ μακρὸν, ἐν ᾧ τοῦτο ποιεῖν ἠμέλησαν, τὸ πέμψαι δηλαδὴ αὐτῷ τὰ πρὸς τὴν χρείαν. Τὸ δὲ, *ἀνεθάλετε*, ὡς ἐπὶ φυτῶν ξηρανθέντων, καὶ αὖθις ἀναβλαστησάντων. Οὕτω γάρ, φησι, καὶ ὑμεῖς, ἀπομαρανθέντες ἐν τῇ ἐλεημοσύνῃ, αὖθις ἀνεθάλετε. *Τὸ ὑπὲρ ἐμοῦ φρονεῖν.*] Ἔδειξεν, ὅτι ἐν τοῖς πρὸς αὐτὸν μόνον ἦσαν ἠμεληκότες, οὐ μὴν καὶ ἐν τοῖς πρὸς πάντας, ὅπερ ἀνακτωμένου ἦν τὴν ἐπίπληξιν. *Τὸ ὑπὲρ ἐμοῦ γάρ*, φησι, *φρονεῖν*, τουτέστι, τὸ μεμνῆσθαί μου, τὸ φροντίζειν μου τῆς ἀναγκαίας χρείας. *Ἐφ' ᾧ καὶ ἐφρονεῖτε.*] Τουτέστιν, εἴχετε μὲν ἐν τῇ καρδίᾳ τὴν περὶ ἐμοῦ φροντίδα, καὶ ἐμεριμνᾶτε ὑπὲρ ἐμοῦ· καὶ γὰρ καὶ ἔθος ὑμῖν φροντίζειν μου. Εἶτα, ὥσπερ ἀπολογούμενος ὑπὲρ τῆς εἰς αὐτὸν ῥαθυμίας, φησίν· *Ἠκαιρεῖσθε δέ.*] Τουτέστιν, οὐ ῥαθυμήσαντες ἠμελήσατέ μου, ἀλλὰ καιρὸν οὐκ εἴχετε τοῦ πέμψαι· ἢ, οὐ τῆς ῥαθυμίας ὑμῶν, ἀλλὰ τῆς ἀνάγκης τοῦτο· τουτέστιν, οὐκ εἴχετε ἐν χερσὶν, οὐδὲ ἐν ἀφθονίᾳ ἦτε· ἢ, διότι οὐκ εἴχετε τὸν αὐτὰ κομίσοντα. Τί δή ποτε δὲ ὁ λέγων· Μακάριόν ἐστι διδόναι μᾶλλον, ἢ λαμβάνειν (α), ὁ ἀεὶ ἐγκαυχώμενος τῷ μὴ λαμβάνειν· (Καλὸν γάρ μοι, φησὶ, μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ (β)·) νῦν εἴληφε; Καὶ φαμὲν ὅτι ἐκεῖ, ἐπὶ τῶν Κορινθίων, εἰκότως οὐκ ἐλάμβανε, διὰ τοὺς ψευδαποστόλους, ὑποκρινομένους τὸ μὴ λαμβάνειν· Ἵνα γάρ, φησιν, ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν, ὡς κἀγώ (γ). Ὥστε ἐκεῖ, οἰκονομικῶς οὐκ ἐλάμβανεν· ἐνταῦθα δὲ, ἀγαπητοὶ οἱ διδόντες καὶ ἐπιπόθητοι, οὓς, εἰ μὴ ἐλάμβανεν, ἔπληξεν ἄν. Ἄλλως τε ἐλάμβανεν, οὐ τοσοῦτον διὰ τὴν χρείαν, ὅσον ἵνα ὠφελῶνται οἱ παρέχοντες. Πόθεν γὰρ καὶ τρέφεσθαι εἶχεν ἐν

(α) Πραξ. Κ', 35. (β) Α' Κορ. Θ', 15. (γ) Β' Κορ. ΙΑ', 12.

ξένῃ γῇ, μήτε ἐπιφερόμενος, μήτε τῷ ἐργοχείρῳ, ἀλλὰ τῷ κηρύγματι σχολάζων; Τὸ δὲ λέγειν, *Μακάριόν ἐστι διδόναι μᾶλλον, ἢ λαμβάνειν*, οὐκ ἀπαγόρευσις ἁπλῶς ἐστὶ τοῦ λαμβάνειν· ἀλλὰ σύγκρισίς ἐστι, τὸ κρεῖττον ὑποδεικνύουσα. *Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω.*] Ἐπειδὴ ἠρέμα ἐπετίμησεν αὐτοῖς γράψας, *Ἤδη ποτὲ ἀνεθάλετε*, φησίν· Ἅπερ εἶπον, οὐ διὰ τοῦτο εἶπον, ὡς ἐν ἐνδείᾳ ὤν, καὶ τὸ ἐμαυτοῦ σκοπῶν· ἀλλὰ πρὸς τὸ ὑμῶν συμφέρον εἶπον, ἵνα μὴ ἄκαρποι ἦτε, ὥσπερ κάτω λέγει. — Εἶπον, ὅτι *Ἐχάρην ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν*· ἀλλὰ μὴ νομίσητε, φησὶν, εἰπεῖν με τοῦτο διὰ τὴν ὑστέρησιν, ἣν εἶχον· *ἐγὼ* γάρ, φησιν, *ἔμαθον*, καὶ ἑξῆς. Γεγυμνασμένος, φησὶν, εἰμὶ ἐν πᾶσι, καὶ οὐδὲ ὑστερούμενος δυσχεραίνω· ἐχάρην δὲ ὅμως ἐφ' ὑμῖν, ὅτι *καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει*· κοινωνοὺς γὰρ ἑαυτοὺς τῆς ἐμῆς θλίψεως ποιήσαντες, καὶ τῶν βραβείων κοινωνήσετε. Ἐπειδὴ δὲ εἶπεν, ὅτι Ἐχάρην μεγάλως, διότι ὑμεῖς καλῶς ἐποιήσατε, συγκοινωνοὶ γεγονότες μου τῆς θλίψεως, ἐπαναμιμνήσκει αὐτοὺς, ὅτι ἀπ' ἀρχῆς ταύτην αὐτοῖς τὴν χάριν καὶ τὴν εὐεργεσίαν κατετίθετο, τὸ ἐξ αὐτῶν λαμβάνειν τὰ πρὸς τὴν χρείαν, καὶ κοινωνοὺς αὐτοὺς διὰ τούτου παρασκευάζειν καὶ τῶν διὰ Χριστὸν θλίψεων, καὶ τῶν ἐπὶ τούτοις κειμένων βραβείων. Μὴ γὰρ νομίσητέ, φησιν, ὅτι νῦν διὰ τὸ μακράν με γενέσθαι, καὶ ἐν τόπῳ, ἐν ᾧ τὸ κήρυγμα ὥσπερ ἐν ὑμῖν οὐκ ἐπλατύνθη, οὐδὲ εἰσὶν οἱ προθύμως οὕτω τὰ πρὸς χρείαν ἐπιχορηγοῦντες, διὰ τοῦτο τὴν ὑμῶν χορηγίαν ἀπεδεξάμην, καὶ ἠξίωσα ὑμᾶς κοινωνοὺς καὶ τῆς θλίψεώς μου καὶ τῆς μισθαποδοσίας γενέσθαι· καὶ γὰρ καὶ ἐγγὺς ἔτι ὤν, καὶ πολλοὺς ἔχων, εἴπερ ἤθελον, τοὺς χορηγοῦντας, ὑμᾶς προέκρινα. Καὶ ἐξερχόμενος γὰρ ἀπὸ Μακεδονίας, καὶ ἐν Θεσσαλονίκῃ, ὑμᾶς ἠξίουν, χορηγοὺς εἶναι τῆς χρείας μου. Μὴ νομίσητε δὲ ταῦτα λέγειν με, καὶ ἐπαίρειν τὴν πρᾶξιν ὑμῶν ταύτην, ἵνα ἔτι καὶ ἔτι χορηγῆτε, καὶ ταῖς χρείαις μου ἐπαρκῆτε. Τοσοῦτον γὰρ δέω

διὰ τοῦτο εἰπεῖν αὐτὰ, ὅτι ἰδοὺ λέγω, *ἀπέχω πάντα*, τουτέστιν, ἀπήλλαγμαι πρὸς πάντα τὰ πρὸς τὴν χρείαν· ἀπήλλαγμαι δὲ, οἷον οὐκέτι χρείαν ἔχω τούτων. Εἶτα, ἵνα μὴ λυπήσῃ, ὡς ἀπαξιῶν, οὐχί, φησιν, ἀλλ' ὅτι *περισσεύω*, καὶ ἑξῆς (Φωτίου).— *Ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμὶ, αὐτάρκης εἶναι.*] Δυσκατόρθωτον ἄρα τὸ ἐν αὐταρκείᾳ χαίρειν, καὶ διδαχῆς δεῖται καὶ ἀσκήσεως· *ἔμαθον* γὰρ, φησί. Τί δὲ ἔμαθες, ὦ θεία ψυχή; *Ἐν οἷς εἰμὶ*, τουτέστι, τοῖς παροῦσιν, ἀρκεῖσθαι, καὶ αὐτάρκης εἶναι. *Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν.*] Τουτέςι, καὶ ὀλίγοις κεχρῆσθαι οἶδα, καὶ λιμὸν ὑποφέρειν καὶ ἔνδειαν, καὶ αὖ περισσεύειν. Ἀλλ' ἴσως ἐρεῖ τις· Τὸ μὲν εἰδέναι λιμὸν φέρειν, ἀρετή· τὸ δὲ περισσεύειν, ποία ἀρετή; Καὶ σφόδρα μεγάλη· ὥσπερ γὰρ ἡ στενοχωρία, οὕτω καὶ ἡ πλησμονὴ οἶδε τίκτειν πολλὰ κακά. Πολλοὶ γὰρ, ἐν ἀφθονίᾳ γενόμενοι, ῥαθυμότεροι γεγένηνται, καὶ οὐκ ἴσχυσαν ἐνέγκαι τὴν εὐπραγίαν· ἀλλ' οὐχ ὁ Παῦλος. Πῶς δὲ ᾔδει ὁ Παῦλος περισσεύειν; Ὅτι εἰς ἄλλους ἀνήλισκε, καὶ οὐκ ἔχαιρεν ἐπὶ τῇ περισσείᾳ· ἀλλ' ἴσος ἦν ἔν τε πλησμονῇ καὶ ἐν ἐνδείᾳ, οὔτε ἐπὶ ταύτῃ χαυνούμενος, οὔτε ἐπὶ τῇ ἐνδείᾳ πιεζόμενος. *Ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι.*] Ἐν παντὶ πράγματί, φησι, καὶ ἐν πᾶσι τοῖς παρεμπίπτουσι, *μεμύημαι*, τουτέστι, πεῖραν ἔλαβον. *Καὶ χορτάζεσθαι καὶ πεινᾷν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι.*] Οἱ Ἰσραηλῖται οὔτε πεινᾷν ᾔδεσαν· κατελάλησαν γὰρ τοῦ θεοῦ, καὶ εἶπον· Μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; ἀλλ' οὐδὲ χορτάζεσθαι· Ἔφαγον γὰρ, καὶ ἐνεπλήσθησαν, καὶ ἀπελάκτησαν (α). Ἀλλ' ὁ Παῦλος, καὶ οἱ κατὰ Χριστὸν, οὐχ οὕτω. Δείκνυσι δὲ διὰ τούτων, ὅτι οὔτε πρότερον, μὴ διδόντων, ἐλυπεῖτο, οὔτε νῦν, δόντων, ἐχάρη ἀνθρωπίνῳ λογισμῷ, ἀλλ' ὑπὲρ αὐτῶν, ὡς ὠφελουμένων. *Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι με Χριστῷ.*] Ἵνα μὴ δό-

(α) Ψαλμ. ΟΖ', 19. Δευτερ. ΛΒ', 15.

ξῃ μεγαλοῤῥημονεῖν περὶ ἑαυτοῦ, ἄλλως τε καὶ ὡς εὐχάριστος, πάντα τῷ Χριστῷ ἀνατίθησιν. Οὐκ ἐμόν, φησι, κατόρθωμα τὰ εἰρημένα, ἀλλὰ τοῦ τὴν ἰσχύν μοι ταύτην παρεσχηκότος Χριστοῦ. *Πλὴν καλῶς ἐποιήσατε.*] Εἶπεν, ὅτι οἶδεν, αὐτάρκης εἶναι. Ἵνα οὖν μὴ σκανδαλισθῶσιν οἱ Φιλιππήσιοι ἐπ' αὐτῷ, ὡς μὴ ἡδέως δεξαμένῳ τὰ παρ' αὐτῶν, ἀλλ' ἄχρηστα αὐτὰ ἡγησαμένῳ· (εἰώθασι γὰρ οἱ διδόντες σκανδαλίζεσθαι, ἐπειδὰν οἱ λαμβάνοντες λέγωσιν, ὅτι οὐ δεόμεθα·) θεραπεύει τοῦτο, λέγων· *Πλὴν καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει·* τουτέστιν, εἰ καὶ μὴ δέομαι, ἀλλ' ὅμως τὴν ὑμετέραν χάριν ἀπεδεξάμην. Καὶ ὅρα σοφίαν, πῶς ἐπαίρει τὸ πρᾶγμα! *Συγκοινωνήσαντές μου*, λέγων, *τῇ θλίψει*, ἴσους ἑαυτῷ αὐτοὺς κατέστησεν. Ἐγὼ μὲν γάρ, φησί, ταῦτα πάσχω· ἐπεὶ δὲ ἐφροντίσατέ μου, ὁ θεὸς καὶ ὑμᾶς συναθλητάς μου λογίζεται. Διὰ μὲν οὖν τῶν ἔμπροσθεν, τὸ φρόνημα αὐτῶν κατέστειλε· διὰ δὲ τῶν νῦν, προθυμοτέρους αὐτοὺς ποιεῖ. Οὐκ εἶπε δέ, Δεδωκότες καὶ παύσαντές μου τὴν λύπην, ἀλλ', ὃ σεμνότερον ἦν, *Συγκοινωνήσαντές μου τῇ θλίψει*. Οἷον δέ ἐστι καὶ κοινωνὸν γενέσθαι Παύλου, καὶ ἐν τῇ ὑπὲρ Χριστοῦ θλίψει!

15 Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ
εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία
μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ
16 λήψεως, εἰ μὴ ὑμεῖς μόνοι· ὅτι καὶ ἐν Θεσσαλο-
νίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψα-
17 τε. Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν
18 καρπόν, τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. Ἀπέ-
χω δὲ πάντα, καὶ περισσεύω· πεπλήρωμαι, δεξά-
μενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν
19 εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ θεῷ. Ὁ δὲ
θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν
πλοῦτον αὐτοῦ, ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ.

Ὑπὲρ τῆς ἄνω εἰρημένης ἐπιπλήξεως, ἔνθα εἶπε τό, *Ἤδη ποτὲ ἀνεθάλετε*, νῦν ἠρέμα ἀπολογεῖται. Μὴ γάρ, φησιν, ὡς

χρῄζοντά με, ἢ ἀπαιτοῦντα, νομίσητε ἐκεῖνα εἰρηκέναι, ἀλλ' ὅτι θαῤῥῶ ὑμῖν· τοῦ δὲ θαῤῥεῖν ὑμεῖς δεδώκατε τὰς ἀφορμὰς, ἐν ἀρχῇ τοῦ εὐαγγελίου μοι παρασχόντες. *Ἐν ἀρχῇ τοῦ εὐαγγελίου.*] Πρὶν ὅλως, φησὶν, ἐβεβαιώθητε. *Ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας.*] Οὐ μόνον, φησὶν, παρ' ὑμῖν ὄντι δεδώκατε· ἀλλὰ καὶ ὅτε ἐξῆλθον, οὐ μόνον τῆς πόλεως ὑμῶν, ἀλλὰ καὶ τῆς ἐπαρχίας. *Οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν.*] Οὐκ εἶπεν, Οὐδεμία μοι ἐκκλησία δέδωκεν; ἀλλ', *Ἐκοινώνησε·* κοινωνία γάρ ἐστι τὸ πρᾶγμα· ἐδίδουν γὰρ σαρκικὰ, καὶ ἐλάμβανον πνευματικά· ὡς καὶ ἀλλαχοῦ φησιν· *Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν* (α); Τὸ δὲ, *εἰς λόγον δόσεως καὶ λήψεως*, καὶ ἄλλως ἔχει τὴν κατάγνωσιν. Οὐκ ἔδωκαν γὰρ σαρκικὰ, ἀλλ' οὐδὲ λαβεῖν ἠθέλησαν πνευματικά. *Ὅτι καὶ ἐν Θεσσαλονίκῃ.*] Τοῦτο πλέον ἐστὶν, ὅτι καὶ ἐν αὐτῇ τῇ μητροπόλει αὐτῶν διάγων, παρὰ τούτων ἐτρέφετο. Διό φησιν, ὅτι *καὶ ἐν Θεσσαλονίκῃ εἰς τὴν χρείαν μοι ἐπέμψατε*, οἷον, εἰς τὰ χρειώδη δαπανήματα· εἰς τὴν χρείαν δὲ, οὐκ εἰς τρυφὴν, οὐδὲ εἰς σπατάλην. *Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα.*] Ἐπειδὴ ταπεινῶς ἐφθέγξατο, εἰπὼν, *εἰς τὴν χρείαν μου*, ἵνα μὴ ἐκ τούτου ἐπαρθῶσιν ἐκεῖνοι, φησίν· *Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα ὑμῶν*, διὰ τοῦτο ταῦτα λέγω· *ἀλλ' ἐπιζητῶ τὸν καρπὸν ὑμῶν*, τὸν εἰς λόγον ὑμῶν, οὐκ ἐμοῦ, πλεονάζοντα. Ὁρᾷς, ὅτι αὐτοὶ ὠφελοῦντο ἐκ τοῦ παρέχειν; Ὡς εἰ ἔλεγε· Διὰ τὸ ὑμῶν συμφέρον ταῦτα ἐπιζητῶ, ἵνα ὑμεῖς καρπὸν ἐνέγκητε. *Ἀπέχω δὲ πάντα.*] Ἐκ τούτου πάλιν προθυμοτέρους αὐτοὺς ποιεῖ. *Ἀπέχω*, φησὶ, *πάντα*, τουτέστι, καὶ τὰ ὑπὲρ τοῦ προτέρου χρόνου, καθ' ὃν οὐκ ἐπέμψατε, *καὶ περισσεύω*, τουτέστι, πλείω τῶν παραλειφθέντων δεδέχθαι ἥγημαι. *Πεπλήρωμαι.*] Πάντα, φησὶ, τὰ χρεωστηθέντα μοι ἔλαβον· χρέος γὰρ οἶδε τὸ πρᾶγμα. *Δεξά-*

(α) Α' Κορ. Θ', 11.

μενος παρὰ Ἐπαφροδίτου.] Διὰ τούτου γὰρ ἦσαν ἀποστείλαντες. *Ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεστον τῷ θεῷ.*] Βαβαί! ποῦ τὸ δῶρον αὐτῶν ἀνήγαγεν; Οὐκ ἐμοί, φησιν, ἀλλὰ τῷ θεῷ δεδώκατε· ἐδεξάμην γὰρ τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας καὶ θυσίαν δεκτὴν καὶ εὐάρεστον τῷ θεῷ ὑπάρχοντα· καὶ γὰρ θυμίαμά τε καὶ θυσία λογικὴ θεῷ μόνῳ προσάγεται· καὶ τὰ παρ' ὑμῶν δὲ δῶρα, θεῷ προσαχθέντα τυγχάνει. *Ὁ δὲ θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν.*] Ἐπειδὴ εἶπεν ἄνω, ὅτι *ἠκαιρεῖσθε*, τουτέςιν, ἐστενοχωρεῖσθε, ἐν ἐνδείᾳ ἦτε, νῦν ἐπεύχεται αὐτοῖς, ὥςε ἐν αὐταρκείᾳ εἶναι, εἰς τὸ καὶ ἑτέροις δύνασθαι χορηγεῖν. Εἰ μὲν γὰρ φιλόσοφοι ἦσαν, οὐκ ἂν αὐτοῖς τὰ σωματικὰ ἐπηύξατο· ἐπεὶ δὲ βιωτικοὶ ἄνθρωποι, καί τινα ἐπιθυμίαν καὶ τῶν παρόντων ἔχοντες, ἐπεύχεται αὐτοῖς συγκαταβατικῶς, οὐ περισσείαν ἢ τρυφὴν, ἀλλὰ τῶν χρειωδῶν εὐπορίαν. Πληρώσει γάρ, φησι, πᾶσαν χρείαν ὑμῶν, ὥστε μὴ εἶναι ἐν ἐνδείᾳ. Εἶτα, ἵνα μὴ νομίσωσιν, ὅτι στενοχωρήσει αὐτοὺς, φησί· *Κατὰ τὸν πλοῦτον αὐτοῦ.*] Τουτέστι, πλουσίως καὶ ἀστενοχωρήτως. Τοῦτο δὲ εἶπε, δεικνὺς, ὅτι καὶ εὔκολον αὐτῷ τὰ χρειώδη δοῦναι· πλούσιος γάρ ἐστι· δώσει δὲ ὑμῖν *ἐν δόξῃ*, τουτέστιν, ὥστε εἰς δόξαν αὐτοῦ τὴν δόσιν προχωρῆσαι. Τὸ δὲ, *ἐν Χριστῷ Ἰησοῦ*, δύναται μὲν καὶ οὕτω νοηθῆναι, ὅτι ταῦτα ποιήσει ὁ πατὴρ ἐν Χριστῷ Ἰησοῦ, τουτέστι, μεσιτεύοντος τοῦ Χριστοῦ· δύναται δὲ καὶ οὕτως· ἐν δόξῃ, τῇ εἰς Χριστὸν Ἰησοῦν ἀναφερομένῃ.

20 Τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας
21 τῶν αἰώνων. Ἀμήν. Ἀσπάσασθε πάντα ἅγιον ἐν
Χριστῷ Ἰησοῦ. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ
22 ἀδελφοί. Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιςα
23 δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας. Ἡ χάρις τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ἐπειδὴ εἶπεν· *Ἐν Χριστῷ Ἰησοῦ πληρώσει πᾶσαν χρείαν ὑμῶν*, δοξολογεῖ τὸν πατέρα, τὸν διὰ τοῦ υἱοῦ διδόντα τὴν

αὐτάρκειαν (1). *Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.*] Ἦσαν γὰρ πλείους μετ' αὐτοῦ, τάχα καὶ ἐκ Ῥώμης αὐτῆς ὄντες, οὐκ ὄντες μὴν τοιοῦτοι, ὥστε καὶ ἀποστόλων ἀναδέχεσθαι πράγματα. Μόνος γὰρ ὁ Τιμόθεος ἦν τοιοῦτος, ὃν καὶ *ἰσόψυχον* ὠνόμασεν ἀνωτέρω. Ὅμως ὅρα τὰ Παύλου σπλάγχνα· ὅτι καὶ ἐκείνους *ἀδελφοὺς* καλεῖ. *Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι.*] Σημεῖον ἦν, ὅτι ὁ Παῦλος παρ' αὐτοῖς ἐπῄνει τοὺς Φιλιππησίους, διὸ καὶ ἀσπάζονται αὐτούς. *Μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.*] Ἀνέῤῥωσεν αὐτούς, δείξας, ὅτι καὶ εἰς τὴν βασιλικὴν οἰκίαν ἔφθασε τὸ κήρυγμα· οὐ γὰρ ἂν μὴ πιστεύσαντες ἠσπάσαντο τοὺς Φιλιππησίους. Πρὸς τούτοις καὶ τοῦτο διδάσκει· Εἰ οἱ ἐν τοῖς βασιλείοις πάντων κατεφρόνησαν, καὶ τῷ Χριστῷ ἐπίστευσαν, πόσῳ μᾶλλον ὑμᾶς τοὺς πένητας τοῦτο δεῖ ποιεῖν; *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.*] Τὸ σύνηθες αὐτῷ, εὐχῇ παύει τὴν ἐπιστολὴν καὶ νῦν. Γένοιτο οὖν καὶ ἡμᾶς, τήν τε ἄλλην πᾶσαν ἀρετήν, καὶ δὴ καὶ τὴν τῆς μεταδόσεως πλουτῆσαι, διὰ τῆς χάριτος τοῦ Χριστοῦ· ἵνα ἡμεῖς αὐτοὶ ὠφελούμενοι διὰ τοῦ διδόναι καὶ πᾶσι μὲν τοῖς χρῄζουσι, μάλιστα δὲ τοῖς ὑπὲρ τοῦ Θεοῦ κακοπαθοῦσιν, ἀπολαύσωμεν τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

(1) « Ἐπειδὴ εἶπεν· Εἰς δόξαν τοῦ υἱοῦ· ἐπήγαγεν, ὅτι αὕτη ἡ δόξα τοῦ Χριστοῦ, τοῦ πατρός ἐστιν. » Θεοφύλακτος.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ῥώμης διὰ Ἐπαφροδίτου.

Η

ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

ΕΠΙΣΤΟΛΗΣ.

Ταύτην ἐπιστέλλει ἀπὸ Ῥώμης, οὐχ ἑωρακὼς μὲν αὐτοὺς, ἀκούσας δὲ περὶ αὐτῶν. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Τοὺς Κολοσσαεῖς ἐβούλοντό τινες ἀπατῆσαι σοφίσμασιν Ἑλληνικοῖς κατὰ τῆς εἰς Χριστὸν πίστεως, καὶ περὶ τῶν ἐν νόμῳ βρωμάτων καὶ περιτομῆς. Ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστολος, γράφει τὴν ἐπιστολὴν, ὥσπερ κατηχητικὴν, αὐτοῖς ταύτην. Καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ θεῷ, σημαίνει ἀπὸ τοῦ σκότους αὐτοὺς μεταβεβηκέναι εἰς τὸ φῶς τῆς ἀληθείας, καὶ ὅτι ὁ Χριστὸς, εἰς ὃν ἐπίστευσαν, εἰκών ἐστι τοῦ θεοῦ καὶ λόγος, δι' οὗ τὰ πάντα γέγονε· καὶ ὅτι ἔπρεπεν αὐτὸν, δημιουργὸν ὄντα, γενέσθαι καὶ πρωτότοκον τῆς κτίσεως, καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν, ἵνα τὰ ἀμφότερα συνάψῃ, καὶ ζωοποιήσῃ τὰ πάντα. Προτρέπει δὲ αὐτοὺς, ἐμμένειν τῇ πίστει, σημαίνων, ὅτι αὐτὸς ὁ Παῦλος, διάκονός ἐστι τοῦ εὐαγγελίου, ἐν ᾧ κατηχήθησαν. Εἶτα καὶ περὶ τοῦ νόμου καὶ τῶν ἐν αὐτῷ βρωμάτων, καὶ περὶ ἡμερῶν καὶ ἐνιαυτῶν ἐξηγεῖται, καὶ ἀποδείκνυσιν ἠργηκέναι λοιπὸν τὰ παλαιὰ, καὶ τὴν περιτομήν. Συμβουλεύει τε αὐτοῖς, μὴ πλανᾶσθαι ἀπὸ τῶν σοφιζομένων καὶ πλανᾷν αὐτοὺς θελόντων. Καὶ λοιπὸν παραινέσας καὶ ὧδε γονεῦσι καὶ τέκνοις, ἀνδράσι καὶ γυναιξὶ, δούλοις καὶ κυρίοις, καὶ τὰ ἄλλα τὰ πρὸς τὰ ἤθη συμβουλεύσας, τελειοῖ τὴν ἐπιστολήν· παραγγέλλει μέντοι αὐτοῖς,

ἵνα, ὅταν ἀναγνωσθῇ παρ' αὐτοῖς ἡ ἐπιστολὴ, ποιήσωσι καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ αὐτὴν ἀναγνωσθῆναι, καὶ τὴν ἐκ Λαοδικείας καὶ εἰς αὐτοὺς ἀναγνωσθῆναι.

ΑΛΛΗ.

Ἐν πολλοῖς ὁ ἀπόστολος δηλοῖ, τὴν πρὸς τὸν θεὸν καὶ πατέρα μεσιτείαν καὶ καταλλαγὴν τοῖς ἀνθρώποις διὰ τοῦ υἱοῦ γεγονέναι· Εἷς γὰρ θεός, φησι, καὶ εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριςός (α)· καὶ πάλιν· Δι' οὗ, φησι, τὴν καταλλαγὴν ἐσχήκαμεν (ϐ). Καὶ ὁ Κύριος θύραν ἑαυτὸν καὶ ὁδὸν καλεῖ (γ)· οὐ γὰρ ἑτέρως, εἰ μὴ δι' αὐτοῦ, καὶ ἐν αὐτῷ ἀπέλθοι τις πρὸς τὸν πατέρα. Διὰ τοῦτο γὰρ, ὢν θεός, καὶ ἄνθρωπος γέγονεν, ἵνα θεῷ καὶ ἀνθρώποις μεσιτεύσῃ, τοῦτο τε ὢν κἀκεῖνο. Ἀλλ' οἱ Κολοσσαεῖς, ὑπὸ ἀγγέλων ᾤοντο τὴν προσαγωγὴν γενέσθαι πρὸς τὸν πατέρα, καὶ οὐ διὰ τοῦ Χριστοῦ. Ἔπειτα πολλὰς εἶχον παρατηρήσεις Ἰουδαϊκὰς καὶ Ἑλληνικὰς, ἡμέρας παρατηρούμενοι καὶ καιροὺς, καὶ ὅσα τοιαῦτα· ἅ τινα πάντα, γράφων τὴν ἐπιςολὴν, διορθοῦται ὁ Παῦλος.

(α) Α' Τιμ. Β', 5. (ϐ) Ῥωμ. Ε', 11. (γ) Ἰωαν. Ι', 7. ΙΔ', 6.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ, ἀπόστολος Ἰησοῦ Χριστοῦ
διὰ θελήματος θεοῦ, καὶ Τιμόθεος, ὁ ἀδελφὸς,
2 τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν
Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ, πατρὸς
ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐθὺς ἐν ἀρχῇ καθαιρεῖ λεληθότως τὰ δόγματα αὐτῶν. Οὐ γὰρ ἀγγέλων ἀπόστολος, ἀλλ' Ἰησοῦ Χριστοῦ· καὶ τοῦτο θέλημα θεοῦ, τὸ ἐκείνου εἶναι ἀπόστολον, οὐχὶ ἀγγέλων. Εἰ οὖν Ἰησοῦ Χριστοῦ εἰμὶ ἀπόστολος, καὶ θέλημα τοῦτο τοῦ πατρός ἐστιν, εὔδηλον, ὡς ἀληθῆ τὰ παρ' ἐμοῦ κηρυττόμενα. Τοιγαροῦν γινώσκετέ, φησιν, ὅτι ὑπὸ τοῦ υἱοῦ προσήχθημεν· ὅτι ἐῤῥύσθημεν τῶν ἰουδαϊκῶν καὶ ἑλληνικῶν παρατηρήσεων. *Διὰ θελήματος θεοῦ.*] Σημειοῦ τὸ, *Διὰ*, ἐπὶ πατρὸς εἰρημένον. *Τοῖς ἐν Κολοσσαῖς.*] Πόλις τῆς Φρυγίας αἱ Κολοσσαὶ, αἱ νῦν λεγόμεναι Χῶναι· καὶ δῆλον ἐκ τοῦ τὴν Λαοδίκειαν εἶναι πλησίον. *Ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ.*] Εἰ ἐν Χριστῷ, φησι, τὸ εἶναι ἅγιοι καὶ πιστοὶ ἔχετε, ἄρα διὰ Χριστοῦ ἡ προσαγωγὴ ὑμῶν, καὶ οὐ δι' ἀγγέλων. Πῶς οὖν ἀγγέλοις ἐπιγράφετε τὴν προσαγωγὴν ὑμῶν;

ΚΕΦΑΛΑΙΟΝ Α'.

Εὐχαριστία ὑπὲρ Κολοσσαέων, οἰκειωθέντων θεῷ ἐπ' ἐλπίδι.

3 Εὐχαριστοῦμεν τῷ θεῷ καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, πάντοτε περὶ ὑμῶν προσευχόμενοι·
4 ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ,
5 καὶ τὴν ἀγάπην, τὴν εἰς πάντας τοὺς ἁγίους, διὰ
τὴν ἐλπίδα, τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς,
ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας
6 τοῦ εὐαγγελίου, τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ
ἐν παντὶ τῷ κόσμῳ· καὶ ἔστι καρποφορούμενον (1),
καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ
7 ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ· καθὼς
καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ, τοῦ ἀγαπητοῦ συνδούλου
ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ
8 Χριστοῦ· ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην
ἐν πνεύματι.

Επὶ τὸν πατέρα ἅπαντα ἀνατίθησιν, ἵνα μὴ εὐθὺς προστῇ αὐτοῖς, νηπίοις οὖσι. *Πάντοτε περὶ ὑμῶν προσευχόμενοι.*] Οὐ διὰ τῆς εὐχαριστίας μόνον, ἀλλὰ καὶ διὰ τῆς συνεχείας τῆς περὶ αὐτῶν εὐχῆς τὴν πρὸς αὐτοὺς ἀγάπην δείκνυσιν· ὅτι καὶ οὓς οὐχ ἑώρακε, τούτους εἶχε διαπαντὸς ἐν ἑαυτῷ. *Ἀκούσαντες.*] Ἐπαφρᾶς ἦν ὁ ἀπηγγελκὼς τῷ Παύλῳ. *Τὴν πίστιν ὑμῶν ἐν Χριστῷ.*] Ἐγώ, φησιν, ἀκήκοα, ὅτι εἰς Χριστὸν ἔχετε τὴν πίστιν· οἱ δὲ οὕτως ἔχοντες, πῶς δι' ἀγγέλων τὴν προσαγωγὴν εἶναι ὑπειλήφατε; *Καὶ τὴν ἀγάπην, τὴν εἰς πάντας.*] Οὐκ εἰς τόνδε ἢ τόνδε, ἀλλ' εἰς πάντας· εἰ δὲ εἰς πάντας, οὐκοῦν καὶ εἰς ἡμᾶς. Ὥστε καὶ ἀκούσεσθε ἡμῶν ἡδέως. Οἰκειουμένου δὲ αὐτοὺς ταῦτα τὰ ῥήματα. *Διὰ τὴν ἐλπίδα, τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς.*] Ἀγαπᾶτε, φησί, τοὺς

(1) Παρ' ἄλλοις, καρποφορούμενον καὶ αὐξανόμενον.

ἁγίους, οὐ διά τι ἀνθρώπινον, ἀλλὰ διὰ τὸ ἐλπίζειν τὰ μέλλοντα ἀγαθά. Οὐ γὰρ ἐν τῇ γῇ ἀπόκεινται, ἵνα φθαρῶσιν, ἀλλ' ἐν τοῖς οὐρανοῖς, ὥςε τὸ βέβαιον ἔχουσιν. Οὐ δεῖ οὖν τὰ ἐνταῦθα, ἀλλὰ τὰ ἐκεῖ ἐκδέχεσθαι, καὶ μὴ ἀποκνεῖν πρὸς τοὺς ὧδε πειρασμούς. *Ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου.*] Λόγον ἀληθείας τοῦ κηρύγματός φησι. *Προηκούσατε* δέ, φησι, ἤτοι πρὸ ἐμοῦ, πρὸ τῆς νῦν ἐπιστολῆς. Οὐ λέγει δὲ, τοῦ κηρύγματος, ἀλλά, *τοῦ εὐαγγελίου*, δηλῶν τὰς τοῦ Χριστοῦ εὐεργεσίας. Τίς γὰρ ἂν εὐαγγελίσηται, εἰ μὴ τὰ χρηστὰ (1); Εἰ δὲ λόγος ἀληθείας ἐστὶν, οὐδὲν ψεῦδος ἐν αὐτῷ. Πῶς οὖν ὑμεῖς ψευδῆ αὐτὸν ποιεῖτε, μὴ πιστεύοντες, ὡς προεδιδάχθητε παρ' αὐτοῦ, ὅτι διὰ τοῦ Χριστοῦ ἡ σωτηρία; *Τοῦ παρόντος εἰς ὑμᾶς.*] Τοῦ ἐνεργοῦντος καὶ πιστευομένου. Ὡς ἐπὶ ἐμψύχου δέ τινος εἶπε τὸ, *τοῦ παρόντος*. *Καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ.*] Προθυμοτέρους αὐτοὺς περὶ τὴν πίστιν ποιεῖ ἐκ τοῦ ἔχειν πάντας κοινωνούς. *Καί ἐστι καρποφορούμενον.*] Καρποφορεῖται δὲ καὶ αὔξεται, ὁσημέραι προσιόντων τινῶν τῇ πίστει πάντως. Τοῦτο γὰρ καρπὸς καὶ αὔξησις τοῦ εὐαγγελίου, τὸ πολλοὺς ποιεῖν μαθητάς. *Καθὼς καὶ ἐν ὑμῖν.*] Προκαταλαμβάνει αὐτοὺς τοῖς ἐπαίνοις, ὥστε μηδὲ θέλοντας ἀποστῆναι. Εἰ γὰρ καὶ εἰς πάντας, καὶ εἰς ὑμᾶς οὕτως ἐκηρύχθη τὸ εὐαγγέλιον, πῶς νῦν ἄλλως δογματίζουσί τινες; *Ἀφ' ἧς ἡμέρας ἠκούσατε, καὶ ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ.*] Καρποφορεῖταί, φησι, καὶ αὐξάνεται τὸ εὐαγγέλιον ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας προσήλθετε καὶ ἐπιςεύσατε, καὶ ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ· ἔπαινος δὲ αὐτῶν, ὅτι ἀφ' ἧς ἤκουσαν οὐ παύονται τῇ πίστει προσιόντες. *Ἐν ἀληθείᾳ.*] Οὐκ ἐν ἀπάτῃ καὶ λόγοις εἰκαίοις, ἀλλ' ἐν ἀληθείᾳ. *Καθὼς καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ.*] Οὕτως ἐπέγνωτέ, φησιν, αὐτοῖς τοῖς ἔργοις τὴν χάριν, ὥσπερ καὶ ἐδίδαξεν ὑμᾶς ὁ Ἐπαφρᾶς. Οὐ γὰρ ἄλλα μὲν ἐγένοντο, ἀλ-

(1) « Ἐπὶ γὰρ τοῖς ἀγαθοῖς τὸ εὐαγγέλιον » Θεοφύλακτος.

λα δὲ ἐδίδαξεν οὗτος. Ἐκεῖ πάντως ἐκήρυξεν ὁ Ἐπαφρᾶς (1). *Τοῦ ἀγαπητοῦ δὲ καὶ συνδούλου ἡμῶν* εἶπεν, ἵνα ἀξιόπιστον τὸν ἄνδρα δείξῃ. *Ὑπὲρ ὑμῶν διάκονος.*] Πρὸς αὐτὸν τὸν Παῦλον ἀπελθὼν, διάκονος ὑπὲρ αὐτῶν γέγονε· *τοῦ Χριστοῦ δέ φησιν*, ἐπειδὴ ὑπὲρ τῶν εἰς Χριστὸν ἀνηκόντων πραγμάτων ἀντ' αὐτῶν διηκόνησεν. *Ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην.*] Ἣν ἔχετε, φησὶν, εἰς ἐμέ· ἀγάπην δὲ οὐ σαρκικὴν, ἀλλὰ πνευματικήν· *ἐν πνεύματι* γάρ φησιν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Εὐχὴ ὑπὲρ αὐτῶν εἰς σοφίαν πρακτικὴν, εἰς δύναμιν ὑπομονῆς, σὺν εὐχαριστίᾳ τῆς οἰκειώσεως τῆς ἐν καθάρσει.

9 Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν,
οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι,
ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος
αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ·
10 περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν
ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες
11 καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ· ἐν πάσῃ
δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης
αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν
μετὰ χαρᾶς.

Διὰ τοῦτο.] Ποῖον; Ἐπειδὴ, φησιν, ἠκούσαμεν τὴν πίστιν ὑμῶν καὶ τὴν ἀγάπην, εὐέλπιδες γενόμενοι περὶ τῶν μελλόντων, οὐ παυόμεθα ὑπὲρ ὑμῶν δεόμενοι. Τοῦτο δὲ τῆς Παύ-

---

(1) «Πολίτης αὐτῶν ὁ ἀξιέπαινος οὗτος ἀνὴρ, ὁ Ἐπαφρᾶς φημι. Εἰς δὲ τὴν Ῥώμην παραγενόμενος, ἐδίδαξε τὸν θεῖον ἀπόστολον καὶ τὴν θερμὴν αὐτῶν περὶ τὸν Κύριον πίστιν, καὶ τὴν γενομένην παρά τινος ἐξαπάτην. Πολλοῖς δὲ αὐτὸν ἐκόσμησεν ἐγκωμίοις, ἀγαπητὸν, καὶ σύνδουλον, καὶ πιστὸν τοῦ Χριστοῦ διάκονον ἀποκαλέσας, ἵνα αὐτοῖς πλείονος αἰδοῦς ἀξιώτερος γένηται.» Θεοδώρητος.

λου ἀγάπης ἔλεγχος, κἀκείνων ἠρέμα κατάγνωσις, ὅτι καὶ εὐχαῖς βοηθούμενοι, οὐκ ἀνεκτήσαντο ἑαυτοὺς τελείους. *Ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ.*] Ἠρέμα αἰνίττεται διὰ τούτων, ὅτι οὐδέπω πρὸς τὸ τέλειον ἔφθασαν· ἀλλ' ἵνα μὴ λυπήσῃ αὐτοὺς, εἶπε τὸ, *πληρωθῆτε*, δέον εἰπεῖν, *στηριχθῆτε*. *Ἐπίγνωσιν* οὖν τὴν προσθήκην τῆς γνώσεως νόει. Τί δὲ τὸ θέλημα τοῦ πατρός; Τὸ δι' υἱοῦ προσάγεσθαι αὐτῷ τοὺς ἀνθρώπους, καὶ μὴ δι' ἀγγέλων (1). *Ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ.*] Ἐπειδὴ αὐτοὺς οἱ φιλόσοφοι ἠπάτων, Βούλομαί, φησιν, ὑμᾶς ἐν πνευματικῇ σοφίᾳ μαθεῖν τὸ δόγμα, μὴ κατὰ τὴν σοφίαν τῶν παρ' ὑμῖν σοφῶν, ὑφ' ἧς πλανώμενοι νῦν, οἴεσθε εἰδέναι. *Περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου.*] Τίς ὁ ἀξίως τοῦ Κυρίου περιπατῶν; Δῆλον, ὡς ὁ ἐνάρετον πολιτείαν ἔχων. Εὔχομαι οὖν, φησι, μαθεῖν ὑμᾶς, ὅτι διὰ τοῦ μονογενοῦς ἐσώθητε, *εἰς τὸ περιπατῆσαι*, τουτέστιν, ἵνα κατ' ἀρετὴν ζήσητε. Ὁ γὰρ τὴν τοῦ θεοῦ φιλανθρωπίαν καταμαθὼν, καὶ ὅτι τὸν υἱὸν αὐτοῦ ἐξέδωκεν ὑπὲρ ἡμῶν, πῶς οὐκ ἂν σπουδάσειεν ἑαυτὸν ἐκδοῦναι τοῖς τῆς ἀρετῆς πόνοις; Τὸ δὲ *περιπατῆσαι*, τὴν ἀνένδοτον ἐπιμονὴν πρὸς τὸ καλὸν δηλοῖ (2). *Εἰς πᾶσαν ἀρέσκειαν.*] Ἵνα οὕτω, φησί, ζῆτε, ὥστε διὰ πάντων ἀρέσκειν τῷ θεῷ, καὶ ἔργῳ, καὶ λόγῳ, καὶ δόγμασι· τοῦτο γὰρ τὸ, *ἐν παντὶ ἔργῳ ἀγαθῷ*. *Καρποφοροῦντες καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ θεοῦ.*] Τὴν μὲν πίστιν, φησὶν, ἐσχήκατε· δεῖ δὲ καὶ καρπὸν καὶ αὔξησιν τὴν πίστιν ποιήσασθαι, τὴν διὰ χρηστῶν ἔργων ζωὴν, καὶ τὴν ἐντελῆ τῶν δογμάτων ἐπίγνωσιν. Τοῦτο δὲ παραδηλοῦντός ἐστιν, ὅτι προσαγωγέα τὸν υἱὸν νομίζει καὶ μεσίτην καὶ διαλλακτὴν πρὸς τὸν πατέρα, τῷ

---

(1) « Οὔτε πάντη ἀτελεῖς αὐτοὺς, οὔτε πάντη τελείους δηλοῖ διὰ τούτων. Οὐ γὰρ εἶπεν, ἵνα λάβητε, ἀλλ', ἵνα πληρωθῆτε. Ἔχετε μὲν γὰρ, ἀλλ' οὐ τὸ πᾶν. Καὶ ὅτι μὲν προσήχθητε, ἔγνωτε· ὅτι δὲ διὰ τοῦ υἱοῦ, τοῦτο λείπει, ὃ καὶ εὔχομαι πληρωθῆναι. Θέλημα γὰρ τοῦ θεοῦ καὶ εὐδοκία, τὸ τὸν υἱὸν δοθῆναι ὑπὲρ ἡμῶν, οὐχὶ τοὺς ἀγγέλους. » Θεοφύλακτος.

(2) « Τὸ γὰρ περιπατῆσαι, περὶ βίου καὶ πολιτείας ἐστίν. » Θεοφύλακτος.

οἰκείῳ αἵματι τὴν καταλλαγὴν ἐργασάμενον. *Ἐν πάσῃ δυνάμει δυναμούμενοι.*] Εὐχόμεθά φησιν, ἵνα πληρωθῆτε ἐν πάσῃ δυνάμει, δυναμούμενοι· πρὸς τί; πρὸς τοὺς πειρασμοὺς καὶ τοὺς ὑπὲρ πίστεως κινδύνους. *Κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ.*] Ἵνα τοιαύτην δύναμιν δῷ ὑμῖν, οἵαν πρέπει αὐτῷ διδόναι, ἄφατον καὶ ἄπειρον δηλαδή· πλὴν ὡς ἀνθρώπῳ δυνατὸν ταύτην λαβεῖν. Πολλὴ δὲ ἡ παραμυθία· οὐ γὰρ εἶπε, *δύναμιν*, ἀλλὰ, *κράτος*, ὃ μεῖζόν ἐστιν· ὡς ἂν εἰ ἔλεγεν· Πανταχοῦ ἡ δόξα αὐτοῦ κρατεῖ. Μὴ τοίνυν μηδὲ ὑμεῖς ἐν τοῖς δεινοῖς μαλακίζεσθε· δυναμωθήσεσθε γὰρ, ὡς εἰκὸς τοὺς δεσπότῃ οὕτω κραταιῷ καὶ ἐνδόξῳ δουλεύοντας. *Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν.*] Δυναμούμενοι εἰς ὑπομονὴν μὲν, πρὸς τοὺς ἔξωθεν πολεμοῦντας, οὓς οὐδὲ ἀμύνασθαι ῥᾴδιον· εἰς μακροθυμίαν δὲ, πρὸς τοὺς ἐξ ὑμῶν αὐτῶν ἐπιβουλεύοντας, οὓς καὶ ἀμύνασθαι δυνατόν. Διὰ τοῦτο καὶ ἐπὶ θεοῦ οὐ λέγεται ὑπομονὴ, ἀλλὰ μακροθυμία, ὡς δυναμένου μὲν ἐκτρίψαι, ἀνεχομένου δέ. Ἵνα οὖν συναγάγωμεν τὸν λόγον, τοῦτό φησιν· Εὐχόμεθα, ἵνα τελείως λάβητε τὴν ἐπίγνωσιν τοῦ δόγματος, οὐκ ἐν σοφίᾳ κοσμικῇ, ἀλλὰ πνευματικῇ· καὶ βίον ἐνάρετον σχοίητε, ὥστε στῆναι βεβαίως πρὸς τοὺς πειρασμοὺς, δυναμωθέντες, ὡς εἰκὸς ἀπὸ θεοῦ δυναμωθῆναι, εἰς τὸ καὶ πρὸς τοὺς ἔξω ὑπομονὴν ἐνδείκνυσθαι, καὶ πρὸς τοὺς ἀδελφοὺς μακροθυμίαν.

12 Εὐχαριστοῦντες τῷ πατρὶ (1), τῷ ἱκανώσαντι
ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν
13 τῷ φωτί· ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ
σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ
υἱοῦ τῆς ἀγάπης αὐτοῦ·

Μέλλων ἐγκαλέσαι αὐτοῖς, ὡς περὶ τὸ δόγμα οὐκ ὀρθῶς ἔχουσι, προλεαίνει τὸν λόγον, ἵνα μὴ δόξῃ ὡς ἐχθρὸς ἐγκαλεῖν. Προειπὼν οὖν, ὅτι εὔχομαι ὑμῖν ἵνα τάδε καὶ τάδε τὰ ἀγαθὰ

(1) Ἐν ἄλλοις, τῷ θεῷ καὶ πατρί.

γένηται ὑμῖν· ὅπερ πάντως οὐκ ἔστιν ἐχθροῦ· φησὶ νῦν, ὅτι εὐχαριστῶ τῷ πατρὶ ἐπὶ τοῖς προϋπάρξασιν ὑμῖν ἀγαθοῖς. Ὥστε οὐκ ἀπὸ ἔχθρας ἐγκαλῶ ὑμῖν, ἀλλ' ἐξ ἀγάπης. *Τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων.*] Ὅς, φησι, κατηξίωσεν ἡμᾶς, διὰ τῶν ὁμοίων παθημάτων, τοῦ αὐτοῦ κλήρου καὶ τῆς αὐτῆς μερίδος τῶν ἁγίων, καὶ ἐχαρίσατο, ἱκανοὺς ἡμᾶς γενέσθαι εἴς τε τὸ πάσχειν, εἴς τε τὸν ἐκείνων κλῆρον. Καλῶς δὲ εἶπε, *κλῆρον*, οἱονεὶ κληρονομίαν τινὰ καὶ δωρεάν· οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλύπτεσθαι δόξαν (α). *Εἰς τὴν μερίδα δέ·* οἷον, τὴν αὐτὴν μερίδα τῶν ἁγίων, τὸν αὐτὸν ἡμῖν ἔδωκε κλῆρον (1). *Ἐν τῷ φωτί.*] Καὶ τῷ μέλλοντι, καὶ τῷ παρόντι, τουτέστιν, ἐν τῇ γνώσει. Καὶ νῦν γὰρ ἐφώτισεν, ἀποκαλύψας ἡμῖν τὰ μυστήρια, καὶ ἐν τῷ μέλλοντι τὸ τρανώτερον δώσει. *Ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους.*] Οὐ τοῦτο μόνον ἐστὶ μέγα, ὅτι βασιλείας ἠξίωσεν, ἀλλ' ὅτι καὶ τίνας ὄντας πρώην. Οὐ γάρ ἐστιν ἴσον τὸ τοῖς ἀξίοις δοῦναί τι, καὶ τὸ τοῖς ἀναξίοις. Τοὺς ὄντας οὖν ὑπὸ τὴν ἐξουσίαν τοῦ *σκότους*, τουτέστι, τῆς πλάνης, καὶ τῆς τυραννίδος τοῦ διαβόλου, ἐῤῥύσατο. Οὐκ εἶπε δέ, *ἐξέβαλεν*, ἀλλ', *ἐῤῥύσατο*, δεικνὺς, ὅτι ὡς αἰχμάλωτοι ἐταλαιπωρούμεθα. *Καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ*] Ὑπὸ τὴν τυραννίδα ἦμεν τοῦ διαβόλου, ἀφ' ἧς ἑλκύσας εἰς τὴν βασιλείαν τοῦ ἀγαπητοῦ υἱοῦ αὐτοῦ ἤγαγεν ἡμᾶς· τοῦτο γὰρ λέγει, *τοῦ υἱοῦ τῆς ἀγάπης*, ἤγουν, τοῦ

(α) Ῥωμ. Η, 18.

(1) « Τῷ μετὰ τῶν ἁγίων κατατάξαντι· καὶ οὐχ οὕτως ἁπλῶς, ἀλλὰ καὶ τῶν αὐτῶν ἀπολαῦσαι παρεσχηκότι· ὃ διὰ τῆς μερίδος δηλοῖ. Ἔστι μὲν γὰρ ἐν τῇ αὐτῇ πόλει καταταγῆναι, οὐ μὴν δὲ καὶ τὴν αὐτὴν μερίδα ἔχειν· καὶ πάλιν, ἐν τῷ αὐτῷ κλήρῳ εἶναι, ἀλλ' οὐ τὴν αὐτὴν ἔχειν μερίδα· οἷον, ἐν τῷ αὐτῷ κλήρῳ τῆς ἐκκλησίας πάντες ἐσμέν· ἀλλ' ἄλλος ἄλλην ἔχει μερίδα. Ἐνταῦθα δὲ καὶ τοῦ αὐτοῦ κλήρου ἠξίωσε, καὶ τῆς αὐτῆς μερίδος. Κλῆρον δὲ πανταχοῦ καλεῖ, ἵνα δείξῃ, ὅτι, ὥσπερ ὁ κλῆρος οὐκ ἀνθρωπίνης ἐστὶ σπουδῆς, ἀλλὰ ἐπιτυχίας μᾶλλον δοκεῖ· οὕτω καὶ ἡμεῖς οὐκ ἀπὸ κατορθωμάτων τῆς βασιλείας ἀξιούμεθα, ἀλλὰ τῆς θείας δωρεᾶς ἐστι τὸ πᾶν. Διὰ τοῦτο, Ὅταν πάντα κατορθώσητέ, φησι, λέγετε· Ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ὃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν (Λουκ. ΙΖ', 10.). » Θεοφύλακτος.

ἀγαπητοῦ υἱοῦ περιφραστικῶς. Οὐκ εἶπε δὲ, *μετέθηκε*· (τὸ γὰρ ὅλον τοῦ μεταθέντος ἂν ἦν·) ἀλλὰ, *μετέστησεν*, ὥστε εἶναί τι καὶ ἡμῶν. Πολλὴ δὲ ἐν ἑκάστῃ λέξει ἡ ὑπερβολή. Τὸ ἐν σκότει ὄντας καὶ ὑπὸ τὴν τοῦ διαβόλου ἐξουσίαν ῥυσθῆναι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ εἰς τὴν τοῦ υἱοῦ αὐτοῦ μεταστῆναι βασιλείαν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ἐν Χριστῷ κτίσεως καὶ ἀνακτίσεως τῆς κατὰ συνάφειαν θεοῦ.

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος
15 αὐτοῦ (1), τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης
16 κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται·

Ἵνα μὴ, ἀκούσας, ὅτι ἐῤῥύσατο ἡμᾶς ὁ πατὴρ, νομίσῃς τὸ πᾶν εἶναι τοῦ πατρὸς, τὸν δὲ υἱὸν μηδὲν εἰς ἡμᾶς ἀγαθὸν ἐνδείξασθαι, κοινοποιεῖται τὴν χάριν. *Ἐν ᾧ* γὰρ, φησιν, υἱῷ· τουτέστι, δι' οὗ υἱοῦ, *ἔχομεν τὴν ἀπολύτρωσιν*· ὡσεὶ ἔλεγεν· Ὁ μὲν πατὴρ μετέστησεν, ὁ δὲ υἱὸς δέδωκε τὴν αἰτίαν τοῦ μεταστῆναι ἡμᾶς εἰς τὴν βασιλείαν, τῷ αἵματι αὐτοῦ ἄφεσιν ἡμῖν ἁμαρτιῶν ἐργασάμενος. Εἰ γὰρ μὴ ἐλυτρώθημεν καὶ ἀφείθημεν τῶν ἁμαρτιῶν, οὐκ ἂν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν μετέστημεν. Ὥστε αὐτὸς προωδοποίησε τῇ δωρεᾷ τοῦ πατρός. Οὐκ εἶπε δὲ, *λύτρωσιν*, ἀλλ', *ἀπολύτρωσιν*, τουτέστι, τελείως

(1) Κοινότερον λείπει: τὸ, διὰ τοῦ αἵματος αὐτοῦ.

ἡμᾶς ἐλυτρώσατο, ὥστε μὴ ἐμπεσεῖν λοιπὸν, μηδὲ γενέσθαι θνητοὺς, ὡς ἐνόχους τῇ ἁμαρτίᾳ τοῦ Ἀδάμ. *Ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου.*] Διὰ τὸ ἀπαράλλακτον καὶ πάντοθεν ἴσον καὶ ὅμοιον, *εἰκόνα* καλεῖ τὸν υἱὸν, οἱονεὶ ἐκμαγεῖον τοῦ ἀρχετύπου κάλλους. *Εἰκὼν*, φησὶν, *ἐστι τοῦ θεοῦ*· οὐκοῦν ἀπαράλλακτος· οὐ γὰρ ἔχεις μέτρον τοῦ μεγέθους, ἵνα εἴπῃς, πόσον ἐλαττοῦται. Εἰ μὲν γὰρ ὡς ἄνθρωπος ἦν εἰκὼν, εἶχές τι λέγειν, ὅτι ἡ εἰκὼν οὐ φθάνει πρὸς τὸ πρωτότυπον· ἐπεὶ δὲ εἰκών ἐστιν ὡς θεὸς, καὶ θεοῦ υἱὸς, ἀπαράλλακτος ἡ εἰκὼν ἐπὶ θεοῦ καὶ ἀοράτου, ὡς θεὸς δηλαδὴ τοῦ θεοῦ, καὶ ὡς ἀόρατος τοῦ ἀοράτου. Τινὲς δὲ ἐκ τῶν εἰκόνων τῶν ἐν ἡμῖν πλανηθέντες, αἵ εἰσιν ἐκ σανίδων καὶ κηροῦ, οὕτως ἐνόμισαν καὶ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ. Ὥσπερ γάρ; φασιν, αὗται, εἶδος μὲν καὶ ὁμοίωμα σώζουσιν ἀνθρώπου, οὐ μὴν δὲ φύσιν ἢ οὐσίαν, οὕτω καὶ ὁ υἱὸς τοῦ πατρός. Ἀρειανικὸν δὲ τὸ δυσσέβημα. Ἀλλὰ τοῖς τοῦτο λέγουσιν, ἀντιθετέον τὸ κείμενον ἐν τῇ Γενέσει, (α) ὅτι ὁ Ἀδὰμ ἐγέννησε *κατὰ τὴν εἰκόνα αὐτοῦ*, τουτέστι, κατὰ πάντα αὐτῷ ἐοικότα. Πολὺ γὰρ ἁρμοδιώτερον ἐκεῖνα δέξασθαι περὶ εἰκόνος, ὅσα ἡ Γραφὴ φησι περὶ τοῦ υἱοῦ καὶ πατρὸς ἀνθρώπων· (ἐπειδὴ καὶ τὸ προκείμενον θεώρημα εἰς πατέρα καὶ υἱὸν θεοῦ ἀνήκει·) ἢ τὰ ἐπὶ τῆς ἀπὸ ξύλου καὶ κηροῦ εἰκόνος, ἥ τις οὐκ ἔστι μὲν κυρίως, λέγεται δὲ καταχρηστικῶς εἰκών. *Πρωτότοκος πάσης κτίσεως.*] Τί ἐστιν ὅ φησιν ὁ Παῦλος νῦν, πρὸς τὴν κατεπείγουσαν ὑπόθεσιν ἐνιστάμενος, καὶ ἀνασκευάζων τὴν ὑπόληψιν τῶν Κολοσσαέων; Ἵνα μὴ νομίσωσιν, ὅτι νεώτερός ἐστιν ὁ υἱὸς τῶν ἀγγέλων, εἴγε οἱ πάλαι μὲν δι' ἐκείνων προσήγοντο, νῦν δὲ αὐτὸς προσάγειν λέγεται, βούλεται δεῖξαι, ὅτι πρὸ πάσης τῆς κτίσεως, ὁρατῆς τε καὶ ἀοράτου, ἐστὶν ὁ υἱός. Πῶς; Συναϊδίως γεννηθείς. Οὐκοῦν καὶ τῶν ἀγγέλων πρότερος, καὶ οὕτως, ὥστε καὶ αὐτὸς ἔκτισεν αὐτούς. Ὅρα οὖν

(α) Γενεσ. Ε', 3.

τὴν σοφίαν τοῦ ἀποστόλου! Ἵνα μὴ, ἀκούσας, ὅτι πρὸ πάσης ἐστὶ κτίσεως, ἄναρχον αὐτὸν νομίσῃς, διδάσκει σε, ὅτι πατέρα ἔχει, καὶ ἐξ αὐτοῦ ἐστὶ γεννητός. Ἐπειδὴ γὰρ καὶ αὐτὸς καὶ τὰ πάντα ἐκ τοῦ θεοῦ, αὐτὸ τοῦτο δείκνυσιν, ὅτι ἄλλος οὗτος, καὶ ἄλλα ἐκεῖνα· καὶ ὅτι ὁ μὲν, ὡς ἐκ πατρὸς υἱός· τὰ δὲ, ὡς κτίσματα δι' αὐτοῦ τούτου τοῦ υἱοῦ κτισθέντα. Ἐπιφέρει οὖν· *Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα.*] Τὸ, *Ἐν αὐτῷ*, ἀντὶ τοῦ, Δι' αὐτοῦ, ὡς αὐτὸς ἐφεξῆς δείξει· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν (ϐ)· εἰ δὲ πάντα, οὐκοῦν καὶ οἱ ἄγγελοι. Πῶς οὖν δι' ἀγγέλων νομίζετε ἔχειν τὴν προσαγωγὴν; καὶ οὐ διὰ τοῦ υἱοῦ, τοῦ δεσπότου τῶν ἀγγέλων; *Τὰ ὁρατὰ καὶ τὰ ἀόρατα.*] Τὸ λεπτολογεῖν περὶ τῶν ὁρατῶν ἀφεὶς, ὡς ἀναμφίϐολον, ἐπὶ τὸ ἀμφιϐαλλόμενον, τὰ ἀόρατά φημι, ἔρχεται. *Εἴτε θρόνοι*, εἴτε κυριότητες.] Ἐπὶ ὁμάδος εἰπὼν τὰ ἀόρατα, πάλιν ὥσπερ καθ' ἑνὸς ἐπεξέρχεται τῷ λόγῳ. [*Θρόνους* ἡγοῦμαι, τὰ χερουϐεὶμ αὐτὸν λέγειν· τούτοις γὰρ εἶδε τὸν θεῖον ἐπικείμενον θρόνον ὁ προφήτης Ἰεζεκιὴλ (γ)· *κυριότητας* δὲ, καὶ *ἀρχὰς*, καὶ *ἐξουσίας* τοὺς τῶν ἐθνῶν πεπιστευμένους τὴν ἐπιμέλειαν (δ) (1).] *Τὰ πάντα δι' αὐτοῦ.*] Ἄνω, *Ἐν αὐτῷ*, εἰπὼν, *ἐκτίσθη τὰ πάντα*, νῦν, ὥσπερ ἑφερμηνεύων ἑαυτόν, φησι· *Πάντα δι' αὐτοῦ*· δηλῶν, ὅτι τὸ εἰρημένον ἄνω, Ἐν, Διά, ἐστιν. Εἶτα, ἵνα μὴ νομίσῃς ὑπουργὸν αὐτὸν εἶναι, φησί· *Καὶ εἰς αὐτὸν ἔκτισται*· τουτέςιν, εἰς αὐτὸν ἤρτηται ἡ πάντων ὑπόστασις. Οὐ γὰρ μόνον ἐκ τοῦ μὴ ὄντως εἰς τὸ εἶναι παρήγαγεν, ἀλλὰ καὶ γενόμενα διακρατεῖ· ὥστε ἂν ἀποσπασθῇ τῆς αὐτοῦ προνοίας, ἀπόλωλεν.

17 Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐ-
18 τῷ συνέστηκε· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώ-
ματος τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχὴ, πρωτότοκος

(α) Γενεσ. Ε', 3. (ϐ) Ἰωαν. Α', 3.
(γ) Ἰεζ. Ι', 1. (δ) Δαν. Ι', 13. (1) Ἐκ τοῦ Θεοδωρήτου.

ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρω-
19 τεύων· ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα
20 κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα
εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυ-
ροῦ αὐτοῦ, δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ
ἐν τοῖς οὐρανοῖς.

Καὶ αὐτός ἐστι πρὸ πάντων.] Συνεχῶς τὰ αὐτὰ στρέφει, τῇ συνεχείᾳ τῶν ῥημάτων, καθάπερ τισὶ πυκναῖς πληγαῖς, πρόῤῥιζον ἀνασπῶν τὸ ὀλέθριον δόγμα. Οὐκ εἶπε δὲ, ὅτι ἐγένετο πρὸ πάντων, ἀλλ', *ἐστὶ πρὸ πάντων*, ὅπερ Θεῷ οἰκειότατον· τουτέστι, πᾶν ὃ ἐὰν ἐννοήσῃς, αὐτὸν προόντα καὶ προϋφεστῶτα εὑρήσεις, ἀϊδίως συνυπάρχοντα τῷ πατρὶ καὶ τῷ πνεύματι. *Καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε.*] Δι' αὐτοῦ τὴν γένεσιν καὶ τὴν διαμονὴν ἔχει (1). *Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας.*] Δείξας καὶ εἰπὼν αὐτοῦ τὴν ἀξίαν καὶ δύναμιν, λοιπὸν λέγει καὶ τὴν φιλανθρωπίαν· ὁ γὰρ οὕτω πάντων ὑπάρχων δεσπότης, τοῖς κάτω συνῆψεν ἑαυτόν. Καὶ οὐκ εἶπε, *τοῦ πληρώματος τῆς ἐκκλησίας*, ἀλλὰ, *τοῦ σώματος*· ἵνα δείξῃ τὴν ἀκρίβειαν τῆς πρὸς ἡμᾶς οἰκειότητος αὐτοῦ, καὶ ὅτι ὁμοούσιον ἡμῖν ἀνέλαβε σάρκα, καὶ οὐκ ἐξ οὐρανῶν· τὴν γὰρ ἐκκλησίαν ἀντὶ τοῦ πάντων ἀνθρώπων γένους, ἔλαβεν ὁ Παῦλος· ὡς ἂν εἰ ἔλεγεν· Ὅτι καὶ ἐν τῇ κατὰ σάρκα γεννήσει πρῶτος τῶν ἀνθρώπων, ὡς κεφαλή. *Ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν.*] Ἀρχὴ, φησι, τῆς ἀναστάσεως γενόμενος, πρὸ πάντων ἀναστάς. Ἐπειδὴ δὲ πρῶτος ἔλυσε τὰς ὠδῖνας τοῦ θανάτου (α), εἰκότως καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν λέγεται. Ἔχει μέντοι, ὡς ἀπαρχὴ, ἐπακολουθοῦντας αὐτῷ καὶ τοὺς λοιπούς· ἡ γὰρ ἀπαρχὴ, τινῶν ἐστὶν ἀπαρχή (2). *Ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων.*] Ἐν πᾶσι τοῖς περὶ αὐτὸν

(1) «Οὐ γὰρ μόνον ἐστὶν ἁπάντων δημιουργὸς, ἀλλὰ καὶ προμηθεῖται ὧν ἐποίησε, καὶ κυβερνᾷ τὴν κτίσιν, ἥτις καὶ διὰ τὴν αὐτοῦ σοφίαν καὶ δύναμιν ἕστηκε.» Θεοδώρητος.

(α) Πραξ. Β', 24. (2) Ἴδ. Α' Κορ. ΙΕ', 20.

θεωρουμένοις. Καὶ γὰρ καὶ πρὸ πάντων τῶν αἰώνων γεγέννηται ἐκ τοῦ πατρὸς, καὶ πρῶτος πάντων ἐστὶν, ὡς κεφαλὴ τῆς ἐκκλησίας, καὶ πρὸ πάντων ἀνθρώπων ἀνέστη ἐκ τῶν νεκρῶν, ἀνάστασιν τὴν οὐκέτι ὀψομένην θάνατον. *Ὅτι ἐν αὐτῷ εὐδόκησε.*] Θέλησίς, φησι, καὶ εὐδοκία πατρικὴ γέγονεν, *ἐν αὐτῷ*, τουτέστι, τῷ Χριστῷ, *ἅπαν τὸ πλήρωμα*, τουτέστι, τῆς θεότητος, *κατοικῆσαι*, οὐ σχετικῶς, ἀλλ' οὐσιωδῶς, ὡς ψυχὴ ἐν σώματι, οὐ ψυχὴ γενόμενος τῷ σώματι, ἀλλ' ἐν σώματι ἐμψυχωμένῳ ἑνωθεὶς, ὃν τρόπον ἑνοῦται ψυχὴ σώματι (1).—*Τὸ πλήρωμα*, περὶ τῆς θεότητος εἴρηκε, καθάπερ ὁ Ἰωάννης ἔλεγεν· *Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν* (α)· τουτέστιν, εἴ τι ἦν ὁ υἱὸς καὶ λόγος, ἐκεῖ ᾤκησεν, οὐχὶ ἐνέργειά τις, ἀλλ' οὐσία. Οὐκ ἔχει δὲ εἰπεῖν ἄλλην αἰτίαν, ἀλλ' ἢ τὴν εὐδοκίαν καὶ τὴν θέλησιν τοῦ θεοῦ· τοῦτο γάρ ἐστιν, *ὅτι ἐν αὐτῷ εὐδόκησεν* (Χρυσοςόμου).—*Καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν.*] *Δι' αὐτοῦ*, τουτέστιν, αὐτὸς ἐνεργήσας τὴν σωτηρίαν ταύτην ἡμῖν περιεποιήσατο. Εἶτα, ἵνα μὴ νομίσῃς αὐτὸν ὑπηρέτου τάξει τοῦτο ποιῆσαι, φησὶν, *εἰς αὐτὸν*, τουτέστιν, αὐτὸς ἑαυτῷ τοὺς ἀνθρώπους κατήλλαξε. Καὶ μὴν ἀλλαχοῦ εἶπεν, ὅτι τῷ θεῷ κατήλλαξε· Καὶ ἀποκαταλλάξῃ γάρ, φησι, τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ διὰ τοῦ σταυροῦ (β). Ἄρα οὖν κοινὰ καὶ τοῦ υἱοῦ τὰ τοῦ πατρός. Οὐκ εἶπε δὲ, *καταλλάξαι*, ἀλλ', *ἀποκαταλλάξαι*, τουτέστιν, ἀποδοῦναι, ὡς ὀφειλήν τινα, πάλαι κεχρεωστημένην, καὶ τελείως εἰρηνεῦσαι, ὥστε μηκέτι ἐχθραίνειν αὐτῷ. Οὐ γὰρ ἡ καταλλαγὴ μόνον ἀπεδόθη, ἀλλὰ καὶ ὁ τρόπος τῆς καταλλαγῆς, τουτέστιν, ἡ σφαγὴ τοῦ υἱοῦ, τὰ μέγιστα ἴσχυσεν. *Εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι' αὐτοῦ.*] Τὸ μὲν

---

(1) Ὁ δὲ Θεοδώρητος ἑρμηνεύει· « Πλήρωμα τὴν ἐκκλησίαν ἐν τῇ πρὸς Ἐφεσίους (Α, 23.) ἐκάλεσεν, ὡς τῶν θείων χαρισμάτων πεπληρωμένην. Ταύτην ἔφη εὐδοκῆσαι τὸν θεὸν ἐν τῷ Χριστῷ κατοικῆσαι, τουτέστιν, αὐτῷ συνῆφθαι, ὑπὸ τὴν αὐτοῦ σκέπην εἶναι, τοῖς αὐτοῦ νόμοις ἀκολουθεῖν. » (α) Ἰωαν. Α', 16.

(β) Ἐφεσ. Β', 16.

καταλλάξαι, τὴν ἔχθραν δείκνυσι· τὸ δὲ, *εἰρηνεῦσαι*, τὸν πόλεμον. Καὶ γὰρ ἡμεῖς καὶ ἐχθροὶ ἦμεν τῷ θεῷ, καὶ πολέμιοι. Λύσας οὖν τὴν πάλαι ἔχθραν πρός θεόν τε καὶ ἀγγέλους καὶ ἀνθρώπους εἰρήνην ἐποίησεν. Ὅρα δὲ τῶν λέξεων τὰς ἐμφάσεις! Κατήλλαξέ, φησι, καὶ εἰρήνευσεν ἡμᾶς *δι' αὐτοῦ*, τουτέστιν, οὐ λόγῳ κελεύσας, ἀλλὰ σωματικῶς ἐνεργήσας· καὶ οὐχ ἁπλῶς, δι' ἑαυτοῦ, ἀλλὰ διὰ τοῦ αἵματος ἐκχεθέντος, καὶ ἐκχεθέντος διὰ τοῦ ἐπονειδίστου θανάτου, τοῦ σταυροῦ (1).— Τὸ ὑπερβατόν· *Εἰρηνοποιήσας δι' ἑαυτοῦ*, τουτέστιν, αὐτουργήσας, ἀλλ' οὐ δι' ἑτέρων ἡμῖν πραγματευσάμενος τὴν εἰρήνην. Ποίῳ δὲ τρόπῳ ταύτην εἰργάσατο; *Διὰ τοῦ αἵματός*, φησι, *τῆς σταυρώσεως αὐτοῦ*· σταυρωθεὶς γὰρ ὑπὲρ ἡμῶν, εἰρήνευσε καὶ κατήλλαξεν ἡμᾶς (Φωτίου).—*Εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.*] Καὶ γὰρ καὶ ἡμεῖς πρὸς ἑαυτοὺς ἐστασιάζομεν, καὶ πρὸς τοὺς ἀγγέλους ἔχθρα ἦν, ἀπεχθανομένους ἡμῖν διὰ τὸ ὑβρίζεσθαι τὸν αὐτῶν δεσπότην ὑπὸ τῶν ἀνθρώπων. Πῶς οὖν εἰρήνη γέγονεν; Ἀνήγαγεν ὁ υἱὸς ἐν οὐρανῷ τὸν ἄνθρωπον, τὸν πολέμιον· ὤφθησαν δὲ καὶ ἐπὶ γῆς ἄγγελοι· καὶ γέγονε φιλία λοιπὸν καὶ εἰρήνη. Πῶς οὖν δι' ἀγγέλων λέγετε, Κολοσσαεῖς, προσάγεσθαι; Τοσοῦτον γὰρ ἀπέχουσιν ἐκεῖνοι προσαγαγεῖν ἡμᾶς, ὥστε καὶ ἐκπολεμωμένοι ἦσαν ἡμῖν· καὶ εἰ μὴ ἐκεῖνος ἡμᾶς αὐτοῖς κατήλλαξεν, οὐκ ἂν εἰρηνεύσαμεν.

(1) «Μέγα μὲν οὖν τὸ καταλλάξαι· τὸ δὲ καὶ, δι' αὐτοῦ, μεῖζον· καὶ τὸ τούτου μεῖζον, τὸ, διὰ τοῦ αἵματος αὐτοῦ· καὶ οὐχ ἁπλῶς, αἵματος, ἀλλὰ τὸ τούτου μεῖζον, διὰ τοῦ σταυροῦ. Ὥστε πέντε ἐστὶ τὰ θαυμαστά· τῷ θεῷ, κατήλλαξε, δι' αὐτοῦ, διὰ θανάτου, διὰ σταυροῦ. Βαβαί! πῶς ἀνέμιξε πάλιν; Ἵνα γὰρ μὴ νομίσῃς, ἓν εἶναι, μηδὲ τὸν σταυρὸν εἶναί τι καθ' ἑαυτὸ, λέγει δι' ἑαυτοῦ. Πῶς οἶδε μέγα τοῦτο ὄν; Ὅτι οὐ ῥήματα εἰπὼν, ὡς πρεσβευτὴς κατήλλαξεν, ἀλλ' ἑαυτὸν ἐκδοὺς ὑπὲρ τῆς καταλλαγῆς, οὕτως ἅπαντα εἰργάσατο.» Χρυσόστομος.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ἐθνῶν προσαγωγῆς τῆς ἐν σώματι Χριστοῦ καὶ πάθει διὰ πίστεως.

21 Καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχ-
θροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ
22 δὲ ἀποκατήλλαξεν, ἐν τῷ σώματι τῆς σαρκὸς αὐ-
τοῦ, διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους
καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ·
23 εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι,
καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγ-
γελίου, οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ
κτίσει τῇ ὑπὸ τὸν οὐρανόν· οὗ ἐγενόμην ἐγὼ Παῦ-
λος διάκονος.

Ἐνταῦθα δείκνυσιν, ὅτι καὶ ἀναξίους ὄντας τῆς καταλλαγῆς, κατήλλαξεν. Ἦτε γάρ, φησιν, *ἐχθροὶ καὶ ἀπηλλοτριωμένοι.* Οὐ γὰρ μόνον ἦμεν ὑπὸ τὴν ἐξουσίαν τοῦ σατανᾶ, ἀλλὰ καὶ πρὸς τὸν θεὸν ἀπεχθῶς εἴχομεν. *Καὶ ἐχθροὺς τῇ διανοίᾳ.*] Τουτέστιν, οὐκ ἄκοντες ἐπράττομεν τὰ ἔργα τὰ πονηρά, καὶ κατὰ συναρπαγήν, ἀλλὰ μετὰ μελέτης, καὶ τὴν ἔχθραν τὴν πρὸς θεὸν τοῖς λογισμοῖς προτυπώσαντες, οὕτως ἐπὶ τὰς ἐχθρὰς αὐτῷ πράξεις ἐχωροῦμεν. Διὸ ἄφατος ἡ θεία φιλανθρωπία, ὅτι καὶ τοιούτους ὄντας, κατήλλαξε, καὶ προσεδέξατο. *Ἐν τοῖς ἔργοις τοῖς πονηροῖς.*] Οὐ μέχρι διανοίας ἦν ἡ ἀλλοτρίωσις, οὐδὲ ἄχρι προαιρέσεως, ἀλλὰ καὶ τοῖς ἔργοις ἐχθροὶ ἦτε, φησί, τὰ ἐχθρῶν πράττοντες. *Νυνὶ δὲ ἀποκατήλλαξεν, ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ.*] Πάλιν τὸν τρόπον τῆς καταλλαγῆς τίθησιν, εἰδὼς θεῖον αὐτὸν ὑπάρχοντα· ὅτι διὰ τοῦ σώματος αὐτοῦ, φησι, κατήλλαξεν, οὐ μόνον πληγείς, ἢ ῥαπισθείς, ἀλλὰ καὶ ἀποθανών, καὶ τῷ αἰσχίστῳ θανάτῳ. *Παραστῆσαι ὑμᾶς ἁγίους.*] Πάλιν ἑτέραν εὐεργεσίαν τίθησι· καὶ ὅπερ ἀνωτέρω εἶπε· *Τῷ ἱκανώσαντι ἡμᾶς,* λέγων, τοῦτο καὶ

νῦν αἰνίττεται· ὅτι οὐχ ἁμαρτιῶν μόνον ἐῤῥύσατο διὰ τῆς καταλλαγῆς, ἀλλὰ καὶ ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ, παρέστησεν, ὥσπερ μηδὲ λαβὴν ἁμαρτίας δεδωκότας. *Εἴγε ἐπιμένετε τῇ πίστει.*] Ἵνα μὴ χαύνους αὐτοὺς ποιήσῃ, καὶ νομίσωσιν, ὅτι, ἐπειδὴ ὁ θάνατος τοῦ Χριστοῦ τὸ πᾶν εἰργάσατο, λοιπὸν οὐ χρεία πόνων ἡμετέρων, φησὶν, ὅτι χρεία τοῦ ἐπιμεῖναι τῇ πίστει. Ὥςε μὴ ῥαθυμήσητε, μηδὲ ἀναπέσητε. Ἐπειδὴ δὲ ἔστιν ἐπιμένειν μὲν, σαλευόμενον δὲ, ἐπιφέρει, *τεθεμελιωμένοι καὶ ἑδραῖοι*, τουτέστι, μὴ σαλευόμενοι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ *μὴ μετακινούμενοι*. Οὐδὲν φορτικόν, φησιν, ὑμᾶς ἀπαιτῶ, ἀλλὰ τὸ μὴ μετακινηθῆναι. *ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου*. Τίς δὲ *ἡ ἐλπὶς τοῦ εὐαγγελίου*; Ὁ Χριστός· καὶ πάντες οἱ τὸ εὐαγγέλιον παραδεχόμενοι, ἐπ' αὐτὸν ὀφείλουσιν ἐλπίζειν, ὡς εἰρηνοποιήσαντα. *Οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει.*] Αὐτοὺς πρώτους καλέσας μάρτυρας, εἶτα εἶπε τὴν οἰκουμένην ἅπασαν. Οὐκ εἶπε δὲ, *κηρυσσομένου*, ἀλλὰ *κηρυχθέντος*, τουτέστι, πιστευθέντος ἤδη. Ὥστε αἰσχύνθητε καὶ ἑαυτοὺς, καὶ πάντας ἄλλους ἀνθρώπους, ἑτέρως πιστεύοντες. *Οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος.*] Καὶ τοῦτο εἰς ἀξιοπιστίαν συντελεῖ τοῦ εὐαγγελίου, τὸ αὐτὸν Παῦλον εἶναι κήρυκα. Μέγα γὰρ τὸ αὐτοῦ ὄνομα, πανταχοῦ ᾀδομένου, καὶ τὴν οἰκουμένην περιλαβόντος λοιπόν. *Διάκονον* δὲ ἑαυτὸν εἰπὼν, μᾶλλον αὐτοὺς συνωθεῖ εἰς τὸ πεισθῆναι. Οὐ γὰρ ἐμά, φησι, λέγω, ἀλλ' ἑτέρῳ διακονῶ, τῷ θεῷ δηλαδή. Ὥστε ἐκείνῳ πεισθήσεσθε.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς διὰ τῶν πόνων αὐτοῦ διδαχῆς, ἀνακτητικῆς εἰς παράστασιν θεοῦ.

24 Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ

ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία· ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ, τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ θεοῦ·

Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν.] Δοκεῖ μὲν ἀνακόλουθον εἶναι τοῦτο· ἔστι δὲ ἀκόλουθον σφόδρα. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι διάκονος ἐγενόμην τοῦ εὐαγγελίου, οὗ μὴ ἐκπεσεῖν ὑμᾶς ἀξιῶ, δείκνυσιν, ὅτι τοσοῦτόν ἐστιν ἀληθὴς ἡ ἐλπὶς τοῦ εὐαγγελίου, ὥστε καὶ πάσχειν αἱροῦμαι δι' αὐτήν· καὶ οὐ μόνον πάσχω, ἀλλὰ καὶ χαίρω πάσχων· πάσχω δὲ, οὐχ ὑπὲρ ἐμαυτοῦ, ἀλλὰ δι' ὑμᾶς, ἵνα ὑμᾶς ὠφελῆσαι δυνηθῶ. *Καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου.*] Δοκεῖ μὲν ἀλαζονικὸς καὶ ἀπονενοημένος εἶναι ὁ λόγος· οὐκ ἔστι δέ· ἀλλὰ καὶ πολλῆς γέμει τῆς πρὸς τὸν Χριστὸν φιλοστοργίας. Καὶ γὰρ βούλεται αὐτοὺς πεῖσαι, ὅτι ὁ Χριστὸς ἔτι καὶ νῦν ὑπὲρ αὐτῶν πάσχει, καὶ ὅτι οὐ δι ἡμῶν τῶν ἀποστόλων προσάγεσθε, ἀλλὰ δι' ἐκείνου, κἂν ἡμεῖς ἐν μέσῳ ὦμεν. Ὥστε τί ποιεῖτε, ἀποπηδῶντες τούτου, τοῦ καὶ μετὰ τὸ ἀποθανεῖν ὑπὲρ ὑμῶν κινδυνεύοντος; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ ὁ Χριστὸς ἐνανθρωπήσας, ἐμπαιχθεὶς, καὶ ῥαπισθεὶς, καὶ σταυρωθεὶς, καὶ ἀποθανὼν, ἔτι ὀφείλων τι καὶ χρεωστῶν ὑμῖν, ἀπῆλθε, καὶ οὐκ ἀπέδωκε τὸ χρέος, ἐγὼ τοῦτο ἀνταναπληρῶ. Εἴ τι γὰρ ὑστέρησε παθεῖν, ἐγὼ πάσχω, φησίν. Οὐχ ἑαυτὸν οὖν ἐπαίρων ὁ Παῦλος, ταῦτά φησιν, ἀλλὰ τὸν Χριςὸν δεῖξαι βουλόμενος ἔτι καὶ νῦν ὑπὲρ αὐτῶν φροντίζοντα. — Ὁ Χριστὸς γὰρ ῥαπισθεὶς, καὶ ἐμπαιχθεὶς, καὶ μαστιχθεὶς, καὶ σταυρωθεὶς ὑπὲρ ἡμῶν, οὐχ ἁπλῶς ἐπλήρωσε πάντα, ἀλλὰ καὶ ὑπὲρ νοῦν, καὶ ἀφράστῳ λόγῳ ἐξεπλήρωσε. Χρεῶσται οὖν πάντες καθεστήκαμεν, ἀντὶ τῶν μυρίων ἐκείνων καὶ σωσικόσμων παθῶν, καὶ αὐτοὶ ὑπομένειν καὶ ἀντεισάγειν παθήματα καὶ θλίψεις ὑπὲρ Χριστοῦ καὶ τοῦ σώματος αὐτοῦ, ἵνα ἀνταναπλη-

ρώσωμεν ἃ ἔπαθεν ὁ Χριςὸς ὑπὲρ ἡμῶν. Ἀλλὰ μὴν *ἀνταναπληρῶσαι* αὐτὰ, τουτέστιν, ἴσως καὶ ὁμοίως παθεῖν, καὶ μηδενὶ ἐλλιπεῖν, ἀδύνατον· ἀλλ' ὅσα ἂν πάθωμεν, ὑστέρημά ἐστι πρὸς τὰς θλίψεις τοῦ Χριστοῦ. Πῶς γὰρ ἂν καὶ ἀνταναπληρωθείη τὸ δεσπότην ὑπὲρ δούλου παθεῖν, διὰ τοῦ δοῦλον ὑπὲρ δεσπότου; οὐ γὰρ ἴσον τοῦτο οὐδὲ ὅμοιον, πολλοῦ γε καὶ δεῖ. Ἢ τὸ ἀναμάρτητον ὑπὲρ ἁμαρτωλῶν καὶ προσκεκρουκότων, διὰ τοῦ ἐν ἁμαρτίαις ὑπὲρ εὐεργέτου καὶ ἀναμαρτήτου; Καὶ μυρία. Διὸ, ὅσα ἄν τις πάσχοι, ἀνταναπληρῶσαι θέλων, ὑστέρημα τῶν θλίψεων τοῦ Χριστοῦ ἀνταναπληροῖ. Διὸ καὶ ὁ μακάριος Παῦλος, ὁ πάντων πλέον ὑπὲρ Χριστοῦ δραμὼν, ὁ καθ' ἑκάστην ἡμέραν μυρία πάσχων δεινὰ, τοῦτο εἰδὼς καὶ διδάσκων ἔλεγε· *Καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου* (Φωτίου).— *Ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία.*] Ἄνω εἰπὼν, ὅτι ὑπὲρ ὑμῶν πάσχω, νῦν βεβαιότερον καὶ ἀξιοπιστότερον τὸν λόγον ποιεῖ, καὶ λέγει· Μὴ ἀπιστήσητε, εἰ ἄρα ὑπὲρ ὑμῶν ἀνέχομαι παθεῖν· ὑπὲρ ὑμῶν γὰρ πάσχων, *ὑπὲρ τοῦ σώματος τοῦ Χριστοῦ* πάσχω, *ὅ ἐστιν ἡ ἐκκλησία*, ἧς ἠξίωσεν εἶναι κεφαλή· μέρος δὲ τῆς καθόλου ἐκκλησίας καὶ ὑμεῖς. Μὴ τοίνυν κομπηρὸν εἶναι νομίσητε τὸν λόγον, ἀλλὰ τὸν μὴ ἀπαξιώσαντα συνάψαι ἑαυτῷ τὴν ἐκκλησίαν, πιστεύσατε καὶ νῦν ὑπὲρ αὐτῆς ἔτι πάσχειν ἐν τῇ ἐμῇ σαρκί. Εἰ δὲ σῶμα τοῦ Χριςοῦ ἡ ἐκκλησία, καὶ ἥνωται αὐτῷ, κεφαλὴ ὄντι, πῶς ὑμεῖς ἐπεισάγετε διὰ μέσου ἀγγέλους, καὶ διατέμνετε τὴν ἑνότητα; *Ἧς ἐγενόμην ἐγὼ διάκονος.*] Πείθεσθαι τοιγαροῦν ὀφείλετε τῷ ὑπὸ θεοῦ γενομένῳ διακόνῳ. *Κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ.*] *Οἰκονομίαν θεοῦ*, ἢ τοῦτο φησὶν, ὅτι αὐτὸς ἀναληφθεὶς, ἡμᾶς εἴασε κηρύσσειν, ἵνα μὴ ἐγκαταλελεῖφθαι νομίσητε· ἢ, ὅτι διὰ τοῦτο πλέον πάντων ἐμὲ διῶξαι τὴν ἐκκλησία. συνεχώρησεν, ἵνα ἀξιοπιστότερος ᾧ κήρυξ. Ἢ ἁπλῶς, *Οἰκονομίαν τοῦ θεοῦ, τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς*, τουτέστι, τοὺς ἐξ ἐθνῶν, τὴν χάριν λέγει, καὶ τὴν ἱκα-

νότητα, ἣν ἔδωκεν αὐτῷ ὁ θεὸς, ὥστε φωτίσαι τὰ ἔθνη. Τὸ γὰρ τοὺς ἐσκοτισμένους, τοὺς ἀνοήτους, τοὺς ἀπειθεῖς πεῖσαι, δόγματα τηλικαῦτα δέξασθαι, οὐ τῆς Παύλου δυνάμεως, ἀλλὰ τῆς οἰκονομίας τοῦ θεοῦ. Ὥσπερ δὲ τὰ αὐτοῦ παθήματα, τοῦ Χριστοῦ ἔδειξεν ὄντα, οὕτω τοῦ θεοῦ εἶναι λέγει καὶ τὸ πληρῶσαι εἰς αὐτοὺς τὸν λόγον. Διὰ δὲ τοῦ εἰπεῖν, *πληρῶσαι τὸν λόγον τοῦ θεοῦ*, δείκνυσιν, ὅτι ἔτι ἀπληρώτως εἶχον, ἔτι ἐλείποντο. Νόησον δὲ καὶ τοῦτο οἰκονομίαν τοῦ θεοῦ εἶναι, τὸ νῦν φανερωθῆναι τὸ μυστήριον, ὅτε δεκτικοὶ ἐγένεσθε. Ὁ γὰρ θεὸς, πάντα οἰκονομικῶς ποιῶν, καὶ τοῦτο πάντως ἐποίησε κατ' οἰκονομίαν, τὸ νῦν ἀποκαλυφθῆναι τὸ μυστήριον, ὅτε μᾶλλον ἔμελλον οἱ ἄνθρωποι παραδέξασθαι τοῦτο. Ὥστε μάταιοι οἱ σκανδαλιζόμενοι, διότι ἐν ἐσχάτοις καιροῖς λέγεται ὁ υἱὸς προσαγαγεῖν ἡμᾶς.

26 Τὸ μυστήριον, τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώ-
νων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς
27 ἁγίοις αὐτοῦ· οἷς ἠθέλησεν ὁ θεὸς γνωρίσαι, τίς ὁ
πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς
ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δό-
28 ξης· ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα
ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πά-
σῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέ-
29 λειον ἐν Χριστῷ Ἰησοῦ· εἰς ὃ καὶ κοπιῶ, ἀγωνι-
ζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ, τὴν ἐνεργουμέ-
νην ἐν ἐμοὶ ἐν δυνάμει.

Τὸ *μυστήριον, τὸ ἀποκεκρυμμένον*.] Εἰπὼν, τίνων ἠξιώθημεν, δείκνυσι καὶ ἑτέραν ἐπίτασιν, ὅτι οὐδὲ πρὸ ἡμῶν τις ταῦτα ἔμαθε. Καὶ *μυστήριον* ὀνομάζει, ὃ οὐδεὶς ᾔδει, πλὴν ὁ θεός· καὶ οὐχ ἁπλῶς, *κεκρυμμένον*, ἀλλ', *ἀποκεκρυμμένον*. *Νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ*.] Τοῦτο τῶν τοῦ θεοῦ εὐεργεσιῶν, ὅτι τὸ πᾶσιν ἄγνωστον καὶ θεῷ μόνῳ ἐγνωσμένον· καὶ βεβουλευμένον μὲν ἀπὸ τῶν αἰώνων, ἀποκεκρυμμένον δὲ, νῦν ἐφανερώθη τοῖς ἀνθρώποις. Πλὴν οὐδὲ νῦν πᾶσιν, ἀλλὰ

τοῖς ἁγίοις αὐτοῦ. Ὥστε καὶ νῦν ἔτι τοῖς ἄλλοις κρύπτεται. Μὴ τοίνυν ἀπατάτωσαν ὑμᾶς ἐκεῖνοι· οὐ γὰρ ἴσασιν. *Οἷς ἠθέλησεν ὁ θεὸς γνωρίσαι.*] Ἵνα μὴ ἐρωτᾷς, Τίνος ἕνεκεν τοῖς ἁγίοις μόνοις ἐφανερώθη, καὶ οὐ πᾶσιν; ἐπήγαγεν, *οἷς ἠθέλησε*· τὸ δὲ θέλειν αὐτοῦ οὐκ ἄλογον· καίτοι ἠδύνατο εἰπεῖν, ὅτι τοῖς ἀξίοις· ἀλλὰ βούλεται αὐτοὺς ὡς ὑπευθύνους χάριτος μᾶλλον μετριοφρονεῖν, ἢ ὡς ἀξίως τυχόντας, μεγαλοφρονεῖν. *Τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου.*] Ὄγκον ἐπιτιθεὶς τῷ γεγονότι, οὐκ εἶπεν ἁπλῶς, *γνωρίσαι τὴν δόξαν τοῦ μυστηρίου*, ἀλλά, *τίς ὁ πλοῦτος τῆς δόξης*, ὃς μάλιστα *ἐν τοῖς ἔθνεσιν* ἐγνωρίσθη, ὡς καὶ ἀλλαχοῦ φησι· *Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεόν* (α). Καλῶς δὲ εἶπε, *τοῦ μυστηρίου τούτου*· ἔστι γὰρ καὶ ἄλλα μυστήρια· ἀλλὰ τοῦτο ὄντως μυστήριον, ὃ οὐδεὶς ᾔδει, ὃ παρὰ τὴν κοινὴν συνήθειαν καὶ προσδοκίαν ἐστί, τὸ τὰ ἔθνη δηλαδὴ προσληφθῆναι. *Ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης.*] Ἑρμηνεύων τό, *τίς ὁ πλοῦτος*, καὶ τί τὸ μυστήριον, φησίν, *Ὅς* πλοῦτός ἐστιν ὁ Χριστός, ἤτοι, ἡ τοῦ Χριστοῦ γνῶσις, *ὅς ἐστιν ἐν ὑμῖν*. Εἰ γὰρ Χριστὸς ἐν ὑμῖν, πῶς ὑμεῖς ἀγγέλους εὐεργέτας λέγετε; Δι' αὐτοῦ τοιγαροῦν πιστεύετε προσάγεσθαι, ὡς ἐν ὑμῖν ὄντος διὰ τῆς πίστεως. *Ἐλπὶς δὲ δόξης*· διότι δι' αὐτοῦ ἐλπίζομεν τῆς αἰωνίου δόξης τυχεῖν. *Ὃν ἡμεῖς καταγγέλλομεν.*] *Ἡμεῖς*, οὐκ ἄγγελοι. Πῶς οὖν ἐκείνους διακόνους ἔχετε; Ἐμφαντικῶς δὲ τό, *καταγγέλλομεν*, ἄνωθεν αὐτὸν κατάγοντες δηλαδή. *Νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες.*] Οὐκ ἐπιτακτικῶς, φησιν, οὐδὲ μετ' ἀνάγκης· ἀλλ' ὡς πατέρες νουθετοῦντες, καὶ διδάσκοντες· καὶ γὰρ καὶ τοῦτο τῆς θείας χρηστότητος, τὸ μὴ τυραννικῶς προσάγεσθαι, ἀλλὰ μετὰ νουθεσίας καὶ διδασκαλίας. Νοήσεις δὲ *νουθεσίαν* μέν, ἐπὶ τῆς πράξεως· *διδασκαλίαν* δέ, ἐπὶ τῶν δογμάτων. *Ἐν πάσῃ σο-*

(α) Ῥωμ. ΙΕ', 9.

φίᾳ.] Πῶς γὰρ οὐ *πάσης σοφίας*, τὸ πείθειν τὰ θηριώδη ἔθνη; *Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ.*] Τί λέγεις; *Πάντα ἄνθρωπον;* Ναί, φησὶ, τοῦτο σπουδάζομεν· εἰδὲ μὴ γένηται, οὐδὲν πρὸς ἡμᾶς. *Τέλειον* δὲ, οὐκ ἐν νόμῳ, οὐδὲ ἐν ἀγγέλοις· ἀλλ' *ἐν Χριστῷ Ἰησοῦ*, τουτέςιν, ἐν τῇ γνώσει τοῦ Χριστοῦ. Ἐκεῖνο γὰρ οὐ τέλειον. *Εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος.*] Ἀπλήστως γὰρ εἶχεν ἡ ἁγία αὐτοῦ ψυχὴ, καὶ πάντα ἄνθρωπον ἠβούλετο Χριστῷ προσενέγκαι, καὶ εἰς τοῦτο ἐκοπία, καὶ ἠγωνίζετο. Οὐκ ἠρκέσθη δὲ τῷ τοῦ κόπου ὀνόματι, ἀλλὰ προσέθηκε καὶ τὸ, *ἀγωνιζόμενος*, ἵνα δείξῃ τὴν ἀγρυπνίαν, τὴν ἀκρίβειαν τῆς διαίτης, καὶ τἄλλα, ὅσα τῶν ἀγωνιζομένων. Εἰμὲν οὖν ἐγὼ κοπιῶ ὑπὲρ τῶν ὑμετέρων ἀγαθῶν, πόσῳ μᾶλλον ὑμεῖς; *Κατὰ τὴν ἐνέργειαν αὐτοῦ.*] Εἶτα, ἐπειδὴ, *κοπιῶ*, εἶπε, καὶ, *ἀγωνιζόμενος*, τὸν αὐτοῦ κόπον καὶ ἀγῶνα τῷ Χριστῷ ἀνατίθησιν· ὡσεὶ εἶπεν· Οὐκ ἐμὸν τοῦτο ἔργον· ὁ γὰρ ἰσχυρόν με ποιῶν καὶ ἀρκοῦντα πρὸς τοὺς ἐναντίους, ὁ Χριστός ἐστιν, ὁ ἐνεργῶν ἐν ἐμοὶ τὸ δύνασθαι. Ταύτῃ δὲ προτρέπεται αὐτοὺς, πείθεσθαι αὐτῷ, ὡς θεοῦ συνεργοῦντος αὐτῷ περὶ τὸ κήρυγμα.

ΚΕΦΑΛΑΙΟΝ Ϛʹ.

Περὶ τοῦ μὴ ὑπάγεσθαι ἀνθρωπίνῃ σοφίᾳ ἀπατηλῇ, τοὺς ἐν Χριστῷ τὴν σοφίαν ἔχοντας.

ΚΕΦ. II, 1 Θέλω γὰρ ὑμᾶς εἰδέναι, ἡλίκον ἀγῶνα
ἔχω περὶ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ
2 ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί· ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ θεοῦ

3 καὶ πατρὸς καὶ τοῦ Χριστοῦ· ἐν ᾧ εἰσι πάντες οἱ
θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.
4 Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν
5 πιθανολογίᾳ. Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ
πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν
τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πί-
στεως ὑμῶν.

Μέλλων ἐμβαλεῖν εἰς τὸ δόγμα, πολλὴν δείκνυσι τὴν φιλοστοργίαν πρότερον, ἵνα εὐπαραδεκτότερος γένηται. Πεπεῖσθαι ὑμᾶς βούλομαί, φησιν, ὡς πολλὴν περιφέρω φροντίδα περὶ ὑμῶν. Ἵνα δὲ μή τις αὐτῶν ῥᾳθυμίας καὶ ἀσθενείας ἕνεκεν δόξῃ λέγεσθαι τὸ λεγόμενον, καὶ τοὺς Λαοδικέας προσέθηκε, καὶ ἄλλους. Καὶ ἵνα μὴ δοκῇ κατεγνωκέναι αὐτῶν, καὶ τὴν αἰτίαν τέθεικε τοῦ ὑπὲρ αὐτῶν ἀγῶνος καὶ φόβου· ὅτι, φησὶν, οὔπω ἑωράκατε, τὸ πρόσωπόν μου. Προσέθηκε δὲ τὸ, *ἐν σαρκὶ*, δεικνὺς θαυμασίως, ὅτι ἑώρων αὐτὸν συνεχῶς ἐν πνεύματι. *Ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν.*] Ἤδη λοιπὸν ἐμβαίνει εἰς τὸ δόγμα, καὶ οὔτε κατηγορεῖ, οὔτε ἀπαλλάττει πάντη τῆς κατηγορίας. Ἐνταῦθα δὲ ἡ ἀπόδοσις· Ἀγῶνα ἔχω, *ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων*, οἷον, ἑνωθέντων εἰς μίαν πίστιν. Πῶς; Οὐ μετ' ἀνάγκης, ἢ βίας, ἀλλ' *ἐν ἀγάπῃ*. Τοῦτο δὲ εἶπεν, ὡς τῶν αἱρέσεων καὶ σχίσματα τικτουσῶν. *Καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως.*] Τουτέστιν, ἵνα ὑπὲρ μηδενὸς ἀμφιβάλλωσιν, ἵνα ὑπὲρ πάντων πλουσίως ἡ πληροφορία αὐτῶν γένηται διὰ τῆς συνέσεως· ἧς χωρὶς οὐκ ἂν ἄλλως τις πληροφορηθείη πλουσίως ἐν τῇ πίστει καὶ τῇ ἐπιγνώσει τοῦ μυστηρίου τοῦ θεοῦ καὶ πατρὸς καὶ τοῦ Χριστοῦ (1). Τί δὲ τὸ πατρὸς καὶ υἱοῦ μυστήριον; Τὸ τὴν προσαγωγὴν τὴν πρὸς τὸν

---

(1) « Ἵνα ὑπὲρ πάντων πεπληροφορημένη εἴη πλουσίως ἡ σύνεσις αὐτῶν, τουτέστιν, ἡ τοῦ μυστηρίου γνῶσις. Οὐκ εἶπε δὲ, εἰς τὸν πλοῦτον, ἁπλῶς, ἀλλ', εἰς πάντα πλοῦτον. Οἶδα μέν, φησιν, ὅτι σύνεσιν ἔχετε τοῦ μυστηρίου, ἀλλὰ τὴν πληροφορίαν τῆς συνέσεως ταύτης ζητῶ πλουσίαν ἐν ὑμῖν. Ἢ, ὅτι μετὰ συνέσεως βούλομαι ὑμᾶς πληροφορηθῆναι, οὐκ ἀνοήτως καὶ ἀλόγως.» Θεοφύλακτος.

πατέρα διὰ τοῦ υἱοῦ γίνεσθαι, καὶ οὐ διὰ τῶν ἁγίων ἀγγέλων. *Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροί.*] Εἰ οὖν εἰσιν ἐν αὐτῷ, τῷ Χριστῷ, πάντες οἱ θησαυροὶ τῆς σοφίας, σοφῶς ἄρα καὶ ἐν τοῖς ἐσχάτοις καιροῖς ἦλθε, καὶ οὐ πάλαι· καὶ μάτην τινὲς τῶν ἀνοήτων ἐπιδράττονται τούτου. Τῷ μὲν οὖν, *οἱ θησαυροί*, εἰπεῖν, τὸ πλῆθος δείκνυσι· τῷ δὲ, *πάντες*, τὸ μηδὲν ἀγνοεῖν ὧν οἶδεν ὁ πατήρ· τῷ δὲ, *ἀπόκρυφοι*, ὅτι αὐτὸς οἶδε μόνος, καὶ παρ' αὐτοῦ δεῖ αἰτεῖν σοφίαν καὶ γνῶσιν. Ὅρα δὲ, ὅτι, εἰ καὶ δοκεῖ μέγα τι εἰπεῖν, ἀλλὰ καὶ τοῦτο συγκαταβατικῶς εἶπε διὰ τοὺς ἁπλουστέρους, τὸ, *ἐν ᾧ εἰσιν οἱ θησαυροί*· αὐτοσοφία γάρ ἐςι, καὶ αὐτόγνωσις. *Τοῦτο δὲ λέγω.*] Τοῦτο δὲ εἶπον, φησὶν, ὅτι πάντα ὁ Χριστὸς μόνος οἶδεν, ἵνα μή τις ὑμᾶς ἀπατᾷ *ἐν πιθανολογίᾳ*, ὡς εἰδώς τι. Τί γὰρ εἰ πιθανῶς λέγει; οὐδὲν οἶδε, καὶ παραλογισμός ἐστι τὸ πᾶν, καὶ σοφίσματα. *Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι.*] Τὸ ἀκόλουθον ἦν εἰπεῖν· *Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι*, πλὴν διὰ τοῦ πνεύματος οἶδα τοὺς ἀπατῶντας ὑμᾶς. Ἀλλὰ τοῦτο μὲν, πρὸς τὸ μὴ σφόδρα πλῆξαι, ἐσιώπησεν· εἰς ἀγάπης δὲ δεικτικὸν ῥῆμα, καὶ εἰς ἐγκώμιον αὐτῶν κατέληξε. *Χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν.*] Οἷον, τὴν εὐταξίαν. *Καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν.*] Οὐκ εἶπε, τὴν πίστιν, ἀλλὰ, *τὸ στερέωμα τῆς πίστεως*, τὸ βέβαιον καὶ σταθηρὸν δηλῶν. Τοῦτο δέ φησιν, ἅμα μὲν ἐγκωμιάζων, ἅμα δὲ αἰνιττόμενος, ἐκείνην εἶναι κυρίως πίστιν, τὴν τὸ βέβαιον καὶ τὸ σταθηρὸν ἔχουσαν.

6 Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν Κύ-
7 ριον, ἐν αὐτῷ περιπατεῖτε, ἐῤῥιζωμένοι καὶ ἐποικο-
δομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πί-
στει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν
8 εὐχαριστίᾳ. Βλέπετε, μή τις ὑμᾶς ἔσται ὁ συλαγω-
γῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ
τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα
9 τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν. Ὅτι ἐν αὐτῷ
κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματι-

10 κῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι· ὅς ἐστιν ἡ
κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας·

Ὡς οὖν *παρελάβετε.*] Μηδέν, φησιν, ἐπείσακτον ἀκούετε, ἀλλ' ὃ παρελάβετε, κρατεῖτε (1). *Ἐν αὐτῷ περιπατεῖτε.*] Καλῶς τό, *περιπατεῖτε*, ὡς εἰ εἶπεν· Αὐτός ἐστιν ἡ ὁδός, ἡ πρὸς τὸν πατέρα ἄγουσα, καὶ οὐχ οἱ ἄγγελοι. *Ἐῤῥιζωμένοι.*] Τουτέστιν, ἀμεταστάτως ἔχοντες, καὶ μὴ ποτὲ μὲν ἐν Χριστῷ, ποτὲ δὲ ἐν ἄλλῳ περιπατεῖτε. Τὸ γὰρ ἐῤῥιζωμένον, οὐκ ἄν ποτε μετασταίη. *Καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ.*] Τουτέστιν, αὔξοντες ἐν τῷ θεμελίῳ, τῷ Χριστῷ (2). *Καὶ βεβαιούμενοι ἐν τῇ πίστει.*] Μηδέν, φησιν, ἀμφίβολον, μηδὲ ἐν δισταγμῷ ἔχοντες, ἀλλὰ βεβαίως κατέχοντες τὸν Χριστὸν διὰ τῆς πίστεως, οὐ διὰ λογισμῶν, καὶ πιθανολογιῶν. Ἡ γὰρ οἰκοδομή, κἂν ἐπὶ θεμελίῳ ᾖ, μὴ βεβαία δὲ ἑστήκει, σφαλερά ἐστι. *Καθὼς ἐδιδάχθητε.*] Πάλιν τό, *καθώς*, τίθησιν, ἵνα, εἰ μή τι ἄλλο, αὐτοὶ ἑαυτοὺς αἰδεσθῶσι. Τὸ μὲν οὖν, *καθὼς ἐδιδάχθητε*, οἷόν τις θεμέλιος· τὸ δέ, *περισσεύοντες*, τοῦτό ἐστιν ἡ ἐποικοδόμησις. Ἐδιδάχθητε μέν, φησι, τὴν πίστιν· δεῖ μέντοι καὶ περισσεύειν ἐν αὐτῇ ὁσημέραι, διάπυρον τὴν πίστιν κτωμένους. *Ἐν εὐχαριστίᾳ.*] Εὐχαριστοῦντες τῷ θεῷ, ὅτι τοὺς οὕτω μακράν, ἐγγὺς πεποίηκε (3). *Βλέπετε, μήτις ὑμᾶς ἔσται ὁ συλαγωγῶν.*] Διδασκαλία μετὰ παραγγελίας, ἐκφοβοῦσα τοὺς ἀκροατάς. *Συλαγωγῶν* δέ, ἀπὸ τῆς πίστεως, ἀφανέσι καὶ λαθραίαις ἐπιβουλαῖς, ὡς κλέπτης διορύττων κάτωθεν τοὺς τοίχους λανθανόντως. *Διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης.*] Ἣν ἄνω *πιθανολογίαν*, ἐνταῦθα *φιλοσοφίαν* ἐκάλεσεν. Ἐπειδὴ δὲ τὸ τῆς φιλοσοφίας ὄνομα σεμνὸν εἶναι δοκεῖ, τὴν ἀπάτην προσέ-

(1) « Οὐδὲν ξένον ἐπεισάγομεν, ἀλλ' ὃ παρελάβετε, ἐκεῖνο καὶ ἀπαιτοῦμεν πάλιν, τὸν Κύριον Ἰησοῦν Χριστόν, οὐ τοὺς ἀγγέλους. » Θεοφύλακτος.

(2) « Δείκνυσιν αὐτοὺς καταπεσόντας, ὥστε δεῖσθαι ἐποικοδομήσεως, τουτέστι, δευτέρας οἰκοδομῆς, ὡς ἐπὶ θεμελίῳ τῷ Χριστῷ. » Θεοφύλακτος..

(3) « Εὐχαριστοῦντες τῷ θεῷ, ὅτι ἠξίωσεν ἡμᾶς τοιαύτης χάριτος, καὶ μὴ ἑαυτοῖς τὴν προκοπὴν ἐπιγράφοντες. » Θεοφύλακτος.

ζευξε· *κενὴν δὲ ἀπάτην* φησὶ, τὴν ματαίαν, ἢ τὴν νεώτερα τινα καὶ ἀπᾴδοντα διδάσκουσαν. *Κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων.*] Ὁρᾷς, πόθεν ἡ ἀπάτη; ὅτι ἀνθρώπινοι λογισμοὶ μεσιτεύουσι. Διὰ τοῦτο καὶ *αἱρέσεις* λέγονται· ὅτι ἀνθρώπων εἰσὶ δόξαι. Ἡ δὲ τῶν χριστιανῶν πίστις, οὐκ ἀνθρώπινον δόγμα· διὸ οὐδὲ τοιούτου ὀνόματος τεύξεται. *Κατὰ τὰ στοιχεῖα τοῦ κόσμου.*] Ἤδη λοιπὸν τοῦ ἐλέγχου ἄρχεται τῆς τῶν ἡμερῶν παρατηρήσεως. *Στοιχεῖα δὲ κόσμου* φησὶν ἥλιον καὶ σελήνην, δι' ὧν τοῖς ἄφροσιν αἱ τῶν ἡμερῶν παρατηρήσεις ἐν ταῖς ἀφωτίστοις φαύσεσι καὶ ἐκλείψεσι (1). Καὶ οὐκ εἶπεν, ἡμερῶν παρατηρήσεις· ἀλλὰ τοῦ κόσμου παντὸς μέμνηται, ἵνα τὸ εὐτελὲς ἐκ περιουσίας δείξῃ. Εἰ γὰρ τὸ σχῆμα παντὸς τοῦ κόσμου παράγει (α), πολλῷ μᾶλλον τῶν ἐν αὐτῷ στοιχείων. *Καὶ οὐ κατὰ Χριστόν.*] Μάλιστα μέν, φησιν, εἰ καὶ ἐξ ἡμισείας ἐνῆν καὶ τῷ Χριστῷ καὶ τοῖς στοιχείοις προσέχειν, οὐδὲ οὕτως ἔδει ἐκείνοις πείθεσθαι· νῦν δὲ παντελῶς ὑμᾶς ἀπάγουσι τοῦ Χριστοῦ. *Ὅτι ἐν αὐτῷ κατοικεῖ.*] Καὶ πῶς ἔνεστι, καὶ ἐν τῇ σαρκὶ οὐσιωδῶς κατοικεῖν τὸν θεὸν Λόγον, καὶ καθ' ὑπόστασιν αὐτῇ ἡνῶσθαι, καὶ πανταχοῦ εἶναι, μὴ περικλειόμενον ἐν αὐτῇ; Τοιοῦτόν τι γεγενῆσθαι νοήσωμεν, ὅπερ καὶ ἐπὶ τοῦ φωτός· ἐλαττοῦται δὲ πᾶσα εἰκὼν καὶ ἅπαν παράδειγμα τῆς ἀληθείας· πῶς γὰρ ἂν τὰ αἰσθητὰ διασημανεῖ τὰ θεῖα; Πλὴν λεκτέον. Ὥσπερ τὸ πρωτόγονον φῶς ἐν ἀρχῇ, ἀσώματον καὶ ἄϋλον ὑπάρχον, ἐνεκράθη τῷ ἡλιακῷ σώματι, καὶ γέγονε τρόπον τινὰ ἐνσώματον· πλὴν καὶ ἐν αὐτῷ ὑπάρχον, οὐ περιείργεται, οὔτε κωλύεται καταφωτίζειν τὰ πάντα· οὕτως ὁ ἐν ἀρχῇ ἄσαρκος θεὸς Λόγος, σαρκωθείς, οὐ κωλύεται καὶ σαρκὶ ἡνῶσθαι καθ' ὑπόστασιν, καὶ μὴ συγκεκλεῖσθαι ἐν αὐτῇ, ἀλλὰ τὰ πάντα πληροῖ. Καὶ διὰ τοῦτο, οἶμαι, αὐτός τε ἑαυτὸν ὁ Κύριος Φῶς ὀνομάζει (β), καὶ ὁ Μαλαχίας αὐτὸν *ἥλιον* κέκληκε *δικαιοσύνης* (γ). *Πᾶν*

(1) « Δι' ὧν δοκοῦσιν αἱ ἡμέραι τοιῶσδε ἢ τοιῶσδε διακεῖσθαι. » Θεοφύλακτος·
(α) Α' Κορ. Ζ', 31. (β) Ἰωαν. Η', 12. (γ) Μαλαχ. Δ', 2.

τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.] Τουτέστιν, Εἴτι ἐστὶν ὁ θεὸς Λόγος, ἐν αὐτῷ κατοικεῖ. Ἀλλὰ μὴ νομίσῃς, αὐτὸν ἐκ τούτου συγκεκλεῖσθαι· καὶ γὰρ ἐσαρκώθη ἅπας, καὶ μετὰ τοῦ πατρός ἐστιν ἅπας, σώματι περιγραπτὸς ὢν, θεότητι δὲ ἀπερίγραπτος. Ἐπειδὴ δὲ εἶπε, *κατοικεῖ*, ἵνα μὴ νομίσῃς, ὅτι ἐνηργήθη, ὡς καὶ οἱ προφῆται· (ἐνῴκει γὰρ αὐτοῖς ὁ θεὸς, κατὰ τό· *Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω* (α).) προστίθησι τὸ, *σωματικῶς*, τουτέστιν, οὐκ ἔστιν ἐνέργειά τις, ἀλλὰ οὐσία, καὶ ὡς σωματωθεὶς καὶ μία ὑπόστασις ὢν μετὰ τοῦ προσληφέντος σώματος. Ἢ καὶ οὕτω, κατὰ τὸν ἅγιον Κύριλλον· Ὡς ἂν οἰκήσῃ ἐν σώματι ψυχὴ, οὕτως ἐνῴκησε τῷ προσληφθέντι ἀνθρώπῳ. Πῶς δὲ ἐνοικεῖ ψυχὴ σώματι; δῆλον ὅτι οὐσιωδῶς, ἀσυγχύτως, ἀδιαιρέτως. Ἀλλ' ἡ μὲν ψυχὴ καὶ χωρίζεται τοῦ σώματος ἐν τῷ θανάτῳ· ὁ δὲ θεὸς Λόγος οὐδέποτε ἐχωρίσθη τῆς προσληφθείσης καὶ οἰκείας αὐτοῦ καὶ ἰδίας γενομένης σαρκὸς, ἐμψυχωμένης δηλονότι ψυχῇ νοερᾷ, ἀλλὰ κἂν τῷ τάφῳ παρῆν αὐτῇ, ἀδιάφθορον αὐτὴν τηρῶν, καὶ τῇ ψυχῇ ἐν τῷ ᾅδῃ συνῆν, κηρύττων (β), ἤτοι, διδοὺς αἰχμαλώτοις ἄφεσιν (γ)· καὶ ὅλως ἕνωσις ἀμφοτέρων ἦν, τῆς τε ψυχῆς καὶ τοῦ σώματος, καὶ ὅτε τῷ ἑκουσίῳ αὐτοῦ θανάτῳ διέστησαν. Ἢ *σωματικῶς* νόει, οἷον, σεσαρκωμένως. Οὐ γὰρ οἰκήσας, πάλιν μετοικεῖ, ἀλλ' ἐσαρκώθη, . μίαν λοιπὸν μετὰ τῆς ἰδίας σαρκὸς ὑπόστασιν ἔχων, κἂν ἐκ δύο συνέστη τῶν ἐναντίων. *Καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι.*] Ἐπεὶ οὖν πλήρης, φησὶ, καὶ ἀπαράλειπτος ἡ ἐνανθρώπησις, προσήκει καὶ ὑμᾶς πλήρεις εἶναι ἐν αὐτῷ, καὶ μὴ ἐπιμερίζεσθαι πρὸς τὰ στοιχεῖα τοῦ κόσμου (1). *Ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας.*]

(α) Λευΐτ. ΚϚ', 12. Β' Κορ. Ϛ', 16.
(β) Α' Πετρ. Γ', 19. (γ) Ἡσ. ΞΑ', 1.
(1) Οὐδέν, φησιν, ἔλαττον ἔχετε αὐτοῦ· ἀλλὰ πεπληρωμένοι καὶ ὑμεῖς ἐστε τῆς θεότητος· πλὴν ἐν αὐτῷ, τουτέστι, διὰ τοῦ προσλήμματος. Ἐπεὶ γὰρ ἡ φύσις ἡμῶν ἡνώθη τῷ θεῷ, καὶ ἡμεῖς ἐν αὐτῷ θείας ἐκοινωνήσαμεν φύσεως. Πανταχοῦ γὰρ ὁ Παῦλος βούλεται ἡμᾶς ἐγγὺς ἀγαγεῖν τοῦ Χριστοῦ, ὡς ὅταν λέγῃ· Συνήγειρε,

Κεφαλὴν ἐνταῦθα, τὴν αἰτίαν λέγει· πάσῃ γὰρ γενητῇ φύσει, ἐπουρανίῳ καὶ ἐπιγείῳ, αἴτιος ὁ Χριστὸς, ὡς δημιουργὸς καὶ ποιητὴς αὐτῶν· χωρὶς γὰρ αὐτοῦ, φησὶν, ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε (α)· γεγόνασι δὲ αἱ οὐράνιαι δυνάμεις· ὁ ποιῶν γάρ, φησι, τοὺς ἀγγέλους αὐτοῦ πνεύματα (β). Ἄρα διὰ Χριστοῦ καὶ παρὰ Χριστοῦ γεγένηνται, εὐδοκίᾳ τοῦ πατρὸς, καὶ συνεργίᾳ τοῦ παρακλήτου Πνεύματος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι ἡ πρὸς Θεὸν συνάφεια καὶ τὰ τοῦ νόμου περιέχει πνευματικῶς, εἰς τὸ συζῆν Χριστῷ.

11 Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ,
ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς
12 σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες
αὐτῷ ἐν τῷ βαπτίσματι· ἐν ᾧ καὶ συνηγέρθητε διὰ
τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραν-
13 τος αὐτὸν ἐκ νεκρῶν· καὶ ὑμᾶς, νεκροὺς ὄντας ἐν
τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς
ὑμῶν, συνεζωοποίησε σὺν αὐτῷ, χαρισάμενος
14 ἡμῖν (1) πάντα τὰ παραπτώματα· ἐξαλείψας τὸ
καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναν-
τίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν (2) ἐκ τοῦ μέσου, προση-
15 λώσας αὐτὸ τῷ σταυρῷ· ἀπεκδυσάμενος τὰς ἀρχὰς
καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμ-
βεύσας αὐτοὺς ἐν αὐτῷ.

Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ.] Τὸ θαυμαστὸν τῆς εὐεργεσίας ἐπήγαγεν, ὅτι ἐν Χριστῷ περιετμήθητε.

καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ (Ἐφεσ. Β', 6.)· καί· Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν (Β' Τιμ. Β', 12.)· καὶ συγκληρονόμους καλεῖ (Ῥωμ. Η', 17.).» Θεοφύλακτος. (α) Ἰωαν. Α', 3. (β) Ψαλμ. ΡΓ', 4.

(1) Παρ' ἄλλοις, ὑμῖν, (2) Παρ' ἄλλοις, ἦρεν,

Οὐ γὰρ χεὶρ ἀνθρώπου ἐπάγει τὴν περιτομὴν ταύτην, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον ὑμᾶς περιτέμνει ἐκ τῶν ἁμαρτιῶν ὑμῶν· καὶ οὐ μέρος, ἀλλ' ὅλον τὸν ἄνθρωπον περιτέμνει. *Ἐν τῇ ἀπεκδύσει.*] Ἐκεῖ μὲν ἀπεξεδύετο τὸ μόριον διὰ τῆς περιτομῆς, περιαιρουμένου τοῦ σαρκίνου καλύμματος· ἐνταῦθα δὲ ἀπεκδύεται τὸ σῶμα ἡμῶν τὰς ἁμαρτίας, ἃς διὰ τῆς σαρκὸς ἐπιτελοῦμεν. Ποῦ δὲ ἐξεδύσασθε; Ἐν τῷ βαπτίσματι δηλονότι. *Τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός.*] Ἀλλαχοῦ φησι, τοῦ παλαιοῦ ἀνθρώπου (α), τουτέστι, τοῦ ἐν ἁμαρτίαις βίου. *Ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ.*] Χριστῷ γὰρ πιστεύσαντες, τὴν ἀχειροποίητον περιετμήθητε περιτομήν. Ὅρα δὲ, ποτὲ μὲν τοῦ πνεύματος, ποτὲ δὲ τοῦ Χριστοῦ τὴν περιτομὴν λέγει. Ἓν γὰρ ἔργον καὶ μίαν ἐνέργειαν τῆς ἁγίας οἶδε Τριάδος. *Συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι.*] Ὃ *περιτομὴν* ἐκάλεσε, τοῦτο νῦν *τάφον* καλεῖ, μεῖζόν τι τῆς περιτομῆς παριστῶν· τῆς γὰρ τοῦ Κυρίου ταφῆς τὴν εἰκόνα ἀναπληροῦμεν ἐν τῷ βαπτίσματι. *Ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως.*] Οὐ τάφος μόνον, ἀλλὰ καὶ ἔγερσίς ἐστι τὸ βάπτισμα. Δι' οὗ, φησὶ, συνταφέντες, καὶ ἀνηγέρθητε, καὶ συνηγέρθητε. Πῶς; *Διὰ τῆς πίστεως.* Πιστεύσαντες γὰρ, ὅτι ἐνεργεῖ καὶ ἰσχύει ὁ Θεὸς ἐγείρειν ἐκ νεκρῶν, καὶ δεῖγμα τούτου ἔχοντες τὸ καὶ τὸν Χριστὸν ἐκ νεκρῶν ἐγεῖραι, ἠγέρθητε, φησὶ, καὶ ὑμεῖς. Καὶ γὰρ ἐγηγέρμεθα τῇ δυνάμει, εἰ καὶ μὴ τῇ ἐνεργείᾳ. Ἤδη δὲ τοὺς περὶ ἀναστάσεως καταβάλλει λόγους. *Καὶ ὑμᾶς, νεκροὺς ὄντας, καὶ τὰ ἑξῆς.*] Ἡ περιτομὴ, φησὶ, τὸ περιττὸν περιαιρεῖ, ὡς τῆς ἀκροβυστίας τὸ περιττὸν ἐχούσης. Περιττοὶ οὖν, φησιν, ἦτε καὶ ὑμεῖς, τὰ μὴ καθήκοντα ποιοῦντες. Πᾶν γὰρ τὸ ἔξω τοῦ πρέποντος, περιττόν ἐστιν. Ὄντας οὖν νεκροὺς ταῖς ἁμαρτίαις διὰ τὴν πρὸς τὸ καλὸν ἀνενεργησίαν, καὶ ἀκροβύστους, περιέτεμέ τε νοητῶς, καὶ ἐζωοποίησε. *Συνεζωοποίησε σὺν*

(α) Κολοσ. Γ', 9.

αὐτῷ.] Τὸν μὲν Χριστὸν, ἐκ τοῦ αἰσθητοῦ θανάτου, ὑμᾶς δὲ, ἐκ τοῦ αἰσθητοῦ καὶ τοῦ νοητοῦ, τοῦ τῶν ἁμαρτιῶν. Μὴ θαύμαζε δὲ, εἰ τὸν πατέρα λέγει ἐζωοποιηκέναι τὸν Χριστόν· καὶ γὰρ καὶ ἀλλαχοῦ εἴρηται, ὅτι ἑαυτὸν ἤγειρε· Λύσατε γάρ, φησι, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν (α)· καὶ αὖ· Παρέστησεν ἑαυτὸν ζῶντα (ϐ). Κοινὰ γὰρ Πατρὸς, καὶ Υἱοῦ, καὶ Πνεύματος τὰ γινόμενα. *Χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα.*] Τὰ τὴν νοητὴν ποιοῦντα νεκρότητα. Ὅρα δὲ, τίνων ἡμᾶς ὄντας ἀξίους, πῶς ἠλευθέρωσεν (1). *Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον.*] Ἐπειδὴ εἶπεν, ὅτι ἐχαρίσατο ἡμῖν, ἵνα μὴ νομίσῃς, ὅτι ἀφῆκεν αὐτὰ μένειν καὶ φαίνεσθαι, λέγει, *Ἐξαλείψας*, οἱονεὶ τελείως ἀφανίσας. *Χειρόγραφον* δὲ λέγει, ἢ ἐκείνην τὴν οἷον ἰδιόχειρον ἢ ἰδιόφωνον ὁμολογίαν, ἣν ἐποιήσατο ὁ λαὸς πρὸς Μωϋσῆν, εἰπόντες, ὅτι· *Πάντα ὅσα εἶπεν ὁ θεὸς, ποιήσομεν, καὶ ἀκουσόμεθα* (γ)· ἢ τὴν ὀφειλομένην τῷ θεῷ ὑπακοήν· ἢ ἐκείνην τὴν ἐντολὴν, ἣν ἐνετείλατο ὁ θεὸς τῷ Ἀδάμ· Ἧ δ' ἂν ἡμέρᾳ φάγῃς ἀπὸ τοῦ ξύλου, ἀποθάνῃς (δ). Ἐκ τῆς ἐνανθρωπήσεως οὖν, λέλυται τοῦτο τὸ χειρόγραφον· τὰς γὰρ ἁμαρτίας ἡμῶν ἀναλαϐὼν ὁ Κύριος, καὶ οἰκειοποιησάμενος, τὴν ἡμῖν ὀφειλομένην δίκην αὐτὸς ἔδωκεν ὑπὲρ αὐτῶν, ἡμᾶς ἐλευθέρους ἀφεὶς τοῦ ὑπεναντίου ἡμῖν καὶ καθ' ἡμῶν ὄντος τῆς ὀφειλῆς χειρογράφου. Καὶ γὰρ παραϐάντες τὰ προσομολογηθέντα, ἔνοχοι ἦμεν τῷ χειρογράφῳ. *Τοῖς δόγμασιν.*] Οἷον, τῇ εἰς αὐτὸν πίστει· ἀρκεῖ γάρ, φησι, πιστεῦσαι μόνον,

(α) Ἰωαν. Β', 19. (ϐ) Πραξ. Α', 3. (1) «Πάντας ἡμᾶς ἀνεῖλεν ἡ ἁμαρτία. Αὕτη γὰρ ἡμῖν τοῦ θανάτου τὴν ψῆφον ἐπήνεγκεν. Ἀλλ' ὁ τῶν ὅλων θεὸς κοινωνοὺς ἡμᾶς ἀπέφηνε τῆς τοῦ δεσπότου Χριστοῦ ζωῆς, καὶ τῶν ἁμαρτημάτων ἡμῖν ἄφεσιν ἐδωρήσατο. Ἀκροϐυστίαν δὲ τῆς σαρκὸς, τὴν πονηρίαν ἐκάλεσε, διδάσκων, ὡς ἡ μὲν τοῦ σώματος ἀκροϐυστία οὐδὲν λωϐᾶται τοῖς ἔχουσιν· ἡ δὲ τῆς ψυχῆς, καὶ σώματι λυμαίνεται καὶ ψυχῇ. Ἐκ δὲ τούτου δείκνυσιν, ὡς ἡ τοῦ σώματος περιτομὴ οὐδὲν τοὺς περιτεμνομένους ὀνίνησιν· ἡ δὲ τῆς πονηρίας ἀφαίρεσις τὴν ἀληθῆ πραγματεύεται σωτηρίαν.» Θεοδώρητος.

(γ) Ἐξοδ. ΙΘ', 8. ΚΔ', 7. (δ) Γενεσ. Β', 17.—«Ταύτην γὰρ κατεῖχεν ὁ διάϐολος, ὡς χειρόγραφον, καὶ αὕτη ἀνθίστατο ἡμῖν, μὴ ἐῶσα ἀνακῦψαι· τὸ δίκαιον γὰρ εἶχε. Τοῦτο ἐξήλειψεν ὁ Χριστὸς τοῖς δόγμασι, τουτέστι, τῇ πίστει· οὐ γὰρ ἔργοις, ἀλλὰ τοῖς τῆς πίστεως δόγμασι λέλυται τοῦτο.» Θεοφύλακτος.

καὶ τῷ βαπτίσματι ἐξαλείφεται τὸ χειρόγραφον. Οὐ γὰρ ἔργοις, ἀλλὰ τοῖς τῆς πίστεως δόγμασι λέλυται τοῦτο. Ἢ, *τοῖς δόγμασιν*, οἷον, διὰ τῶν τῆς εὐσεβείας δογμάτων. *Ὃ ἦν ὑπεναντίον ἡμῖν.*] Ἐπίτασιν καὶ βεβαίωσιν συγχωρήσεως ὁ λόγος ἔχει. Ἐχαρίσατό, φησιν· ἀλλὰ δέος, μὴ ἐκ μεταμελείας ἀπαιτήσῃ. Ἀλλὰ καὶ ἐξήλειψεν. Ἀλλ' αὐτὸ τοῦτο, φησὶ, τὸ ὅλως κεῖσθαι, εἰ καὶ ἐξαλειφθὲν, φόβον ἡμῖν ἐμποιεῖ. *Ἀλλὰ καὶ ἦρκεν αὐτὸ ἐκ τοῦ μέσου*, μὴ ἀφεὶς ἐπὶ χώρας, καὶ ἔσχισεν αὐτό· τοῦτο γὰρ δηλοῖ τὸ, *προσηλώσας αὐτὸ τῷ σταυρῷ* (1). *Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας.*] Τὰς διαβολικὰς δυνάμεις λέγει. Πολλὰς εἶχε καθ' ἡμῶν λαβὰς ὁ πονηρὸς, δι' ὧν ἡμῶν ἐβασίλευεν, ἀρξάμενος μὲν ἀπὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ, παρ' ἡμῶν δὲ ἐπαυξηθείς. Ταύτας οὖν ἀπεξεδύσατο ὁ μονογενὴς, γενόμενος ἄνθρωπος, καὶ ἠλευθέρωσεν ἡμᾶς τῶν τοιούτων δεσμῶν.

---

(1) « Οὐκ ἐχάραξε τοῦτο μόνον, ἀλλὰ καὶ ἦρεν αὐτὸ ἐκ τοῦ μέσου, τουτέστιν, ἐποίησε, μηδὲ φαίνεσθαι· καὶ οὔτε ἡμῖν ἔδωκεν, οὔτε αὐτὸς ἐφύλαξεν· ἀλλὰ περιπείρας αὐτὸ ἐν τῷ σταυρῷ, κατέσχισεν· ὃ τοῦ μετὰ χαρᾶς ἀφιέντος ἐστίν. » Θεοφύλακτος. — « Χειρόγραφόν τινες τὸν νόμον ἔφασαν· μετὰ γὰρ τὴν τούτου ἀρὰν, εἰπέ, φησιν, ὁ λαός· Πάντα, ὅσα εἶπε Κύριος ὁ θεὸς ἡμῶν, ποιήσομεν, καὶ ἀκουσόμεθα. Ἀλλὰ τοῦτο τῶν Ἰουδαίων χειρόγραφον ἦν, οὐ πάντων ἀνθρώπων. Ἡγοῦμαι τοίνυν καὶ τὸ σῶμα ἡμῶν καλεῖσθαι χειρόγραφον· διὰ τούτου γὰρ πᾶσαν παράνομον τολμῶμεν πρᾶξιν. — Ὁ τοίνυν θεὸς Λόγος, τὴν ἡμετέραν φύσιν ἀναλαβὼν, πάσης αὐτὴν ἁμαρτίας ἐλευθέραν ἐφύλαξε, καὶ ἐξήλειψε τὰ κακῶς ὑφ' ἡμῶν ἐν αὐτῇ γενόμενα τῶν ὀφλημάτων γράμματα. Ταύτην δὲ συγχωρήσας τῷ σταυρῷ προσηλωθῆναι, τὸ πάντων ἡμῶν ἐξέτισε χρέος· καὶ τὸν νόμον πεπληρωκὼς, ἐκεῖνον μὲν ἔπαυσεν, ὡς Ἰουδαίοις μὲν πάλαι μόνοις γενόμενον χρήσιμον, ἡμῖν δὲ οὐδαμῶς ἐπιτήδειον· ἔδωκε δὲ ἡμῖν τὰ εὐαγγελικὰ δόγματα, ἐν τῇ τούτων φυλακῇ τὴν σωτηρίαν ἡμῖν ἐπαγγειλάμενος. » Θεοδώρητος. — Χειρόγραφον, ἐν τῷ σταυρῷ σὺν τῷ Χριστῷ προσηλωθὲν, ἢ, μᾶλλον, διὰ τοῦ σταυρικοῦ αὐτοῦ θανάτου ἐξαφανισθὲν, νοεῖ ὁ Παῦλος τὸν μωσαϊκὸν νόμον, τὸν τοσάκις τοὺς Ἰουδαίους ὀφειλέτας τῷ θεῷ καταστήσαντα. Τοῦτο οὖν τὸ χειρόγραφον, τὴν οἷον ἰδιόχειρον ὁμολογίαν, οὐ μόνον ἐξήλειψεν ὁ Χριστὸς τοῖς εὐαγγελικοῖς δόγμασιν, ἀλλ' ἐποίησε καί τι πλέον. Ὡς γὰρ δανειστὴς, χαριζόμενος τῷ χρεωφειλέτῃ τὸ δάνειον, οὐκ ἀρκεῖται τῇ ἐξαλείψει τοῦ χειρογράφου, ἀλλὰ καὶ διαῤῥήγνυσιν αὐτὸ, καὶ τῷ πυρὶ παραδίδωσιν εἰς τέλειον αὐτοῦ ἀφανισμόν· οὕτως ἐποίησε καὶ ὁ Χριστὸς, σὺν ἑαυτῷ τὴν ἁμαρτίαν σταυρώσας, καὶ διὰ τοῦ θανάτου αὐτοῦ ταύτην ἐξαφανίσας, προσήλωσεν ὁμοίως τὸ πλῆθος ἐκεῖνο τῶν μωσαϊκῶν ἐντολῶν ἐν τῷ σταυρῷ, καὶ ἐξήλειψεν.

Λέγεται δὲ χειρόγραφον ὁ μωσαϊκὸς νόμος καθ' ὁμοίωσίν τινα· ἐπειδὴ ὁ λαὸς ἐπηγγείλατο, καὶ οἱονεὶ ὡμολόγησε τὴν φύλαξιν αὐτοῦ. Δευτερ. ΚΖ'. Νεεμ. Ι. Λέγων δὲ ὁ Παῦλος, ἡμῶν, νοεῖ τοὺς Ἰουδαίους· τὰ γὰρ ἔθνη οὐκ ἐνήχοντο τῷ νόμῳ.

Ὅ,τι δὲ λέγει ἐνταῦθα ὁ Παῦλος χειρόγραφον, εἶπεν Ἐφεσ. Β', 15. νόμον ἐντολῶν· καὶ ἐκεῖ μὲν εἶπεν, Ἐν δόγμασι καταργήσας· ἐνταῦθα δὲ λέγει, ἐξαλείψας τοῖς δόγμασιν.

Ἐσφιγμένοι γὰρ ταῖς σειραῖς τῶν ἡμετέρων ἁμαρτιῶν, ἐδουλεύομεν ἐκείνῳ. Ἀφεὶς μὲν γὰρ καὶ ἡμῖν ταύτας, καὶ τῶν δεσμῶν ἀφῆκε, καὶ τῆς ἐκείνου τυραννίδος. *Ἐδειγμάτισεν ἐν παῤῥησίᾳ.*] Τουτέστι, καταισχυνθῆναι ἐποίησεν. Οὐδέποτε γὰρ οὕτω κατῃσχύνθη καὶ ἡττήθη ὁ διάβολος. Καὶ γὰρ ἔχειν αὐτὸν ὑπονοήσας, καὶ οὓς εἶχεν ἀπώλεσε. Τὸ δὲ, *ἐν παῤῥησίᾳ*, ἀντὶ τοῦ, ἐν δημοσίᾳ, πάντων ὁρώντων. *Θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.*] *Θρίαμβος* λέγεται, ἡ κατὰ τῶν ἡττωμένων πομπὴ καὶ πανήγυρις. Ἐθριάμβευσεν οὖν αὐτοὺς, ἤτοι τοὺς δαίμονας, *ἐν αὐτῷ*, τῷ σταυρῷ, τουτέστιν, ἐνίκησε, καὶ κατ' αὐτῶν θρίαμβον νοητὸν ἐπετέλεσεν. Οὐδὲν γὰρ οὕτως ἐνίκησε τὸν διάβολον, ὡς τὸ καὶ σταυρωθῆναι τὸν Κύριον, καὶ παῤῥησίᾳ τοῦτο παθεῖν καὶ φανερῶς. Πάντα γὰρ ἂν ἐποίησεν ὁ διάβολος, πεῖσαι θέλων, ὅτι οὐκ ἀπέθανεν, εἰ μὴ τὸ σαφὲς αὐτῷ ἠναντιοῦτο. Εἰ γὰρ μὴ ἀπέθανεν, οὐκ ἂν ἀνέστη· εἰ μὴ ἀνέστη, οὐκ ἂν ἀνελήφθη· εἰ μὴ ταῦτα, οὐκοῦν οὐ θεός. Ὁρᾷς, ὅτι τοῦ θανάτου πάντα ἤρτηται;

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι οἱ τοῦ σαρκικοῦ νόμου τύποι, σαρκικοῖς χρήσιμοι, οὐ πνευματικοῖς, τοῖς ἐν δυνάμει Χριστοῦ ζῶσιν.

16 Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ
17 ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων· ἅ ἐστι
σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα Χριστοῦ.
18 Μηδεὶς ὑμᾶς καταβραβευέτω, θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς
19 τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν κεφαλὴν,
ἐξ οὗ πᾶν τὸ σῶμα, διὰ τῶν ἁφῶν καὶ συνδέσμων

ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.

Μὴ οὖν τις ὑμᾶς κρινέτω.] Μέχρι μὲν τοῦ νῦν αἰνιγματωδῶς ἔλεγε· Μήτις ὑμᾶς ἔσται ὁ συλαγωγῶν· νῦν δὲ φανερώτερον, ὅτε προκατέλεξε τὰς εὐεργεσίας. Εἰ γὰρ τοιούτων τετυχήκατέ, φησι, τί τοῖς μικροῖς ἑαυτοὺς ὑπευθύνους ποιεῖτε; *Μὴ οὖν τις ὑμᾶς κρινέτω*· οἷον, Μὴ κατακρινέτω ὑμᾶς ὡς κακῶς ποιοῦντας, μὴ φυλάττοντας τὰς ἰουδαϊκὰς παρατηρήσεις ἐν βρώμασι καὶ πόμασι, καὶ ἐν τῷ μὴ φυλάττειν μέρη ἑορτῶν, ἢ νουμηνιῶν. Καὶ γὰρ τὰ μὲν ἐφύλαττον, ὡς ἰουδαΐζοντες, τὰ δὲ οὐκ ἐφύλαττον, ὡς χριστιανίζοντες. Διὰ τοῦτο φησὶν, *ἐν μέρει* ἑορτῆς τῆσδε, ἢ ἐν μέρει τῶνδε. *Ἅ ἐστι σκιὰ τῶν μελλόντων.*] *Μέλλοντα* φησὶ τὰ τῆς καινῆς διαθήκης, οὐκ ἐπειδὴ οὔπω ἦν αὕτη πολιτευομένη· (ἦν γάρ·) ἀλλ' ὡς πρὸς τοὺς τύπους τούτους καὶ τὰς σκιὰς, μέλλουσα ἦν (1). *Τὸ δὲ σῶμα Χριστοῦ.*] Οἱ μὲν οὕτω στίζουσι· *Τὸ δὲ σῶμα Χριστοῦ*, ἵνα ᾖ τὸ λεγόμενον· Τὰ μὲν παλαιὰ σκιά εἰσι· τὸ δὲ σῶμα, τουτέστιν, ἡ ἀλήθεια, Χριστοῦ. Ὥστε τί δεῖ σκιὰν κρατεῖν, τοῦ σώματος παρόντος; Οἱ δὲ συνάπτουσι τοῖς ἐφεξῆς, ἵνα νοῶμεν οὕτω· *Τὸ δὲ σῶμα Χριστοῦ*, τουτέστιν, ὑμᾶς, *μηδεὶς καταβραβευέτω*, τουτέστιν, ἐπηρεαζέτω. *Καταβραβευθῆναι* δέ ἐστιν, ὅταν παρ' ἑτέρῳ μὲν ἡ νίκη, παρ' ἑτέρῳ δὲ τὸ βραβεῖον.— *Μηδεὶς ὑμᾶς καταβραβευέτω.*] *Βραβευτὰς* καλοῦσι τοὺς τῶν ἀγωνιζομένων κριτάς. Οὗτοι γὰρ τοῖς νικῶσι, τῆς νίκης τὴν ψῆφον ὀρέγουσι. *Καταβραβεύειν* δέ ἐστι, τὸ ἀδίκως βραβεύειν. Ἐπειδὴ τοίνυν καὶ οἱ τὰς νομικὰς παρατηρήσεις τῷ εὐαγγελίῳ παραμιγνῦντες, ἀπὸ τῶν κρειττόνων αὐτοὺς ἐπὶ τὰ ἐλλάττω μετέφερον, εἰκότως ἔφη, *Μηδεὶς ὑμᾶς καταβραβευέτω* (Θεοδωρήτου).— *Θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέ-*

(1) « Ἔμελλον γὰρ ὡς πρὸς τὴν Παλαιὰν, ἐνεστῶσαν τότε, ὅτε ἦν αὐτῇ καιρός. » Θεοφύλακτος.

λων, ἃ μὴ ἑώρακεν ἐμβατεύων.] Ὅτε ἐπλήρωσεν αὐτοὺς θυμοῦ, διὰ τοῦ δεῖξαι, ὅτι καταβραβεύονται καὶ ἐπηρεάζονται, τότε διηγεῖται τὸ αἱρετικὸν δόγμα, καί φησιν, ὅτι θέλουσιν ὑμᾶς καταβραβεύειν διὰ δοκούσης ταπεινοφροσύνης. Ἦσαν γάρ τινες παρ᾽ αὐτοῖς, οἵ τινες ἐν ὑποκρίσει ταπεινοφροσύνης ἐκώλυον αὐτοὺς τῇ δωρεᾷ προσιέναι τοῦ Χριστοῦ, ὡς οὐκ ἀξίους τῶν τηλικούτων· καὶ ὅτι ἀγγέλους παρακλητέον, προσάγειν ἡμᾶς τῷ θεῷ, ὡς αὐτῶν καὶ πρότερον τὴν κοινὴν προσαγωγὴν ποιησαμένων, μεῖζον ἢ καθ' ἡμᾶς λέγοντες τὸ διὰ Χριστοῦ προσάγεσθαι, ἐκ τούτου εἰσάγοντες τὴν τῶν ἀγγέλων θρησκείαν, οὕς, φησιν, οὐδὲ ἑωράκασι πώποτε (1). *Εἰκῆ φυσιούμενος.*] Ὁ γὰρ μέγα φρονῶν, ὥς τι ἐπινοήσας μέγα τὴν τῶν ἀγγέλων θρησκείαν, εἰκῆ φυσιοῦται ἐπὶ τῷ δόγματι ὑπὸ σαρκικοῦ λογισμοῦ, τοῖς ἀοράτοις ἐπιχειρῶν. *Καὶ οὐ κρατῶν τὴν κεφαλήν.*] Οὐ κρατεῖ, φησιν, ὁ ταῦτα δογματίζων, *τὴν κεφαλὴν*, τουτέστι, τὸν υἱόν· κεφαλὴ γὰρ καὶ ἀγγέλων καὶ ἀνθρώπων ὁ Χριστός, ὡς ποιητὴς καὶ δημιουργός. *Ἐξ οὗ πᾶν τὸ σῶμα*, καὶ ἑξῆς.] *Ἐξ οὗ*, φησι, Χριστοῦ, πᾶν τὸ τῆς ἐκκλησίας σῶμα καὶ τὸ εἶναι ἁπλῶς ἔχει, καὶ τὸ εὖ εἶναι. Ἐὰν αὐτοῦ ἐκπέσῃ τις, ἀπόλωλεν εὐθύς. Εἶτα λοιπόν, *σῶμα*, εἰπών, τὰ οἰκεῖα τοῦ σώματος λέγει. Πᾶν οὖν, φησι, τὸ σῶμα τῆς ἐκκλησίας διὰ τῶν ἐπαφῶν καὶ προσεγγίσεων, ἤγουν συζεύξεων (τοῦτο γὰρ τό, *συνδέσμων*,) τοῦ Χριστοῦ *ἐπιχορηγούμενον*, διὰ πάσης αὐτοῦ χάριτος, *καὶ συμβιβαζόμενον*, οἷον, καταπραϋνόμενον καὶ εἰρηνευόμενον πρός τε ἑαυτὸ καὶ πρὸς τὸν Χριστόν, αὔξει τὴν κατὰ θεὸν αὔξησιν. Ποία δὲ ἡ κατὰ θεὸν αὔξησις;

(1) « Ἔλεγον γάρ, ὅτι ἀνάξιόν ἐστι τῆς μεγαλειότητος τοῦ μονογενοῦς τὸ προσάγειν αὐτὸν ὑμᾶς τῷ πατρί, καὶ μεῖζον ἢ κατὰ τὴν ἀνθρωπίνην σμικρότητα. Ὅθεν εὐλογώτερόν ἐστιν, ἔφασκον, λέγειν, ὅτι οἱ ἄγγελοι ὑπούργησαν τῇ ὑμετέρᾳ προσαγωγῇ. Ἐκ τούτου δὴ εἰσῆγον τὴν τῶν ἀγγέλων θρησκείαν, καὶ ἔπειθον τοὺς ἀτελεστέρους, τούτοις προσέχειν, ὡς σεσωκόσιν ἡμᾶς· καὶ μηδέποτε ἰδόντες ἀγγέλους, οὕτω διεβεβαιοῦντο περὶ τούτων, ὡς ἰδόντες αὐτούς. » Θεοφύλακτος. — Τὸ « ἃ μὴ ἑώρακεν ἐμβατεύων » ἑρμηνεύει ὁ Θεοδώρητος « Λογισμοῖς οἰκείοις χρώμενος. Τοῦτο γὰρ ἐπήγαγεν· Εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ. »

Τὸ μὴ σωματικῶς αὔξειν, ἀλλὰ τῇ κατὰ θεὸν ἀρίστῃ πολιτείᾳ (1).

20 Εἰ οὖν ἀπεθάνετε σὺν τῷ Χριςῷ ἀπὸ τῶν ςοιχείων
τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε·
21 Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς; ἅ ἐστι πάντα
22 εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ
23 διδασκαλίας τῶν ἀνθρώπων· ἅτινά ἐστι λόγον μὲν
ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύ-
νῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι, πρὸς
ΚΕΦ. III, 1 πλησμονὴν τῆς σαρκός. Εἰ οὖν συνη-
γέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός
2 ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖ-
3 τε, μὴ τὰ ἐπὶ τῆς γῆς. Ἀπεθάνετε γάρ, καὶ ἡ
ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ.

Εἰ οὖν ἀπεθάνετε.] Διὰ τοῦ βαπτίσματός, φησιν, ἀπεθάνετε σὺν τῷ Χριςῷ, ἵνα διακοπὴ καὶ οἷον ςάσις τῆς προτέρας ζωῆς, τῆς ἐν πλάνῃ, γένηται, καὶ καινῆς ἄρξησθε ζωῆς, τῆς ἐν ἀρετῇ. Ἀπεθάνετε δὲ μετὰ τῶν λοιπῶν ἁμαρτωλῶν πράξεων, καὶ ἀπὸ τῶν ςοιχείων τοῦ κόσμου, οἷς πρώην ὑπέκεισθε, ὡς λοιπὸν ἀνενεργήτως ἔχειν πρὸς αὐτὰ καὶ ἀπαραφυλάκτως. *Τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε.*] Διὰ τί ὡς πάλιν ζῶντες ἐν αὐτοῖς δογματίζεσθε; Διδάσκεσθε γάρ, ὅτι ἥδε ἡ ἡμέρα δεξιά, ἥδε ἀπαίσιος· ἅ τινά ἐστιν Ἑλληνικὰ παρατηρήματα. Ἠρέμα δὲ καὶ αἰνίττεται, ὅτι χλευάζονται παρ' ἑτέρων· οὐ γὰρ εἶπε, δογματίζετε, ἀλλά, *δογματίζεσθε*· ὡς γὰρ ἐν τάξει μαθητῶν κάθησθέ, φησι,

(1) « Ἐξ αὐτοῦ τοίνυν πᾶν τὸ σῶμα τῆς ἐκκλησίας καὶ τὸ εἶναι ἁπλῶς ἔχει, καὶ τὸ εὖ εἶναι. Ἐὰν αὐτοῦ ἐκπέσῃ τις, ἀπόλωλεν εὐθύς. Ὥσπερ γὰρ τὸ αἰσθητικὸν πνεῦμα ἀπὸ τοῦ ἐγκεφάλου εἰς πᾶν τὸ σῶμα διαδίδοται διὰ τῶν νεύρων, καὶ ἀπὸ τῆς κεφαλῆς ἐστι πᾶσα αἴσθησις, καὶ πᾶσα κίνησις· οὕτω καὶ τὸ τῆς ἐκκλησίας σῶμα ἀπὸ τοῦ Χριστοῦ ἐπιχορηγεῖται, τουτέστι, λαμβάνει τὸ ζῆν, καὶ αὔξει πνευματικῶς. Πότε δὲ τοῦτο ἔχει; Ὅτε συμβιβάζεται, τουτέστι, συνάφειαν ἔχει πρὸς αὐτόν· τὸ γὰρ ἅγιον Πνεῦμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων τὴν ἐπιχορηγίαν τῆς αὐξήσεως δίδωσιν· ὡς εἴγε ἀσύνδετον εἴη καὶ ἀσυναφὲς τὸ σῶμα πρὸς τὴν κεφαλήν, καὶ οὐ συμβιβάζεται πρὸς αὐτήν, τουτέστιν, οὐ συντίθεται, οὐκ ἂν οὔτε ἡ ἐπιχορήγησις τοῦ πνεύματος γένοιτο, οὔτε ἡ αὔξησις τοῦ θεοῦ, τουτέστιν, ἡ τῆς κατὰ θεὸν ἀρίστης πολιτείας.» Θεοφύλακτος.

Ὅρα καὶ τὴν ἑρμηνείαν τοῦ ἀναλόγου χωρίου Ἐφεσ. Δ', 15. 16.

καὶ τί δεῖ ποιεῖν δογματιζόμενοι καὶ νομοθετούμενοι. *Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς.*] Λέγει αὐτῶν καὶ ἄλλην παρατήρησιν, τὴν τῶν βρωμάτων, Ἰουδαϊκὴν μᾶλλον, ὥσπέρ ἐστιν ἡ τῶν ἡμερῶν, Ἑλληνική. *Ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει.*] Τὸν τύφον τῶν δογματιστῶν καταστέλλων, φησὶν, ὅτι οὐ μεγάλα τινὰ ταῦτά ἐστιν, ἀλλ᾽ εἰς φθορὰν καταλήγει τοῖς χρωμένοις· φθειρόμενα γὰρ ἐν τῇ γαστρὶ, διὰ τοῦ ἀφεδρῶνος ὑποῤῥεῖ. Οὔτε οὖν ὠφελοῦσιν αὐτὰ καθ᾽ ἑαυτὰ, οὔτε βλάπτουσι. *Κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων.*] Οὐκ ἔστι, φησὶ, θεῖος ὁ περὶ τούτων νόμος· ἀλλὰ διδασκαλίαι εἰσὶ ταῦτα ἀνθρώπων καὶ ἐντολαί. Λέγει δὲ ἢ περὶ ὧν οἱ παρὰ Ἰουδαίοις πρεσβύτεροι, παραποιοῦντες τὸν νόμον, ἐνετέλλοντο ἔξω αὐτοῦ, ὡς καὶ ὁ Κύριος ἐν εὐαγγελίοις φησίν (α)· ἢ τὰ τῶν Ἑλλήνων αἰνίττεται. *Ἅτινά ἐστι λόγον μὲν ἔχοντα.*] Λόγον ἔχουσι σοφίας, οὐ πράγματα, μᾶλλον δὲ πιθανολογίας λόγον ψιλόν. *Ἐν ἐθελοθρησκείᾳ.*] Ὑποκρινομένων, φησὶν, εὐλάβειαν ἐν τῇ θρησκείᾳ, καὶ ταπεινοφροσύνην τινὰ, καὶ σώματος καταφρόνησιν (1). *Οὐκ ἐν τιμῇ τινι, πρὸς πλησμονὴν τῆς σαρκός.*] Ὁ θεὸς, τιμήσας τὸν ἄνθρωπον, χερσὶν ἰδίαις διέπλασεν αὐτὸν, καὶ τὰς τροφὰς ἐχαρίσατο, ὡς ἂν ἡ σὰρξ δι᾽ αὐτῶν πληρουμένη συνίσταται, καὶ κρατῇ τῶν παθῶν ἑκουσίως· αὐτοὶ δὲ οὐ κέχρηνται ὡς τιμῇ, δοθεῖσι τοῖς βρώμασι πρὸς τροφὴν τῆς σαρκὸς, ἀλλ᾽ ὡς φευκτοῖς καὶ βλαβεροῖς (2). *Εἰ οὖν συνηγέρθη-*

(α) Ματθ. ΙΕ', 2. Μαρκ. Ζ', 5-13.

(1) « Λόγον ἔχουσι σοφίας, οὐ δύναμιν, οὐδὲ ἀλήθειαν. Δοκεῖ γὰρ ὁ ταῦτα δογματίζων εὐλαβής τις εἶναι καὶ μέτριος, καὶ τοῦ σώματος καταφρονεῖν, διὰ τοῦ ἀπέχεσθαι τῶν βρωμάτων. » Θεοφύλακτος.

(2) « Αὐτοὶ δὲ οὐκ ἐν τιμῇ τῷ σώματι χρῶνται, ἀποστεροῦντες αὐτὸ, καὶ τὴν ἐξουσίαν ἀφαιρούμενοι, καὶ μὴ συγχωροῦντες ἑκουσίως κρατεῖν. » Θεοφύλακτος.

« Ἔδειξε σχῆμα περικειμένους, οὐκ ἀλήθειαν· ἡ γὰρ ἐθελοθρησκεία τοῦτο αἰνίττεται· ἀντὶ τοῦ, ἴδιον εἰσφέρουσι δόγμα, οὐκ ἀκολουθοῦσι τῷ τοῦ νόμου σκοπῷ· καὶ τῇ κομψείᾳ τῶν λόγων ἐξαπατῶσι, καὶ ταπεινοφροσύνην καλοῦσι τοῦ νόμου τὴν φυλακὴν, λέγοντες, μὴ δεῖν παραβαίνειν τὸν ὑπὸ τοῦ θεοῦ δεδομένον, καὶ ἀφειδίαν σώματος, τὸ μὴ πάντων ἔχειν ἀδεῶς τὴν ἀπόλαυσιν. Τοῦτο δὲ προφανὴς δουλεία καὶ τῆς τιμῆς τῆς δεδομένης ἀφαίρεσις. Γνώμῃ γὰρ ἀπέχεσθαι δεῖ, οὐχ ὡς βδελυκτῶν, ἀλλ᾽ ὡς ἡδίστων. » Θεοδώρητος.

τε τῷ Χριστῷ.] Εἰπὼν, ὅτι *ἀπεθάνετε σὺν Χριστῷ*, διὰ τοῦ βαπτίσματος δηλαδὴ, καὶ, κατὰ τὸ σιωπώμενον, δοὺς νοεῖν, ὅτι καὶ συνηγέρθητε· (τὸ γὰρ βάπτισμα, καὶ θανάτου καὶ ἐγέρσεως τύπον ἔχει· ὥσπερ γὰρ διὰ τῆς καταδύσεως, τὸν θάνατον, οὕτω διὰ τῆς ἀναδύσεως, τὴν ἀνάστασιν τυποῖ·) νῦν εἰσάγει, ὅτι, *εἰ συνηγέρθητε τῷ Χριστῷ*, ὀφείλετε λοιπὸν τὰ ἄνω ζητεῖν, τουτέστι, τὰ ἐν οὐρανοῖς, *οὗ ὁ Χριστός ἐστιν*, ἔνθα δηλαδὴ κἀκεῖνός ἐστιν, ἔνθα οὐκ ἔστι παρατήρησις. Οὐκ ἠρκέσθη δὲ τῷ εἰπεῖν, *τὰ ἄνω*, καὶ, *οὗ ὁ Χριστός ἐστιν*· ἀλλὰ προσέθηκε καὶ, *ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος*, ἵνα πλέον τι ἀποστήσῃ τὸν νοῦν ἡμῶν ἀπὸ τῆς γῆς. *Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.*] Τὰ ἄνω ζητεῖτε, καὶ τὰ ἄνω φρονεῖτε· ἐπεὶ ταῦτα τὰ περὶ βρωμάτων καὶ ἡμερῶν, γήϊνα ὁμολογουμένως εἰσὶ καὶ σωματικὰ, καὶ οὐδὲν ὑψηλὸν καὶ πνευματικὸν ἔχοντα· ἐπεὶ γήϊνοι καὶ οἱ εὑρόντες ταῦτα ἄνθρωποι. *Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται.*] Ἑκατέρωθεν αὐτοὺς παρασκευάζει, μὴ ζητεῖν τὰ ἐνταῦθα, καὶ ἐκ τῆς νεκρώσεως, καὶ ἐκ τῆς ζωῆς. *Ἀπεθάνετε* γάρ, φησι, τοῖς κάτω· οὐκοῦν οὐκ ὀφείλετε ζητεῖν ταῦτα. Πάλιν, ἡ ζωὴ ὑμῶν ἄνω· διὸ καὶ τὰ ἄνω φρονεῖτε. Φιλονεικεῖ γὰρ δεῖξαι αὐτοὺς καθημένους ἄνω, καὶ ἄλλην ζῶντας ζωὴν, τὴν ἐν τῷ θεῷ, τὴν μὴ φαινομένην. Μὴ φαίνεται ὁ Χριστός· οὕτως οὐδὲ ἡ ζωὴ ὑμῶν φαίνεται. Τί οὖν ζητεῖτε τὰ φαινόμενα; Ταῦτα δὲ προπαρασκευάζει, ἵνα εὐθὺς ἐμπέσῃ εἰς τὸν ἠθικὸν λόγον.

ΚΕΦΑΛΑΙΟΝ Θ′.

Παραινέσεις καθάρσεως, ἁγιασμοῦ, φιλανθρωπίας, φιλοθεότητος, φιλομαθείας,

ψαλμῳδίας, εὐφήμου εἰς θεὸν διαγωγῆς, εὐχαριστίας.

4 Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ
5 ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσα-
τε οὖν τὰ μέλη ὑμῶν, τὰ ἐπὶ τῆς γῆς, πορνείαν,
ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν
6 πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι' ἃ ἔρ-
χεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπει-
7 θείας· ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε
ἐζῆτε ἐν αὐτοῖς.

Ὅταν ὁ *Χριστὸς φανερωθῇ.*] Φανεροῦται πᾶσιν ὁ Χριστὸς ἐν τῇ δευτέρᾳ παρουσίᾳ, καὶ πᾶσι δείκνυται θεὸς, ἐν δόξῃ ἐρχόμενος μετὰ τῶν ἀγγέλων, ὅταν ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν, ζωὴν, τοῖς δὲ, θάνατον νοητόν. *Τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.*] Νῦν γὰρ τὰ ἑκάςου κέκρυπται ἔργα· τότε δὲ φανεροῦται, τῶν μὲν, ἐν δόξῃ, τῶν δὲ, ἐν αἰσχύνῃ. Τότε οὖν καὶ ὑμεῖς φανερωθήσεσθε· οὐχ ἁπλῶς, ἀλλὰ ἐν δόξῃ. Ὥστε ἐκείνην ζητεῖτε τὴν ἡμέραν, μὴ ταύτην· πρὸς ἐκείνην ζῆν σπεύδετε· τότε γὰρ ἡ ἀληθινὴ ζωὴ ὑμῶν φανεροῦται· ἡ γὰρ νῦν, θάνατος· ὅτι καὶ διὰ φθορᾶς συνίσταται, τῆς ῥοῆς καὶ ἀποῤῥοῆς. Νεκρώσατε οὖν *τὰ μέλη ὑμῶν, τὰ ἐπὶ τῆς γῆς.*] Οὐκ εἶπεν, Ἀποῤῥίψατε, ἀλλὰ, *Νεκρώσατε*, ὥστε μηδὲ ἀναστῆναι. *Μέλη* δὲ *ἐπὶ τῆς γῆς*, τάχα μὲν καὶ τὰ σωματικὰ μέλη λέγει· ἃ, ὅταν μὲν τὰ οὐράνια μὴ ἐνεργῇ, ἐπὶ τῆς γῆς εἶναι λέγεται· ὅταν δὲ τὰ οὐράνια ἐνεργῶνται δι' αὐτῶν, οὐκέτι ἐπὶ τῆς γῆς εἰσι. Τάχα δὲ *μέλη ἐπὶ τῆς γῆς*, καὶ τὰ διὰ τῶν μελῶν τοῦ σώματος ἐπιτελούμενα ἁμαρτήματα, ἃ καὶ ἐπὶ τῆς γῆς μένει, καὶ ἐνταῦθα φθείρεται· ἐπεὶ τάγε μέλη τοῦ σώματος, εἰ καὶ ἀπὸ τῆς γῆς εἰσιν, ἀλλ' ὅμως οὐ μένει ἐπὶ τῆς γῆς καὶ φθείρεται, ἀλλ' ἀφθαρτίζεται ἀνιστάμενα. Πῶς δὲ ἄνω εἶπε, *Νεκροὺς ὄντας ὑμᾶς ἐζωο-*

ποίησε, καὶ συνεζωοποίησε τῷ Χριστῷ, εἰ πάλιν νεκρῶσαι χρεία; Καὶ φαμὲν, ὅτι τὴν μὲν πρώτην νέκρωσιν ἐζωοποίησεν, ἀφεὶς ἐν τῷ βαπτίσματι τὰς ἁμαρτίας ἡμῖν· ἀλλὰ δεῖ ἡμῖν ἑτέρας νεκρώσεως, οὐχ ἵνα ἑαυτοὺς ταῖς ἁμαρτίαις νεκρώσωμεν, ἀλλ' ἵνα τὰ πάθη πρὸς τὸ μὴ ἐνεργεῖν εἰς ἡμᾶς (1). *Πορνείαν.*] Ἰδοὺ ἑρμηνεύει, τίνα εἰσὶ τὰ μέλη. Τὸ μάλιστα φυσικῶς, καὶ ὥςπερ τῷ σώματι παρενοχλοῦν, προτέθεικεν (2). Εἶτα ἐπεξελθεῖν ταῖς ἀσεβείαις ὀνομαςὶ ἐρυθριάσας, φησὶν, *ἀκαθαρσίαν.* Διὰ δὲ τῆς ἀκαθαρσίας καὶ τοῦ πάθους πάντα ἐνέφηνε τὰ τῶν αἰσχρῶν μίξεων εἴδη. Τῷ ὄντι γὰρ πάθος ἡ λύσσα τοῦ σώματος, καὶ ὥσπερ πυρετὸς, ἢ τραῦμα, ἢ ἄλλη νόσος. *Ἐπιθυμίαν κακήν.*] Ἰδοὺ γενικῶς πάλιν τὸ πᾶν εἶπε. Πᾶσα γὰρ ἐπιθυμία, κακή. *Καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία.*] Ὁ πρωτότοκος υἱὸς τῆς κακῆς ἐπιθυμίας ἡ πλεονεξία ἐστὶν, ἣν εἰδωλολατρείαν ὠνόμασεν, ὡς χρυσίῳ καὶ ἀργυρίῳ λατρεύουσαν. Καὶ τὰ εἴδωλα γὰρ τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον (α). *Ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.*] Καὶ ἡ μέλλουσα ὀργὴ, καὶ ἡ ἐν τῷ νῦν αἰῶνι πολλάκις καταλαμβάνουσι τοὺς τοιούτους. *Υἱοὺς δὲ ἀπειθείας,* περιφραστικῶς τοὺς ἀπειθοῦντας τοῖς τοῦ θεοῦ νόμοις λέγει. *Περιεπατήσατέ ποτε.*] Μετ' ἐγκωμίου ὁ λόγος, ὡς νῦν οὐ ζώντων ἐν αὐτοῖς· ἀλλ' ἦν ὅτε· ἐθνικοὶ γὰρ ἦσαν. Καὶ οὕτω διὰ μόνον ἐκγώμιον εἶπεν· ἐπειδὴ παρακατιὼν ἀποθέσθαι αὐτὰ ἐπιτάσσει· οὐδεὶς δὲ, ὃ οὐκ ἔχει, ἀποτίθεται.

---

(1) «Πῶς δὲ εἰπὼν ἀνωτέρω, ὅτι συνετάφητε τῷ Χριστῷ, ὅτι ἀπεξεδύσασθε τὸ σῶμα τῶν ἁμαρτιῶν τῆς σαρκὸς, νῦν πάλιν λέγει, Νεκρώσατε; Ὅτι ἡ μὲν προτέρα νέκρωσις, τοῦ βαπτίσματος ἦν δῶρον, ἀποτιννύσα τὴν ἐν ἡμῖν προγεγονυῖαν ἁμαρτίαν· ἡ δὲ νῦν ὑποτιθεμένη νέκρωσις, τῆς ἡμετέρας προαιρέσεως, τὰς μετὰ τὸ βάπτισμα ἁμαρτίας ἀφανίζουσα, μᾶλλον δὲ μηδὲ ἀναζῆσαι ἐῶσα ὅλως, διὰ τοῦ θανατοῦν τὸ φρόνημα τῆς σαρκός.» Θεοφύλακτος.

(2) «Πρώτης δὲ ταύτης μέμνηται· διότι καὶ μάλιστα τοῦτο κρατεῖ τὸ πάθος.» Θεοφύλακτος.

(α) Ψαλμ. ΡΙΓ', 12.—«Τὴν μέντοι πλεονεξίαν, εἰδωλολατρείαν ἐκάλεσεν· ἐπειδὴ τὸν μαμωνᾶν κύριον ὁ Σωτὴρ προσηγόρευσε (Ματθ. ς', 24.), διδάσκων, ὡς ὁ τῷ πάθει τῆς πλεονεξίας δουλεύων, ὡς θεὸν τὸν πλοῦτον τιμᾷ.» Θεοδώρητος— Ὅρα καὶ Ἐφεσ. Ε', 5.

8 Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργὴν, θυ-
μὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ
9 στόματος ὑμῶν· μὴ ψεύδεσθε εἰς ἀλλήλους· ἀπεκ-
δυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξε-
10 σιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαι-
νούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος
11 αὐτόν· ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος· περιτο-
μὴ καὶ ἀκροβυστία· βάρβαρος, Σκύθης· δοῦλος,
ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα.] Πῶς οὖν ἀνωτέρω εἰπὼν, ὅτε ἐζῆτε ἐν αὐτοῖς, καὶ ἐμφήνας, ὅτι νῦν οὐ ζῶσιν ἐν αὐτοῖς, αὖθις φησὶν, Ἀπόθεσθε τὰ πάντα; πῶς γὰρ ἂν ἀπόθοιντο, ὃ οὐκ ἔχουσιν; Ἔστιν οὖν εἰπεῖν, ὅτι κἀκεῖνο, τὸ, ὅτε ἐζῆτε, συνεργεῖ αὐτῷ πρὸς τὰ νῦν λεγόμενα. Ὡς ἂν εἰ γὰρ τοῦτο αἰνίττεται· Ὅτι πάλαι μὲν ἦρχεν ὑμῶν ἡ ἁμαρτία, καὶ τὴν ζωὴν ὑμῶν κατεῖχε, καὶ ἐτυράννει, πρὸ τοῦ βαπτίσματος δηλαδὴ, καὶ δυσχερὴς ἦν ἡ ἀπὸ τῶν παθῶν ἐλευθερία· νυνὶ δὲ, διὰ τοῦ βαπτίσματος νεκρωθείσης τῆς ἐν ὑμῖν ἁμαρτίας, εὔκολόν ἐστιν ἀποθέσθαι τὰ πάθη, ὥσπερ ἱμάτιον. Καὶ οὐκ ἔχετε προφασίζεσθαι, ὅτι ὑπὸ τῷ τυράννῳ ζῆτε καὶ τοῖς πάθεσιν· ἐνεκρώθητε γὰρ αὐτοῖς. Ὀργὴν, θυμόν.] Ὥσπερ τὰ ὀνόματα διάφορα θυμοῦ καὶ ὀργῆς, οὕτω καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πλεῖστον ἀλλήλων διαφέρει. Ἔστι γὰρ θυμὸς μὲν, οἷον ἔξαψίς τις καὶ ἀναθυμίασις ὀξεῖα τοῦ πάθους· ὀργὴ δὲ, ἔμμονος λύπη, καὶ ὁρμὴ διαρκὴς πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν, ὥσπερ ὀργώσης τῆς ψυχῆς πρὸς τὴν ἄμυναν. Εἰδέναι οὖν χρὴ, ὅτι κατ' ἀμφοτέρας τὰς διαθέσεις πλημμελοῦσιν οἱ ἄνθρωποι, ἢ μανικῶς καὶ ἐμπλήκτως κατὰ τῶν παροξυνάντων κινούμενοι, ἢ δολερῶς καὶ ἐπιβούλως τοὺς λυπήσαντας ἐνεδρεύοντες, ἅπερ ἀμφότερα φυλακτέον ἡμῖν, τὴν ταπεινοφροσύνην προπαιδευθέντας. Κακίαν.] Τὴν μνησικακίαν λέγει κακίαν, ἣν τινες καὶ πικρίαν ὠνόμασαν, ὅταν τις ἐν ἑαυτῷ τηρῇ τὴν κακίαν, ὡς ἂν ἀνταποδῷ. Βλασφημίαν.] Τὰς λοιδορίας οὕτω λέγει. Αἰσ-

χρολογίαν ἐκ τοῦ στόματος ὑμῶν.] Ἐμφαντικῶς εἶπε τὸ, *ἐκ τοῦ στόματος ὑμῶν*· τουτέστι, τοῦ ἁγιαζομένου διὰ τῆς κοινωνίας τοῦ κυριακοῦ σώματος. Ἄτοπον γὰρ ῥυπαίνεσθαι διὰ τῆς αἰσχρολογίας τὸ στόμα ὑμῶν, ὃ τὸν Χριστὸν δέχεται. Ἢ, ῥυποῖ γὰρ τὸ εἰς δοξολογίαν Θεοῦ πεποιημένον στόμα. *Μὴ ψεύδεσθε εἰς ἀλλήλους.*] Χριστὸν ἐνδυσάμενοι, τὸν εἰπόντα· *Ἐγώ εἰμι ἡ ἀλήθεια* (α), πῶς νῦν ἄλλην μορφὴν περίκεισθε, τὴν τοῦ ψεύδους; Πρόδηλον γὰρ, ὅτι ἐκεῖνον τὸν χαρακτῆρα ἐξεδύσασθε, τὸν ἀπὸ τῆς ἀληθείας ὑμᾶς χαρακτηρίζοντα. *Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον.*] *Παλαιὸν ἄνθρωπον* ἔθος τῇ Γραφῇ καλεῖν, τὸν πεπαλαιωμένον καὶ κατασεσηπότα καὶ ἐνησθενηκότα ταῖς ἁμαρτίαις βίον, τὸν μήπω διὰ τῆς εἰς Χριστὸν πίστεως τῷ βαπτίσματι ἀναγεννηθέντα καὶ καινοποιηθέντα. Ἢ, *παλαιὸν ἄνθρωπον*, τὴν διεφθαρμένην λέγει προαίρεσιν· διὸ καὶ ἐπήγαγε, *σὺν ταῖς πράξεσιν αὐτοῦ*, τουτέστι, τὴν προαίρεσιν μετὰ τῶν ἔργων. *Παλαιὸν* δὲ ὠνόμασε, τὸ αἰσχρὸν αὐτοῦ βουλόμενος δεῖξαι, καὶ τὸ δυσειδὲς, καὶ τὸ ἠσθενηκός (1). *Καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον.*] Τὸν ἐνάρετον βίον· ὁ γὰρ ἐν ἀρετῇ βίος, ἀεὶ νεάζει· κἂν δόξῃ γηρᾷν σωματικῶς, ἀλλὰ θάλλει πνευματικῶς. Ἢ, *νέος ἄνθρωπος*, ἡ κατὰ Θεὸν προαίρεσις, ἥτις οὐ παλαιοῦται, ἀλλ' ἀεὶ ἀκμάζει πρὸς τὴν τοῦ Θεοῦ καὶ τῶν θείων ἐπίγνωσιν, ἀεὶ καὶ ἀεὶ νεωτέρα δεικνυομένη· ὅταν γὰρ πλείω λάβῃ τὴν γνῶσιν, καὶ μειζόνων ἀξιοῦται, καὶ μᾶλλον ἀκμάζει, καὶ μᾶλλον ἰσχύει. *Κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.*] Ὁ γὰρ τοιοῦτος, τὴν εἰκόνα τοῦ κτίσαντος αὐτὸν Θεοῦ κεκαθαρμένην φυλάττει, ἀμιγῆ τῶν κάτω χαρακτήρων καὶ πλανωμένων (2). *Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος· περιτομὴ*

(α) Ἰωαν. ΙΔ', 6.

(1) «Παλαιὸν ἄνθρωπον, τὴν προτέραν ἐκάλεσε πολιτείαν. Ἐν οἷς γὰρ, φησι, καὶ ὑμεῖς περιεπατεῖτέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς· τοῦτον δὲ ἀπεκδύσασθε ἐν τῷ βαπτίσματι.» Θεοδώρητος.

(2) «Ἄνωθεν γὰρ ἡμᾶς ἐδημιούργησεν ὁ τῶν ὅλων Θεὸς, καὶ τοὺς τῆς θείας εἰκόνος χαρακτῆρας, οὓς ἡ ἁμαρτία διέφθειρεν, ἀκριβέστερον ἐν ἡμῖν ἐξετύπωσε. Τοῦ-

καὶ ἀκροβυστία· βάρβαρος, Σκύθης· δοῦλος, ἐλεύθερος.] Ἰδοὺ καὶ ἄλλο ἐγκώμιον τοῦ κατὰ Χριστὸν νέου ἀνθρώπου, τὸ μήτε ἔθνους, μήτε ἀξιώματος, μήτε προγόνων διαφορὰν ἐνθεωρεῖσθαι αὐτῷ. *Ἕλλην* δὲ, τουτέστι, προσήλυτος, καὶ *Ἰουδαῖος*, τουτέστιν, ἐκ προγόνων. *Ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.*] Ἐπειδὴ γὰρ οἱ πάντες ἓν σῶμα γινόμεθα, Χριστὸν ἔχοντες κεφαλὴν, εἰκότως πάντα ἡμῖν ὁ Χριστὸς, καὶ Σωτὴρ, καὶ Κύριος, καὶ Θεὸς, καὶ Κεφαλὴ, καὶ Ἀρχιερεὺς, καὶ Θῦμα· *καὶ ἐν πᾶσιν*, ἢ πράγμασιν, ἢ τοῖς τῆς ζωῆς ἡμῶν συνεκτικοῖς· ἢ, ἐν πᾶσιν ἡμῖν· οὐκ ἔστι γὰρ προσωποληψία παρὰ τῷ θεῷ (1).

12 Ἐνεδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ
ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα,
13 ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν· (ἀνεχό-
μενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις
πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχα-
14 ρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς·) ἐπὶ πᾶσι δὲ τούτοις
τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος·
15 καὶ ἡ εἰρήνη τοῦ θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις
ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐ-
χάριστοι γίνεσθε.

Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοί.] Τὸ εὔκολον ἀεὶ δείκνυσι τῆς ἀρετῆς· ὥσπερ γὰρ ἱμάτιον, οὕτω καὶ ταύτην ἀναλαβεῖν δυνάμεθα· ἀλλὰ καὶ ὅτι ἀεὶ ἀχώριστον ἡμῶν εἶναι δεῖ τὴν ἀρετὴν, ὥσπερ

το καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἔφη· Οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ (Ρωμ. Η', 29.)· καὶ ἐν τῇ πρὸς Φιλιππησίους· Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ (Φιλιπ. Γ', 21.)» Θεοδώρητος.—Ὅρα καὶ τὴν ἑρμηνείαν τοῦ ἀναλόγου χωρίου Ἐφεσ. Δ', 22—24.

(1) «Ἀπὸ τοῦ τύπου εἰς τὸ ἀρχέτυπον τὸν λόγον μετήνεγκε. Περὶ γὰρ τοῦ παναγίου βαπτίσματος διαλεγόμενος, τοῦ μέλλοντος βίου τὴν πολιτείαν ἡμᾶς διδάσκει. Οὐδεμίαν γὰρ ἐκεῖνος τοιαύτην ἔχει διαφοράν· ἀλλὰ, τῆς ἁμαρτίας πεπαυμένης, τὸ βούλημα τὸ θεῖον ἐν ἅπασιν ἐκτελεῖται. Τοῦτο γὰρ εἶπε, τὰ πάντα καὶ ἐν πᾶσι Χριστός. Οὕτω καὶ ἐν τῇ πρὸς Κορινθίους· Ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν (Α' Κορ. ΙΕ', 28.). Ἐν ἐκείνῳ τοίνυν τῷ βίῳ τὸν νέον ἀκριβῶς ἄνθρωπον ἐνδυόμεθα. Ἐν ἐκείνῳ γὰρ τῆς φθορᾶς ἀπαλλαττόμεθα, καὶ τὴν ἀφθαρσίαν ἀμφιεννύμεθα. Ἐν δὲ τῷ βαπτίσματι τὸν ἐκείνου τοῦ βίου τύπον ἀναπληροῦμεν.» Θεοδώρητος.

ἱμάτιον, καὶ ὡς κόσμῳ χρῆσθαι. Ὥσπερ γὰρ ὁ γυμνὸς ἐσθῆτος, ἀσχημονεῖ, οὕτω καὶ ὁ τῶν ἀρετῶν γυμνός. Καὶ μετ' ἐγκωμίου ἡ παραίνεσις, καὶ ὑπερβολικῶς. Ἐγένοντο μὲν γὰρ πολλοὶ ἅγιοι, ἀλλ' οὐκ ἐκλεκτοὶ, οὐδὲ ἠγαπημένοι· ὑμεῖς δὲ ταῦτα πάντα ἐςέ. *Σπλάγχνα οἰκτιρμοῦ.*] Οὐχ ἁπλῶς ἀγάπην, ἀλλὰ τὴν κατὰ φύσιν τοῖς γονεῦσι πρὸς τὰ τέκνα ἐνυπάρχουσαν. *Χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν.*] Τῷ φορέσαντι σπλάγχνα οἰκτιρμοῦ, ἀναγκαίως καὶ ταῦτα παρέπονται. Τίς γὰρ πατὴρ πρὸς υἱὸν οὐ χρηστεύεται, οὐ ταπεινοφρονεῖ, μὴ ἐρίζων, ἀλλὰ πάντων αὐτῷ παραχωρῶν; τίς οὐ μακροθυμεῖ; *Ἀνεχόμενοι ἀλλήλων.*] Τουτέστι, βαστάζοντες ἀλλήλους· σὺ ἐκεῖνον, καὶ ἐκεῖνος σέ· καὶ μὴ πικρῶς ἐξετάζοντες τὰ ἀλλήλων πταίσματα, ἀλλὰ μικρὰ αὐτὰ ἡγούμενοι, καὶ ἄξια παροράσεως. Ὅρα δὲ πῶς καὶ αὐτὸς αὐτὰ ἐξηυτέλισε, *μομφὴν* εἰπὼν, ἤγουν, μέμψιν. *Καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν.*] Τὸ παράδειγμα τοῦ Χριστοῦ παράγων ἐν μέσῳ, οὐ μόνον τὸ συγχωρεῖν συμβουλεύει, ἀλλὰ καὶ τὸ ἀγαπᾷν καὶ εὐεργετεῖν τοὺς προσκεκρουκότας ἡμῖν, καὶ αὐτὴν τὴν ψυχὴν ὑπὲρ τῶν ἐχθρῶν καὶ προσκεκρουκότων τιθέναι· οὕτω γὰρ καὶ ὁ Χριστὸς πεποίηκεν. *Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην.*] Ἐπειδὴ ἔνι καὶ χαριζόμενον μὴ ἐξ ἀγάπης καθαρᾶς τοῦτο ποιεῖν, ἀλλὰ σχήματι καὶ ὑποκρίσει, δείκνυσιν ὁδὸν, δι' ἧς δυνάμεθα κατορθῶσαι τὸ ἀληθῶς χαρίζεσθαι. Ἔστι δὲ καὶ πρᾷον φαίνεσθαι καὶ ταπεινόφρονα, καὶ μὴ ἀγαπᾷν· διὸ φησίν· Ἐπὶ πᾶσι τούτοις ἐνδύσασθε τὴν ἀγάπην. *Ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος.*] *Σύνδεσμον* καλεῖ τὴν ἀγάπην, δηλῶν, εὐθὺς διαλύεσθαι τὰ ἄνω εἰρημένα, χωρὶς ἀγάπης ὄντα. Ἡ ἀγάπη γὰρ συνέχει πάντα τὰ τὴν τελειότητα ποιοῦντα, καὶ ἄνευ ταύτης τέλειος οὐδείς· ἀλλὰ κἂν πάντα δοκῇ ἔχειν, ἀτελής ἐστι. *Καὶ ἡ εἰρήνη.*] Καίτοι εἰπὼν, *ἀγάπην*, οὐκέτι ὤφειλεν εἰρήνην συμβουλεύειν. Ἀλλ' ἐπειδὴ ἔνι πολλάκις καὶ φίλον τῷ φίλῳ ἐγκαλεῖν, καὶ ἐκ πολλῆς ἀγάπης καὶ φιλονεικίας, καὶ ὕβρεις, καὶ μάχας

ἐγείρεσθαι, καὶ ἐκ τούτου διαλύειν τὴν ἀγάπην, καὶ τὸ *εἰρήνην* ἔχειν παραινεῖ. *Τοῦ Θεοῦ.*] Ἔνι γὰρ καὶ κακῶς εἰρηνεύειν, ὥσπερ καὶ καλῶς μάχεσθαι· ἀλλὰ τὴν κατὰ θεὸν εἰρήνην λέγω, φησί. *Βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν.*] Ἐπειδὴ οἱ λογισμοὶ πολεμοῦσι πολλάκις παρ' ἡμῖν, ὁ μὲν, εἰς ἄμυναν κινῶν, ὁ δὲ, εἰς μακροθυμίαν, μεσιτεύειν ἐν ταῖς καρδίαις ἡμῶν τὴν εἰρήνην βούλεται, καὶ ἐξορίζειν τοὺς ἐναντίους λογισμούς (1). *Εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε.*] Διὰ γὰρ τὸ εἰρήνην ἔχειν, ᾠκονόμησεν ὁ Χριστὸς, τοὺς πάντας ἓν σῶμα ποιῆσαι, καὶ αὐτὸς εἶναι ἡμῶν κεφαλὴ, ἵνα τούτῳ τῷ τρόπῳ τῆς πρὸς ἀλλήλους ἀποσχώμεθα μάχης, καὶ εὐχαριστῶμεν τῷ ταύτην ἡμῖν τὴν συνάφειαν χαρισαμένῳ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τὰ πρὸς τοὺς οἰκείους ὁμονοητικῶς· ἐν ᾧ, τὰ πρὸς τοὺς ἀλλοτρίους ἐμφρόνως, οἰκονομικῶς.

16 Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως,
ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς,
ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν
17 χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ· καὶ
πᾶν ὅ,τι ἂν ποιῆτε, ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν
ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ
18 καὶ πατρὶ δι' αὐτοῦ. Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς
19 ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ. Οἱ ἄνδρες,
ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς
20 αὐτάς. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ

---

(1) « Ἐὰν ἡ εἰρήνη τοῦ θεοῦ στῇ ἐν ἡμῖν, ὥσπερ τις βραβευτὴς δίκαιος, τουτέστι, κριτὴς καὶ ἀγωνοθέτης, καὶ δῷ τὸ βραβεῖον τῆς νίκης τῷ κελεύοντι μακροθυμεῖν [λογισμῷ], παύσεται ὁ ἀνταγωνιστής. » Θεοφύλακτος.

21 **πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.**

Ο *λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως.*] Τουτέστιν, αἱ διδασκαλίαι, τὰ δόγματα, αἱ παραινέσεις, δι' ὧν διδάσκει ἡμᾶς καταφρονεῖν τῆς παρούσης ζωῆς καὶ τῶν ἐνταῦθα ἀγαθῶν. Οὐκ εἶπε δὲ ἁπλῶς, *ἔστω ἐν ὑμῖν*, ἀλλ', *ἐνοικείτω*, καὶ, *πλουσίως*, τουτέςι, μετὰ πολλῆς τῆς περιουσίας. Ἐὰν γὰρ πλούσιοι ὦμεν ἐν τῇ γνώσει τῶν Γραφῶν, πάσας τὰς συμφορὰς εὐκόλως οἴσομεν, ὥσπερ καὶ ὁ πλούσιος ἐν χρήμασι, ζημίαν ἐνεγκεῖν δύναται (1). *Ἐν πάσῃ σοφίᾳ.*] Τουτέστιν, ἐν πάσῃ ἀρετῇ· *σοφίαν* γὰρ τὴν ἀρετήν φησι. *Διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις.*] Ἐπειδὴ ἡ ἀνάγνωσις ἔχει πόνον καὶ πολὺ τὸ φορτικὸν, οὐκ ἐπὶ ἱστορίας ἤγαγεν, ἀλλ' ἐπὶ ψαλμοὺς, ἵνα ὁμοῦ καὶ τέρπῃς τὴν ψυχὴν ᾄδων, καὶ ὑποκλέπτῃς τὸν πόνον. Μετὰ δὲ τοὺς ψαλμοὺς, τοὺς ὕμνους τέθεικεν, ἅτε τελειότερον καὶ θειότερον πρᾶγμα. Αἱ γὰρ ἄνω δυνάμεις, ὑμνοῦσι τὸν θεὸν, οὐ ψάλλουσιν. *Ἐν χάριτι ᾄδοντες.*] Ἀντὶ τοῦ, μετὰ χάριτος καὶ ἡδονῆς πνευματικῆς. Ἡ διὰ τῆς παρὰ τοῦ ἁγίου Πνεύματος δοθείσης χάριτος ταῦτα ποιεῖν παραινεῖ, δεικνὺς δίχα θείας χάριτος μὴ δύνασθαι πληροῦν τὰ τοιαῦτα. *Ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.*] Μὴ ἁπλῶς μόνῳ στόματι· τοῦτο γὰρ οὐκ ἔστιν ᾄδειν τῷ θεῷ, ἀλλ' εἰς ἀέρα λαλεῖν· ἀλλ', *ἐν τῇ καρδίᾳ*, ὅ ἐςι, μετὰ προσοχῆς. Καὶ ἄλλως· *Ἐν τῇ καρδίᾳ*· τουτέστι, μὴ πρὸς ἐπίδειξιν. Κἂν γὰρ ἐν ἀγορᾷ ᾖς, δύνασαι κατὰ σαυτὸν ᾄδειν, μηδενὸς ἀκούοντος. *Καὶ πᾶν ὅ,τι ἂν ποιῆτε, ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου.*] Ἐὰν ἐσθίῃς, ἐὰν πίνῃς, ἐὰν ἀποδημῇς, πάντα ἐν ὀνόματι τοῦ θεοῦ πράττε, τουτέστιν, αὐτὸν

(1) « Τὴν διηνεκῆ τῶν θείων λογίων μελέτην καὶ ὁ παλαιὸς νόμος παρεγγυᾷ (Δεύτερ. ς', 7.). Τοῦτο παρακελεύεται καὶ ὁ θεῖος ἀπόστολος, ὥστε ἡμᾶς τὴν τοῦ Χριστοῦ διδασκαλίαν ἐν τῇ ψυχῇ περιφέρειν ἀεί. » Θεοδώρητος.

παντὸς ἔργου καὶ λόγου σωτῆρα καὶ βοηθὸν ἐπικαλούμενος. *Εὐχαριστοῦντες τῷ θεῷ καὶ πατρὶ δι' αὐτοῦ.*] Ἂν τὸν υἱὸν καλῇς, δι' αὐτοῦ τὸν πατέρα καλεῖς· ἂν τῷ υἱῷ εὐχαριστῇς, δι' αὐτοῦ τῷ πατρὶ εὐχαριστεῖς. Ἢ ὅτι, ὥσπερ ἡμᾶς αὐτοὺς ὁ υἱὸς τῷ πατρὶ προσήγαγεν· οὕτω καὶ τὴν εὐχαριστίαν ἡμῶν αὐτὸς προσάγει τῷ πατρὶ, πάντων τῶν ἀγαθῶν μεσίτης ἡμῖν ὤν (1). — Καλῶς τὸ, *δι' αὐτοῦ*, καὶ, *σὺν αὐτῷ*, λέγεται· τὸ μὲν, διὰ τὸ ἴσον καὶ ὁμοούσιον τῷ πατρί· τὸ δὲ, ἐπειδὴ μεσίτης ἡμῶν καὶ ἀρχιερεὺς ἠξίωσε γενέσθαι, ὅταν ὁ λόγος σὰρξ ἐγένετο, κατὰ τὴν Γραφὴν (α). — *Αἱ γυναῖκες, ὑποτάσσεσθε.*] Ὅταν γὰρ σὺ μὲν ἐμοὶ, ἐγὼ δὲ σοὶ ὑποτέταγμαι, πῶς ἔνι τί τῶν ἀβουλήτων συμβῆναι; Τὴν δὲ ὑποταγὴν, οὐ καθ' ὑπόκρισιν ἢ ἀνθρωπαρέσκειαν βούλεται εἶναι, ἀλλ' ἐν φόβῳ Χριστοῦ. *Ὡς ἀνῆκεν ἐν Κυρίῳ.*] Τουτέστιν, ὡς πρέπει ἐν Κυρίῳ· ἐν δὲ Κυρίῳ πρέπει, τὴν μὲν γυναῖκα, ὑποτάσσεσθαι, τὸν δὲ ἄνδρα, ἀγαπᾷν αὐτήν (2). *Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας.*] Ὅτι τοὺς τὴν ὑπακοὴν ὀφείλοντας ὑπέχειν, ἀγαπᾷν προστάσσει τὰς γυναῖκας, τὰ τέκνα, τοὺς δούλους, ἕκαστον τιθεὶς κατὰ τὴν ἀναλογίαν τῆς ὑπακοῆς. *Καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.*] Οἶδε καὶ ἀπὸ πολλῆς ἀγάπης μάχας τικτομένας· (μάλιστα γὰρ αἱ πρὸς τὰ φιλούμενα πρόσωπα μάχαι, αὗται πικραί·) διὰ τοῦτο τὴν ἀγάπην προθεὶς, τὸ, *μὴ πικραίνεσθε*, ἐπήγαγε. *Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα.*] Εὐσεβῶν πατέρων παισὶ διαλεγόμενος, εἶπε τὸ, *κατὰ πάντα*· ἐπεὶ τοῖς γε ἀσεβέσι πατράσιν οὐ κατὰ πάντα δεῖ ὑπακούειν· οὐ γὰρ δὴ καὶ ὅτε εἰς ἀσέβειαν ἐκβιάζονται, πειστέον. *Τοῦτο γάρ*

---

(1) « Ἐπειδὴ ἐκεῖνοι τοὺς ἀγγέλους σέβειν ἐκέλευον, αὐτὸς τὸ ἐναντίον παρεγγυᾷ, ὥστε καὶ τοὺς λόγους καὶ τὰ ἔργα κοσμῆσαι τῇ μνήμῃ τοῦ δεσπότου Χριστοῦ· καὶ τῷ θεῷ καὶ πατρὶ τὴν εὐχαριστίαν δι' αὐτοῦ, φησιν, ἀναπέμπετε, μὴ διὰ τῶν ἀγγέλων.» Θεοδώρητος. (α) Ἰωαν. Α', 14.

(2) « Τί δέ ἐστι τὸ, ἐν Κυρίῳ; Ἀντὶ τοῦ, διὰ τὸν Κύριον ὑποτάσσεσθε. Οὐ γὰρ μόνον τὴν ἀπὸ φύσεως ὑποταγὴν ἀπαιτῶ· (τοῦτο γὰρ δηλοῖ διὰ τοῦ, ὡς ἀνῆκε, τουτέστιν, ὥσπερ ἐστι καθῆκον·) ἀλλὰ καὶ τὴν διὰ τὸν θεὸν μάλιστα.» Θεοφύλακτος.

ἐστιν εὐάρεστον ἐν Κυρίῳ.] Καὶ νόμον τίθησι τὸν τὴν ὑπακοὴν νομοθετοῦντα, πλέον ἐντρέπων τὰ τέκνα. Πάλιν δὲ τὸ, *ἐν Κυρίῳ*. Οὐ γὰρ ἀπὸ τῆς φύσεως μόνης βούλεται ἡμᾶς ταῦτα ποιεῖν, ἀλλὰ καὶ ὅτι τῷ θεῷ δοκεῖ, ἵνα καὶ μισθὸν ἔχωμεν, ὡς διὰ τὸν θεὸν ποιοῦντες. *Ἵνα μὴ ἀθυμῶσιν.*] Τουτέστι, Μὴ πάντα, ὅσα πράττουσι, πικρῶς ἐξετάζετε· ἀλλ' ἔστιν ἃ καὶ παρορᾶν ὀφείλετε, ἵνα μὴ ἀθυμοῦντες ἀεὶ φιλονεικότεροι γίνωνται.

22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρ-
κα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις, ὡς ἀνθρωπά-
ρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν
23 θεόν. Καὶ πᾶν ὅ,τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζε-
24 σθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις· εἰδότες,
ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς
κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε.
25 Ὁ δὲ ἀδικῶν, κομιεῖται ὃ ἠδίκησε· καὶ οὐκ ἔστι
προσωποληψία.

Οἱ δοῦλοι, ὑπακούετε.] Εὐθέως δικαίωμα τοῦ ὑπακούειν, αὐτὸ τὸ ὄνομα τὸ τοῦ δούλου· ἀλλ' ἵνα μὴ ἀλγήσῃ, ἐπήγαγε, *τοῖς κατὰ σάρκα κυρίοις*· μονονουχὶ λέγων· Σαρκός εἰσιν οὗτοι κύριοι· τὸ γὰρ κρεῖττον ἐν σοί, ἡ ψυχὴ, οὐχ ὑπόκειται ἀνθρωπίνῳ δουλείας ζυγῷ. *Μὴ ἐν ὀφθαλμοδουλείαις, ὡς ἀνθρωπάρεσκοι.*] Μὴ μόνον, φησὶν, ὁρῶντος τοῦ δεσπότου, πράττετε τὰ δέοντα, ἀλλὰ καὶ μὴ ὁρῶντος. Τὸ γὰρ, ὁρώντων μόνον τῶν δεσποτῶν, πράττειν τὰ δέοντα, ἀνθρωπαρεσκείας ἐστὶ, καὶ οὐ φόβου θεοῦ· ὁ γὰρ τὸν θεὸν φοβούμενος, μετὰ ἁπλότητος πάντα πράττει. *Ἐκ ψυχῆς ἐργάζεσθε.*] Οὐ μόνον ὑποκρίσεως καὶ ἀνθρωπαρεσκείας βούλεται αὐτοὺς ἐλευθέρους εἶναι, ἀλλὰ καὶ ἀργίας καὶ νωθείας· μᾶλλον δὲ ἐλευθέρους αὐτοὺς ἀντὶ δούλων ποιεῖ, ὅταν μὴ δέωνται τῆς τῶν δεσποτῶν ἐπιστασίας. Τὸ γὰρ, *ἐκ ψυχῆς*, τοῦτό ἐστι, τὸ, ἐξ εὐνοίας, καὶ ὅση δύναμις. Ὡς τῷ Κυρίῳ *καὶ οὐκ ἀνθρώποις.*] Ἀπὸ κοινοῦ τὸ, ἐργάζεσθε, κατὰ μετάπτωσιν· οἷον· Ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις ἐρ-

γαζόμενοι. *Εἰδότες, ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας.*] Καὶ τίς ἡ ἀνταπόδοσις τῷ δούλῳ, ἐκ ψυχῆς ἐργαζομένῳ; Πρῶτον μὲν, ὁ ἀπὸ Θεοῦ μισθός· ἔστι δὲ ὅτε, καὶ ἀπὸ τοῦ δεσπότου (1). *Τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε.*] Τῷ τάξιν νομοθετήσαντι καὶ ὑποταγήν. Ὅτι δὲ τῷ Κυρίῳ Χριστῷ δουλεύετε, δῆλον ἐκ τοῦ παρ' αὐτοῦ τὴν ἀνταπόδοσιν λαμβάνειν. *Ὁ δὲ ἀδικῶν, κομιεῖται ὃ ἠδίκησε.*] Ὁ δὲ ἀδικῶν τὸν δεσπότην δοῦλος, ἢ ἐν τῷ ἀμελῶς δουλεύειν, ἢ ἐν τῷ νοσφίζεσθαι τὰ δεσποτικὰ, τὴν ἀντιμισθίαν ἕξει παρὰ τοῦ Θεοῦ. *Καὶ οὐκ ἔστι προσωποληψία.*] Ἐπὶ τῶν δεσποτῶν ἁρμόδιον ἦν εἰπεῖν τὸ τῆς προσωποληψίας. Τί οὖν αὐτὸ ἐπὶ τῶν δούλων τέθεικεν; Ἢ, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἵνα ἐλεήσῃ τὸν δοῦλον, ὡς ἀσθενὲς μέρος· ὅς γε καὶ διὰ τοῦ νόμου προσέταξε, ἐλεεῖν πτωχὸν ἐν κρίσει (α)· ἢ πρὸς χριστιανοὺς δούλους λέγει, οἷς εἰσι δεσπόται Ἕλληνες, ὡσανεὶ λέγων· Ὁ χριστιανὸς δοῦλος, ἀδικῶν Ἕλληνα δεσπότην, μὴ οἰέσθω, ὡς ἐκφεύξεται τὴν κατάκρισιν· οὐ γάρ ἐστι προσωλήπτης ὁ Θεὸς, ἵνα αὐτῷ ἀφῇ, ὡς χριστιανῷ, τὸ πρὸς τὸν Ἕλληνα δεσπότην ἁμάρτημα.

ΚΕΦ. IV, 1 Οἱ Κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα
τοῖς δούλοις παρέχεσθε, εἰδότες, ὅτι καὶ ὑμεῖς
2 ἔχετε κύριον ἐν οὐρανοῖς. Τῇ προσευχῇ προσκαρ-
τερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ, ἐν εὐχαριστίᾳ·
3 προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοί-
ξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον
4 τοῦ Χριστοῦ, δι' ὃ καὶ δέδεμαι· ἵνα φανερώσω αὐ-
5 τὸ, ὡς δεῖ με λαλῆσαι. Ἐν σοφίᾳ περιπατεῖτε
6 πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ λό-

(1) « Οἱ μὲν δεσπόται οὐ ποιοῦσι πολλάκις κληρονόμους τοὺς δούλους, κἂν μυριάκις αὐτοῖς καλῶς δουλεύσωσιν· ὁ δὲ Κύριος τῆς ἐν οὐρανοῖς κληρονομίας τὴν ἀνταπόδοσιν δώσει ὑμῖν, ἐὰν εὔνοιαν φυλάττητε πρὸς τοὺς δεσπότας. » Θεοφύλακτος.

(α) Ἐξοδ. ΚΓ', 3. Λευϊτ. ΙΘ', 15.

γος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι, πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε.] Τὸ δίκαιον καὶ ἡ ἰσότης εἰσὶ τὸ ἀμείβεσθαι τῶν πόνων τοὺς δούλους, καὶ ἐν ἀφθονίᾳ πάντων τῶν πρὸς χρείαν καθιςᾷν, καὶ μὴ ἐᾷν ἑτέρων δεῖσθαι. Μὴ γάρ, φησιν, ἐπειδὴ ἤκουσας, ὅτι παρὰ Κυρίου ἔχουσι τὸν μισθὸν, ἤδη σὺ ἀποστερήσῃς αὐτοὺς τῶν παρὰ σοῦ ὀφειλομένων. *Εἰδότες, ὅτι καὶ ὑμεῖς ἔχετε κύριον.*] Ὥσπερ ἐκεῖνοι ὑμᾶς, οὕτω καὶ ὑμεῖς ἔχετε κύριον. Ὧ οὖν μέτρῳ μετρεῖτε τοῖς ὑμετέροις δούλοις, μετρήσει καὶ ὑμῖν ὁ κύριος ὑμῶν. *Τῇ προσευχῇ προσκαρτερεῖτε.*] Οἶδεν ὁ διάβολος, ὅσον ἀγαθὸν ἡ εὐχὴ, καὶ διὰ τοῦτο ἀποπηδᾷν αὐτῆς ἡμᾶς ποιεῖ· διὸ φησὶν ὁ Παῦλος, *προσκαρτερεῖτε*. Ἐπειδὴ δὲ τὸν προσκαρτερεῖν τῇ εὐχῇ σπουδάζοντα, εἰς ἀκηδίαν καὶ ἔκλυσιν πολλάκις ἐμβάλλουσιν οἱ δαίμονες, ἐπάγει, *γρηγοροῦντες ἐν αὐτῇ*, τουτέστι, νήφοντες, μὴ ῥεμβόμενοι, μήτε νωχελευόμενοι. Ἀλλ' ἐπειδὴ ἔνι καὶ εὐχὴ ὑπὲρ ἀλόγων αἰτήσεων, καὶ τὸ πῶς, καὶ τί δεῖ εὔχεσθαι διδάσκει. *Ἐν εὐχαριστίᾳ*, φησὶν, ἡ εὐχὴ προβαινέτω πρὸς τὸν θεόν. Αὕτη γὰρ ἡ ἀληθινὴ εὐχὴ, ἡ εὐχαριςίαν ἔχουσα ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, ὧν εὖ ἐπάθομεν, ἢ ἐθλίβημεν, καὶ ὑπὲρ τῶν κοινῶν εὐεργεσιῶν. *Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν.*] Ὅρα ταπεινοφροσύνην, εἴγε Παῦλος τῆς τούτων ἔχρῃζεν εὐχῆς! *Θύραν τοῦ λόγου.*] Μεταφορικῶς εἶπε, *θύραν*, οἷον, εἴσοδον καὶ παῤῥησίαν. Ὅρα δὲ τὸν Παύλου ζῆλον! Ἐν τοσούτοις ὑπάρχων πειρασμοῖς, οὐκ αἰτεῖ λύσιν, ἀλλὰ πάλιν κηρύττειν, καὶ πάλιν πειρασμοὺς ἔχειν.—Τὸ κοινὸν τῆς συντάξεως· *Ἵνα ὁ θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, ὡς δεῖ με λαλῆσαι, δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό.* Ὁ δὲ θεῖος Παῦλος, καθ' ὑπερβατὸν τὸν λόγον προήνεγκε (Φωτίου).—*Δι' ὃ καὶ δέδεμαι.*] Ἐπειδή, φησιν, ἐφανέρωσα αὐτὸ, ὡς ἔδει με λαλῆσαι. Πῶς δὲ αὐτὸν ἔδει λαλῆσαι; Ἐν παῤῥησίᾳ, φησὶ, καὶ

φανερῶς, μηδὲν ὑποστειλάμενον, μήτε τὰ δεσμὰ πτοηθέντα. *Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω.*] Ὅπερ καὶ ὁ Κύριος εἶπεν· *Ἰδοὺ, ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Γίνεσθε οὖν φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί* (α)· τοῦτο καὶ οὗτος νῦν φησιν, ὅτι φυλακτικοὶ γίνεσθε, μηδεμίαν παρέχοντες καθ' ἑαυτῶν λαβὴν τοῖς ἔξω. *Τοὺς ἔξω δὲ*, τοὺς Ἕλληνας λέγει. Καλῶς δὲ πρὸς ἐκείνους εἶναι αὐτοὺς φυλακτικοὺς παραινεῖ· οἱ γὰρ ἀδελφοὶ, οὐχ οὕτω πάντα ἡμῶν καὶ τὰ βραχύτατα περισκοποῦσι, προφάσεις διαβολῶν ἐπιζητοῦντες. *Τὸν καιρὸν ἐξαγοραζόμενοι.*] Βραχύς, φησιν, ὁ παρὼν καιρός· κερδάνωμεν οὖν αὐτόν. Πῶς δὲ ἔνι τὸν παρόντα κερδάναι καιρόν; Δῆλον ὅτι διὰ τοῦ ἐν σοφίᾳ καὶ ἐπιτηρήσει περιπατεῖν· ὡσεὶ ἔλεγεν· Οὐκ ἔστιν ἡμῶν ὁ καιρός· (ἡ γὰρ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ (β)·) ἀλλ' ἐκείνων ἐστί. Κτησώμεθα οὖν αὐτὸν, καὶ οἷον κερδάνωμεν διὰ τοῦ ἐνταῦθα καλῶς βιοῦν, τὰ μέλλοντα κληρονομοῦντες. *Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος.*] Μὴ μωρολογία, φησὶν, ἢ ἀκαιρολογία ἐξέλθοι τοῦ στόματος ὑμῶν· ἀλλὰ προσηκόντως ἑκάστῳ λαλεῖτε· κἂν ἐπιπλῆξαι δέοι, κἂν θεραπεῦσαι καὶ ἀνακτήσασθαι, μετὰ χάριτος, φησὶ, πνευματικῆς, μετὰ χάριτος, μὴ εἰς ἀδιαφορίαν ἢ εὐτραπελίαν ἐκπιπτούσης (1).—Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ὥσπερ ἅλατι ἔστω ἠρτυμένος. Ὥσπερ γὰρ οὐδὲν τῶν τὸ σῶμα τρεφόντων σχεδὸν χωρὶς ἅλατος ἡδύνει, καὶ εἰς τροφὴν εὔχυμον ἀναδίδοται, οὕτω καὶ ὁ διδασκαλικὸς λόγος, ὁ τὴν ψυχὴν τρέφων, ἂν μὴ ᾖ τῇ χάριτι ἠρτυμένος, οὔτε θρέψει, οὔτε ἀναδοθήσεται (Φωτίου).—*Εἰδέναι, πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.*] Εἰς τὸ εἰ-

(α) Ματθ. Ι', 16. (β) Κολοσ. Γ', 3.

(1) «Ἐχέτω μέν, φησι, χαριεντισμὸν ὁ λόγος ὑμῶν· πλὴν μὴ εἰς ἀδιαφορίαν ἐκπιπτέτω καὶ ἔκλυσιν· ἀλλ' ἔσω καὶ στύφων· τοῦτο γὰρ τὸ ἅλας δηλοῖ· μήτε πέραν τοῦ μέτρου ἐπίχαρις ἔσο, μήτε αὖ αὐστηρός· ὥσπερ τὸ βρῶμα, ἐὰν μὲν ἄναλον ᾖ, ἀηδές ἐστιν· ἐὰν δὲ λίαν ἁλυκὸν, ἀπαράδεκτον ὅλως τῇ γεύσει· ἀμφοτέρως δὲ ἄβρωτον.» Θεοφύλακτος.

δέναι, φησὶ, πῶς δεῖ ἑκάστῳ ἀποκρίνεσθαι. Ἄλλως γὰρ τοῖς ἀδελφοῖς, καὶ ἄλλως τοῖς Ἕλλησιν· ἄλλως τοῖς τελείοις, καὶ ἄλλως τοῖς ἀτελέσιν· ἄλλως τοῖς ἀσθενέσι, καὶ ἄλλως τοῖς ὑγιαίνουσι προσφέρειν τὴν διδασκαλίαν προσήκει.

7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς, ὁ ἀγα-
πητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος
8 ἐν Κυρίῳ· ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο,
ἵνα γνῷ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρ-
9 δίας ὑμῶν· σὺν Ὀνησίμῳ, τῷ πιστῷ καὶ ἀγαπητῷ
ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν. Πάντα ὑμῖν γνωριοῦσι
10 τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος, ὁ συναιχμά-
λωτός μου, καὶ Μάρκος, ὁ ἀνεψιὸς Βαρνάβα, περὶ
οὗ ἐλάβετε ἐντολάς· (ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε
11 αὐτόν·) καὶ Ἰησοῦς, ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες
ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασι-
λείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία.
12 Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς, ὁ ἐξ ὑμῶν δοῦλος
Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς
προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι
13 ἐν παντὶ θελήματι τοῦ Θεοῦ. Μαρτυρῶ γὰρ αὐτῷ,
ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαο-
δικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει.

Τὰ κατ' ἐμὲ πάντα.] Ἦν ἅ τινα ἔδει μὴ γράφειν διὰ τὸ πλῆθος. Ἄλλως τε ἔδει καὶ τὸν Τυχικὸν ἔχειν ἃ καὶ ἀπὸ στόματος λαλήσει, ὅτι καὶ ἐν δεσμοῖς, καὶ ἐν θλίψεσιν ὁ διδάσκαλος (1). *Ὁ ἀγαπητὸς ἀδελφός.*] Εἰ *ἀγαπητὸς*, πάντα οἶδεν· οὐδὲν γὰρ αὐτὸν ἀπέκρυψά, φησιν. Εἰ *πιστὸς*, ἀληθεύσει πάντως. Εἰ *σύνδουλος*, κεκοινώνηκεν ἡμῖν καὶ τῶν πειρασμῶν. Τὸ ἀξιόπιστον δὲ τοῦ Τυχικοῦ, πάντοθεν συνήγαγεν. *Ὃν ἔπεμψα πρὸς ὑμᾶς*

(1) « Καὶ τοῦτο ἀπὸ σοφίας, τὸ μὴ πάντα τιθέναι ἐν ταῖς ἐπιστολαῖς, ἀλλὰ τὰ ἀναγκαῖα καὶ κατεπείγοντα· πρῶτον μὲν, διὰ τὸ μὴ μηκύνειν ταύτας· ἔπειτα δὲ, ἵνα καὶ ὁ ἀπερχόμενος ἔχῃ τι διηγεῖσθαι, κἀντεῦθεν αἰδεσιμώτερος ᾖ· τρίτον, δείκνυσι πῶς πρὸς αὐτὸν διάκειται· οὐ γὰρ ἂν αὐτῷ τοιαῦτα ἐπίστευσεν. Ἔπειτα ἦν ἃ οὐκ ἔδει διὰ γραμμάτων δηλωθῆναι. » Θεοφύλακτος.

εἰς αὐτὸ τοῦτο.] Δεῖγμα μεγίστης ἀγάπης τὸ διὰ τοῦτο μόνον ἀπεστάλθαι τὸν Τυχικὸν, ἵνα τε ἀπαγγείλῃ αὐτοῖς τὰ κατὰ τὸν Παῦλον, καὶ τῷ Παύλῳ πάλιν, μαθὼν τὰ κατ' αὐτούς. *Καὶ ἵνα παρακαλέσῃ τὰς καρδίας ὑμῶν.*] Δείκνυσι διὰ τούτου, ἐν πειρασμοῖς αὐτοὺς ὄντας, καὶ παρακλήσεως χρῄζοντας. *Σὺν Ὀνησίμῳ*] Ὁ Ὀνήσιμος οὗτός ἐστιν ὁ τοῦ Φιλήμονος δοῦλος. Θέα δέ· τὸν δοῦλον *ἀδελφὸν* ὀνομάζει! Τὸ δὲ, *ἐξ ὑμῶν*, προσέθηκεν, ἵνα μὴ μόνον μὴ ἀπιστήσωσιν αὐτῷ, ἀλλὰ καὶ ἐγκαλωπίζωνται ἐν αὐτῷ. *Πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.*] Τουτέστι, τὰ δεσμὰ, καὶ τὰ ἄλλα τὰ κατέχοντά με. Εἰ μὴ γὰρ ταῦτα ἦν, ἦλθον ἂν πρὸς ὑμᾶς. *Ὁ συναιχμάλωτός μου.*] Οὗτός ἐστιν ὁ ἀπὸ Καισαρείας ἀναχθεὶς μετ' αὐτοῦ εἰς Ῥώμην (α). *Συναιχμάλωτός μου δέ*, φησι· καθάπερ γὰρ αἰχμάλωτοι, οὕτως ἤγοντο καὶ ἀπήγοντο, καὶ πᾶσιν εἰς τὸ κακῶς ποιεῖν προέκειντο. *Ὁ ἀνεψιὸς Βαρνάβα.*] Τοῦτον ἀπὸ τῆς συγγενείας τοῦ Βαρνάβα ἐγκωμιάζει. Μέγιστος γὰρ ἦν ὁ Βαρνάβας (1). *Περὶ οὗ ἐλάβετε ἐντολάς.*] Ἀγράφως αὐτοῖς πολλάκις διά τινων ἐντέταλτο. *Ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν.*] Μετὰ σπουδῆς καὶ ἐπιμελείας διδασκαλικῆς αὐτὸν ἀξιώσατε τιμῆς. *Οἱ ὄντες ἐκ περιτομῆς.*] Ὄνειδος Ἰουδαίων, τὸ οὕτως ὀλίγους ἐξ αὐτῶν εἶναι τοῦ Παύλου συνεργοὺς, τοὺς δὲ ἄλλους ἐθνικούς. *Συνεργοί.*] Σὺν ἐμοὶ ἐργάζονταί, φησι, τὰ εἰς τὴν βασιλείαν ἀνήκοντα πράγματα. Εἰ δὲ εἰσι συναιχμάλωτοι καὶ τῶν πειρασμῶν κοινωνοὶ, κοινωνήσουσι καὶ τῶν στεφάνων. *Ἐγενήθησάν μοι παρηγορία.*] Μέγα ἐγκώμιον τὸ εἶναι Παύλου παραμυθίαν. Δηλοῖ δὲ ἐκ τούτου, τὴν τῶν πειρασμῶν σφοδρότητα. *Ἐπαφρᾶς, ὁ ἐξ ὑμῶν.*] Καὶ ἐν ἀρχῇ τῆς ἐπιστολῆς, καὶ νῦν αὐτὸν συνίστησιν, ἵνα ὡς ἀγαπῶντα αὐτοὺς ἀνταγαπῶσι, καὶ ἡδέως ἀκούωσιν αὐτοῦ, εἴ τι διδάσκει. Μέγα δὲ αὐτοῦ ἐγκώμιον τὸ δοῦλον εἶναι Χριστοῦ. Δόξα οὖν ὑμῶν ἐστι

(α) Πραξ. ΚΖ', 2. (1) Ἰδ. Πραξ. ΙΒ', 25. ΙΓ', 13. ΙΕ', 37. 39.

τοιοῦτος ὤν, ὡς ἐξ ὑμῶν γεγονώς. *Πάντοτε ἀγωνιζόμενος.*] Οὐχ ἁπλῶς, εὐχόμενος, ἀλλὰ μετὰ ἀγῶνος καὶ πόνου, οὐ νῦν μόνον, ἀλλὰ καὶ πάντοτε. *Ἵνα στῆτε τέλειοι.*] Δηλοῖ αὐτοὺς ἀτελεῖς ὄντας καὶ ἀπληρώτους. Ἔσκαζον γὰρ πάντως περὶ τὸ δόγμα τοῦ περὶ τῶν ἀγγέλων λόγου. Ἐπεὶ δὲ ἔνι τέλειον μὲν εἶναι, μὴ ἑστάναι δὲ, ὥσπερ ὅταν τις πάντα μὲν εἰδῇ, μὴ ἑστήκοι δὲ βεβαίως, διὰ τοῦτό φησιν, *ἵνα στῆτε τέλειοι*, ἔν τε τῷ δόγματι δηλαδὴ, καὶ ἐν τῷ βίῳ. *Καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ θεοῦ.*] Τουτέστιν, ἵνα μηδὲν ἄλλο θέλημα ποιῆτε, ἢ τὸ τοῦ θεοῦ· τοῦτο γὰρ τὸ πεπληρῶσθαι καὶ τὸ τετελειῶσθαι. Δείκνυσι δὲ αὐτοὺς διὰ τούτων, τὸ μέν τι ἔχοντας, τὸ δὲ ὑστεροῦντας.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς, ὁ ἀγαπητὸς,
15 καὶ Δημᾶς. Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελ-
φοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλη-
16 σίαν. Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολὴ,
ποιήσατε, ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀνα-
γνωσθῇ· καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀνα-
17 γνῶτε. Καὶ εἴπατε Ἀρχίππῳ· Βλέπε τὴν διακο-
νίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς.
18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ
μου τῶν δεσμῶν. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

Λουκᾶς ὁ ἰατρός.] Ὁ εὐαγγελιστὴς οὗτός ἐστιν, οὗ μέγα ἐγκώμιον τὸ ἀγαπητὸν εἶναι Παύλου. *Καὶ Δημᾶς.*] Οὔπω γὰρ, ὡς ἔοικεν, ἐγκατέλιπε τὸν διδάσκαλον (1). *Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ.*] Συνάπτει αὐτοὺς διά τε τῶν ἀσπασμῶν, καὶ τοῦ κοινωνήσασθαι τὴν παροῦσαν ἐπιτάσσειν ἐπιστολὴν, ὅπερ κάτω φησί. *Καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν.*] Μέγας οὗτος ὁ ἀνήρ· ὅτι καὶ τὸν οἶκον αὐτοῦ πάντα πιστοὺς εἶχε, καὶ ἐκκλησίαν αὐτὸν ἀπέφηνεν, εὐσεβείᾳ τοῦτον κοσμήσας. *Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν.*] Ἐμοὶ δοκεῖ εἶναί τινα τῶν γραφέντων ἐν ταύτῃ, ἃ καὶ ἐκείνους ἐχρῆν ἀκοῦσαι· καὶ

(1) Β' Τιμ. Δ', 10.

αὖ ἐν ἐκείνῃ, ἃ τούτους ἐχρῆν μαθεῖν. Μείζων γὰρ ἡ ὠφέλεια, ὅταν, ἑτέρων ἐγκαλουμένων, ἕτεροι τὰ οἰκεῖα ἁμαρτήματα ἐπιγινώσκωσι. *Καὶ τὴν ἐκ Λαοδικείας.*] Τίς δὲ ἦν ἡ ἐκ Λαοδικείας; Ἡ πρὸς Τιμόθεον πρώτη· αὕτη γὰρ ἐκ Λαοδικείας ἐγράφη. Τινὲς δὲ λέγουσιν, ὅτι οὐχὶ τὴν Παύλου πρὸς αὐτοὺς ἀπεσταλμένην, ἀλλὰ τὴν παρ' αὐτῶν Παύλῳ· οὐ γὰρ εἶπε, τὴν πρὸς Λαοδικεῖς, ἀλλὰ, *τὴν ἐκ Λαοδικείας* γραφεῖσαν (1). — Οὐ τὴν ἀπὸ Παύλου πρὸς Λαοδικέας· (ἢ γὰρ ἂν εἶπε, Καὶ τὴν ἐν Λαοδικείᾳ·) ἀλλὰ τὴν ἀπὸ Λαοδικέων πρὸς Παῦλον. Ἦν γάρ τι πάντως ἐν αὐτῇ ὠφελοῦν τοὺς Κολοσσαεῖς (Φωτίου).— *Καὶ εἴπατε Ἀρχίππῳ.*] Τίνος ἕνεκεν οὐ γράφει πρὸς αὐτόν; Ἴσως, διότι ψιλῆς μόνης ὑπομνήσεως, οὐ πολλῶν γραμμάτων ἐδεῖτο. *Βλέπε τὴν διακονίαν.*] Φοβοῦντος ἐστὶ τὸ ῥῆμα τοῦτο πανταχοῦ, ὡς ὅταν λέγῃ· *Βλέπετε τοὺς κύνας* (α)· *Βλέπετε, μήτις ὑμᾶς ἔσται ὁ συλαγωγῶν* (β)· *Βλέπετε, μήποτε ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν* (γ). Οὕτω καὶ ἐνταῦθα· Βλέπε, ὅπως πληροῖς τὸ ἔργον, ὃ παρέλαβες *ἐν Κυρίῳ*, τουτέστι, διὰ Κυρίου· αὐτὸς γάρ σοι, φησὶν, ἔδωκεν αὐτὸ, οὐκ ἐγώ. Ποῖον δὲ ἦν τὸ ἔργον; Τὸ τοὺς Κολοσσαεῖς ἐφορᾷν. Δύο δὲ κατασκευάζει διὰ τοῦ εἰπεῖν, *ἐν Κυρίῳ*· ἐκεῖνόν τε σπουδαιότερον ποιεῖ εἰς τὸ ἀνύειν αὐτὸ, ὡς δεσποτικὸν ἔργον· κἀκείνους ὑποτάττει αὐτῷ, ὡς παρὰ Θεοῦ ἐγχειρισθέντι αὐτούς. Καὶ ὅλως γὰρ διὰ τοῦτο γράφει αὐτοῖς· *Εἴπατε Ἀρχίππῳ*· ἵνα, ὅταν ἐπιτιμᾷ Ἄρχιππος αὐτοῖς, μὴ ἔχωσιν ἐγκαλεῖν ἐκείνῳ, ὡς πικρῷ, ἅτε γινώσκοντες, ὅτι Παύλου τοῦτό ἐστιν ἐπίταγμα, καὶ τὸ αὐτῶν στόμα πρὸς Ἄρχιππον εἶπεν, ἃ Παῦλος αὐτῷ ἐμήνυσεν. Ἵνα τοίνυν ἐπι-

(2) « Ἀλλ' οὐκ οἶδα, προςτίθησιν ὁ Θεοφύλακτος, τί ἂν ἐκείνης ἔδει αὐτοῖς πρὸς βελτίωσιν. » — Ὁ Θεοδώρητος λέγει· « Τινὲς ὑπέλαβον καὶ πρὸς Λαοδικέας αὐτὸν γεγραφέναι. Αὐτίκα τοίνυν καὶ προσφέρουσι πεπλασμένην ἐπιστολήν. Ὁ δὲ θεῖος ἀπόστολος οὐκ ἔφη, Καὶ τὴν πρὸς Λαοδικέας, ἀλλὰ, Καὶ τὴν ἐκ Λαοδικείας. Ἐκεῖνοι γὰρ πρὸς αὐτὸν περί τινων ἔγραψαν· εἰκὸς δὲ αὐτοὺς ἢ τὰ ἐν Κολοσσαῖς γινόμενα αἰτιάσασθαι, ἢ τὰ αὐτὰ τούτοις νενοσηκέναι. Διὸ καὶ ταύτην εἶπε τὴν ἐπιστολὴν κἀκείνοις ἀναγνωσθῆναι. »

(α) Φιλιπ. Γ', 2. (β) Κολοσ. Β', 8. (γ) Α' Κορ. Η', 9.

στομίση αὐτοὺς, εὐμεθόδως τοῦτο Παῦλος ἐποίησεν· ἐπεὶ ἄλλως ἄτοπον τοῖς μαθηταῖς περὶ τοῦ διδασκάλου διαλέγεσθαι.— ΑΛΛΟ. Περὶ τοῦ διδασκάλου γράφει, ἵνα ἐπιτιμῶντι καὶ παραινοῦντι πείθωνται, εἰδότες τὰ δηλωθέντα αὐτῷ παρὰ τοῦ ἀποστόλου. Ἴσως δὲ ἐπίσκοπος ἦν αὐτῶν, ἢ ἄλλην ἐγκεχείριστο ψυχῶν διακονίαν. Διό φησιν, *ἐν Κυρίῳ διακονίαν*, καὶ οὐ κατ' ἄνθρωπον οὖσαν (Φωτίου).— *Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.*] Τοῦτο γνησιότητος καὶ φιλίας τεκμήριον, τὸ καὶ τὰ γράμματα ὁρᾷν, καὶ πάσχειν τί πρὸς ταῦτα. Μᾶλλον δὲ αὐτὴν τοῦ ἀσπασμοῦ τὴν λέξιν ἰδίᾳ χειρὶ ἔγραψεν, ἵνα πάσχωσί τι πλέον, τὴν χεῖρα ὁρῶντες τοῦ Παύλου. *Μνημονεύετέ μου τῶν δεσμῶν.*] Ἀντὶ τοῦ, Μνείαν μου ποιεῖτε, τοῦ δεδεμένου, τοῦ κατακρίτου. Μεγίστη δὲ παράκλησις αὐτοῖς εἰς πᾶσαν θλίψιν τὸ μνημονεύειν Παύλου. Τοῦτο γὰρ ἱκανὸν εἰς πάντα αὐτοὺς προτρέψασθαι, καὶ γενναιοτέρους ποιῆσαι πρὸς τοὺς ἀγῶνας. Ἄρα καὶ οἰκειοτέρους αὐτοὺς ἐποίησε, καὶ τὸν φόβον ἔλυσεν. Εἰ γὰρ ὁ διδάσκαλος ἐν δεσμοῖς, ἀλλ' ἡ χάρις αὐτὸν λύει. Καὶ τοῦτο γὰρ τῆς χάριτος, τὸ συγχωρεῖν δεθῆναι.— ΑΛΛΩΣ. Μεγίστη προτροπὴ πρὸς τὸ φέρειν γενναίως τοὺς πειρασμοὺς, τὸ εἰδέναι, καὶ διὰ παντὸς μνημονεύειν, εἶναι τοῦτον ἐν δεσμοῖς (Φωτίου).—*Ἡ χάρις μεθ' ὑμῶν Ἀμήν.*] Δηλονότι μεθ' ἧς πάντα τὰ ἐπιταγέντα πληρώσουσι. Χάριτος γὰρ εἰς τὸ σωθῆναι δέονται· τί γὰρ ἂν ποιήσοι ἄνθρωπος ἄνευ χάριτος;— Ἐκ τοῦ ἀντιγράφου μὴ εὑρὼν καλῶς τὰς παραγραφὰς τοῦ μακαρίου Ἰωάννου τῆς πρὸς Κολοσσαεῖς ἐπιςολῆς, συνέγραψα αὐτὰς, ὅπως ἠδυνάμην. Εἰ οὖν εὑρεθῇ τι ἐν αὐταῖς, ἢ κοῦφον, ἢ ἐπιλήψιμον, ἴστω ὁ ἀναγινώσκων, ἐμὸν εἶναι τὸ τοιοῦτον πταῖσμα.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη δὲ ἀπὸ Ῥώμης διὰ Τυχικοῦ καὶ Ὀνησίμου.

Η

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ἀθηνῶν, ἑωρακὼς πρότερον αὐτοὺς, καὶ διατρίψας παρ' αὐτοῖς. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ὁ ἀπόστολος, πολλὰς θλίψεις παθὼν ἐν Βεροίᾳ καὶ ἐν Φιλίπποις τῆς Μακεδονίας καὶ ἐν Κορίνθῳ, γινώσκων τε ὅσα πέπονθε καὶ ἐν Θεσσαλονίκῃ, φοβούμενος, μὴ, ἀκούσαντες οἱ Θεσσαλονικεῖς ἃ πέπονθεν ἐν ταῖς προειρημέναις πόλεσι, πειρασθῶσιν ὑπὸ τοῦ πειράζοντος, καὶ σκανδαλισθῶσι· μαθὼν δὲ, ὅτι καὶ ἐπὶ τοῖς ἀποθνήσκουσι κατώδυνοι ἐγίνοντο, ἀποστέλλει Τιμόθεον πρὸς αὐτοὺς μετὰ τῆς ἐπιστολῆς ταύτης. Καὶ πρῶτον μὲν ἐπιστηρίζει αὐτοὺς ἐν τῇ πίστει, ὥστε μὴ σαλεύεσθαι διὰ τὰς θλίψεις, καὶ μηδὲν ξένον αὐτοὺς πεπονθέναι ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων. Χριστιανῶν γὰρ ἴδιον τὸ θλίβεσθαι ἐν τῷ βίῳ τούτῳ ἔλεγε. Πολλὰ δὲ παραινέσας αὐτοῖς, οὕτως ὡς παρέλαβον ἀπ' αὐτοῦ ἀναστρέφεσθαι, γράφει περὶ τῶν τελευτώντων, παραμυθούμενος αὐτοὺς, καὶ διδάσκων, μὴ βαρέως φέρειν· οὐ γὰρ εἶναι τὸν θάνατον ἀπώλειαν, ἀλλ' ὁδὸν ἀναστάσεως. Ἔπειτα καὶ περὶ τῶν χρόνων αὐτοὺς διδάσκει, ἵνα ἄδηλον τὴν ἡμέραν γινώσκοντες, ἀεὶ ἕτοιμοι γίνωνται, καὶ μηδενὶ προσέχωσιν ἐπαγγελλομένῳ περὶ αὐτῆς· ἔσεσθαι γάρ φησι τὴν παρουσίαν οὕτως, ὥστε τοὺς περιλειπομένους καὶ εὑρισκομένους ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μὴ φθά-

νειν τοὺς ἐκ νεκρῶν ἐγειρομένους· ἅμα γὰρ γίνεσθαι τὴν πάντων ἀλλαγὴν διδάσκει· πρὸς τούτοις, προτρέπων αὐτοὺς βελτιοῦσθαι ἐν τοῖς ἤθεσι, καὶ ἀεὶ χαίρειν τῇ ἐλπίδι, καὶ προσεύχεσθαι, καὶ εὐχαριστεῖν αὐτοὺς ἀεὶ τῷ Κυρίῳ, ἐνορκίζων αὐτοὺς ἀναγνῶναι τὴν ἐπιστολὴν ταύτην πᾶσι τοῖς ἀδελφοῖς. Καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ·

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ἔπαινος Θεσσαλονικέων ἐπὶ τοῖς ἀξίοις τῶν ἀποστόλων ἀγῶσιν.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος,
τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν θεῷ πατρὶ, καὶ Κυ-
ρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
2 Εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ πάντων ὑμῶν,
μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν,
3 ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς
πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπο-
μονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν.

Π*αῦλος*.] Διὰ τί οὔτε ἀπόστολον, οὔτε δοῦλον Χριστοῦ ἑαυτὸν, κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐνταῦθα καλεῖ; Ὅτι νεοκατήχητοι ἦσαν οὗτοι, καὶ οὐδέπω αὐτοῦ ἱκανὴν πεῖραν ἔλαβον. Οὐκ οὖν ἔδει πρὸς αὐτοὺς τοῦ ἀξιώματος αὐτοῦ μνησθῆναι· εἰκὸς γὰρ ἦν αὐτοὺς καὶ σκανδαλισθῆναι. *Καὶ Σιλουανὸς καὶ Τιμόθεος*.] Τί δήποτε προέταξε τοῦ Τιμοθέου, οὕτως ὄντος ἐναρέτου, τὸν Σιλουανόν (1); Ἴσως διὰ ταπεινοφροσύνην ὁ Τιμόθεος τοῦτο ᾔτησε,

(1) « Σιλουανὸν ἡγοῦμαι τὸν Σίλαν καλεῖσθαι· οὗτος γὰρ αὐτῷ καὶ ἐν Φιλίπποις (Πραξ. Ις΄, 19. 25. 29.), καὶ ἐν Θεσσαλονίκῃ (Πραξ. ΙΖ΄, 4.), καὶ

μιμούμενος καὶ ἐν τούτῳ τὸν ἑαυτοῦ διδάσκαλον Παῦλον, ὃς τοῖς μαθηταῖς αὐτοῦ ἑαυτὸν συγκαταριθμεῖ. Διὰ τί δὲ ἐνταῦθα τοῦ Τιμοθέου μέμνηται, ἐν δὲ τῇ πρὸς Ἐφεσίους οὐκέτι; ὅτι ἐκεῖ μὲν ἔμελλεν εὐθὺς πρὸς αὐτοὺς ἀπιέναι· ἐνταῦθα δὲ, νεωστὶ ἦν ἀπ' αὐτῶν πρὸς Παῦλον ἐλθών. *Τῇ ἐκκλησίᾳ Θεσσαλονικέων.*] Ὀλίγους ὄντας, ὅμως εὐφήμῳ ὀνόματι *ἐκκλησίαν* αὐτοὺς καλεῖ· ἐπειδὴ πλῆθος ὡς τὰ πολλὰ σημαίνει τὸ τῆς ἐκκλησίας ὄνομα. *Ἐν θεῷ πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.*] Ἐπειδὴ ἦσαν καὶ Ἑλληνικαὶ καὶ Ἰουδαϊκαὶ ἐκκλησίαι, αὐτὸς ἐκείνων διαιρῶν αὐτήν, φησι, *τῇ ἐν θεῷ πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.* Σημείωσαι δὲ τὸ, *Ἐν*, ἐπὶ πατρὸς καὶ υἱοῦ κείμενον. *Χάρις ὑμῖν καὶ εἰρήνη.*] Ἐπεύχεται αὐτοῖς, ἵνα ἐπὶ πλέον προκόψωσιν ἐν τοῖς θείοις χαρίσμασιν· ἀλλὰ καὶ εἰρήνην ἔχωσι, μὴ φυσιούμενοι κατ' ἀλλήλων. *Εὐχαριστοῦμεν τῷ θεῷ.*] Εὐθέως ἐξ ἐγκωμίου τὸ προοίμιον. Τῷ γὰρ ὑπὲρ αὐτῶν εὐχαριστεῖν τῷ θεῷ, δείκνυσιν ἐκείνους κατορθωκότας τοιαῦτα, ἐξ ὧν δοξάζεται ὁ θεός. Εἶτα καὶ ταπεινοφροσύνην διδάσκει, ὡς τοῦ θεοῦ παραιτίου τοῦ κατορθοῦν αὐτούς. *Μνείαν ὑμῶν ποιούμενοι.*] Τὸ μὲν εὐχαριστεῖν τῷ θεῷ, ἀπὸ τῶν κατορθωμάτων αὐτῶν· τὸ δὲ μεμνῆσθαι αὐτῶν ἐπὶ τῶν προσευχῶν, ἀπὸ τῆς πρὸς αὐτοὺς ἀγάπης. *Ἀδιαλείπτως μνημονεύοντες ὑμῶν.*] Οὐ μόνον, φησὶν, ἐπὶ τῶν προσευχῶν μου μέμνημαι ὑμῶν, ἀλλὰ καὶ ἄλλοτε πάντοτε. Τοῦτο δὲ τῆς ἐπιτεταμένης αὐτοῦ ἀγάπης δεῖγμα. *Τοῦ ἔργου τῆς πίστεως.*] Ὅτι οὐδὲν ὑμᾶς, φησι, παρέκλινεν ἀπὸ τῆς πίστεως· τοῦτο γὰρ *ἔργον πίστεως*, τὸ στεῤῥῶς ἵστασθαι. Ἢ, *ἔργον πίστεως*, τὸ μὴ μόνον λόγοις, ἀλλὰ καὶ ἔργοις δεικνύειν αὐτήν. *Καὶ τοῦ κόπου τῆς ἀγάπης.*] Καὶ ὅτι ὑπὲρ τῆς τοῦ θεοῦ ἀγάπης ἢ τῆς ἐμῆς, φησι, κόπους καὶ κινδύνους ὑπεμείνατε. Τοῦτο γὰρ τὸ ὄντως ἀγα-

ἐν Βεροίᾳ (Πραξ. ΙΖ', 10.) συνῆν, καὶ τοῦτον σὺν τῷ τρισμακαρίῳ Τιμοθέῳ καταλιπὼν ἐκεῖ (Πραξ. ΙΖ', 14. 15.), εἰς τὰς Ἀθήνας ἀπῆρε. Τούτοις ἐν ταῖς Ἀθήναις διατρίβων προσέμενεν (Πραξ. ΙΖ', 15.)· οὗτοι αὐτῷ καὶ ἐν Κορίνθῳ συνῆσαν κηρύττοντι (Πραξ. ΙΗ', 5.). » Θεοδώρητος.

πᾶν, τὸ πάντα ὑπὲρ τοῦ ἀγαπωμένου πάσχειν ἀνέχεσθαι. Καὶ Θεσσαλονικεῖς οὖν πολλὰ ἔπαθον διὰ τὴν πρὸς τὸν Παῦλον ἀγάπην, ὡς μαθήσῃ ἐκ τῆς βίβλου τῶν πράξεων (α). *Καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος.*] Οὐ γὰρ εἷς ἦν ὁ πειρασμὸς, οὔτε οἱ ὄντες μικροὶ ἦσαν, ἀλλὰ καὶ πολλοὶ καὶ μεγάλοι. Διό φησι, *τῆς ὑπομονῆς τῆς ἐλπίδος*, τουτέστι, τῆς γινομένης διὰ τὴν ἐλπίδα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὡσεὶ ἔλεγεν· Οὐχ ἁπλῶς, οὐδὲ ἀνόνητα κάμνετε· ἀλλ' ἔστιν ἐλπὶς ἀντιδόσεως. *Ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν.*] Διχῶς τοῦτο νοήσεις· ἢ, Μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν· ἢ, τοῦ ἔργου τῆς πίστεως, τοῦ ὄντος ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν· ὡσεὶ ἔλεγε· Μὴ νομίσητε, ὅτι ἀκερδῶς πονεῖτε· ἀλλὰ πάντα ἔμπροσθέν εἰσι τοῦ θεοῦ· πάντα γὰρ ὁρᾷ, καὶ οὐ λέληθεν αὐτὸν τὰ παρ' ὑμῶν γινόμενα· ὥστε καὶ τοὺς μισθοὺς ἀποδώσει.

4 Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι, ὑπὸ θεοῦ τὴν ἐκλο-
5 γὴν ὑμῶν· ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη
εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ
ἐν Πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ·
καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς.
6 Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυ-
ρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ
7 χαρᾶς Πνεύματος ἁγίου· ὥστε γενέσθαι ὑμᾶς τύ-
πους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ
τῇ Ἀχαΐᾳ.

Εἰδότες, ἀδελφοί.] Τί εἰδότες; Τὴν ἐκλογὴν ὑμῶν· καὶ, ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη πρὸς ὑμᾶς ἐν λόγῳ μόνον· καὶ, οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς· πρὸς πολλὰ γὰρ τὸ, *εἰδότες*, ὁρᾶται. *Ὑπὸ θεοῦ τὴν ἐκλογὴν ὑμῶν.*] Μνημονεύομέν, φησιν, ὑμῶν ἀδιαλείπτως· διότι οἴδαμεν, ὅτι ἐκλελεγμένοι ἐστὲ ὑπὸ θεοῦ. Ἐξελέγητε γὰρ εἰς τὴν πίστιν ὑπὲρ τοὺς ἄλλους.

(α) Πραξ. ΙΖ', 5.—9.

Ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον.] Ἐπειδὴ ἴσμεν, ὅτι παρὰ Θεοῦ ἐξελέχθητε καὶ ἠγαπήθητε, μετὰ πολλῆς προθυμίας τὸ εὐαγγέλιον ὑμῖν ἐκηρύξαμεν. Τίς γὰρ οὐκ ἂν σπουδάσειε περὶ τοὺς ὑπὸ Θεοῦ πεφιλημένους; Οὐ γὰρ μόνον ἐκηρύξαμεν, ἀλλὰ καὶ σημεῖα καὶ δυνάμεις πολλὰς ἐπετελέσαμεν εἰς ὑμᾶς, πρὸς τὴν ὑμῶν πληροφορίαν. Ἔδει οὖν, εἰ καὶ μὴ δι' ἄλλο τι, διὰ γοῦν τὸν ἐπιδειχθέντα εἰς ὑμᾶς κόπον τοῦ τε κηρύγματος καὶ τῶν σημείων, μεμνῆσθαι ἀδιαλείπτως ὑμῶν. *Ἀλλὰ καὶ ἐν δυνάμει.*] Τουτέστιν, ἐν σημείοις, καὶ πρὸς εὐεργεσίας τῶν εὐγνωμόνων, καὶ πρὸς κολάσεις τῶν ἀγνωμόνων γινομένοις. *Καὶ ἐν Πνεύματι ἁγίῳ.*] Ἢ ὅτι ἐν Πνεύματι ἁγίῳ ἐκηρύξαμεν, φησὶν, ἢ ὅτι Πνεῦμα ἅγιον ἐλάβετε διὰ τοῦ κηρύγματος. *Καὶ ἐν πληροφορίᾳ πολλῇ.*] Τὰ γὰρ σημεῖα διὰ τὴν αὐτῶν ἐποίει πληροφορίαν (1). *Καθὼς οἴδατε.*] Καὶ τί, φησι, μακρηγορῶ; Αὐτοὶ ὑμεῖς *μάρτυρές ἐστε, οἷοι ἐγενήθημεν πρὸς ὑμᾶς*, τουτέστι, πῶς ἐν ὑμῖν ἀνεστράφημεν, καὶ ὅτι μετὰ προθυμίας πολλῆς ἐκηρύξαμεν. *Δι' ὑμᾶς.*] Ἐπειδὴ ὑμεῖς ἦτε, φησὶν, ἐκλεκτοὶ Θεῷ, διὰ τοῦτο πάντα ὑπὲρ ὑμῶν ἐσπουδάσαμεν· ὡσεὶ ἔλεγε· Τῆς ἐμῆς σπουδῆς, τῆς εἰς ὑμᾶς, ἡ ὑμῶν παρὰ Θεοῦ ἐκλογὴ πρόφασις γέγονεν. Ὑπὲρ γὰρ τῶν τοῦ Θεοῦ ἀγαπητῶν τί οὐκ ἄν τις πάθοι; *Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου.*] Διδασκάλου οὖν τὸ ἀναῤῥῶσαι αὐτοὺς ἐξ ὧν ἐκεῖνοι ὑπέμειναν. Φησὶν οὖν· Οὐχ ἡμεῖς μὲν τοιαύτην εἰς ὑμᾶς σπουδὴν ἐπεδειξάμεθα, ὑμεῖς δὲ ῥᾴθυμοι ἦτε. Ἀλλὰ τί; Καὶ ὑμεῖς, φησι, μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου. Πῶς; *Δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς Πνεύματος ἁγίου.* Βαβαὶ, οἷον λέγει! Ἅμα ἐδέξαντο τὸν λόγον, ὑπερέπτυσαν ἅπαντα, καὶ μιμηταὶ γεγένηνται *αὐτοῦ καὶ τοῦ Χριστοῦ.* Αὐτοῦ μὲν, ὅτι καὶ

(1) « Τουτέστι, καὶ ἐν κακώσεσι καὶ θλίψεσιν. — Ὥσπερ τὰ σημεῖα καὶ ἡ τοῦ πνεύματος χορηγία, διὰ τὴν τῶν πεπιστευκότων πληροφορίαν ἐγίνοντο· οὕτω καὶ αἱ ὑπὲρ τοῦ κηρύγματος θλίψεις, μεγάλη βεβαίωσις αὐτοῦ εἰσί » Θεοφύλακτ.

αὐτοὶ, μαστιζόμενοι ὑπὲρ τοῦ Κυρίου, ἔχαιρον, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι (α)· τοῦ Κυρίου δέ· ὅτι καὶ αὐτὸς, ῥαπιζόμενος καὶ πάσχων, ἔχαιρεν· ἑκὼν γὰρ ἔπασχε, καὶ εἰδὼς τὰ τοιαῦτα σώσοντα τὴν ὑπ' οὐρανόν. Ὅθεν καὶ ἔλεγε· *Πάτερ! δόξασόν σου τὸν υἱὸν* (β), περὶ τοῦ σταυροῦ λέγων. *Δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ.*] Οὐχ ἁπλῶς μετὰ θλίψεως ἐδέξασθε τὸν λόγον, ἀλλὰ καὶ *μετὰ πολλῆς*, τουτέστι, μετὰ κινδύνων. Καὶ τοῦτο μαθήσῃ ἀπὸ τῶν Πράξεων (γ). Ἀλλ' ὅμως ταύτην τὴν θλίψιν, ἤτοι, τοὺς κινδύνους, χαίροντες ὑποδέχεσθε. Ἑρμηνεύων δὲ, πῶς ἔνεστιν ἐν θλίψει χαίρειν, εἶπε· *Μετὰ χαρᾶς Πνεύματος ἁγίου.*] Οὐ γὰρ ἀφῆκέ, φησιν, ὑμᾶς τὸ Πνεῦμα ἀλγεῖν· ἀλλ' ἡ μὲν ἀλγηδὼν, ἐν τοῖς σωματικοῖς· ἡ δὲ χαρὰ, παρὰ τοῦ πνεύματος ἐδίδοτο. Ὅρα δὲ, ὅτι τότε τις γίνεται τοῦ Κυρίου μιμητὴς, ὅτε κινδύνους ὑπομένει μετὰ χαρᾶς Πνεύματος ἁγίου. *Ὥστε γενέσθαι ὑμᾶς τύπους.*] Καὶ πῶς οὗτοι τύποι γεγόνασιν ἐκείνοις, ἐκείνων πρώτων πιστευσάντων; Ὅτι οὕτω, φησὶν, εὐδοκιμήσατε ἐκ προοιμίων, ὅτι καὶ τοῖς ἤδη πεπιστευκόσι τύπος ἐγένεσθε, οἷα δεῖ φέρειν διὰ τὴν πίστιν. *Ἀχαΐαν* δὲ, τὴν Ἑλλάδα φησίν.

8 Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν, ἡ πρὸς τὸν θεὸν, ἐξελήλυθεν· ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι.
9 Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν θεῷ
10 ζῶντι καὶ ἀληθινῷ, καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν, τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος.] Ἢ, ὅτι ἡ περὶ ὑμῶν τῆς

(α) Πραξ. Ε', 41. (β) Ἰωάν. ΙΖ', 1. (γ) Πραξ. ΙΖ', 5—9.

πίστεως ἕνεκεν φήμη, πανταχοῦ διέδραμεν· ἢ, ὅτι πάροδον δεδώκατε τῷ λόγῳ τοῦ Θεοῦ, ἐξ ὧν ἠθλήσατε· ἢ, ὅτι πανταχοῦ ἤκουσται τὸ κήρυγμα, ἐκ τῆς ὑμῶν εὐδοκιμήσεως (1). Τὸ δὲ, *ἐξήχηται*, ὡς ἐπὶ σάλπιγγος λαμπρὸν ἠχούσης, καὶ ἐπὶ πολὺ φθανούσης. *Ἀλλὰ καὶ ἐν παντὶ τόπῳ.*] Τοῦ μὲν οὖν λόγου, φησὶ, τοῦ θεοῦ καὶ τῆς διδασκαλίας, τοὺς γείτονας ἐνεπλήσατε· ζηλώσαντες γὰρ ὑμᾶς, τῇ πίστει προσέδραμον· τοῦ δὲ θαύματος, *πάντα τόπον*, πῶς δηλαδὴ ἐν οὕτω βραχεῖ χρόνῳ τοσαύτην πίστιν ἐπεδείξασθε καὶ ἄθλησιν, ὡς ἅπαντα τὸν κόσμον γέμειν. Ὡς περὶ ἐμψύχου δέ τινος διαλεγόμενος, εἶπε τὸ, *ἐξελήλυθεν. Ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι.*] Ἃ γὰρ ἡμᾶς, φησιν, ἐχρῆν περὶ ὑμῶν λαλεῖν, ἵνα καὶ τοὺς λοιποὺς εἰς τὸν ἴσον ἐναγάγωμεν ζῆλον, ἐκεῖνοι προφθάνοντες λέγουσιν. Οὕτως ἐστὶ σφοδρὰ καὶ ἐνεργὴς ἡ τῆς πίστεως ὑμῶν φήμη, ὥστε οὐδὲ περιμένουσιν ἡμᾶς οἱ ἄνθρωποι εἰπεῖν τι περὶ ὑμῶν. *Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς.*] Ὅτι, φησὶ, μετὰ πειρασμῶν καὶ κινδύνων, ὧν οἱ ἀνθιστάμενοι ἐπέφερον, εἰσήλθομεν πρὸς ὑμᾶς· ὑμεῖς δὲ οὐδὲ διὰ ταῦτα ἐσκανδαλίσθητε, ἢ ἧττον ἐπιστεύσατε. *Καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν θεόν.*] Τουτέστιν, ὅτι εὐκόλως, ὅτι μετὰ σφοδρᾶς καὶ διακαοῦς πίστεως. Ἐνταῦθα δὲ ἀνεπαχθεστέραν παραίνεσιν εἰσήγαγεν, ἀναμιμνήσκων αὐτοὺς εὐμεθόδως, ἀπὸ τίνων εἰς τίνα μετῆλθον, ἵνα καὶ ἀξίως αὐτῶν ζῶσι (2). *Καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ.*] Καὶ τοῦτο τῆς αὐτῆς μεθόδου ἐστί· διὰ γὰρ τῆς διηγήσεως καὶ τοῦ ἐπαίνου, διδάσκει λεληθότως *καὶ ἀναμένειν τὸν υἱὸν τοῦ θεοῦ ἐκ τῶν οὐρανῶν.* Εἶτα, ὡς

(1) «Τὸ, Ἀφ' ὑμῶν ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, εἴρηκεν, οὐκ ἐπειδὴ ἐκεῖθεν τὴν ἀρχὴν ἔλαβε τὸ κήρυγμα, ἀλλ' ὅτι τούτων ἡ περὶ τὰ θεῖα προθυμία πολυθρύλλητος γενομένη, πολλοὺς εἰς ζῆλον τῆς εὐσεβείας ἐκίνησεν.» Θεοδώρητος.

(2) «Διαῤῥήδην ἡμᾶς ἐδίδαξεν ὁ θεῖος ἀπόστολος, πῶς προσήκει νοεῖν τὸ, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν (Ἰωαν. ΙΖ', 3.). Οὐ γὰρ τῷ υἱῷ συγκρίνων, ἀλλὰ τοῖς οὐκ οὖσι θεοῖς τὸν ὄντα θεὸν, ζῶντα καὶ ἀληθινὸν αὐτὸν προσηγόρευσε. Καὶ ζῶντα μὲν αὐτὸν ὠνόμασεν, ὡς ἐκείνων οὐ ζώντων· ἀληθινὸν δὲ, ὡς ἐκείνων ψευδῶς θεῶν καλουμένων.» Θεοδώρητος.

ἐν ἀντιθέσει· Καὶ πῶς τὸν ἀποθανόντα ἔχομεν περιμένειν ἐκ τῶν οὐρανῶν; *Ὃν ἤγειρέ*, φησιν, *ἐκ τῶν νεκρῶν*. Ὅρα, πῶς εἰσῆλθεν εἰς τὴν ἀνάστασιν. Εἰ γὰρ μὴ τοῦτον ἀνεμένετε, οὐκ ἂν τοσαῦτα ὑπεμένετε· ὁ δὲ τὸν Χριστὸν ἀναμένων, ἀπέχεται παντὸς δηλονότι πονηροῦ πράγματος. *Τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.*] Εἶπε τὴν ἀνάστασιν, λέγει καὶ τὴν ἀνταπόδοσιν, ἣν ὀργὴν καλεῖ· αὐτὸς γὰρ ἐῤῥύσατο ἡμᾶς ἐξ αὐτῆς, τὰς ἁμαρτίας ἡμῶν ἀφεὶς (1).

ΚΕΦ. II, 1 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσο-
δον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν·
2 ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε,
ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ θεῷ ἡμῶν,
λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐν πολ-
3 λῷ ἀγῶνι. Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλά-
4 νης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ· ἀλλά, κα-
θὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ
εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις
ἀρέσκοντες, ἀλλὰ τῷ θεῷ, τῷ δοκιμάζοντι τὰς
καρδίας ἡμῶν.

Ὑμεῖς μέν, φησι, τοιοῦτοι· ἀλλ' οὐδὲ ἡμεῖς ἀνθρώπινόν τι ἐκηρύξαμεν εἰς ὑμᾶς, ἀλλὰ θεοῦ λόγους· οὐδὲ κενὴ γέγονεν ἡ εἴσοδος ἡμῶν, τουτέστιν, ἄνευ κινδύνων, καὶ ἀπείραστος, καὶ οὐδὲν στεῤῥὸν ἔχουσα· οὐ γὰρ μῦθοι ψευδεῖς καὶ λῆροι τὰ ἡμέτερα κηρύγματα. *Ἀλλὰ προπαθόντες.*] Πόθεν τοῦτό, φησιν, ὅτι οὐ κενὴ γέγονεν; Ὅτι ἀπὸ κινδύνων ἐκφυγόντες τῶν ἐν Φιλίπποις, πάλιν εἰς ἑτέρους κινδύνους ἐμβαλεῖν ἡμᾶς ἐθαῤῥήσαμεν· ὅπερ οὐκ ἂν ἐθαῤῥήσαμεν, εἰ μὴ θεῖον ᾔδειμεν τὸ

(1) «Καὶ τοῦτο τῆς αὐτῆς μεθόδου ἐστί· διδάσκει γὰρ ἐν εἴδει διηγήσεως, περιμένειν τὸν υἱὸν τοῦ θεοῦ. Παραμυθία γὰρ μεγίστη τοῖς θλιβομένοις τοῦτο, ὅτι ὁ παθὼν ἠγέρθη, καὶ ἐν τῷ οὐρανῷ ἐστι, καὶ ὅτι ἥξει, καὶ ἡμᾶς μὲν τοὺς θλιβομένους ῥύσεται ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης, τουτέστι, τῆς κολάσεως, ἅτε εὐηρεστηκότας αὐτῷ διὰ τῆς πίστεως καὶ τῆς ἀμώμου πολιτείας· τῶν δὲ θλιβόντων ἡμᾶς οὐ φείσεται. Ἐπειδὴ δὲ τὰ μὲν δεινά, ἐν χερσί, τὰ δὲ χρηστά, ἐν ἐλπίσι, μεγάλην αὐτοῖς προσμαρτυρεῖ πίστιν, εἴγε ἀναμένουσι καὶ ἐλπίζουσι βεβαίως τὰ μέλλοντα.» Θεοφύλακτος.

κήρυγμα. *Ἐπαῤῥησιασάμεθα ἐν τῷ θεῷ ἡμῶν.*] Οὐχ ὑπεστάλημεν διὰ τοὺς καὶ παρ' ὑμῖν ἐκ τῶν ἐναντίων κινδύνους, ἀλλ' *ἐπαῤῥησιασάμεθα*. Ὁρᾷς, πῶς ἐθάῤῥουν τῷ κηρυσσομένῳ; *Ἐν τῷ θεῷ δὲ ἡμῶν*, λέγων, τὸ πᾶν τῷ θεῷ ἀνατίθησι· τουτέστι, διὰ τὸν ἐνδυναμοῦντα θεὸν, τοῦτο ποιῆσαι τεθαῤῥήκαμεν. *Ἐν πολλῷ ἀγῶνι.*] Ὁρᾷς, ὅτι καὶ παρὰ Θεσσαλονικεῦσι κίνδυνος ἦν οὐ μικρός; *Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας.*] Τίνος δὲ χάριν, φησὶν, ἀπὸ κινδύνων εἰς κινδύνους ἐμβαλεῖν ἡμᾶς ἐθαῤῥήσαμεν; Ὅτι *ἡ παράκλησις ἡμῶν*, τουτέςιν, ἡ διδαχὴ, οὐ πεπλανημένον τι ἢ δεδολωμένον ἢ ἀκάθαρτον, τουτέστι, μυσαρὸν ἢ γοητικὸν ἔχει, ἀλλὰ θεία ἐστὶ διδαχή· καὶ τούτου δεῖγμα αὐτὸ τὸ καταθαῤῥεῖν τῶν κινδύνων. *Ἀλλὰ, καθὼς δεδοκιμάσμεθα.*] Ἀλλ' οὕτως ἐλαλήσαμεν ὑμῖν, φησιν, ὡς ἐδοκιμάσθημεν παρὰ θεοῦ, ἄξιοι γενέσθαι τοῦ πιστευθῆναι τὸ εὐαγγέλιον· ὡσεὶ ἔλεγεν· Ὁ θεὸς ἐδοκίμασεν ἡμᾶς, μηδὲν πρὸς δόξαν λαλεῖν ἀνθρώπων μέλλοντας· διὸ καὶ ἐπίστευσεν ἡμῖν τὸ εὐαγγέλιον. Οὕτως οὖν ἐλαλήσαμεν ὑμῖν, ὡς ἐδοκίμασε καὶ ἔγνω ἡμᾶς ὁ θεὸς, τουτέστιν, ἄνευ κενοδοξίας, ἄνευ τοῦ θέλειν ὑμῖν ἀρέσκειν, ἄνευ δόλου καὶ ἀκαθαρσίας. *Οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες.*] Ἡρμήνευσεν ἑαυτόν. Οἱ γὰρ δόλιά, φησι, καὶ ψευδῆ διδάσκοντες, διὰ τὸ ἀρέσαι ἀνθρώποις διδάσκουσιν· ἡμεῖς δὲ οὐχ οὕτως· οὐ γὰρ ψεῦδος ἐδιδάσκομεν. Ἐπειδὴ γὰρ ἐπήνεσεν αὐτοὺς, ἵνα μὴ κολακεύειν ὑποπτευθῇ, εἰς τοῦτον ἦλθε τὸν λόγον. *Τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.*] Τῷ δὲ τὰς καρδίας *δοκιμάζοντι*, ἤτοι, ἐξετάζοντι θεῷ, οὐκ ἔνι τὸν δόλους λαλοῦντα καὶ πρὸς ἀνθρωπαρέσκειαν ἀρέσαι.

5 Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν,
καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας· Θε-
6 ὸς μάρτυς· οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν,
οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων· (δυνάμενοι ἐν βά-
7 ρει εἶναι, ὡς Χριστοῦ ἀπόστολοι·) ἀλλ' ἐγενήθη-

μεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ
8 ἑαυτῆς τέκνα· οὕτως ἱμειρόμενοι (1) ὑμῶν, εὐδο-
κοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον
τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγα-
ἀγαπητοὶ ἡμῖν γεγένησθε.

Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν.] Ἐπειδὴ προλαβὼν ἐπήνεσεν αὐτοὺς, ἵνα μὴ ὕποπτον ποιήσῃ τὸν ἔπαινόν, φησιν· Ὅτι οὐδὲ ἄλλοτέ ποτε ἐκολάκευσα ὑμᾶς· ὅπερ τῶν ἀπατώντων ἴδιόν ἐςιν· οὐκοῦν οὐδὲ νῦν. *Οὔτε ἐν προφάσει πλεονεξίας.*] Οὔτε διὰ φιλοχρηματίαν ἐκηρύξαμεν ὑμῖν. Τοῦ μὲν οὖν μὴ ἐν λόγῳ κολακείας ἐλθεῖν, αὐτοὺς καλεῖ μάρτυρας, καὶ εἰκότως· αὐτοὶ γὰρ τῶν ἄλλων μᾶλλον τὰ περὶ αὐτοὺς ᾔδεισαν· ὅτι δὲ οὐδὲ ἐν προφάσει καὶ σκοπῷ τοῦ λαβεῖν, τὸν θεὸν καλεῖ μάρτυρα· ἄδηλα γὰρ ἀνθρώποις τὰ ἐν διανοίᾳ ἑκάστου μελετώμενα. Τὸ μὲν γὰρ λαβεῖν, ἢ μὴ λαβεῖν, γνωστὸν ἀνθρώποις γίνεται καὶ μαρτυρεῖται· τὸ δὲ μηδὲ σκοπόν ποτε κτήσασθαι τοῦ λαβεῖν, θεῷ γινώσκεται μόνῳ· χρόνῳ δὲ, καὶ ἀνθρώποις ἀποκαλύπτεται· ὁ γὰρ ἔχων τοῦτον τὸν σκοπὸν, πάντως εἰ μὴ μεταβάλλει τὸν σκοπὸν, ὅτε δήποτε λήψεται· Παύλῳ δὲ, οὐδὲ ἐπὶ νοῦν ἧκε τὸ ἐπὶ προφάσει κέρδους κηρύξαι. Διὸ εἰκότως τῶν ἐν διανοίᾳ τὸν Κύριον μάρτυρα καλεῖ. *Οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν.*] Ὁ αὐτός, φησι, μάρτυς, ὅτι οὐδὲ δόξαν ἐξ ἀνθρώπων ζητοῦντες κηρύττομεν. Καλῶς δὲ τὸ, *ἐξ ἀνθρώπων*· τὴν γὰρ ἐκ θεοῦ, καὶ ἐζήτουν, καὶ ἐλάμβανον. Σοφῶς δὲ λίαν καὶ τὸ, *ζητοῦντες*. Εἰ γὰρ καὶ ἐδοξάζοντο ὑπ' ἀνθρώπων, ἀλλ' οὐ ζητοῦντες, οὐδὲ ἐπιτηδεύοντες τὸ δοξασθῆναι. Διὸ καὶ τούτου μάρτυς ὁ θεός· ἀπὸ κοινοῦ γὰρ ληπτέον αὐτό. Ἢ, *οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν*· οἷον· Οὐδ' ἵνα λάβωμεν παρ'

(1) Ἀντὶ τοῦ, ἱμειρόμενοι, ἀναγινώσκεται παρά τισιν, ὁμειρόμενοι, ἄγνωστον παρὰ τοῖς νεωτέροις λεξικογράφοις. Παρὰ τῷ Ἡσυχίῳ, Ὁμειρόμενοι, [ἐπιθυμοῦντες]. Ὁμείρονται, ἐπιθυμοῦσιν. Ὡσαύτως καὶ παρὰ τῷ Φωτίῳ. Ἀλλ' ἡ ἐξήγησις αὕτη ἁρμόζει μᾶλλον τῷ, Ἱμειρόμενοι, ἢ τῷ, Ὁμειρόμενοι, ὡς ἐξηγεῖται τοῦτο παρὰ τοῦ Θεοφυλάκτου.

ὑμῶν ἢ ἀπ' ἄλλων δόξαν, ἐλαλήσαμεν ὑμῖν ψεύδη τινά· οὐ γὰρ ζητοῦμεν τὴν παρὰ ἀνθρώπων δόξαν· καὶ ταῦτά, φησι, δυνάμενοι εἶναι ἔνδοξοι, καὶ μὴ ἐκ τούτου ἁμαρτάνοντες· ἐσμὲν γὰρ Χριστοῦ ἀπόστολοι. Οἱ οὖν καὶ τὴν ὀφειλομένην ἡμῖν δόξαν ἀρνησάμενοί, φησι, πῶς διὰ δόξαν ἀπρεπῆ ἐμέλλομέν τι δεδολωμένον κηρύσσειν; *Δυνάμενοι ἐν βάρει εἶναι, ὡς Χριστοῦ ἀπόστολοι.*] Ἢ ἐν τιμῇ, καὶ δόξῃ, καὶ ὄγκῳ· ἢ *δυνάμενοι ἐν βάρει εἶναι*, τουτέστι, δυνάμενοι λαμβάνειν καὶ τρέφεσθαι, καὶ βαρεῖς ὑμῖν εἶναι. Καὶ γὰρ τὸ ἀξίωμα ἡμῶν τοῦτο ἀπαιτεῖ, λαμβάνειν παρ' ὑμῶν. Εἰ γὰρ οἱ παρὰ βασιλέως ἀποστελλόμενοι ἐν τιμῇ εἰσι, πόσῳ μᾶλλον οἱ ἀπὸ Χριστοῦ; *Ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν.*] Τουτέστιν, Οὐδὲν βαρὺ, οὐδὲν φορτικὸν, οὐδένα κόμπον ἔχοντες, ἐγενήθημεν ἐν μέσῳ ὑμῶν· τουτέστιν, οὐ τὴν ἀνωτέρω λαβόντες τάξιν, ἀλλ' ὡς εἷς ἐξ ὑμῶν ἐγενήθημεν. *Ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα.*] Τὴν φιλοστοργίαν αὐτοῦ δείκνυσι. Μὴ ἡ τροφὸς κολακεύει, ἵνα δόξης τύχῃ; μὴ χρήματα αἰτεῖ παρὰ τῶν παίδων τῶν μικρῶν; Οὕτω δεῖ τὸν διδάσκαλον εἶναι προσηνῆ, καταφιλοῦντα τοὺς ἐμπαροινοῦντας αὐτῷ, ὡς καὶ ἡ τροφὸς τὰ παιδία, κἂν τύπτωσιν. *Οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν.*] Οὕτως *ἱμειρόμενοι ὑμῶν*, τουτέστιν, οὕτως ἐπιθυμοῦντες ὑμῶν, ἢ, οὕτως ἀγαπῶντες ὑμᾶς καὶ ἀντεχόμενοι ὑμῶν (1), *εὐδοκοῦμεν*, τουτέστι, σπουδάζομεν, ἢ βουλόμεθα, μετὰ τοῦ κηρύγματος, *καὶ τὰς ἑαυτῶν ψυχὰς*, εἰ οἷόν τε, δοῦναι ὑμῖν, καὶ ὑπὲρ ὑμῶν. Ὁ δὲ τοῦτο

(1) Ὁ Θεοφύλακτος, ἐγκρίνων τὴν ἀνάγνωσιν, ὁμειρόμενοι, ἑρμηνεύει· «Ὁμειρόμενοι ὑμῶν, τουτέστι, προσδεδεμένοι ὑμῖν καὶ ἐχόμενοι ὑμῶν, παρὰ τὸ, ὁμοῦ, καὶ τὸ, εἴρω, τὸ, συμπλέκω. Τινὲς δὲ, ἱμειρόμενοι, ἀνέγνωσαν, ἀντὶ τοῦ, ἐπιθυμοῦντες· οὐκ ἔστι δέ. Οὐ μόνον οὖν, φησιν, οὐδὲν ἐλάβομεν ἀφ' ὑμῶν, ἀλλ', εἰ οἷόν τε, εὐδοκοῦμεν, τουτέστι, σφόδρα θέλομεν, καὶ τὰς ψυχὰς εἰς ὑμᾶς κενῶσαι.» Ὁ Χρυσόστομος «Οὕτω, φησὶν, ἱμειρόμενοι ὑμῶν, τουτέστιν, ἐπιθυμοῦντες, οὕτως ὑμῖν προσδεδέμεθα, φησιν, ὅτι οὐ μόνον οὐδὲν λαμβάνομεν, ἀλλ', εἰ δεῖ, καὶ τὰς ψυχὰς μεταδοῦναι, οὐκ ἂν παρῃτησάμεθα.» Κατὰ ταῦτα, τὸ μὲν, ἐπιθυμοῦντες, ἐξηγεῖ τὸ, ἱμειρόμενοι· τὸ δὲ, προσδεδέμεθα, τὸ, ὁμειρόμενοι κατὰ τὴν ἐτυμολογίαν τοῦ Θεοφυλάκτου.

βουλόμενος, πῶς βιωτικοῦ τινος ἕνεκεν ἐκήρυξε; πῶς δὲ σαρκικῆς ὅλως μετεῖχε διανοίας; Τὸ μὲν οὖν διδόναι τὸ εὐαγγέλιον, τιμιώτερον· τὸ δὲ τὴν ψυχὴν δοῦναι, δυσκολώτερον, καὶ σφοδροτέρας καὶ οἱονεὶ μανικωτέρας ἀγάπης· ὅπερ καὶ αὐτὸς ἐπάγει· *Διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε.*] Καὶ τίς ἡ τούτων αἰτία; εἴποι τις αὐτῶν. Ἡ ἀγάπη φησίν (1).

9 Μνημονεύετε γάρ, ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ
τὸν μόχθον· νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι,
πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς
10 ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ. Ὑμεῖς μάρτυρες
καὶ ὁ Θεός, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως
11 ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν· καθάπερ οἴδατε,
ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ,
12 παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι, καὶ μαρ-
τυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ,
τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ
δόξαν.

Τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον.] Οὐκ εἶπε, τὰς εὐεργεσίας, ἃς εὐηργετήσαμεν ὑμᾶς, ἀλλ', ὃ μᾶλλον ἦν ἐντρεπτικώτερον, *τὸν κόπον ἡμῶν*· καὶ οὐχ ἁπλῶς· ἀλλά, *καὶ τὸν μόχθον*, τουτέστι, τὸν μετὰ πολλῆς σπουδῆς. Καὶ οὐχ *ἡμέρας* μόνον, ἀλλὰ καὶ *νυκτὸς ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν*, καίτοι ἔχοντες ἐξουσίαν, ὡς Χριστοῦ ἀπόστολοι, καθὼς ἀνωτέρω εἶπε (2). Δείκνυσι δὲ καὶ ἐν πενίᾳ ὄντας τοὺς Θεσσαλονικεῖς, διὰ τοῦ εἰπεῖν, Πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν (3). *Ὑμεῖς μάρτυρες καὶ ὁ Θεός.*] Ἀξιόπιστος μὲν ὁ Θεὸς μάρτυς· (πῶς γὰρ οὔ;) ἐπεὶ δὲ ἄδηλον τοῖς ἀνθρώποις, εἰ ὁ Θεὸς εἰς τοῦτο μαρτυρεῖ, καὶ αὐτούς, τοὺς πρὸς οὓς ὁ λόγος, καλεῖ μάρ-

(1) « Ἵνα μὴ δόξῃ λέγειν ταῦτα πάντα ὡς κάμνων ὑπὲρ αὐτῶν, καὶ ὡς ὀφείλων τιμηθῆναι παρ' αὐτῶν ὑπὲρ τούτου, φησίν, ὅτι δι' οὐδὲν ἄλλο ταῦτα ποιῶ, ἢ διὰ τὴν ἀγάπην. Οὐ γὰρ ἀντιμισθίαν ζητῶ, ἀλλὰ δι' αὐτὸ τὸ καλόν. » Θεοφύλακτος.

(2) Α' Θεσσαλ. Β', 6. Β' Θεσσαλ. Γ', 7. 9. Α' Κορ. Δ', 12. Β' Κορ. ΙΑ', 7-9. ΙΒ', 14-16. (3) Φιλιπ. Δ', 16.

τυρας. Ὡς εἰ ἔλεγε· Μάρτυρες ὑμεῖς, ὧν ἐθεάσασθε· ὧν δὲ ὑμεῖς οὐκ ἐθεάσασθε, ὁ θεὸς, ὁ πάντα εἰδώς. Οὕτως οὐδὲ ὑπονοίας αὐτοῖς λαβὴν ἐβούλετο καταλιπεῖν. *Ὡς ὁσίως.*] Ὅτι ἀδόλως, ὅτι οὐχ ὑπούλως, ὅτι οὐ κατὰ ἀνθρωπαρέσκειαν, ὅτι ἄνευ προθέσεως τοῦ λαβεῖν τι. *Ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν.*] Τοῖς γὰρ ἀπίστοις οὐκ ἄμεμπτος· πολλὰ γὰρ αὐτοῦ κατεμέμφοντο, καὶ πρῶτον, ὅτι ἐκήρυσσεν ἀπὸ τῶν εἰδώλων ἀφίστασθαι. *Καθάπερ οἴδατε.*] Πάλιν αὐτοὺς καλεῖ μάρτυρας· ὃ σημεῖον τοῦ μὴ ἀλαζονευόμενον λέγειν. *Ὡς ἕνα ἕκαστον ὑμῶν.*] Ὅτι, φησὶ, καὶ πλούσιον, καὶ πένητα, καὶ ταπεινὸν, καὶ δυνάστην, καὶ δυσανασχετοῦντα. Βαβαί! Οἷον ἦν τὸ μηδένα παραλιπεῖν ἀπαρηγόρητον ἐν τοσούτῳ πλήθει· ἀλλ' ἑνὶ ἑκάστῳ προσφόρως διαλέγεσθαι! *Ὡς πατὴρ τέκνα ἑαυτοῦ.*] Ἄνω, *ὡς τροφὸς*, εἰπὼν, νῦν, *ὡς πατὴρ*, φησιν, ὃ καὶ ἀγάπην καὶ προστασίαν δηλοῖ, καὶ ὅτι ἀτύφως πάντα ἐποίει. Τίς γὰρ ἂν πατὴρ πρὸς τέκνα ἐπαρθείη; *Παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι.*] Εἰς τὸ φέρειν γενναίως τοὺς ἐπανισταμένους ὑμῖν πειρασμούς. *Καὶ μαρτυρόμενοι.*] *Τὸ μαρτύρεσθαι* ἤδη πληκτικωτέρας διδασκαλίας ἐστιν. Ὁ γὰρ μαρτυρόμενος, δῆλον ὅτι πολὺ τοῦ κολακεύειν καὶ ἀνθρωπαρεσκεῖν ἀφέστηκεν. Ἐπεὶ δὲ προεῖπεν, ὅτι *ὡς πατὴρ*, τότε ἐπήγαγε καὶ τὸ, *μαρτυρόμενοι*. Οὐ γὰρ σφοδρῶς, φησὶν, ἀλλ' ὡς πατέρες. *Εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ θεοῦ.*] Παρακαλοῦμεν δέ, φησιν, οὐχ ἵνα τι ἡμῖν χαρίσησθε, ἀλλ' ἵνα ὑμεῖς ὠφεληθῆτε, καὶ βατὴν ὑμῖν αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν κατασκευάσητε, ἀξίως αὐτῆς περιπατοῦντες. Ὅρα δὲ αὐτὸν, ἐν εἴδει διηγήσεως ἐν ταὐτῷ καὶ διδάσκοντα καὶ παραμυθούμενον. Εἰ γὰρ θεοῦ βασιλεία τὸ ἔπαθλον, δεῖ πάντα φέρειν προθύμως (1).

---

(1) « Ἄγαν ἁρμοδίως τὰ τρία τέθεικε, τὸ, παρακαλοῦντες, καὶ, παραμυθούμενοι, καὶ, μαρτυρόμενοι. Οὐ γὰρ μόνον ψυχαγωγίαν δεῖ τοῖς ἀθυμοῦσι προσφέρειν, ἀλλὰ καὶ τοὺς ῥαστώνῃ συζῶντας δεδίττεσθαι τῇ μνήμῃ τῶν ἠπειλημένων κακῶν. Ταῦτα δὲ ἐποίουν, φησὶ, προτρέπων ὑμᾶς, κατάλληλον ἑλέσθαι βίον τῷ κεκληκότι θεῷ, καὶ τῶν οὐρανῶν ὑποσχομένῳ τὴν βασιλείαν. » Θεοδώρητος.

13 **Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ θεῷ ἀδιαλείπτως, ὅτι, παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ θεοῦ, ἐδέξασθε, οὐ λόγον ἀνθρώπων, ἀλλὰ, καθώς ἐστιν ἀληθῶς, λόγον θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.**

Ἐνταῦθα καὶ αὐτοὺς ἐγκωμιάζει. Οὐ γὰρ ἡμεῖς μὲν ἀμέμπτως, φησὶ, καὶ, ὡς εἴρηται, ἀδόλως ἀνεστράφημεν εἰς ὑμᾶς, ὑμεῖς δὲ ἀνάξιόν τι τῆς πίστεως πεποιήκατε· ἀλλὰ, *παραλαβόντες λόγον ἀκοῆς τοῦ θεοῦ παρ' ἡμῶν*, τουτέστι, λόγον ἀκουσθέντα εἰς ὑμᾶς, τὸν τοῦ κηρύγματος δηλονότι, *ἐδέξασθε*. Ἐδέξασθε δὲ πῶς; ἆρα καταπεφρονημένως; Οὔ, φησιν· ἀλλ' οὕτως ἐδέξασθε, οὐχ ὡς λόγον ἀνθρώπου δεχόμενοι, τουτέστιν ἐμοῦ, ἀλλ' ὡς λόγον θεοῦ. Δι' ἐμοῦ γάρ, φησιν, ὁ θεὸς ἐφθέγξατο. Ἢ, *λόγον ἀκοῆς*, τὸν διὰ τῆς ἀκοῆς παραληφθέντα λόγον τῆς πίστεως· ἢ λόγον ἀκουσθέντα· ἢ λόγον διὰ τῆς ἀκοῆς παραλαβόντες. — *Λόγον ἀκοῆς*. Καλῶς· ἀντὶ τοῦ, ἐξ ἀκοῆς πιςευόμενον· οὐ γὰρ πάντες αὐτόπται ἠδύναντο γίνεσθαι τοῦ κηρυττομένου. Ἔλεγε δὲ καὶ ὁ Κύριος· *Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες* (α), δι' ἀκοῆς δηλονότι καὶ λόγου παραδεξάμενοι τὴν εὐσέβειαν. (Φωτίου).— *Παραλαβόντες παρ' ἡμῶν*.] Παρ' ἡμῶν μὲν παρελάβετε, οὐχ ἡμέτερον δὲ ὄντα, ἀλλὰ τοῦ θεοῦ τὸν λόγον. *Ἐδέξασθε, οὐ λόγον ἀνθρώπων*.] Οὐχ ὡς λόγον, φησὶν, ἀνθρώπων, *ἀλλὰ, καθώς ἐστιν ἀληθῶς, λόγον θεοῦ*, τουτέςιν, οὐχ ὡς λόγον ἀνθρώπων, ἀλλ' ὡς λόγον θεοῦ, καθὼς καὶ ἐστὶν ἀληθῶς λόγος θεοῦ· ἢ, καθώς ἐστι καὶ πρέπει δέξασθαι λόγον θεοῦ, τουτέστι, μετὰ φόβου, μετὰ προσοχῆς (1).— *Ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν*.] Ἢ, *ἐνεργεῖ ἐν ὑμῖν*, τουτέ-

(α) Ἰωαν. Κ', 29.

(1) « Οὐ γὰρ ἡμεῖς μέν, φησιν, ἀμέμπτως πάντα πράττομεν· ὑμεῖς δὲ ἀνάξιόν τι τῆς ἐμῆς διαταγῆς ἐνεδείξασθε. Οὐ γὰρ ὡς ἀνθρώπων ἁπλῶς ἀκούοντες διάκεισθε, ἀλλ' ὡς αὐτοῦ τοῦ θεοῦ παραινοῦντος, οὕτω προσείχετε. Λόγον δὲ ἀκοῆς τοῦ θεοῦ, τὸ κήρυγμά φησιν, ὡς διὰ τοῦ ἀκουσθῆναι πιστευόμενον. Πῶς γὰρ πιστεύσουσιν, ἐὰν μὴ ἀκούσωσιν; (Ῥωμ. Ι, 14). » Θεοφύλακτος.

στι, τὴν οἰκείαν δύναμιν ἐπιδείκνυσιν, ἴσως διὰ σημείων τινῶν· ἢ, *ἐνεργεῖται*, τουτέστιν, αὔξει διὰ τοῦ ὑμετέρου βίου (1).

14 Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν ἐκ-
κλησιῶν τοῦ θεοῦ, τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν
Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν
ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων,
15 τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς
ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ θεῷ
16 μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων· κω-
λυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν,
εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε·
ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

Καὶ ὅτι, φησὶν, ὡς λόγον θεοῦ ἐδέξασθε, ἔνθεν δῆλον, ἐξ ὧν ὑπὲρ αὐτοῦ τοσαῦτα παθεῖν ἠνέχεσθε. Ὥσπερ γὰρ ἐξ ὧν αὐτὸς ἔπασχεν, ἐπιστοῦτο τὸ θεῖά τινα κηρύσσειν· οὕτω καὶ ἐξ ὧν οὗτοι ἔπαθον, πιστοῦνται, ὅτι ὡς θεοῦ λόγον ἐδέξαντο τὸ κήρυγμα. *Τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν Χριστῷ.*] Εὐφυῶς διεῖλεν. Ἐπειδὴ γὰρ καὶ αἱ συναγωγαὶ τῶν Ἰουδαίων ἐν θεῷ εἶναι δοκοῦσι, τὰς τῶν πιστῶν ἐκκλησίας, καὶ ἐν τῷ θεῷ καὶ ἐν τῷ υἱῷ αὐτοῦ λέγει εἶναι· *τῶν ἐκκλησιῶν* γὰρ, φησι, *τοῦ θεοῦ, τῶν οὐσῶν ἐν Χριστῷ Ἰησοῦ*· ὁ δὲ ἀρνούμενος τὸν υἱὸν, καὶ τὸν πατέρα ἤρνηται. *Ὅτι τὰ αὐτὰ ἐπάθετε.*] Καὶ οὗτοι πολλοὺς ὑπέμειναν ὑπὸ τῶν ἰδίων συμφυλετῶν πειρασμοὺς, ὥσπερ οἱ ἐκ περιτομῆς πιστοὶ, ὑπὸ τῶν τῷ Ἰουδαϊσμῷ ἐναπομεινάντων. Οὐ μικρὸν δὲ τεκμήριον καὶ τοῦ ἀληθὲς εἶναι τὸ κήρυγμα, τὸ Ἰουδαίους τοσαῦτα παθεῖν ὑπὲρ αὐτοῦ, οἳ πρὶν ἐδίωκον. *Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων.*] Καὶ τί θαυμαστὸν, φησιν, εἰ τοὺς ἰδίους συμφυλέτας ἐκάκωσαν οἱ Ἰουδαῖοι, ὅπου γε καὶ τὸν Κύριον ἐσταύρωσαν; Μεγάλη γὰρ πρὸς πειρασμοὺς παρα-

(1) « Πόθεν δῆλον, ὅτι ὡς θεοῦ λόγον ἐδέξασθε; Ἐνεργεῖται γὰρ, φησιν, ἐν ὑμῖν, τουτέστιν, ἐκ τῶν ἔργων αὐτῶν δείκνυται. Εἰ μὴ γὰρ οὕτως αὐτὸν ἐδέξασθε, οὐκ ἂν τοὺς τηλικούτους πειρασμοὺς οὕτω γενναίως ἠνέγκατε. » Θεοφύλακτος.

μυθία τὸ κοινωνεῖν τῷ Χριςῷ τῶν παθημάτων· διὸ καὶ ἀεὶ αὐτῶν μέμνηται. *Καὶ τοὺς ἰδίους προφήτας.*] Ἴσως, φησὶν, ἐρεῖ τις, ὅτι τὸν Κύριον ἀγνοήσαντες ἀνεῖλον. Ἀλλὰ καὶ αὐτοὺς τοὺς ἰδίους προφήτας, ὧν τὰς βίβλους μετεχειρίζοντο, ἠγνόουν; Ἀλλ' ὅμως καὶ αὐτοὺς ἀνεῖλον (1). Ὥστε δῆλον, ὅτι οὐδὲν ποιοῦσιν ὡς ζηλοῦντες ὑπὲρ τῆς ἀληθείας, ἀλλὰ μᾶλλον κατὰ τῆς ἀληθείας λυττῶντες. *Καὶ ἡμᾶς ἐκδιωξάντων.*] Τοὺς ἀποςόλους, τοὺς διδασκάλους ὑμῶν. Δεῖ οὖν ὑμᾶς τοὺς μαθητὰς γενναίως φέρειν τοὺς πειρασμοὺς, ἀφορῶντας πρὸς τοὺς πεπονθότας. *Καὶ θεῷ μὴ ἀρεσκόντων.*] Πῶς γὰρ ἂν ἀρέσαιεν τῷ θεῷ, οὗ τὸν υἱὸν ἀπέκτειναν, τοὺς προφήτας προαποκτείναντες; *Καὶ πᾶσιν ἀνθρώποις ἐναντίων.*] Εἰ γὰρ τῇ οἰκουμένῃ τὸ κήρυγμα λαληθῆναι, θεοῦ ἐςιν, ἵνα σωθῇ, αὐτοὶ δὲ κωλύουσι λαλῆσαι, καὶ πάντων τὴν σωτηρίαν ἐμποδίζουσιν, ἄρα κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροὶ, πρὸς τὴν πάντων σωτηρίαν ἐναντίως ἔχοντες (2). *Εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε.*] Ταῦτα δέ, φησι, καὶ πάλαι ἐπὶ τῶν προφητῶν, καὶ ὕστερον ἐπὶ τοῦ Χριστοῦ, καὶ ἐφ' ἡμῶν ἔπραξαν, ἵνα (3) πάντοτε ἀναπληρωθῶσιν αἱ ἁμαρτίαι αὐτῶν. Ἐπειδὴ γὰρ πάντοτε ταῦτα ἔπραττον, πάντοτε ἀνεπλήρουν τὰς ἁμαρτίας αὐτῶν.—Ὅρα ἐπιτεταμένην τὴν Ἰουδαίων κατηγορίαν, καὶ ἀξίαν τῆς αὐτῶν μιαιφονίας! Φησὶ γὰρ, ὅτι πάντα, ἃ ἐποίησαν οἱ Ἰουδαῖοι, σκοπῷ τοῦ ἁμαρτάνειν ἐποίουν, τουτέστιν, ᾔδεισαν, ὅτι ἁμαρτάνουσι, καὶ ἡμάρτανον. *Εἰς τὸ ἀναπληρῶσαι* γάρ, φησιν, *αὐτῶν τὰς ἁμαρτίας*· οἷον, ὥσπερ χρεωστοῦντες ἁμαρτάνειν, οὕτως ἡμάρτανον. Ἔστω γὰρ, ὅτι τὸν Κύριον ἀγνοοῦντες ἀνεῖλον, τοὺς προφήτας διὰ τί, ἐφ' οἷς σεμνύνονται; ἡμᾶς διὰ τί διώκουσιν; ὑμᾶς διὰ τί κακοῦσι; τὰ ἔθνη διὰ τί κωλύουσι σωθῆναι; Εἰ ἀγαθόν ἐστι τὸ προσελθεῖν τῇ πίστει Χριστοῦ τὰ ἔθνη, τί μὴ

---

(1) Ματθ. Ε', 12: ΚΓ', 31. 37. (2) Λουκ. ΙΑ', 52.

(3) «Ἵνα δεικνύωσιν ἑαυτοὺς τὰ τελειότατα ἁμαρτάνοντας, καὶ φθάνοντας τὸ πλῆρες μέτρον τῆς κακίας καὶ ἀκρότατον.» Θεοφύλακτος.

προστρέχουσι καὶ αὐτοί; ἀλλὰ καὶ τοὺς προστρέχοντας ἐπιχειροῦσι κωλύειν; Εἰ δὲ οὐκ ἀγαθὸν ἡγοῦνται, τί διαφθονοῦνται τοῖς προσιοῦσι; Τί δὲ αὐτοῖς καὶ τῶν ἐθνῶν μέλει; Ὁρᾷς, πῶς ἑκουσίως ἁμαρτάνουσι, καὶ πάντα ποιοῦσιν εἰς τὸ πάντοτε ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας, τουτέστιν, ἕνεκα τοῦ μηδέ ποτε ἀποστῆναι αὐτοὺς τοῦ ἁμαρτάνειν; Διὰ τοῦτό φησι, καὶ *ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος*. Ἀεὶ μὲν γὰρ ἁμαρτανόντων, εἵπετο ἡ ὀργή· ἀνεβάλλετο δὲ, τῇ μετανοίᾳ χώραν διδοῦσα, νῦν δὲ κατέλαβεν αὐτούς.—*Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.*] Οὐκέτι, φησὶν, ὡς πάλαι δουλεία, καὶ πάλιν ἐλευθερία, αἰχμαλωσία, καὶ πάλιν ἐπάνοδος, καὶ ὀργὴ θεοῦ, καὶ πάλιν καταλλαγή· ἀλλ' *εἰς τέλος*, φησὶν, *ἡ ὀργὴ τοῦ θεοῦ ἔφθασεν ἐπ' αὐτούς*, τουτέστιν, ἄχρι τέλους· οὐκέτι λύσις τῶν κακῶν. Καὶ τῷ εἰπεῖν δὲ, *ἡ ὀργή*, μετὰ τοῦ ἄρθρου, δείκνυσιν ὀφειλομένην πάλαι αὐτοῖς ταύτην, καὶ προωρισμένην, καὶ προφητευομένην. Παραμυθησάμενος δὲ τοὺς Θεσσαλονικεῖς ἐκ τοῦ δεῖξαι, ὅτι πολλοὺς ἔχουσι κοινωνοὺς τῶν πειρασμῶν, παραμυθεῖται αὐτοὺς νῦν καὶ ἐκ τοῦ δεῖξαι, ὅτι καὶ οἱ θλίβοντες αὐτοὺς δίκην δώσουσιν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Πόθος αὐτῶν καὶ χαρὰ ἐπ' αὐτοῖς, καὶ μέριμνα, ὅπως ἂν τελειωθῶσιν.

17 Ἡμεῖς δὲ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν
πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν
18 πολλῇ ἐπιθυμίᾳ. Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς,
ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ καὶ δίς· καὶ ἐνέκοψεν
19 ἡμᾶς ὁ σατανᾶς. Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ
στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν

τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν τῇ αὐτοῦ
20 παρουσίᾳ; Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

Ἡμεῖς δὲ *ἀπορφανισθέντες ἀφ' ὑμῶν.*] Ἄνω μὲν εἶπεν, ὅτι, *ὡς πατὴρ τέκνα*, καὶ, *ὡς τροφός*· ἐνταῦθα δὲ, *ἀπορφανισθέντες*, ὅπερ ἐστὶ παίδων, πατέρας ἐπιζητούντων. Ἀπορφανισθέντες δὲ, ἀντὶ τοῦ, ὀρφανοὶ καταλειφθέντες ἀφ' ὑμῶν. Ὁρᾷς; ὅση τοῦ χωρισμοῦ ἡ λύπη; Τοῦτο δὲ ἦν διὰ τὴν πολλὴν ἀγάπην. *Πρὸς καιρὸν ὥρας.*] Οὐκ ἔνι εἰπεῖν, φησιν, ὅτι ὁ χρόνος τοῦ χωρισμοῦ τὴν ἀθυμίαν ἐπέτεινεν, ἀλλ' ἡ ἀγάπη· *πρὸς ὥρας* γὰρ *καιρὸν*, τουτέστι, πρὸς καιρὸν βραχὺν καὶ ὀλίγον, καὶ ὅσον ὥρας μιᾶς λογίζεσθαι, ἐχωρίσθημεν (1). *Προσώπῳ, οὐ καρδίᾳ.*] Καὶ οὐδὲ *καρδίᾳ* ἐχωρίσθημέν, φησιν, ἀλλὰ *προσώπῳ* μόνῳ· καὶ ὅμως οὕτως ἠθυμήσαμεν. Ὁρᾷς, ὅση ἡ ἀγάπη; Ἠνιᾶτο, καὶ πρὸς ὥραν, καὶ προσώπῳ, χωρισθείς. Ἐν γὰρ τῇ καρδίᾳ εἶχεν αὐτοὺς, καὶ ἀεὶ περιέφερεν αὐτοὺς ἐν αὐτῇ (2). *Περισσοτέρως ἐσπουδάσαμεν.*] Περισσοτέρως, ἢ ὡς εἰκὸς ἦν, τοὺς πρὸς ὥραν ἀπολειφθέντας. Ὅρα δὲ ἀγάπην· ὅτι δι' οὐδὲν ἕτερον παραγενέσθαι θέλω, φησὶν, ἀλλ' ἵνα τὸ πρόσωπον ὑμῶν ἴδω. *Διὸ ἠθελήσαμεν ἐλθεῖν.*] Ὅρα αὐτὸν, μικροῦ καὶ ἐγκαλλωπιζόμενον τῇ ἀγάπῃ, δεικνὺς, ὅτι μάλιστα πάντων αὐτοὺς ἐφίλει, διὰ τοῦ εἰπεῖν· *Ἐγὼ μὲν Παῦλος*· τουτέστι, Καὶ πάντες μὲν οἱ μετ' ἐμοῦ ἐσπούδαζον ἐλθεῖν, ἐγὼ δὲ ἅπαξ καὶ δὶς ἐπεχείρησα. *Καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς.*] Ἀλλ' ἐπέσχον, φησὶ, τὴν προθυμίαν οἱ ἐπάλληλοι πειρασμοί· τούτους δὲ ὁ κοινὸς κινεῖν πολέμιος εἴωθεν· οὗ δὴ χάριν αὐτὸν ἔφη κεκωλυκέναι τὴν πρὸς αὐτοὺς ἐκδημίαν. Τί φῂς; ὁ σατανᾶς ἐνέκοψέ σε; Ναί, φησιν· οὐ γὰρ θεοῦ τοῦτο ἔργον ἦν, τὸ

(1) « Ἀπείκασεν ἑαυτὸν μητρὶ τρεφούσῃ καὶ θαλπούσῃ τὰ βρέφη· εἶτα, πατρὶ, φιλοστόργως περὶ τοὺς παῖδας διακειμένῳ· νῦν μειρακίῳ παραπλησίως, ἄωρον ὀρφανίαν ὀδυρομένῳ, καὶ τοὺς γεγεννηκότας ἐπιζητοῦντι, ποθεῖν αὐτοὺς ἔφη, καίτοι πρὸς ὀλίγον αὐτῶν χωρισθείς. » Θεοδώρητος.

(2) « Καλὴ καὶ ἡ προσθήκη, προσώπῳ, καὶ, οὐ καρδίᾳ· ἀντὶ τοῦ, Τῆς αἰσθητῆς ὑμῶν ἐστέρημαι θέας· τῆς δὲ νοητῆς ἀπολαύω διηνεκῶς. » Ὁ αὐτός.

εἰς πειρασμούς με καὶ θλίψεις ἐμπεσεῖν, ὡς *καὶ κωλυθῆναί μου* τὴν πρὸς ὑμᾶς ὁδόν· τοῦτο γὰρ *ἐγκοπὴν* τοῦ σατανᾶ λέγει. Ἐπὶ μὲν γὰρ Ῥωμαίων λέγει, ὅτι ὁ Θεὸς ἐκώλυσέ με (α)· ἐπὶ δὲ Κορινθίων, ὅτι τοῦ πνεύματος ἔργον ἐγένετο τὸ μὴ ἐλθεῖν με (β). Ὧδε δὲ, ἐπειδὴ ἐν πειρασμοῖς ἐμπεσὼν ἐνεποδίσθη, τοῦ σατανᾶ λέγει αὐτὸ ἔργον, κατὰ συγχώρησιν τοῦ Θεοῦ γεγονός. *Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρά;*] Ὢ πόσης ἀγάπης ταῦτα τὰ ῥήματα! Αἱ μητέρες ἀεὶ πρὸς τὰ παιδία ταῦτα λαλοῦσιν (1). *Ἢ στέφανος καυχήσεως;*] Ἤρκει καὶ τὸ, *στέφανος*, δεῖξαι, ἣν ἔχει δι' αὐτοὺς θερμότητα καὶ καύχημα· ἀλλὰ διὰ πλείονα ἔνδειξιν, προσέθηκε καὶ τὸ, *καυχήσεως*, ὡσεὶ εἶπεν· Ἐφ' ὑμῖν μᾶλλον, ἢ ἐπὶ στεφάνῳ ἀγάλλομαι (2). *Ἢ οὐχὶ καὶ ὑμεῖς;*] Τί οὖν; Θεσσαλονικεῖς εἰσιν ἡ ἐλπίς σου, ὦ μακαρία ψυχή; Οὐχ οὗτοι μόνοι, φησί· διὸ ἐπάγει τὸ, *καὶ ὑμεῖς*, δεικνὺς, ὅτι καὶ ἄλλοι ἦσαν. *Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.*] Πῶς γὰρ αὐτὸν ἔδει διατίθεσθαι, τοσαύτην ἐκκλησίαν πιστῶν, ὑπ' αὐτοῦ φυτευθεῖσαν, καὶ οὕτως εὐδόκιμον, προσάγοντα τῷ Χριστῷ;

ΚΕΦ. III, 1 Διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν κα-
2 ταλειφθῆναι ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν Τι-
μόθεον, τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ
καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ,
εἰς τὸ στηρίξαι ὑμᾶς, καὶ παρακαλέσαι ὑμᾶς περὶ
3 τῆς πίστεως ὑμῶν, τῷ μηδένα σαίνεσθαι ἐν ταῖς
θλίψεσι ταύταις· (αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦ-
4 το κείμεθα· καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προ-

(α) Ῥωμ. Α', 13. (β) Β' Κορ. Α', 16. 17.

(1) « Ἐπειδὴ μητρὶ ἑαυτὸν ἀπείκασε τιθηνουμένῃ τὰ βρέφη, τὰ αὐτῆς φθέγγεται ῥήματα. Αὗται γὰρ τὰ κομιδῆ νέα παιδία καὶ Ἐλπίδα, καὶ Χαρὰν, καὶ τὰ τοιαῦτα προσαγορεύειν εἰώθασι. » Θεοδώρητος.

(2) « Οὐκ ἤρκει τὸ, στέφανος, ἐνδείξασθαι τὴν θερμότητα αὐτοῦ, ἀλλὰ προσέθηκε καὶ τὸ, καυχήσεως. Ἐφ' ὑμῖν γὰρ, φησιν, ἐλπίζω, ὅτι παῤῥησίας πλείονος παρὰ Χριστῷ τεύξομαι δι' ὑμᾶς, καὶ χαίρω δι' αὐτὸ τοῦτο, ὅτι στέφανός μοι, καὶ στέφανος καυχήσεως, τουτέστι, δόξης λαμπρᾶς, καὶ νῦν ἐστὲ, καὶ τότε ἔσεσθε. » Θεοφύλακτος.

ελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε·) διὰ τοῦτο κἀγὼ, μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

Εὐδοκήσαμεν.] Τουτέστιν, εἱλόμεθα καὶ προεκρίναμεν. *Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν.*] Τοιαύτη τοῦ ἁγίου τούτου ἡ μέθοδος. Ὅταν διὰ πειρασμοὺς καὶ τὴν ἐντεῦθεν βίαν μὴ δύνηται πρός τινας τῶν μαθητῶν ἀπελθεῖν, ἑτέρους πέμπει ἐπισκεψομένους αὐτοὺς, καὶ διὰ μέσων αὐτῶν σύνεστι καὶ συνδιατρίβει αὐτοῖς. Τοῦτο πρὸς Φιληππησίους, τοῦτο πρὸς Κορινθίους ποιεῖ, τὸν αὐτὸν Τιμόθεον πέμψας, καὶ διὰ μέσου αὐτοῦ ὁμιλῶν αὐτοῖς. *Τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ θεοῦ.*] Τοῦτό φησιν, οὐ τοσοῦτον τὸν Τιμόθεον ἐπαίρων, ὅσον τὴν πρὸς τούτους δεικνὺς σπουδήν. *Καὶ συνεργὸν ἡμῶν.*] Ὡσεὶ εἶπε· Τοιούτου ἔργου αὐτὸν ἀπεσπάσαμεν διὰ τὴν πρὸς ὑμᾶς ἀγάπην. *Εἰς τὸ στηρίξαι ὑμᾶς.*] Ὡς σαλευομένους ἐπὶ τοῖς πειρασμοῖς, ἐν οἷς ἦν ὁ διδάσκαλος, καὶ στηριγμοῦ διὰ τοῦτο δεομένους. Μέγας γὰρ ὄντως θόρυβος τοῖς μαθηταῖς, τὸ εἶναι τὸν διδάσκαλον ἐν πειρασμοῖς, ὡς καὶ στρατιώταις τὸ τὸν στρατηγὸν τρωθῆναι. *Καὶ παρακαλέσαι ὑμᾶς.*] Ἡ γὰρ παράκλησις ὑπὲρ τοῦ μὴ σαλευθῆναι εἰς τὴν πίστιν ἐγίνετο. *Τῷ μηδένα σαίνεσθαι.*] Ἑρμηνεύει νῦν, τί ἔμελλεν αὐτοὺς ὠφελῆσαι ὁ παρὰ τοῦ Τιμοθέου στηριγμός· καί φησι· *Τῷ μηδένα σαίνεσθαι*· οἷον, θορυβεῖσθαι, ταράσσεσθαι· ἀπὸ μεταφορᾶς τῶν τὰς οὐρὰς ταρασσόντων ἐν τῷ σαίνειν κυνῶν· τουτέστι, μὴ κλονεῖσθαι, μηδὲ τῆς προτέρας ἐξίστασθαι γνώμης. *Ἐν ταῖς θλίψεσι ταύταις.*] Πολλὰ γὰρ ἦν τότε θλίβεις, ὡς καὶ αὐτὸς ἔφη, ὅτι ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς. *Αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦτο κείμεθα.*] Οὐ δεῖ δὲ ὑμᾶς θορυβηθῆναί, φησιν, ἢ σκανδαλισθῆναι, ἐφ᾽ οἷς ἐγὼ θλίβομαι. Διὰ τί; Καὶ ὑμεῖς γὰρ αὐτοὶ οἴδατέ, φησιν, ὅτι εἰς τὸ θλίβεσθαι κείμεθα· του-

τέστιν, εἰς τοῦτο κεκληρώμεθα, εἰς τοῦτο ἀπογεγράμμεθα. Καὶ ἀλλαχοῦ φησι· *Διὸ εὐδοκῶ ἐν ἀνάγκαις, ἐν θλίψεσι* (α)· καὶ πάλιν *ἐπιθανατίους* τοὺς ἀποστόλους καλεῖ (β). Καὶ ὑπὲρ τῶν μελλουσῶν θλίψεων αὐτοὺς παραμυθεῖται. Καὶ αὐτοὺς γὰρ εἰς τοῦτο κεῖσθαι ἀνάγκη, εἰς τὸ ἀεὶ θλίβεσθαι. *Προελέγομεν ὑμῖν.*] Πολλὴ παραμυθία τοῖς μαθηταῖς, ὅτι ὁ διδάσκαλος προεῖπεν αὐτοῖς μέλλειν θλίβεσθαι. Λοιπὸν γὰρ οὐχὶ ὡς ἐπὶ ἀπροσδοκήτοις ἐθορυβοῦντο. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς ἀποστόλοις· *Καὶ νῦν εἴρηκα ὑμῖν πρὸ τοῦ γενέσθαι*, ἵνα ὅταν γένηται, πιστεύσητε (γ). Οὐ τοῦτο δὲ μόνον ὁ Παῦλος εἶπεν αὐτοῖς, ἀλλὰ καὶ ἄλλα πολλὰ προεῖπεν, ἃ καὶ ἐξέβη. *Καθὼς καὶ ἐγένετο, καὶ οἴδατε.*] Μαρτυρεῖτε, φησὶ, καὶ ὑμεῖς. Οὐ λέληθεν ὑμᾶς ἡ μέλλουσα θλῖψις. *Διὰ τοῦτο κἀγὼ μηκέτι στέγων, ἔπεμψα.*] Εἰ προεῖπες αὐτοῖς, ὅτι θλιβήσῃ, καὶ ὅτι οὐ χρὴ αὐτοὺς ἐπὶ τῇ θλίψει θορυβεῖσθαι, τί πάλιν πέμπεις; Φαίνεται γὰρ, ὅτι οὐ σφόδρα θαῤῥεῖς αὐτοῖς. Ἀπὸ πολλῆς ἀγάπης, φησὶ, τοῦτο ποιῶ· οἱ γὰρ ἀγαπῶντες, καὶ τὰ ἀσφαλῆ ὑποπτεύουσιν. Ἅμα δὲ καὶ ὅτι τοσοῦτοι ἦσαν οἱ πειρασμοὶ, ὡς καὶ ἔτι φοβῆσαι τὸν Παῦλον. Διὸ οὐκ εἶπεν, Ἀμφιβάλλων περὶ ὑμῶν, ἀλλ', ὃ πολλῆς ἀγάπης δεικτικὸν, *Μηκέτι στέγων*, φησὶν, *ἔπεμψα. Εἰς τὸ γνῶναι ὑμῶν τὴν πίστιν.*] Ἐνταῦθά τινες ζητοῦσι· Τί δήποτε ὁ ἕως τρίτου οὐρανοῦ ἀναβὰς, ὁ ἄῤῥητα ἀκούσας ῥήματα (δ), οὗτος οὐκ οἶδε τὰ τῶν Θεσσαλονικέων, ἀλλὰ πέμπει Τιμόθεον, εἰς τὸ γνῶναι τὴν πίστιν αὐτῶν; Τί γάρ; ἠγνόει, πῶς διέκειντο, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα; Καὶ φαμὲν, ὅτι οὐ πάντα ᾔδεσαν οἱ ἀπόστολοι, ἀλλὰ καὶ ἠγνόουν τινά. Ταύτην δὲ τὴν ἄγνοιαν καὶ ἐπὶ τῶν παλαιῶν ἁγίων εὕροι τις. Καὶ γὰρ Ἐλισσαῖος, ἀγνοῶν τὸν θάνατον τοῦ παιδὸς τῆς Σωμανίτιδος, ἔλεγε πρὸς Γιαιζί· *Καὶ Κύριος ἀπέκρυψεν*

(α) Β' Κορ. ΙΒ', 10. (β) Α' Κορ. Δ', 9. (γ) Ἰωαν. ΙΔ', 29.
(δ) Β' Κορ. ΙΒ', 2. 4.

ἀπ' ἐμοῦ, καὶ οὐκ ἀνήγγειλέ μοι (α). Καὶ Ἠλίας μόνος ὑπολειφθῆναι ἐνόμιζε, καίτοι ἑπτακισχιλίων ὄντων (ϐ). Καὶ Σαμουὴλ πρὸ τούτων διδάσκεται, μὴ προσχεῖν εἰς τὴν ὄψιν τοῦ πρώτου ἀδελφοῦ τοῦ Δαυΐδ (γ). Ἠγνόουν δὲ διὰ τρεῖς μάλιστα αἰτίας· Πρῶτον, ἵνα καταστέλληται αὐτῶν τὸ φρόνημα· δεύτερον, ἵνα μὴ λογίζωνται αὐτοὺς οἱ ἄνθρωποι μείζους ἢ κατὰ ἀνθρωπίνην φύσιν· τρίτον, ἵνα γνῶμεν πάντες, ὅτι, ὁμοιοπαθεῖς ἡμῖν ὄντες ἄνθρωποι, οἰκείοις πόνοις καὶ ἀρετῇ κατώρθουν, ἃ κατώρθουν· καὶ οὐκ ἀεὶ θείας ἀπήλαυον ἐπιπνοίας, ἵνα μὴ δόξωσι χάριτι, καὶ οὐκ ἀρετῇ, εἶναι οἷοι ἦσαν. *Μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων.*] Οὐχ ὑπωπτεύσαμεν ὑμᾶς σεσαλεῦσθαι, φησὶν, ἀλλὰ μόνον πεπειράσθαι. Ἄρα τὸ ἐν πειρασμοῖς θορυβεῖσθαι, διαβολικόν ἐστι, καὶ μάλιστα τὸ ἄλλους σκανδαλίζεσθαι, ἐξ ὧν ἄλλοι θλίβονται. *Καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.*] Διὰ τί; Εἰ γὰρ καὶ παρετράπησαν, ὦ Παῦλε, τί πρὸς σέ; μὴ παρὰ τὴν σὴν αἰτίαν τοῦτο γέγονεν; Οὐχί, φησιν· ἀλλ' ὅμως καὶ οὕτως δέδοικα διὰ τὴν ἀγάπην (1).

6 Ἄρτι δὲ, ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν,
καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς
7 ὑμᾶς· διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοὶ, ἐφ' ὑμῖν
ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς
8 ὑμῶν πίστεως· ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε
9 ἐν Κυρίῳ. Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ θεῷ
ἀνταποδοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ τῇ χαρᾷ, ᾗ
10 χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν;

Ἄρτι δὲ, *ἐλθόντος Τιμοθέου* (1), *καὶ εὐαγγελισαμένου.*] Ὁρᾷς

(α) Δ' Βασιλ. Δ', 27. (ϐ) Γ' Βασιλ. ΙΘ', 10. 18. (γ) Α' Βασιλ. ΙϚ', 7.

(1) « Ὅμως ἀπὸ πολλῆς ἀγάπης, κεκενῶσθαί μοι, φησὶ, τὸν κόπον νομίζω. » Θεοφύλακτος. (1) Πραξ. ΙΗ', 1. 5.

τὴν περιχάρειαν αὐτοῦ; Οὐ γὰρ εἶπεν, Ἀπαγγείλαντος, ἀλλὰ, *Εὐαγγελισαμένου*· τοσοῦτον ἀγαθὸν ἡγεῖτο τὴν ἐκείνων ἐν τῇ πίστει βεβαίωσιν! Καὶ τῇ ἀγάπῃ δὲ αὐτῶν ἔχαιρεν· ὅτι σημεῖον τῆς πίστεως ἦν. *Καὶ ὅτι ἔχετε μνείαν ἡμῶν.*] Τῆς γὰρ πίστεως βεβαίας οὔσης, ἀνάγκη καὶ τὴν πρὸς ἡμᾶς μνήμην εἶναι βεβαίαν. *Καθάπερ καὶ ἡμεῖς ὑμᾶς.*] Μετὰ ἐγκωμίου ταῦτα λέγονται. Ὅτι οὕτω, φησὶν, ἀγαπᾶτε, ὡς καὶ ἀγαπᾶσθε. Παραμυθία δὲ μεγίστη καὶ εὐφροσύνη τοῖς Θεσσαλονικεῦσι τὸ μαθεῖν, ὅτι οἶδεν ὁ Παῦλος, ὅτι ἀγαπῶσιν αὐτόν· μᾶλλον γὰρ προστίθεται τὸ φίλτρον. *Διὰ τοῦτο παρεκλήθημεν.*] Ἄλλα μὲν, φησιν, ἠλπίσαμεν, μήπως ἐπειράσθητε, καὶ ἠλγοῦμεν· ἐπεὶ δὲ Τιμόθεος ἀπήγγειλεν ἃ ἀπήγγειλεν, οὐ μόνον τοῦ ἀλγεῖν ἐπαυσάμεθα, ἀλλὰ καὶ χαρᾶς ἐπλήσθημεν. *Ἐφ' ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν.*] Ὢ ψυχὴ ἁγία καὶ θεοφιλής! Ἐφ' ὑμῖν, φησι, καὶ ἐπὶ τῇ ὑμετέρᾳ πίστει παρεκλήθημεν, καὶ παρεμυθήθημεν· ὡσεὶ εἶπεν· Οὐκ αἰσθανόμεθα τῶν λυπηρῶν, ἀλλὰ παρεκλήθημεν, οὐκ ἐπὶ μιᾷ θλίψει, ἀλλ' ἐπὶ πάσῃ. Ἡ γὰρ ἐφ' ὑμῖν χαρὰ ἀντίῤῥοπος πάσαις ἡμῶν ταῖς ἀνάγκαις ἐγένετο. *Διὰ τῆς ὑμῶν πίστεως.*] Αὕτη γὰρ ἀσάλευτος μείνασα, τὴν παράκλησιν ἡμῖν εἰργάσατο. *Ὅτι νῦν ζῶμεν.*] Οὐκ εἶπεν, ὅτι παρεμυθήθημεν, ἢ ὅτι ἀνεπνεύσαμεν ἐκ τῶν κακῶν, ἀλλ', ὃ μεῖζον ἦν, *νῦν ζῶμεν*, ζωὴν ἡγούμενος τὴν ἐκείνων προκοπὴν καὶ κατάστασιν, καὶ τῆς πίστεως αὐτῶν τὴν βεβαίωσιν· καὶ θάνατον, τὸ αὐτῆς παρασαλευθῆναι. *Ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ.*] Ἐν Κυρίῳ δὲ ἵστανται, οἱ τὴν πίστιν αὐτοῦ ἀκλινῆ φυλάττοντες, καὶ τὸν βίον ἴσον τῆς πίστεως ἔχοντες. *Τίνα γὰρ εὐχαριστίαν.*] Καὶ τοσαύτη, φησὶν, ἡ δι' ὑμᾶς χαρὰ, ὅτι οὐδὲ εὐχαριστῆσαι τῷ θεῷ κατ' ἀξίαν δυνάμεθα ὑπὲρ ὑμῶν. *Ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν.*] Εἰκότως ἔμπροσθεν τοῦ θεοῦ χαίρομεν· αὐτὸς γὰρ ταύτης ἡμῖν τῆς χαρᾶς αἴτιος, καὶ αὐτοῦ δῶρον ἡγούμεθα τὸ ὑμῶν κατόρθωμα· οὐ γὰρ ἀνθρωπίνης σπουδῆς ἡ ψυχῆς τοσοῦτον φρόνημα. Διὸ καὶ αὐτῷ

ὀφείλοντες εὐχαριστεῖν, οὐχ εὑρίσκομεν τὴν ἀξίαν εὐχαριστίαν (1). *Ὑπερεκπερισσοῦ δεόμενοι.*] Ὅρα τὴν ὑπερβολήν! Ἐκκεχυμένοι, φησὶ, πρὸς τὴν τοιαύτην δέησιν, καὶ πλέον δεόμενοι ἤπερ εἰκὸς δέεσθαι τὸν ἰδεῖν μαθητὰς βουλόμενον. *Καὶ καταρτίσαι.*] Ἐπὶ τῶν σαλευομένων τῇ πίστει, *στηρίξαι*, λέγει· ἐπὶ δὲ τῶν τῇ πίστει μὲν ἐστηριγμένων, μικρὸν δὲ πρὸς διδαχὴν ἐλλειπόντων, *καταρτίσαι*, λέγει, οἷον, ἀναπληρῶσαι. Καταρτίζεσθαι γὰρ ἐκεῖνο λέγομεν, ᾧ ὀλίγον τι λείπει. *Τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν.*] Καίτοι ἄνω, τὸ ἑστάναι αὐτοῖς ἐμαρτύρησε· τοῦτο γὰρ καὶ Τιμόθεος, ὡς φησὶν, ἐμαρτύρησε· πῶς οὖν νῦν λέγει, *τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν*; Καὶ φαμὲν, ὅτι οὐ πάσης ἀπέλαυσαν τῆς διδασκαλίας, ἀλλ' ἐξέλιπεν αὐτοῖς ἴσως τὰ περὶ ἀναστάσεως, καὶ ἤ τι τοιοῦτον. Ἐν μὲν οὖν τῇ εἰς Χριστὸν πίστει βέβαιοι ἦσαν, μὴ παρατραπέντες τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσιν· ἔδει δὲ αὐτοὺς καὶ τὰ λοιπὰ τοῦ καθ' ἡμᾶς δόγματος μαθεῖν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Εὐχὴ πρὸς Θεὸν κατὰ Χριστὸν περὶ ἀφίξεως τῆς αὐτοῦ, καὶ τῆς αὐξήσεως καὶ βεβαιώσεως Θεσσαλονικέων, ἕως τῆς παρουσίας τοῦ χριστοῦ.

11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος
ἡμῶν Ἰησοῦς Χριστὸς, κατευθύναι τὴν ὁδὸν ἡμῶν
12 πρὸς ὑμᾶς· ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισ-
σεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας,
13 καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς· εἰς τὸ στηρίξαι ὑμῶν

(1) « Νικᾷ τῆς εὐφροσύνης τὸ μέγεθος, τῆς γλώττης τὴν ὑμνῳδίαν· οὐκ ἰσχύομεν γὰρ ἀντίῤῥοπον ὕμνον τῇ παρασχεθείσῃ ἡμῖν ἐφ' ὑμῖν θυμηδίᾳ προσενεγκεῖν τῷ Θεῷ. » Θεοδώρητος.

τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

Αὐτὸς δὲ ὁ θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος κατευθύναι.] Ἐνταῦθα διὰ τῆς εὐχῆς ἅμα καὶ ἀπολογεῖται. Οὐ παρ' ἐμήν, φησιν, ἀμέλειαν οὐκ ἦλθον· καὶ γὰρ καὶ εὐχή μοι τὸ ἐλθεῖν· ὡσεὶ ἔλεγεν· Ὁ θεὸς ἐκκόψαι τὸν σατανᾶν, τὸν πανταχοῦ ἡμῖν διὰ τῶν πειρασμῶν ἐμποδίζοντα, ἵνα ὀρθὴν τὴν ὁδὸν πρὸς ὑμᾶς ποιησώμεθα. Ὑμᾶς δὲ ὁ Κύριος *πλεονάσαι.*] Ὅρα πόσην ἀγάπην εἶναι βούλεται· ὅτι καὶ πλεονάσαι καὶ περισσεῦσαι αὐτοὺς ἐν τῇ ἀγάπῃ εὔχεται. Καὶ οὐκ *εἰς ἀλλήλους* μόνον, ἀλλὰ *καὶ εἰς πάντας.* Τοῦτο γὰρ Χριστιανῶν ἴδιον, τὸ *μὴ μόνον* τοὺς ἀδελφοὺς ἀγαπᾷν, ἀλλὰ καὶ πάντας ἀνθρώπους, καὶ πιστούς, καὶ ἀπίστους. *Καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς.*] Τὸ μὲν ἡμῶν πάρεστι, φησί· τὸ δὲ ὑμῶν, γενέσθαι *εὐχόμεθα*· ἔχετε γὰρ μέτρον καὶ παράδειγμα τῆς ἀγάπης ἡμᾶς. *Εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας.*] Δείκνυσι τὴν ἀγάπην αὐτοῖς κέρδος φέρουσαν, οὐ τοῖς φιλουμένοις. *Περισσεύσαι* γάρ, φησιν, ὑμᾶς *ὁ Κύριος ἐν τῇ ἀγάπῃ, εἰς* τὸ *στηρίξαι ὑμῶν τὰς καρδίας*· ἂν γὰρ αὐτὴ περισσεύῃ, στηριγμός ἐστι τῶν κεκτημένων αὐτήν. Οὐκ εἶπε δέ, *ὑμᾶς στηρίξαι*, ἀλλά, *τὰς καρδίας*· αὕτη γὰρ καὶ τὸν ἔσω ἄνθρωπον στηρίζειν πέφυκε· κωλύει γὰρ ἐκβαίνειν ἐκ τῆς καρδίας διαλογισμοὺς πονηροὺς (α). *Κύριον* δὲ τὸ Πνεῦμα νοήσεις, ὡς καὶ ὁ μακάριος Βασίλειος ἐν τῷ πρὸς Ἀμφιλόχιον, ἔνθα θεολογεῖ περὶ τοῦ Πνεύματός, φησι τὸν Παῦλον αὐτὸ τὸ ἅγιον εὔχεσθαι Πνεῦμα νῦν. Τίς γὰρ ὁ στηρίξαι, φησίν, ἀμέμπτους ἐν ἁγιωσύνῃ τὰς καρδίας αὐτῶν ἔχων ἔμπροσθεν τοῦ πατρός, ἐν τῇ παρουσίᾳ τοῦ υἱοῦ; Δῆλον ὅτι τὸ Πνεῦμα. Τίς δὲ εὔχεται ἑτέρῳ, πλὴν θεῷ; *Τὰς εὐχάς μου* γάρ, φησι, *τῷ Κυρίῳ ἀποδώσω* (β). Ἐκεῖ πρόσχες. *Ἀμέμπτους ἐν ἁγιωσύνῃ.*]

(α) Ματθ. ΙΕ, 19. (β) Ψαλμ. ΡΙΕ, 9.

Ἤρκει μὲν τὸ εἰπεῖν, *ἀμέμπτους*· νῦν δὲ καὶ τὸ, *ἐν ἁγιωσύνῃ*, προστέθεικεν, οἷον, ἐν καθαρότητι. Οὐ λέγει δὲ περὶ σωφροσύνης μόνης, ἀλλὰ καὶ περὶ πάσης ἀρετῆς· τοῦτο γὰρ ἀληθὴς ἁγιασμὸς, τὸ παντὸς ῥύπου καθαρὸν εἶναι. *Ἔμπροσθεν τοῦ θεοῦ.*] Ἢ τοῦτό φησιν· *Ἐν ἁγιωσύνῃ, τῇ ἔμπροσθεν τοῦ πατρός*· αὕτη γὰρ ἡ ὄντως ἁγιωσύνη, τὸ ἔχειν αὐτὴν τοῖς ὀφθαλμοῖς τοῦ θεοῦ μαρτυρουμένην· ἢ, ὅτι κρίνοντος τοῦ Χριστοῦ, ἥτις κρίσις ἔμπροσθεν τοῦ πατρὸς γίνεται. Ποῦ γὰρ καὶ ἀπεῖναι ἔχει ὁ τὰ πάντα πληρῶν πατήρ; (1)

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Παραίνεσις σωφροσύνης καὶ δικαιοσύνης ὡς ἐπὶ κρίσει, φιλαδελφίας, ἐργασίας ἰδιοπράγμονος.

ΚΕΦ. IV, 1 Τὸ λοιπὸν οὖν, ἀδελφοὶ, ἐρωτῶμεν ὑμᾶς
καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ᾽ ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ
2 ἀρέσκειν θεῷ, ἵνα περισσεύητε μᾶλλον. Οἴδατε γὰρ
τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου
3 Ἰησοῦ. Τοῦτο γάρ ἐςι θέλημα τοῦ θεοῦ, ὁ ἁγιασμὸς
4 ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας· εἰδέναι
ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγια-
5 σμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ
6 τὰ ἔθνη, τὰ μὴ εἰδότα τὸν θεόν· τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ· διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ διεμαρτυράμεθα.

(1) « Ἀμέμπτους βούλεται εἶναι ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς, καὶ νῦν μέν· αὕτη γὰρ εἰλικρινής ἐστιν ἀρετὴ, ἡ ἐνώπιον τοῦ θεοῦ, οὐχ ἡ ἐνώπιον τῶν ἀνθρώπων· ἐπεὶ σφαλερὰ ἡ ἀνθρωπίνη κρίσις· καὶ ἐν τῇ παρουσίᾳ δὲ τοῦ Χριστοῦ· καὶ γὰρ ὑπ᾽ αὐτοῦ κρινόμεθα ἔμπροσθεν τοῦ πατρός. Ἵνα οὖν, φησὶν, ἄμωμοι ἦτε, ὥσπερ καὶ πάντες οἱ ἅγιοι. » Θεοφύλακτος.

7 Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ'
8 ἐν ἁγιασμῷ. Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον
ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν, τὸν καὶ δόντα τὸ Πνεῦμα
αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς.

Τὸ *λοιπὸν οὖν, ἀδελφοί.*] Ἐπειδὴ, φησὶ, περὶ τῶν καθηκόντων διελέχθην ὑμῖν, τοῦτο νῦν λοιπὸν, τὸ εἰς παραίνεσιν ἐλθεῖν. Ἢ, Τούτῳ κεχρημένοι τῷ σκοπῷ, προσφέρομεν ὑμῖν τὴν παραίνεσιν· τὸ γὰρ, *λοιπὸν*, ἀντὶ τοῦ, Ἀπογρώντως ὑμῖν τὴν ἡμετέραν παράκλησιν προσφέρομεν (Θεοδωρήτου). *Ἐρωτῶμεν ὑμᾶς.*] Τὸ *ἐρωτῶμεν*, καὶ, *παρακαλοῦμεν*, ταὐτόν ἐστι, καὶ ἰσοδυναμεῖ. *Ἐν Κυρίῳ Ἰησοῦ.*] Ὅρα ταπεινοφροσύνην! Οὐδὲ πρὸς παράκλησιν ἑαυτὸν ἀξιόπιστον εἶναι νομίζει, ἀλλὰ τὸν Χριστὸν παραλαμβάνει. Διὰ τοῦ Χριστοῦ γάρ, φησιν, ὑμᾶς παρακαλῶ (1). *Καθὼς παρελάβετε.*] Τὸ, *παρελάβετε*, οὐχὶ ῥημάτων μόνον ἐστὶν, ἀλλὰ καὶ πραγμάτων· ἐξ ὧν γὰρ αὐτὸς ἐβίου, τύπος τοῖς μαθηταῖς ἐγίνετο. Τί δὲ παρακαλοῦμεν; *Ἵνα περισσεύητε μᾶλλον.*] Τουτέστιν, ἵνα καὶ πλέον τι, ὧν ἠκούσατε, ποιῆτε. Ὡς νηπίοις γάρ, φησιν, οὐ τὰ τέλεια ἐπέταξα· προβαίνοντες δὲ τῇ πίστει, προβαίνετε καὶ τῇ πολιτείᾳ. *Οἴδατε γὰρ, τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν.*] *Παραγγέλλειν* ἐστὶν ἐπὶ τῶν φευκτέων, ἃ πραττόμενα μὲν, κόλασιν φέρει· μὴ πραττόμενα δὲ, οὐδὲν ἐγκώμιον. Εἰσὶ μέντοι τινὰ, ἃ οὐ δεῖ παραγγέλλειν, τουτέστι, μὴ μετὰ ἀπειλῆς ἀναστέλλειν, ἀλλ' ἐν τῇ γνώμῃ τῶν ἀκουόντων ἐᾶν· ὡς τὸ κενῶσαι χρήματα, τὸ παρθενεύειν. *Ὁ δυνάμενος* γάρ, φησι, *χωρεῖν, χωρείτω* (α). Εἰκὸς οὖν τὸν Παῦλον παραγγεῖλαι αὐτοῖς μετὰ πολλοῦ φόβου περί τινων, καὶ τῇ αὐτῶν μνήμῃ ἐγγεγραμμένα αὐτὰ καταλιπεῖν. Διὸ οὐ τίθησιν αὐτὰ, ἀλλ' ἀναμιμνήσκει αὐτοὺς αὐτά. Πάλιν δὲ τὸν Χριστὸν εἰς μέσον τίθησιν. Οὐκ ἐμὰ γάρ, φησιν, ἃ παρήγγειλα ὑμῖν, ἀλλ' ἐκείνου ταῦτα. Ὥστε ἐκεῖνος ἢ εἰσ-

(1) « Ἀλλὰ τὸν Χριστὸν παραλαμβάνει, τοῦτο λέγων, ὅτι ὁ Χριστὸς ὑμᾶς παρακαλεῖ δι' ἐμοῦ, » Θεοφύλακτος.

(α) Ματθ. ΙΘ', 12.

ακουσθήσεται, ἢ ἀθετηθήσεται. *Ὁ ἁγιασμὸς ὑμῶν.*] Θέλημα γὰρ θεοῦ, φησιν, ἡ σωφροσύνη ὑμῶν. Ἐν ἑκάστῃ δὲ ἐπιστολῇ, τῆς σωφροσύνης μάλιστα πολὺν ποιεῖται λόγον. Οἶδε γὰρ τοῦ πάθους τὸ τυραννικὸν, καὶ δυσκατόρθωτον. *Ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας.*] Τίς δὲ ὁ ἁγιασμός; Ἀπέχεσθαι ὑμᾶς, φησιν, ἀπὸ τῆς πορνείας (1). *Εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος.*] *Σκεῦος*, τὸ σῶμά φησιν. Ἐὰν οὖν αὐτὸ ἐν ἁγιασμῷ ἔχωμεν, ἡμεῖς αὐτὸ κεκτήμεθα· ἐὰν δὲ ἐν πορνείᾳ, ἡ ἁμαρτία αὐτὸ κέκτηται· ἃ γὰρ ἐκείνη ἐπιτάττει, ποιεῖ αὐτὸ, ὡς δοῦλον. Σημείωσαι δὲ τὸ, *εἰδέναι*· δείκνυσι γὰρ, ὅτι ἀσκήσεως καὶ μαθήσεώς ἐστι τὸ σωφρονεῖν. — Τινὲς, *τὸ ἑαυτοῦ σκεῦος*, τὴν ὁμόζυγα ἡρμήνευσαν· ἐγὼ δὲ νομίζω, τὸ ἑκάστου σῶμα οὕτως αὐτὸν κεκληκέναι. Οὐ γὰρ τοῖς γεγαμηκόσι μόνοις, ἀλλὰ καὶ τοῖς ἀγάμοις, καὶ ταῖς χήραις τὴν νομοθεσίαν προσφέρει (Θεοδωρήτου). — *Μὴ ἐν πάθει ἐπιθυμίας.*] Τουτέστι, Μὴ ἐν ἐπιθυμίᾳ, πάθος ἐχούσῃ· ἔστι γὰρ καὶ ἐπιθυμία ἀπαθὴς, ἡ τῶν θείων πραγμάτων. Ποῖα δὲ τὰ πάθη τῆς ἐπιθυμίας; Τὰ ὑπεκκαύματα ταύτης, οἷον τρυφὴ, πλοῦτος, ῥαθυμία, ἀργία· ταῦτα γὰρ πάθη ἐπιθυμίας ἐστίν· ὡσεὶ εἶπε, δύναμις καὶ ἰσχὺς αὐτῆς. *Τὰ ἔθνη, τὰ μὴ εἰδότα τὸν θεόν.*] Τὰ γὰρ ἔθνη, τὸν θεὸν ἀγνοοῦντα, οὔτε ἐλπίδα ἀντιδόσεως ἔχει. Τοιγαροῦν πάντα πρὸς ἡδονὴν πράττει. *Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν.*] Ἑκάστῳ ὁ θεός, φησιν, ἀπένειμε γυναῖκα, καὶ ὅρους τέθεικε τῇ φύσει, τὴν πρὸς τὴν μίαν μίξιν. Ὥστε ἡ πρὸς ἑτέραν μίξις, παράβασίς ἐστι καὶ πλεονεξία (2).

---

(1) Παρά τισιν ἀναγινώσκεται ἐν τῷ κειμένῳ, ἀπὸ πάσης πορνείας. Οὕτω καὶ παρὰ τῷ Χρυσοστόμῳ, καὶ παρὰ τῷ Θεοδωρήτῳ, καὶ παρὰ τῷ Θεοφυλάκτῳ. Διὸ καὶ ἑρμηνεύεται παρὰ τῷ Χρυσοστόμῳ· «Πολλὰ γὰρ εἴδη ἀκολασίας, πολύτροποι καὶ ποικίλαι τῆς ἀσελγειας αἱ ἡδοναί, ἃς οὐδὲ εἰπεῖν ἀνεκτόν. Εἰπὼν δὲ, ἀπὸ πάσης πορνείας, καταλιμπάνει τοῖς εἰδόσιν·» — «Ἀπέχεσθαί, φησιν, ὑμᾶς ἀπὸ τῆς πορνείας. Γράφεται δὲ καὶ, ἀπὸ πάσης· πολλὰ γὰρ ἀκολασίας εἴδη, ἃ τοῖς εἰδόσι καταλιμπάνομεν [ἐννοεῖν, δηλαδή].» Σχόλιον ἀρχαῖον.» — Ἀλλὰ κατὰ τοὺς κριτικοὺς ὀρθοτέρα ἡ ἀνάγνωσις χωρὶς τοῦ, πάσης. (2) «Πλεονεξίαν ἐνταῦθα τὴν μοιχείαν ἐκάλεσε· τοῦ γὰρ μὴ προσήκοντος ἅπτεται ὁ γάμον διορύττων ἀλλότριον καὶ τὴν ἄλλῳ διαφέρουσαν εὐνὴν λῃστεύων.» Θεοδώρητος.

22*

Ἐν τῷ πράγματι.] Τουτέστιν, ἐν τῇ μίξει, καὶ ταῦτα κατὰ ἀδελφοῦ γινομένῃ. Ἐνταῦθα γὰρ περὶ μοιχείας λέγει· ὡς ἄνω καὶ περὶ πάσης τῆς ἄλλης πορνείας. *Διότι ἔκδικος ὁ Κύριος.*] Παρεκάλεσε πρῶτον· εἶτα ἐνέτρεψεν, εἰπὼν, *καθάπερ καὶ τὰ ἔθνη*· εἶτα ἀπὸ λογισμῶν τὸ ἄτοπον ἔδειξε, *πλεονεξίαν* καλέσας τὸ πρᾶγμα· λοιπὸν καὶ φοβεῖ· Μὴ νομίσῃς, φησὶν, ὅτι ἐπὶ τῶν ἀδελφῶν μόνων ταῦτά φημι· ἀλλ' οὐδὲ τὰς ἑτέρων γυναῖκας, οὐδὲ τὰς ἁπλῶς ἀνάνδρους, καὶ κοινὰς ἔχειν χρή. Καὶ γὰρ ταῦτα πάντα ἐκδικεῖ ὁ Κύριος· καὶ οὐκ ἀτιμωρητὶ ταῦτα πράττετε. Ἔκδικος γὰρ ὁ Θεὸς τῷ τε πλεονεκτουμένῳ, καὶ ἑαυτῷ· ἑαυτὸν γὰρ ἐκδικεῖ παρακουόμενος. Ἀναμιμνήσκει δὲ αὐτοὺς, ὅτι πολλάκις ταῦτα ἤκουσαν παρ' αὐτοῦ. *Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ.*] Ἐπειδὴ εἶπεν, ὅτι τὸν ἀδελφὸν ἀδικεῖς, καὶ ἐπήγαγεν, ὅτι ὁ Θεὸς ἐκδικεῖ, πλατύνει τοῦτο νῦν. Παρὰ Θεοῦ, φησιν, ἐκλήθημεν ἐπὶ καθαρότητι. Τοιγαροῦν ὁ παρὰ τὴν κλῆσιν πράττων· (οὗτος γὰρ, *ὁ ἀθετῶν*). τὸν καλέσαντα ὕβρισε μᾶλλον, ἢ τὸν πλεονεκτηθέντα. Τοῦτο δὲ εἶπε, δεικνὺς, ὡς οὐ μόνον ἔνθα ἀδελφὸς ᾖ ὁ ἀδικούμενος, δεῖ φεύγειν τὴν μοιχείαν, ἀλλὰ κἂν ἄπιστος ᾖ. Ὁ γὰρ Θεὸς ὑβρίζεται, ὁ καθαρόν σε βουλόμενος εἶναι, παρακουόμενος. Μολύνεις γὰρ σαυτὸν, κἂν μὴ ἀδελφοῦ, ἀλλὰ τοῦ τυχόντος ἀπίστου γυναῖκα μοιχεύσῃς, ἢ δούλην, ἢ τινὰ τῶν προεστωσῶν. *Τὸν καὶ δόντα τὸ Πνεῦμα.*] Αὐτός, φησιν, ἔδωκεν ἡμῖν τὸ ἅγιον Πνεῦμα, καὶ ἡμεῖς διώκομεν αὐτὸ διὰ τῆς ἀκαθαρσίας ἡμῶν. Καὶ πῶς οὐχὶ καὶ τὸ δοθὲν καὶ τὸν δόντα ὑβρίζομεν;

9 Περὶ δὲ τῆς φιλαδελφίας, οὐ χρείαν ἔχετε γράφειν
ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγα-
10 πᾷν ἀλλήλους· καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας
τοὺς ἀδελφοὺς, τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ. Παρα-
καλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον·
11 καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια,
καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς

12 **ὑμῖν παρηγγείλαμεν· ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.**

Οὐ λέγει τέως περὶ τῆς εἰς πάντας ἀγάπης, ἀλλὰ περὶ τῆς εἰς τοὺς ἀδελφούς. Κατὰ παράλειψιν δὲ τὴν παραίνεσιν τίθησι, δύο ταῦτα κατασκευάζων· ἓν μὲν, ὅτι οὕτως ἀναγκαῖον καὶ ὠφέλιμόν ἐστι τὸ ἀγαπᾷν ἀλλήλους, ὡς μηδὲ χρείαν εἶναι τοῦ αὐτὸν τοῦτο γράφειν, ἀλλ' αὐτοὺς αὐτὸ εἰδέναι· ἐπὶ γὰρ τῶν πάνυ δήλων, οὐδὲ συμβουλεύειν χρή. Ἕτερον δὲ, ὅτι ὁ νομίζων αὐτοὺς κατωρθωκέναι, καὶ πεπεισμένος, καὶ μὴ κατωρθωκότας αὐτοὺς, μᾶλλον ἐνάγει πρὸς τοῦτο, φοβούμενος, μήπως ἡ τοιαύτη περὶ αὐτῶν φήμη καὶ δόξα ἀστοχήσῃ (1). *Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε.*] Ὢ ἐγκώμιον! Τὸν γὰρ θεὸν διδάσκαλον αὐτοῖς ἐποίησε τῆς ἀρετῆς ταύτης. Τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· *Ἔσονται πάντες διδακτοὶ θεοῦ* (a). *Καὶ γὰρ ποιεῖτε αὐτό.*] Διὰ τοῦτο γὰρ οὐ χρείαν ἔχετε γράφειν ὑμῖν, ὅτι οὐ δεῖσθε τῆς περὶ τούτου ὑπομνήσεως, ἀλλὰ ποιεῖτε αὐτό. *Ἐν ὅλῃ τῇ Μακεδονίᾳ.*] Μακεδονίας ἐμνήσθη· ἐπειδὴ μητρόπολις Μακεδονίας ἡ Θεσσαλονίκη. *Περισσεύειν μᾶλλον.*] Ποιεῖτε μὲν, ἀλλ' ὅπως ἐν τῷ ποιεῖν περισσεύητε παρακαλοῦμεν. *Καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν.*] Φιλοτιμεῖσθαι εἰς τί; Εἰς τὸ ἡσυχάζειν, καὶ πράττειν τὰ ἴδια· ὡς ἂν εἴποις· Μὴ αἰσχύνεσθε, ὅτι πένητες διὰ τὸν Χριστὸν γεγόνατε· (πένητες γὰρ ἦσαν, τῶν ὑπαρχόντων αὐτῶν ἁρπαγέντων, ὡς ἄνω εἶπεν (2)·) ἀλλὰ καὶ φιλοτιμίαν τοῦτο ἡγεῖσθε, τὸ ἡσυχάζειν, καὶ πράττειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν. Ἢ, *φιλοτιμεῖσθαι*, τὸ εὐεργετεῖν τοὺς ἀδελφοὺς καὶ φιλοφρονεῖσθαί φησιν. Εἶτα, ὡσεὶ εἶπον· Ἀλλὰ πένητες ἐσμέν. Ἀλλ' ἐν τῷ ἡσυχάζειν, φησὶ, καὶ πράσσειν τὰ ἴδια, ἔσται ὑμῖν πόρος καὶ δύ-

---

(1) «Ἕτερον δὲ, ὅτι μᾶλλον αὐτοὺς ἐντρέπει, διεγείρων, ἵνα μὴ δεύτεροι ἔλθωσι τῆς ὑπολήψεως, ἣν ἔχει περὶ αὐτῶν, νομίζων αὐτοὺς ἤδη κατωρθωκέναι.» Θεοφύλακτος.

(a) Ἡσ. ΝΔ', 13. Ἱερ. ΛΑ', 34 Ἰωαν. Ϛ', 45. (2) Α' Θεσσαλ. Β', 14.

ναμις, δι' οὗ κἀκείνους ἕξετε φιλοτιμεῖσθαι καὶ εὐεργετεῖν. *Καὶ πράσσειν τὰ ἴδια.*] Πῶς δὲ ἔσται ὑμῖν, πένησιν οὖσι, τὸ φιλοτιμεῖσθαι; Διὰ τοῦ ἡσυχάζειν, φησὶ, καὶ πράττειν τὰ ἴδια. Εἶτα ἑρμηνεύων, φησίν· *Ἐργάζεσθαι ταῖς ἰδίαις χερσίν* (1). *Ἵνα περιπατῆτε εὐσχημόνως.*] ἵνα μὴ, φησὶν, ἀσχημονῆτε παρὰ τοῖς ἔξω τῆς πίστεως ἐπαιτοῦντες. Τοῦτο γὰρ λέγει, εἰ καὶ εὐφημοτέρως αὐτὸ εἶπεν. Εἰ γὰρ οἱ πιστοὶ, ὁρῶντες ὑγιαίνοντας ἐπαιτοῦντας, σκανδαλίζονται, ὅτι ἐργάζεσθαι δυνάμενοι ἀργοὶ περιΐασι, πόσῳ μᾶλλον οἱ ἄπιστοι; Τούτους γὰρ καλεῖ, τοὺς ἔξω, οἷον, τοὺς ἔξω τῆς πίστεως ὄντας (2).

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Διδασκαλία περὶ τῆς τοῦ θανάτου καταλύσεως ἐπὶ ζώντων καὶ νεκρῶν ἐν ἐπιφανείᾳ Χριστοῦ.

13 Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κε-
κοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ,
14 οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν, ὅτι Ἰη-
σοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ θεὸς τοὺς
κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ.

Ἐνταῦθα τὸν περὶ ἀναστάσεως λόγον κινεῖ. Εἰ γὰρ καὶ ἦν αὐτοῖς περὶ τούτου διαλεχθεὶς, ὅμως νῦν μυστήριόν τι μέλλει

---

(1) « Οὐκ ἐναντία τοῖς προῤῥηθεῖσιν ἐπαίνοις ἡ παραίνεσις. Συνέβαινε γὰρ, τοὺς μὲν φιλοτίμως χορηγεῖν τοῖς δεομένοις τὴν χρείαν· τοὺς δὲ, διὰ τὴν τούτων φιλοτιμίαν, ἀμελεῖν τῆς ἐργασίας. Εἰκότως τοίνυν κἀκείνους ἐπῄνεσε, καὶ τούτοις τὰ πρόσφορα συνεβούλευσε. Καὶ φιλοτιμίαν ἁρμοδίως τὴν ἐργασίαν ἐκάλεσεν. Οἱ γὰρ δυνάμενοι καὶ δίχα τῆς ἐργασίας τρέφεσθαι διὰ τὴν τῶν ὁμοπίστων φιλαδελφίαν, εἶτα δίχα πόνων οὐκ ἀνεχόμενοι ζῆν, ἀλλ' ἐκ τῶν χειρῶν τὸν βίον ποιούμενοι, οἷόν τινα φιλοτιμίαν τὴν φιλοπονίαν εἰσέφερον.» Θεοδώρητος.

(2) « Τὸ, Ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, αὐτὸς ἡρμήνευσεν, ἐπαγαγὼν, Καὶ μηδενὸς χρείαν ἔχητε. Ἀσχημοσύνη γὰρ, φησὶ, τὸ ἐν ἀργίᾳ ζῆν, τὸ μὴ ἐξ ἐργασίας τὴν χρείαν πορίζεσθαι, ἀλλὰ προσαίτου βίον αἱρεῖσθαι, καὶ τὴν ἄλλων προσμένειν φιλοτιμίαν.» Θεοδώρητος.

ἀνακαλύψαι. Ἢ καὶ πάντα μὲν τὰ τῆς ἀναστάσεως ᾔδεσαν, ἐθρήνουν δέ· ὃ νῦν θεραπεύει. Ἐπειδὴ δὲ πολλὰ τῶν πραγμάτων, ἀγνοούμενα μέν, λύπην ἐμποιεῖ, γνωσθέντα δέ, παύει τὴν λύπην, διὰ τοῦτό φησιν· *Οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων.*] Ὅρα δέ, ὅτι οὐκ εἶπεν, *ἀποθανόντων*, ἀλλὰ *κεκοιμημένων*, δεικνὺς καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος, εἶναι καὶ ἔγερσιν. *Ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα.*] *Ἐλπίδα*, τουτέστιν, ἀναστάσεως· τῶν γὰρ τοιούτων ἴδιον, τὸ ἐπὶ τοῖς τελευτῶσι λυπεῖσθαι. Ἵνα τί δὲ μὴ εἶπεν, Ἵνα μὴ τιμωρηθῆτε, ὡς μὴ ὁμολογοῦντες ἀνάστασιν; Ἢ ὡς ὡμολογημένον τοῦτο παρείασε, καί φησιν, Ἵνα μὴ μετὰ τῆς τιμωρίας τῆς ἐκεῖ, καὶ τὰ ἐνταῦθα λυπῆσθε· ἢ ὅτι τῇ μὲν ἀναστάσει οὐκ ἠπίστουν· (καὶ δηλοῖ τὸ περὶ τῶν χρόνων αὐτούς ἀμφιβάλλειν, ὅπερ κάτω φησίν·) ἀλλὰ μόνον ἠδημόνουν ἐπὶ τοῖς τελευτῶσιν. *Εἰ γὰρ πιστεύομεν.*] Τό, *Εἰ γάρ*, ἀντὶ τοῦ, *Ἐπειδὴ γάρ*. Ἢ οὕτως· Εἰ γὰρ ὅλως πιστεύομεν, καὶ μὴ μεμώρανται ἡμῶν αἱ ψυχαί. *Ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ θεός.*] Τουτέστι, καθάπερ τὸν Κύριον ἤγειρε σωματικῶς παθόντα καὶ θανόντα· οὕτω καὶ ἡμᾶς ἐκ θανάτου ἐγερεῖ. Ὅρα δὲ ἀσφάλειαν λόγου! Ἐπὶ μὲν τοῦ Κυρίου, διὰ τὸ καὶ τὴν ἀνάστασιν ἤδη γεγονέναι, θαῤῥούντως λέγει τό, *ἀπέθανεν*· ἐπὶ δὲ ἡμῶν, διὰ τὸ μέλλειν ἔτι τὴν ἀνάστασιν, *τοὺς κοιμηθέντας*, φησί· δεικνὺς οὖσαν καὶ ἔγερσιν. *Μὴ ὁ κοιμώμενος* γάρ, φησιν, *οὐχὶ προσθήσει τὸ ἀναστῆναι* (α); *Τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ.*] Τοῦτο διχῶς νοήσεις· Ἤ, *διὰ τοῦ Ἰησοῦ ἄξει*· ὅτι ὁ υἱὸς καὶ τῆς ἀναστάσεως παραίτιος, καὶ τοῦ ὀφθῆναι ἡμᾶς τῷ προσώπῳ τοῦ πατρός· ἤ, *τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ*, τουτέστι, τοὺς ἐν πίστει τοῦ Ἰησοῦ κοιμηθέντας, *ἄξει σὺν αὐτῷ*, τουτέστιν, ἢ εἰς πρόσωπον ἴδιον, ἢ εἰς τὸ ἀναστῆ-

(α) Ψαλμ. Μ', 9.

ναι (1). Τί οὖν· εἴποι ἄν τις ὡς πρὸς τὴν δευτέραν ἐξήγησιν· Μερικὴ ἔσται ἡ ἀνάστασις, ὡς τῶν ἀπίστων μὴ ἀνισταμένων; Οὐ τοῦτο· ἀλλ' ὅτι πάντες μὲν ἀναστήσονται, οὐ πάντες δὲ ἀχθήσονται· τὸ γὰρ *ἀχθῆναι*, τὴν μετὰ τιμῆς πανταχόθεν ἐν νεφέλαις ἁρπαγὴν καὶ ἀγωγὴν τὴν πρὸς τὸν κριτὴν δηλοῖ. Οἱ μὲν γὰρ πιστοὶ, καὶ οὐκ ἐπίπλαστον ἔχοντες τοῦτο τὸ δόγμα, ἐν νεφέλαις ἁρπαγήσονται εἰς ἀπάντησιν τοῦ Χριστοῦ· οἱ δὲ ἄπιστοι, κάτω περιμενοῦσιν αὐτὸν ἐρχόμενον, μὴ ἀξιούμενοι ἀπαντῆσαι (2).

15 Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς
οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ
16 Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. Ὅτι
αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέ-
λου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρα-
νοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ, ἀναστήσονται πρῶτον·
17 ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν
αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν
τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ
18 ἐσόμεθα. Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λό-
γοις τούτοις.

Μέγα τι καὶ ξένον ἔμελλεν ἐρεῖν μυστήριον, καὶ διὰ τοῦτο ἀξιόπιστον αὐτὸ ποιεῖ διὰ τοῦ λόγου τοῦ θεοῦ. Οὐχ ἡμέτερός, φησιν, ὁ λόγος, ἀλλὰ τοῦ Κυρίου. Ἴσως δὲ καὶ τοῦτο

---

(1) « Εἰς τὸ ἐμφανισθῆναι δηλονότι τῷ προσώπῳ ἑαυτοῦ. Εἰ γὰρ πάντες ἀνίστανται, ἀλλ' οὐ πάντες εἰς πρόσωπον τοῦ θεοῦ ἄγονται, ἀλλ' ὅσοι μετὰ πίστεως ὀρθῆς καὶ βίον ἐπεδείξαντο σεμνόν. » Σχόλιον ἀρχαῖον.

(2) « Τὸ, *κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει*, διχῶς νοήσεις· ἢ, *ἄξει διὰ τοῦ Ἰησοῦ*, τουτέστιν, ὁ υἱὸς αὐτοῖς μεσίτης ἔσται τῆς ἀναστάσεως, καὶ παραστήσει τῷ προσώπῳ τοῦ πατρός· ἢ, *τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ*, τουτέστι, τοὺς πιστούς. Τὸν γὰρ Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς, κοιμῶνται διὰ τοῦ Ἰησοῦ. Περὶ μερικῆς οὖν ἀναστάσεως διαλέγεται ἐνταῦθα, τουτέστι, τῆς ἐνδόξου, τῆς τῶν πιστῶν, τῆς σὺν τῷ Κυρίῳ· *ἄξει γὰρ σὺν αὐτῷ*, τουτέστι, σὺν τῷ Κυρίῳ ἐν νεφέλαις ἁρπάσει πανταχόθεν. Ἐπεὶ περί γε τῆς καθολικῆς ᾔδεσαν οἱ Θεσσαλονικεῖς. Ἀλλὰ τοῦτο βούλεται νῦν, παραμυθήσασθαι αὐτοὺς διὰ τοῦ δεῖξαι ἔντιμον καὶ ἔνδοξον τὴν ἀνάστασιν τῶν πιστῶν, ὡς ἂν μὴ λυπῶνται. Πάντες μὲν γὰρ ἀναστήσονται, οὐ πάντες δὲ ἐν δόξῃ, ἀλλ' οἱ πιστοὶ, τουτέστιν, οἱ ἔργα ἀγαθὰ μετὰ τοῦ δόγματος ἔχοντες. » Θεοφύλακτος.

ἓν ἦν τῶν ἀῤῥήτων· πάντα δὲ οὐκ ἐξῆν λαλῆσαι· τοῦτο δὲ ἐξῆν (α). Ἢ, οὐκ οἰκείοις χρώμεθα λογισμοῖς, ἀλλ' ἐκ θείας ἡμῖν ἀποκαλύψεως ἡ διδασκαλία γεγένηται (Θεοδωρήτου). *Ὅτι ἡμεῖς οἱ ζῶντες.*] Οὐ περὶ ἑαυτοῦ τοῦτό φησιν· οὐ γὰρ ἔμελλε ζῆν σωματικῶς ἄχρι τῆς ἀναστάσεως· ἀλλὰ λόγου χάριν τὸ ἑαυτοῦ πρόσωπον εἰσάγει. *Οἱ περιλειπόμενοι.*] Τότε γὰρ οἱ εὑρισκόμενοι ζῶντες, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἀλλαγήσονται, ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ φησὶν (β). *Οὐ μὴ φθάσωμεν.*] Τουτέστι, προφθάσωμεν, προλάβωμεν. Ἐπειδὴ γὰρ εὐχερὲς ἐδόκει εἶναι, τοὺς τότε φθασθέντας ἐν τῇ ζωῇ, ἀλλαγέντας ἐν ῥιπῇ ὀφθαλμοῦ, ἁρπασθῆναι, ἤπερ τοὺς κόνιν γεγονότας, φησὶν, ὅτι οἱ ζῶντες οὐ μὴ προφθάσωσι τοὺς τελευτήσαντας. Τοσαύτη τοῦ ἀνιστῶντος ἡ δύναμις (1)!—*Ζῶντας*, τὰς ψυχὰς, *κοιμηθέντας* δὲ, τὰ σώματα λέγει. Οὐκ ἂν οὖν προλάβωσιν αἱ ψυχαὶ τὰ σώματα· πρῶτον γὰρ ἐγείρεται τὰ σώματα, ἵνα αὐτὰ ἀπολάβωσιν αἱ ψυχαὶ, ἃς καὶ *περιλιμπάνεσθαί* φησι, διὰ τὸ ἀθανάτους εἶναι· οὐ γὰρ ἂν, εἰ μὴ περὶ ψυχῶν ἔλεγεν, εἶπε τὸ, *ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι*, τελευτήσειν μέλλων. Λέγει οὖν, ὅτι *ἡμεῖς οἱ ζῶντες*, ἤτοι, αἱ ψυχαὶ, οὐκ ἂν τὰ σώματα προφθάσωμεν ἐν τῇ ἀναστάσει, ἀλλὰ μετ' αὐτῶν τῆς ἀναστάσεως τευξόμεθα. Οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ.—*Ὅτι αὐτὸς ὁ Κύριος.*] Καὶ τὴν αἰτίαν λέγει τοῦ μὴ προληφθῆναι

(α) Β' Κορ. ΙΒ', 4. (β) Α' Κορ. ΙΕ', 52.

(1) « Ὅπερ ἐν τῇ πρὸς Κορινθίους φησὶν, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ (Α' Κορ. ΙΕ', 52.), τοῦτο καὶ νῦν λέγει. Ἐπειδὴ γὰρ ἐδόκει δύσκολον εἶναι, τοὺς καταπεπτωκότας τούτους ἀναστῆναι, φησὶν, ὅτι οἱ ζῶντες οὐ μὴ προλάβωσιν ἐκείνους· ἀλλ' ὥσπερ εὔκολον τῷ θεῷ τοὺς ὁλοκλήρους ἀγαγεῖν, οὕτω κἀκείνους. Ἡμεῖς δὲ οἱ ζῶντες λέγων, οὐ περὶ ἑαυτοῦ φησιν· (οὐδὲ γὰρ ἄχρι τῆς ἀναστάσεως ἔμελλε ζῆν·) ἀλλὰ τοὺς πιστοὺς λέγει· διὸ προσέθηκεν· οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου· ἐν γὰρ τῷ ἑαυτοῦ προσώπῳ πάντας τοὺς τότε εὑρεθησομένους ζῶντας δηλοῖ. » Θεοφύλακτος. « Οὕτως ὀξέως καὶ ταχέως, καὶ ἐν ἀκαρεῖ, οἱ τετελευτηκότες ἅπαντες ἀναστήσονται, ὡς τοὺς ἔτι κατ' ἐκεῖνον τὸν καιρὸν περιόντας προλαβεῖν, καὶ προαπαντῆσαι τῷ σωτῆρι τῶν ὅλων. Τὸ γὰρ, ἡμεῖς οἱ ζῶντες, οὐκ ἐπὶ τοῦ ἑαυτοῦ προσώπου τέθεικεν, ἀλλ' ἐπὶ τῶν κατ' ἐκεῖνον τὸν καιρὸν περιόντων ἀνθρώπων. » Θεοδώρητος.

τοὺς προαποθανόντας. *Ἐν κελεύσματι.*] Ἐν τῷ αὐτὸν κελεῦσαι, καὶ ἐν τῷ τὸν ἀρχάγγελον φωνεῖν, καὶ ἐν τῷ τὰς σάλπιγγας ἠχεῖν, *καταβήσεται ἀπ' οὐρανοῦ*. Κελεύει μὲν ὁ Κύριος, τὸ τὴν γῆν τὰ σώματα ἀναδοῦναι· φωνεῖ δὲ ὁ ἀρχάγγελος τὸ δεσποτικὸν κέλευσμα, καὶ ἠχοῦσιν αἱ ἄλλαι τάξεις αἱ οὐράνιαι, ἃς τροπικῶς *σάλπιγγας* καλεῖ, ὥσπερ καὶ τὸ, *ἠχοῦσιν*. Ἀλλ' ὁ μὲν Κύριος, ὥσπερ ἔφημεν, κελεύει· ὁ δὲ ἀρχάγγελος, τὸ δεσποτικὸν κέλευσμα μηνύει τοῖς ὑφ' ἑαυτόν· οἱ δὲ, διακονοῦσιν αὐτὸ, καὶ διηχοῦσιν εἰς τὰ τοῦ κόσμου πέρατα· καὶ οἱ νεκροὶ, οἱ ἐκ πάσης τῆς οἰκουμένης, ἀνίστανται, καὶ συνάγονται. Ὅρα δὲ πῶς εὐφυῶς καὶ λεπτομερῶς ὑπογράφει τὴν τῶν νεκρῶν ἀνάστασιν, ἵνα μᾶλλον ταῖς τῶν ἀκροατῶν εἴη ἐντετυπωμένη διανοίαις. *Ἐν φωνῇ ἀρχαγγέλου.*] *Φωνὴν ἀρχαγγέλου* φησὶ, τὴν τοῖς ἐπὶ τὸ συνάγειν τεταγμένοις ἀγγέλοις ἐγκελευομένην, πάντας ἑτοίμους ποιεῖν, ὡς τοῦ κριτοῦ φθάσαντος. Τὸ μὲν γὰρ ἀναδοῦναι τὴν γῆν, οὓς ἐδέξατο, ἐν ἀφθαρσίᾳ μεταβληθέντας, τὸ κέλευσμα ποιεῖ τοῦ Χριστοῦ· τὸ δὲ τοὺς εἰς τὰς ἐσχατιὰς τοῦ κόσμου διεσπαρμένους, εἰς ἓν συναχθῆναι, ἄγγελοι παρασκευάζουσιν, ἀρχαγγέλου τοῦτο ἐγκελευομένου. *Καὶ ἐν σάλπιγγι θεοῦ.*] Τούτων ἄρα τῶν σαλπίγγων τύπος ἦσαν αἱ ἐν τῷ ὄρει Σινᾶ (1). Ἅτε γὰρ, βασιλέως ἐφισταμένου, εἰκότως σάλπιγγες ἠχήσουσι. *Σάλπιγγας* δὲ καλεῖ τὰς ἀγγελικὰς δυνάμεις· ὅτι, ὥσπερ ἡ σάλπιγξ οὐδὲν ἴδιον ἠχεῖ, ἀλλ' ὅπερ ἂν ὁ τεχνίτης ἐμπνεύσῃ· οὕτω καὶ αἱ τοῦ θεοῦ σάλπιγγες οὐδὲν ἴδιον τολμῶσιν ἠχῆσαι, ἀλλ' ὅπερ ἂν ὁ κοινὸς δεσπότης καὶ δημιουργὸς διὰ τοῦ ἀρχαγγέλου αὐτοῖς ἐγκελεύσῃ (2). *Καὶ οἱ νεκροὶ ἐν Χριστῷ, ἀναστήσονται πρῶ-*

(1) Ἐξοδ. ΙΘ', 13. 19.

(2) « Αὐτὸς πρῶτος ὁ τῶν ὅλων Κύριος ἐκ τῶν οὐρανῶν ἐπιφανήσεται κατιὼν, τῶν ἀοράτων ἡγουμένων δυνάμεων· καὶ κελεύσει μὲν ἀρχάγγελον βοῆσαι, καὶ τοὺς νεκροὺς ἀναστῆσαι· σάλπιγγες δὲ πανταχόθεν ἠχήσουσι μέγα τι καὶ ἐξαίσιον. Τοῦτο δὲ καὶ ἐν τῇ πρὸς Κορινθίους ἔφη· Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἐγερθήσον-

τον.] *Οἱ νεκροὶ ἐν Χριστῷ*, τουτέστιν, οἱ πιστοὶ, πρῶτον ἐγερθήσονται· ἅτε γὰρ μέλλοντες αἴρεσθαι ἐν νεφέλαις, πρῶτοι ἀνίστανται· οἱ δὲ λοιποὶ, ἔσχατοι, ὡς μήτε ἁρπάζεσθαι, μήτε ἀπαντᾷν μέλλοντες. *Ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι.*] Μετὰ τοῦτό, φησι, καὶ τῶν ζώντων καὶ περιλειπομένων ὅσοι ἄξιοι, ἅμα τοῖς προτετελευτηκόσιν ἁρπαγησόμεθα. Μὴ οὖν νομίσητε τοὺς νεκροὺς δυσχερεστέρως ἐγείρεσθαι· ἡ γὰρ ἁρπαγὴ πάντων ἅμα ἔσται. *Ἐν νεφέλαις.*] Καὶ γὰρ καὶ τὸν Χριστὸν νεφέλη ὑπέλαβεν (α). Εἰ δὲ ἔρχεσθαι μέλλει, τί δή ποτε ἁρπάζονται οἱ πιστοὶ, ἵνα ὑπαντήσωσι; Τιμῆς ἕνεκεν· ὥσπερ γὰρ βασιλέως εἰς πόλιν εἰσερχομένου, οἱ μὲν ἔντιμοι ὑπαντῶσιν, οἱ δὲ κατάδικοι ἔσω μένουσι τὸν κριτήν· οὕτω καὶ τότε· οἱ μὲν δίκαιοι ἁρπάζονται, οἱ δὲ ἁμαρτωλοὶ, κἂν πιστοὶ ὦσι, κάτω μένουσιν. *Εἰς ἀέρα.*] Διὰ γὰρ νεφελῶν εἰς ἀέρα ἀπελεύσονται, τουτέστι, μετέωροι. *Καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.*] Εἶτα λέγει καὶ τὴν κορωνίδα τῆς μακαριότητος, τὸ εἶναι σὺν Χριστῷ πάντοτε. *Ὥστε παρακαλεῖτε ἀλλήλους.*] Ταῦτα οὖν εἰδότες, παραμυθεῖτε ἀλλήλους, εἰς τὸ μὴ λυπεῖσθαι, ὡς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα ἀναστάσεως.—Ἐπιστήσεις δὲ, ὅτι, τὴν ἀνάστασιν διαγράφων, οὐκ ἐμνήσθη ῥητῶς τῶν ἐπὶ τιμωρίαν καὶ κόλασιν ἀνισταμένων. Τοῦτο δὲ διὰ τρεῖς αἰτίας, οἶμαι, ποιεῖ. Πρῶτον μὲν, ὅτι παραμυθούμενος τοὺς Θεσσαλονικεῖς, τῆς ἀναστάσεως μνημονεύει· *Οὐ θέλω γὰρ ὑμᾶς*, φησι, *περὶ τῶν κεκοιμημένων ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε.* Οὐκ ἔδει οὖν παραμυθεῖσθαι μέλλοντα, καταμιγνύειν τὰ σκυθρωπά. Ποταπὴ γὰρ παράκλησις, τιμωρία

ται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα (Α' Κορ. ΙΕ', 51. 52.). Εἰ δὲ ἐν τῷ Σινᾶ ὄρει, συμμέτρου τοῖς τότε παροῦσι γεγενημένης ἠχῆς, οὐκ ἤνεγκεν ὁ λαὸς τὴν τοῦ δέους ὑπερβολὴν, ἀλλὰ πρὸς τὸν μέγαν ἔφη Μωσέα· Λάλει πρὸς ἡμᾶς σὺ, καὶ μὴ λαλείτω ὁ Θεὸς πρὸς ἡμᾶς, ἵνα μὴ ἀποθάνωμεν (Ἐξοδ. Κ', 19.)· τίς οἴσει τὴν ἐνεχθησομένην τότε φωνήν; Τὸ δὲ, ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, τοῦτο σημαίνει, ὅτι κελευόμενός τις τῶν ἀρχαγγέλων, παρακελεύσεται τοῖς νεκροῖς ἀναστῆναι· οἱ δὲ παραυτίκα ἀνίστανται, καὶ μετὰ τοσαύτης ὀξύτητος, ὡς προφθάσαι τοὺς ἔτι περιόντας.» Θεοδώρητος· Ἴδ. Ματθ. ΚΔ', 31.

(α) Πραξ. Α', 9.

καὶ κόλασις διηνεκὴς, καὶ σκότος, καὶ σκώληξ, καὶ πῦρ; Μᾶλλον μὲν οὖν εἰ οὕτως ἔγραφεν, ἐπέτεινεν ἂν τὴν λύπην, ἀλλ' οὐ παρεκάλεσέ ποθεν τὰς ψυχὰς αὐτῶν. Δεύτερον δὲ, ὅτι πιστοῖς διηγεῖτο τὴν ἀνάστασιν. Εἰκότως οὖν οὐ μνημονεύει τῶν εἰς τιμωρίαν ἀπαχθησομένων· οἱ γὰρ πιστοὶ, κατὰ τὰς δεσποτικὰς ἐντολὰς πολιτευόμενοι, οὐδεμιᾶς τιμωρίας λαμβάνουσι πεῖραν, ἀλλ' ἐν αἰδίῳ χαρᾷ καὶ εὐφροσύνῃ διατελοῦσιν. Οὐκ ἦν οὖν χρεία ἀλλοτρίων παθῶν μνήμην καὶ κάκωσιν ἐν τῇ τοῖς πιστοῖς ἑτοιμαζομένῃ δόξῃ καὶ τρυφῇ καὶ μακαριότητι, καὶ τότε πιστοῖς γράφοντι, ποιεῖσθαι. Τρίτον δὲ, ὅτι αὐτὸ τὸ πρᾶγμα, τὴν ἀνάστασιν, καὶ δι᾽ ὃ γέγονε, καθ' αὑτὸ νῦν ἐξηγεῖται. Καὶ γὰρ τὴν ἀνάστασιν ὁ Θεὸς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων πάντων, καὶ ἀφθαρσίᾳ καὶ ἀφράστῳ δόξῃ καὶ χαρᾷ, καὶ ἀπολαύσει τῶν αἰωνίων ἀγαθῶν ἐποίησε· τὴν γὰρ κόλασιν, τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ὡς καὶ ἐν τῷ εὐαγγελίῳ φησὶν (α), ἀλλ' οὐ τοῖς ἀνθρώποις ἡτοίμασεν. Εἰδέ τινες, οἰκείαις μοχθηρίαις, ἀντὶ τῶν ἑτοιμασθέντων αὐτοῖς ἀγαθῶν, τὰ τῷ διαβόλῳ ἑτοιμασθέντα ἐκλέγονται, οὐ παρὰ τὴν δεσποτικὴν φιλανθρωπίαν τοῦτο καὶ πρόνοιαν γίνεται. Διὸ καὶ ὁ θεῖος Παῦλος αὐτὴν τὴν φύσιν τῆς ἀναστάσεως, καὶ ἐφ' ᾧ ταύτην ὁ δημιουργὸς ὑφίστησι λέγων, τῶν εἰς τιμωρίαν ἀχθησομένων· (οὐ γὰρ ἐπὶ τιμωρίᾳ, ἀλλ' ἐπὶ μισθαποδοσίᾳ γίνεται·) εἰκότως οὐ μνημονεύει (Φωτίου).

(α) Ματθ. ΚϚ', 41.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ τοῦ αἰφνιδίως ἥξειν τὸν Χριστὸν, ὥστε δεῖν εὐτρεπίζεσθαι σπουδῇ, πίστει, ἐλπίδι, ἀγάπῃ, τιμῇ, εἰρήνῃ, μακροθυμίᾳ, φιλομαθείᾳ.

ΚΕΦ. V, 1 Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελ-
2 φοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι· αὐτοὶ γὰρ ἀκρι-
βῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυ-
3 κτὶ, οὕτως ἔρχεται. Ὅταν γὰρ λέγωσιν· Εἰρήνη καὶ
ἀσφάλεια· τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος,
ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ· καὶ οὐ μὴ
ἐκφύγωσιν.

Οὐ *χρείαν ἔχετε.*] Περιττὸν γάρ ἐστι καὶ ἀσύμφορον τὸ τοὺς καιροὺς καὶ τοὺς χρόνους τῆς συντελείας εἰδέναι. Καὶ γὰρ οὐδὲ τοῖς ἀποστόλοις ἐξεκάλυψε τοῦτο ὁ Κύριος, ὅτε προσιόντες ἠρώτων αὐτόν (α). Ὁ δέ γε Παῦλος ἴσως ᾔδει αὐτὸ, ἐκ τῶν ἀῤῥήτων καὶ τοῦτο μαθών (β). *Ὅτι ἡ ἡμέρα Κυρίου.*] Τοῦτο καὶ περὶ τῆς κοινῆς συντελείας εἴρηται, καὶ περὶ τῆς ἰδίας ἑκάστου· καὶ γὰρ καὶ αὕτη ἀδήλως ἑκάστῳ ἔπεισιν. *Ὡς κλέπτης.*] Διὰ τί ὡς κλέπτης; διὰ τούτων γὰρ, τὸ λαθραῖον καὶ αἰφνίδιον δηλοῖ. Καὶ φαμὲν, ὅτι τοῦτο κατὰ πολλοὺς τρόπους ὠφέλιμόν ἐστι. Πρῶτον μὲν, ὅτι, εἰ ᾔδει τις τὴν ἐσχάτην αὐτοῦ ἡμέραν, οὐκ ἔμελλεν αὐτῷ ἀρετῆς ἐπιμελεῖσθαι, ἀλλὰ μυρία ποιῶν κακὰ πάσας τὰς ἄλλας ἡμέρας, εἶτα τῷ βαπτίσματι πρὸς ἐσχάτας ἀναπνοὰς προσήει. Δεύτερον, ὅτι πολλαὶ ἁμαρτίαι δέει τοῦ θανάτου ἀνακόπτονται· ὡς εἴγε δῆλον ἦν, ὅτι τέως νῦν οὐ

(α) Πραξ. Α', 7. (β) Β' Κορ. ΙΒ', 4.

τεθνήξεταί τις, πάντα ἀδεῶς ἔπραττε (1). Τρίτον, ὅτι, εἰ ᾔδει τις, ὅτι πάντως ἐν τῷδε τῷ χρόνῳ τεθνήξεται, ἐν ἀθυμίᾳ διάγων διετέλει· νῦν δὲ τῇ ἀδηλίᾳ ἀεὶ ἐν χρησταῖς ἐλπίσι τρεφόμεθα. Τέταρτον, ὅτι οὐδὲ ὑπὲρ ὧν εἰς κινδύνους ἀδήλους ἑαυτοὺς ῥίπτουσιν οἱ ἅγιοι, μισθὸν ἔμελλον ἔχειν. Εἰ γὰρ ἦν δῆλον, ὡς μετὰ τρία ἔτη τυχὸν τελευτήσει, καὶ ἄλλως οὐκ ἔνι, ἅπαντες ἂν τῶν κινδύνων κατεφρονήσαμεν, εἰδότες μηδὲν ἐκ τούτων βλάπτεσθαι, ὅπερ ποία ἀρετή; Διὰ ταῦτα εἴρηται, ὅτι *ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ ἔρχεται*. Οἴδατε οὖν τοῦτο, ὦ Θεσσαλονικεῖς, ἐξ ὧν ὁ Κύριος εἶπεν· *Οὐκ οἴδατε, ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται* (α). *Ὅταν γὰρ λέγωσιν· Εἰρήνη καὶ ἀσφάλεια.*] Τοῦτο καὶ πρὸς παραμυθίαν αὐτῶν εἶπε. Μή, φησιν, ἐπειδὴ ἐν εὐημερίᾳ διάγουσιν οἱ ἐπηρεάζοντες ὑμᾶς, προσδοκήσωσι μήτε ἥξειν τὸ τέλος· ἥξει γὰρ πάντως. *Τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος.*] Ἵνα μὴ ἀπαραμύθητος παντελῶς γένοιτο ἡ τιμωρία τῶν ἀδικουμένων καὶ πλεονεκτουμένων· καὶ ἔτι, ἵνα μή, προειδότες τὴν τελευτήν, ἀνηλεῶς ὅλως καὶ ἀφιλανθρώπως τοῖς ἀσθενεστέροις οἱ δυνατώτεροι ἐπεμβαίνοντες, εἰς βλασφημίαν καὶ ἀμηχανίαν συνελάσωσιν αὐτούς. Καὶ πῶς αἰφνίδιον λέγει ὁ Παῦλος ἔρχεσθαι τὸν ὄλεθρον, τοῦ Ἠλιοῦ προερχομένου καὶ τοῦ Ἀντιχρίστου; Φαμέν, ὅτι, τῆς μὲν συντελείας σημεῖα οὗτοι· τῆς δὲ παρουσίας τοῦ Χριστοῦ οὐκέτι· αἰφνίδιος γὰρ ἔσται καὶ ἄδηλος. *Ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ.*] Καλῶς τὸ ὑπόδειγμα τέθεικε τῆς ὠδῖνος τῆς ἐν γαστρὶ ἐχούσης. Καὶ γὰρ καὶ ἡ γυνὴ σημεῖα μὲν ἔχει τοῦ τόκου πολλά· αὐτῆς δὲ τῆς ὥρας ἢ τῆς ἡμέρας οὐκέτι. Ἄλλως δέ, καὶ διὰ τὸ τῆς ὀδύνης δριμύ, εἰς μέσον ταύτην ἤγαγεν. Ὁ δὲ Χριστός, περὶ τῆς συντελείας μνη-

---

(1) « Ὅτι πολλοί, εἰ ᾔδεισαν, ὅτι αὔριον τυχὸν τεθνήξονται, μυρία ἂν κακὰ διέθεντο τοὺς αὐτῶν ἐχθρούς, ἅτε ἀπεγνωκότες ἑαυτῶν, καὶ θέλοντες τοῖς τῶν ἐχθρῶν αἵμασιν εὐωχηθῆναι· ὃ νῦν οὐ γίνεται, κατέχοντος αὐτοὺς τοῦ φόβου τοῦ θανάτου, καὶ τοῦ ἔρωτος τῆς ζωῆς. » Θεοφύλακτος. (α) Λουκ. ΙΒ' 39.

μονεύων, τῷ τοῦ Λὼτ καὶ τοῦ Νῶε παραδείγματι ἐχρήσατο (α). Ταῦτα περὶ τῆς κοινῆς συντελείας· ἡ γὰρ ἰδία ἑκάστου, οὐδὲ ἀμφίβολόν ἐστιν, ὅτι οὕτως ἔσται. *Καὶ οὐ μὴ ἐκφύγωσι.*] Τόν τε πόνον καὶ τὸν ὄλεθρον, οἱ τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν λέγοντες. Περὶ ἁμαρτωλῶν δέ λέγει.

4 Ὑμεῖς δὲ, ἀδελφοὶ, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέ-
5 ρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ· πάντες γὰρ ὑμεῖς
υἱοὶ φωτός ἐστε, καὶ υἱοὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτὸς,
6 οὐδὲ σκότους. Ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ
7 λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν. Οἱ γὰρ
καθεύδοντες, νυκτὸς καθεύδουσιν· καὶ οἱ μεθυσκό-
8 μενοι, νυκτὸς μεθύουσιν· ἡμεῖς δὲ, ἡμέρας ὄντες,
νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης,
καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας·

Οὐκ ἐστὲ ἐν σκότει.] Τουτέστιν, ἐν βίῳ ὑπὸ ἁμαρτιῶν σκοτιζομένῳ. *Ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ,*] Τί οὖν; καὶ αὐτοῖς οὐκ ἀδήλως ἐφίσταται ἡ τελευτὴ, κἂν μὴ σκοτεινὸν καὶ ἀκάθαρτον βίον ἔχωσι; Ναί· οὐδὲ γὰρ πρὸς τὸ μὴ ἀδήλως μέλλειν ἐφίστασθαι, εἴρηται τὸ, ὡς *κλέπτης*, ἀλλ' ὅτι οὐκ ἐπίβουλος ἥξει ἡ ἡμέρα ἡμῖν, οὐδὲ ἐπὶ κακῷ καὶ ζημίᾳ, ὥσπερ ὁ κλέπτης. Οὗτος γὰρ ἐπὶ κακῷ ἔπεισι πρὸς οὓς ἔπεισιν. *Υἱοὶ φωτός ἐστε.*] Ὥσπερ γὰρ *Υἱοὶ γεέννης* λέγονται, οἱ τὰ γεέννης ἄξια πράττοντες, καὶ *Υἱοὶ ἀπειθείας*, οἱ ἀπειθεῖς, οὕτως *Υἱοὶ φωτὸς*, καὶ, *Υἱοὶ ἡμέρας*, οἱ τὰ δίκαια καὶ πεφωτισμένα πράττοντες. *Οὐκ ἐσμὲν νυκτός.*] Τουτέστιν, ἁμαρτίας υἱοί. *Μὴ καθεύδωμεν.*] Τουτέστιν, ἀπὸ τῶν καλῶν ἔργων μὴ ῥαθυμῶμεν. *Ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν.*] Ἐπίτασις ἐγρηγόρσεως τὸ νήφειν. Ἔνι γὰρ καὶ ἐγρηγορέναι, καὶ μηδὲν διαφέρειν καθεύδοντος· ὡς ἂν εἰ ἔλεγε· Νηφόντως τὰ ἀγαθὰ πράττωμεν, καὶ τὸν οἰκεῖον βίον οἰκονομῶμεν. *Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι.*] *Καθεύδοντάς* φησι τοὺς ἀνε-

(α) Ματθ. ΚΔ', 37. Λουκ. ΙΖ', 26.

νεργήτως ἔχοντας πρὸς τὴν τῶν καλῶν ἐργασίαν, τουτέστι, τοὺς ἁμαρτάνοντας. Ἐπεὶ οὖν, κατὰ τὸ ἀκόλουθον, *οἱ καθεύδοντες, νυκτὸς καθεύδουσιν*, ὑμᾶς οὐ δεῖ καθεύδειν, ἡμέρας καὶ οὐ νυκτὸς ὄντας υἱούς· ὡσεὶ εἶπεν· Οἱ ἁμαρτάνοντες ἐν τῷ ζόφῳ τῆς ἁμαρτίας διάγουσι· τοὺς δὲ τὰ δίκαια πράττειν προαιρουμένους, οὐ δεῖ καθεύδειν, οἷον ἀπρακτεῖν ἀρετῆς· ἐπεὶ μήτε διαφέρουσι τῇ νυκτὶ τῆς ἁμαρτίας, ἀλλὰ τῷ φωτὶ τῆς ἀρετῆς καὶ δικαιοπραγίας. *Καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσι.*] *Μέθην* ἐνταῦθα, οὐ τὴν ἐξ οἴνου μόνον λέγει, ἀλλὰ καὶ τὴν ἀπὸ πάντων τῶν παθῶν, τὴν ἐξ ἁμαρτημάτων ἀχλὺν καὶ σκότωσιν, ὡς ἐξιστῶσαν τοῦ κατὰ φύσιν, καὶ σκοτίζουσαν τὸ ἡγεμονικόν. *Ἡμεῖς δὲ, ἡμέρας ὄντες.*] Οἷον, υἱοί. Οὐ τοίνυν ὑμεῖς ὀφείλετε τοιοῦτοι εἶναι· οὐ γάρ ἐστε νυκτὸς καὶ σκότους υἱοὶ, ἀλλ' ἡμέρας, διὰ τοῦ βαπτίσματος καὶ τῆς τῶν ἐντολῶν τοῦ θεοῦ παραδοχῆς. *Ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης.*] Ἄνω εἶπε, δεῖν ἐγρηγορέναι καὶ νήφειν· νῦν δὲ προστίθησιν, ὅτι πρὸς τούτοις καὶ καθωπλισμένους εἶναι χρή· ἐπεὶ ἀόπλους ἡμᾶς εὑρὼν ὁ διάβολος, ἐπηρεάζει, κἂν μάλιστα γρηγορῶμεν καὶ νήφωμεν. *Θώρακα* δέ, φησι, *πίστεως καὶ ἀγάπης*, διὰ τὸ στεῤῥὸν αὐτῶν καὶ ἄτμητον· τοιαύτην γὰρ εἶναι δεῖ τὴν πίστιν καὶ ἀγάπην· ἀπρόσιτα δὲ τῷ ταύτας ἔχοντι τοῦ διαβόλου τὰ βέλη (1). *Καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας.*] Ἡ γὰρ ἐλπὶς τῆς σωτηρίας, τάξει περικεφαλαίας, τὸ ἀναγκαιότερον τῶν ἐν ἡμῖν, τὸν νοῦν, οὐκ ἐᾷ περιτραπῆναι εἰς τὸ κακόν· καὶ γὰρ ἡ περικεφαλαία, τὸ καιριώτατον ἐν ἡμῖν, τὴν κεφαλὴν, σώζει καὶ διατηρεῖ σκέπουσα. Καὶ ἀλλαχοῦ δὲ τὴν πίστιν καὶ τὴν ἐλπίδα καὶ τὴν ἀγάπην προτίθησι τῶν λοιπῶν ἀρετῶν (α), καὶ νῦν ταύτας κτᾶσθαι κελεύει.

(1) «Θώρακα πίστεως καὶ ἀγάπης εἰπὼν, δόγματα ὀρθὰ καὶ βίον ἀγαθὸν ἠνίξατο· τοῦτο γάρ ἐστι τὸ ὄντως νήφειν. Οὐχ ἁπλῶς δὲ δεῖ ταῦτα ἔχειν, ἀλλ' ὡς θώρακα· τοῦτον γὰρ οὐδὲν ῥᾳδίως διατέμνει, ἀλλ' οἷόν τι τειχίον ἐστὶ τῷ στήθει, καὶ οὐδὲν τῶν πεπυρωμένων τοῦ διαβόλου βελῶν ἅψεται ἡμῶν.» Θεοφύλακτος.

(α) Α' Κορ. ΙΓ, 13.

9 Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς
περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
10 Χριστοῦ, τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν· ἵνα, εἴτε
γρηγορῶμεν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζή-
11 σωμεν. Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε
12 εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. Ἐρωτῶμεν δὲ
ὑμᾶς, ἀδελφοὶ, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν,
καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦν-
13 τας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν
ἀγάπῃ, διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν ἑαυ-
τοῖς (1).

Διὰ τοῦτό, φησι, ταῦτα ἡμῖν κτητέον τὰ ὅπλα· διότι καὶ ὁ θεὸς *οὐκ ἔθετο*, τουτέστιν, οὐκ ἀφώρισεν, οὐδὲ ἐπὶ τούτῳ ἐποίησεν ἡμᾶς, ἵνα τῆς ὀργῆς αὐτοῦ γενώμεθα δεκτικοὶ, ἀλλ' ἵνα περιποιήσῃ ἡμᾶς ἑαυτῷ, καὶ σώσῃ ἡμᾶς. Ἐπεὶ οὖν θέλημα θεοῦ τὸ σώζεσθαι ἡμᾶς, αὐτὸς καὶ συνεργήσει πρὸς τὴν τῶν ὅπλων τούτων κτῆσιν. *Ἀλλ' εἰς περιποίησιν σωτηρίας.*] Ἀλλ' ἑαυτῷ, φησι, περιεποιήσατο ἡμᾶς, καὶ οἷον ἐκτήσατο ἡμᾶς, δοὺς ὑπὲρ ἡμῶν τιμὴν, ὧν εἶχε τὸ τιμιώτατον· τὸ γὰρ αἷμα τοῦ μονογενοῦς δέδωκεν. Ἔχοντες οὖν, φησι, τῆς ἀγάπης τοῦ θεοῦ τὸν ἔλεγχον, πίστιν ἔχωμεν τὴν εἰς αὐτὸν, ἀγάπην, τήν τε εἰς αὐτὸν καὶ τὸν πλησίον, ἐλπίδα χρηστὴν, ὅτι σώσει, οὓς ἐκτήσατο. *Ἵνα, εἴτε γρηγορῶμεν.*] Διὰ τοῦτο δέ, φησιν, ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ Χριστὸς, *ἵνα, εἴτε γρηγορῶμεν*, τουτέστι, ζῶμεν, *εἴτε καθεύδωμεν*, τουτέστι, ἀποθάνωμεν· (ἄλλως γὰρ ὧδε τὸ, *καθεύδειν*, καὶ οὐχ ὡς ἄνω, ἐξέλαβεν·) *ἅμα σὺν αὐτῷ ζήσωμεν*. Οἱ γὰρ τὰ εἰρημένα ὅπλα κτησάμενοι, συζήσουσι καὶ συμβασιλεύσουσι τῷ Χριστῷ. *Διὸ παρακαλεῖτε ἀλλήλους.*] Ἐπειδὴ γὰρ οὐκ ἰσχύουσιν οἱ διδάσκαλοι πρὸς τὴν τῶν ἁπάντων νουθεσίαν, καὶ αὐτοῖς τὸ παραινεῖν καὶ διδάσκειν αὐτοὺς ἐπιτρέπει. *Ἐρωτῶμεν δὲ ὑμᾶς.*] Οἷον, παρακαλοῦμεν.

(1) Παρ' ἄλλοις γράφεται, ἐν αὐτοῖς, τουτέστι, τοῖς διδασκάλοις.

Εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν.] Ἐπειδὴ εἶπεν, *Οἰκοδομεῖτε εἷς τὸν ἕνα*, ἵνα μὴ νομίσωσιν ἀποκεκινηκέναι αὐτῶν τοὺς διδασκάλους διὰ τοῦ ἐπιτρέψαι αὐτοῖς τὴν ἀλλήλων οἰκοδομὴν καὶ παράκλησιν, εὐθέως τῶν διδασκάλων αὐτῶν μνήμην ἐποιήσατο. Φησὶν οὖν, ὅτι, εἰ καὶ ὑμῖν ἐπέτρεψα τὴν ἀλλήλων οἰκοδομὴν, πλὴν παρακαλῶ, ἵνα ἐκείνους διὰ τιμῆς ἔχητε· πολλὰ γὰρ οἱ διδάσκαλοι ἀναγκάζονται ὑπομένειν δυσχερῆ, ἃ ἡ τιμὴ αὐτοῖς μετρίως γοῦν ἐπικουφιεῖ. *Καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ.*] Εἰ γὰρ τοὺς ἐπὶ ἀνθρώπων δυνατῶν προϊσταμένους πάσης ἀξιοῦμεν τιμῆς, πολλῷ μᾶλλον δεῖ τοὺς διδασκάλους ἐν τιμῇ ἔχειν, οἳ πρὸς τὸν Θεὸν προΐστανται. Ὅθεν φησὶν, *ἐν Κυρίῳ*, τουτέστι, κατὰ Κύριον προϊσταμένους, ἤγουν, ἐπὶ τοῦ Κυρίου προϊσταμένους (1). *Καὶ ἡγεῖσθαι αὐτούς.*] Καὶ ἡγεῖσθαι αὐτοὺς ἐν ἀγάπῃ τῇ ὑμῶν ὀφείλειν εἶναι· τουτέστιν, ἡγεῖσθαι αὐτοὺς ἀξίους τοῦ ἀγαπᾶσθαι, καὶ οὐ μικρῶς, ἀλλ' *ὑπερεκπερισσοῦ*, ὡς ἂν εἰ παῖδες πατέρας. Πολλὴ δὲ ἐπίτασις τὸ, *Ὑπὲρ*, καὶ τὸ, *Ἐκ*, ἐν τῷ, *ὑπερεκπερισσοῦ* (2). *Διὰ τὸ ἔργον αὐτῶν.*] Τουτέστιν, ὃ ἐπιτελοῦσιν εἰς ὑμᾶς. Βαπτίσματος γὰρ, καὶ διδαχῆς, καὶ γνώσεως καὶ μυστηρίων μετοχῆς οὗτοι ὑμῖν εἰσὶ πρόξενοι. *Εἰρηνεύετε ἐν ἑαυτοῖς.*] Ὁρᾷς, ὅπως οἶδεν ἔχθρας πρὸς τοὺς διδασκάλους τικτομένας; Ἐξ ὧν γὰρ τὰ φαῦλα ἐλέγχουσι, καὶ τῶν κακῶν ἀπείργουσι, μισοῦνται, καίτοι ἀγαπᾶσθαι ὀφείλοντες. Δεῖ οὖν εἰρηνεύειν μετ' αὐτῶν, καὶ οὐ τῷ ἔξω σχήματι, ἀλλ' *ἐν ἑαυτοῖς*.

14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί· νουθετεῖτε τοὺς
ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀν-
τέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.
15 Ὁρᾶτε, μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ· ἀλλὰ

(1) « Τοὺς προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, ἀντὶ τοῦ, Ὑπερευχομένους ὑμῶν, καὶ τῷ Θεῷ τὴν ὑπὲρ ὑμῶν πρεσβείαν προσφέροντας. » Θεοδώρητος.

(2) « Τὸ, Ἡγεῖσθε αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ, ἀντὶ τοῦ, Πλείονος αὐτοὺς ἀξιοῦτε τιμῆς, μετὰ διαθέσεως προσφερομένης εἰλικρινοῦς. » Θεοδώρητος.

πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.

Ενταῦθα πρὸς τοὺς διδασκάλους ἀποτείνεται. *Νουθετεῖτε τοὺς ἀτάκτους.*] Μὴ ἀπ' ἐξουσίας ἢ ἀπὸ αὐθαδείας ἐπιπλήττετε, ἀλλὰ μετὰ πραότητος νουθετεῖτε. Ἐπειδὴ γὰρ οὗτοι διεστραμμένοι εἰσί, πλεῖον αὐτοὺς ἡ ἐπίπληξις ἀγριοῖ. *Ἀτάκτους* δέ φησι τοὺς παρὰ τὴν τάξιν, τὴν ὑπὸ θεοῦ ὁρισθεῖσαν, πράττοντας. Τάξιν γὰρ ὥρισεν ἑκάστῳ, ἣν ὁ παραβαίνων, ἄτακτος. Ὁ μεθύων, ὁ λοίδωρος, ὁ πλεονέκτης, καὶ πάντες οἱ ἁμαρτάνοντες ἔξω τῆς τάξεως βαίνουσι (1). *Παραμυθεῖσθε τοὺς ὀλιγοψύχους.*] Ὀλιγόψυχός ἐστιν ὁ ῥᾴθυμος καὶ ἀναπεπτωκώς, καὶ μὴ φέρων ὕβριν ἢ θλίψιν ἢ πειρασμὸν ὑπὲρ Χριστοῦ. Τοὺς οὖν τοιούτους, ὡς ἐκλελυμένους, παραμυθεῖσθε. *Ἀντέχεσθε τῶν ἀσθενῶν.*] Ἀντιποιεῖσθε, ὑποστηρίζετε. *Ἀσθενεῖς* δέ φησι τοὺς περὶ τὴν πίστιν τοιούτους. Οὔτε γὰρ τούτων καταφρονεῖν χρή, ὡς καὶ ἀλλαχοῦ φησι· *Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε* (α). *Μακροθυμεῖτε πρὸς πάντας.*] Καὶ πρὸς τοὺς ἀτάκτους, καὶ πρὸς τοὺς ὀλιγοψύχους, καὶ πρὸς τοὺς ἀσθενεῖς. Τοῦτο γὰρ μάλιστα ἁρμόδιον διδασκάλῳ, τὸ μακροθυμεῖν· τοῦτο καὶ τοὺς ἀκαμπεῖς κάμπτειν πέφυκε. *Μήτις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ.*] Εἰ δὲ κακὸν ἀντὶ κακοῦ οὐκ ἀποδοτέον, τί πάθωμεν οἱ κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντες; Τοῦτο καὶ Ῥωμαίοις ἐπιστέλλων ἔγραψε· *Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ· ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν* (β). *Ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε.*] Οὐκ ἀρκεῖ, φησι, τὸ μὴ ἀποδοῦναι κακὸν τῷ κακῷ, ἀλλὰ χρὴ καὶ ἀγαθοῖς αὐτὸν ἀμείβεσθαι. Τοῦτο γὰρ τὸ *διώκειν τὸ ἀγαθόν.* Τὸ δὲ *διώκειν*, πολλῆς σπουδῆς εἰς τὸ τὰ ἀγαθὰ πράττειν ἔμφασιν ἔχει. *Καὶ εἰς ἀλλήλους.*] *Ἀλλήλους* μέν, τοὺς ἀδελφοὺς

---

(1) Ὁ δὲ Θεοδώρητος λέγει «Τοὺς ἀργίᾳ συζῶντας οὕτως ἐκάλεσεν, ὡς τὴν κειμένην μὴ φυλάττοντας τάξιν· τούτους οὐ μισεῖσθαι, ἀλλὰ νουθετεῖσθαι προσέταξεν.» Τοὺς ἀργοὺς καλεῖ ὁ ἀπόστολος ἀτάκτους καὶ Β' Θεσσαλ. Γ', 6. 7. 11.
(α) Ῥωμ. ΙΔ', 1. (β) Ῥωμ. ΙΒ', 21.

Εἰδέναι τοὺς κοπιῶντας ἐν ... τοὺς ἀπίστους συμ-
τε εἰς τὸν ἕνα, ἵνα μὴ ...
διδασκάλους διὰ τοῦ ... προσεύχεσθε.
καὶ παράκλησιν, εὐθ... θέλημα θεοῦ
σατο. Φησὶν οὖν, ... μὴ σβέννυτε·
δομήν, πλὴν ... τα δοκι...
γὰρ οἱ διδά... ὸς ...
αὐτοῖς μ...
Κυρίῳ ... , κἂν εἰς ...
πάσ... ταῦτα χαρᾶς καὶ στεφά-
ἐν ... χαίρειν, φησίν, ἐπὶ πᾶσιν, ἀπὸ
...ρθωθείη ἄν. *Ἐν παντὶ εὐχαριστεῖτε.*]
...υτέστι, Μὴ ἐν τοῖς θυμήρεσι μόνον, ἀλλὰ καὶ
...οκοῦσιν ἐναντίοις καὶ παρὰ σκοπὸν πράγμασι· πάντα
...ρ πρὸς τὸ συμφέρον ποιεῖ ὁ θεός, κἂν ἡμεῖς ἀγνοῶμεν αὐτοῦ τὰς οἰκονομίας. *Τοῦτο γὰρ θέλημα θεοῦ.*] Τουτέστι, τὸ εὐχαρίστους εἶναι ἡμᾶς πρὸς τὸν ἀεὶ ἡμᾶς εὐεργετοῦντα. *Ἐν Χριστῷ Ἰησοῦ.*] Οἷον, διὰ Χριστοῦ Ἰησοῦ· αὐτὸς γὰρ ἡμῶν ταύτην ἐδίδαξε τὴν φιλοσοφίαν. *Τὸ πνεῦμα μὴ σβέννυτε.*] Ἐπειδὴ γὰρ ὁ παρὼν βίος ἐν σκότει διαπορεύεται, ἔδωκεν ἡμῖν ὁ θεὸς τὴν λαμπάδα τοῦ ἁγίου Πνεύματος, φωτίζουσαν ἡμῶν τὸ ἡγεμονικόν. Ταύτην οὖν, φησι, τὴν χάριν τοῦ Πνεύματος μὴ σβέννυτε, ὡς αἱ πέντε παρθένοι (α). Σβέννυσι δὲ αὐτήν, καὶ ἀνενέργητον ποιεῖ, ἀκάθαρτος βίος καὶ ἀνελεημοσύνη. Ἢ καὶ οὕτως. Ἦσαν παρ' αὐτοῖς προφῆται τοῦ θεοῦ καὶ ψευδοπροφῆται· ἀλλὰ τίς ὁ ἀληθής, πρὸ ἐκβάσεως ἄδηλος ἦν. Ἐπεὶ οὖν οὐκ ᾔδεισαν τοὺς ψευδεῖς, πάντας λοιπὸν ὁμοῦ ἀνεστρέφοντο. Φησὶν οὖν, *Τὸ πνεῦμα μὴ σβέννυτε*, τουτέστι, τὸ ἐν τοῖς ἀληθῶς προφήταις χάρισμα μὴ ἐκφράσσετε καὶ κωλύετε, τῷ ἀποστρέφεσθαι αὐτοὺς ἐπίσης τοῖς ψευδοπροφήταις,

---

(α) Ματθ. ΚΕ', 8.

ιὴ ἐᾶν λαλεῖν. *Προφ* ... ὑμῶν.] ὅπου δὲ χάρις Χρι-
άσει τῶν ψευδοπ ... Ὑπὸ τῆς αὐτῆς οὖν χά-
ι). *Πάντα δο* ... ὁδοῦ πονηρᾶς, ἵνα καὶ
ὶ τοὺς ψευδ ... υἱοῦ, καὶ τοῦ ἁγίου
ἐστι, κ ... ῶνας. Ἀμήν.
ὶ τό
α
...
ἀκόλουθον, κ...
δύναται δὲ καὶ εἰς τὰ ἁμαρτημ...
ἀπέχεσθέ, φησιν, ἀλλ' ἁπλῶς *παντὸς*, καὶ π...
οῦς, καὶ ἁμαρτήματος.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Εὐχὴ περὶ ἁγιασμοῦ πνεύματος καὶ ψυχῆς καὶ σώματος.

23 Αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτε-
λεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ
καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυ-
24 ρίου ὑμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Πιστὸς ὁ κα-
25 λῶν ὑμᾶς, ὃς καὶ ποιήσει. Ἀδελφοί, προσεύχεσθε
26 περὶ ἡμῶν. Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν
27 φιλήματι ἁγίῳ. Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀνα-
γνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελ-
28 φοῖς. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
μεθ' ὑμῶν. Ἀμήν.

Μετὰ τὴν συμβουλὴν ἐπεύχεται αὐτοῖς, ἵνα ἐξ ἑκατέρου τὸ

(1) « Φασί τινες, ὡς ἐπανέστησεν ὁ διάβολος καὶ κατὰ τὸν τῶν ἀποστόλων καιρὸν τοῖς προφήταις ψευδοπροφήτας, καὶ ὅτι τινές, διὰ τὰς ψευδεῖς προφητείας, καὶ τοὺς τἀληθῆ προαγορεύοντας προφητεύειν ἐκώλυον. Παρεγγυᾷ τοίνυν αὐτοῖς, τὴν προφητικὴν μὴ κωλύειν χάριν, ὡς τῶν τοῦτο ποιούντων μονουχὶ σβεννύντων τὴν ἐκεῖθεν φερομένην αὐγήν. » Θεοδώρητος.

λέγει· τῷ δὲ, *καὶ εἰς πάντας*, εἰπεῖν, καὶ τοὺς ἀπίστους συμπεριέλαβε.

16. 17 Πάντοτε χαίρετε. Ἀδιαλείπτως προσεύχεσθε.
18 Ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ
19 ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τὸ πνεῦμα μὴ σβέννυτε·
20. 21 προφητείας μὴ ἐξουθενεῖτε· πάντα δοκιμά-
22 ζετε· τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους
πονηροῦ ἀπέχεσθε.

Πάντοτε χαίρετε.] Κἂν εἰς πειρασμοὺς, φησι, κἂν εἰς λύπας ἐμπέσητε· τῷ γὰρ νοῦν ἔχοντι, πάντα ταῦτα χαρᾶς καὶ στεφάνων γίνεται πρόξενα. Τὸ δὲ χαίρειν, φησὶν, ἐπὶ πᾶσιν, ἀπὸ τοῦ ἀεὶ εὔχεσθαι κατορθωθείη ἄν. *Ἐν παντὶ εὐχαριστεῖτε.*] *Ἐν παντὶ*, τουτέστι, Μὴ ἐν τοῖς θυμήρεσι μόνον, ἀλλὰ καὶ ἐπὶ τοῖς δοκοῦσιν ἐναντίοις καὶ παρὰ σκοπὸν πράγμασι· πάντα γὰρ πρὸς τὸ συμφέρον ποιεῖ ὁ Θεὸς, κἂν ἡμεῖς ἀγνοῶμεν αὐτοῦ τὰς οἰκονομίας. *Τοῦτο γὰρ θέλημα θεοῦ.*] Τουτέστι, τὸ εὐχαρίστους εἶναι ἡμᾶς πρὸς τὸν ἀεὶ ἡμᾶς εὐεργετοῦντα. *Ἐν Χριστῷ Ἰησοῦ.*] Οἷον, διὰ Χριστοῦ Ἰησοῦ· αὐτὸς γὰρ ἡμῶν ταύτην ἐδίδαξε τὴν φιλοσοφίαν. *Τὸ πνεῦμα μὴ σβέννυτε.*] Ἐπειδὴ γὰρ ὁ παρὼν βίος ἐν σκότει διαπορεύεται, ἔδωκεν ἡμῖν ὁ Θεὸς τὴν λαμπάδα τοῦ ἁγίου Πνεύματος, φωτίζουσαν ἡμῶν τὸ ἡγεμονικόν. Ταύτην οὖν, φησι, τὴν χάριν τοῦ Πνεύματος μὴ σβέννυτε, ὡς αἱ πέντε παρθένοι (α). Σβέννυσι δὲ αὐτὴν, καὶ ἀνενέργητον ποιεῖ, ἀκάθαρτος βίος καὶ ἀνελεημοσύνη. Ἢ καὶ οὕτως. Ἦσαν παρ' αὐτοῖς προφῆται τοῦ Θεοῦ καὶ ψευδοπροφῆται· ἀλλὰ τίς ὁ ἀληθὴς, πρὸ ἐκβάσεως ἄδηλος ἦν. Ἐπεὶ οὖν οὐκ ᾔδεισαν τοὺς ψευδεῖς, πάντας λοιπὸν ὁμοῦ ἀνεστρέφοντο. Φησὶν οὖν, *Τὸ πνεῦμα μὴ σβέννυτε*, τουτέστι, τὸ ἐν τοῖς ἀληθῶς προφήταις χάρισμα μὴ ἐκφράσσετε καὶ κωλύετε, τῷ ἀποστρέφεσθαι αὐτοὺς ἐπίσης τοῖς ψευδοπροφήταις,

(α) Ματθ. ΚΕ', 8.

καὶ μὴ ἐᾷν λαλεῖν. *Προφητείας μὴ ἐξουθενεῖτε.*] Εἴρηται γάρ, ὅτι προφάσει τῶν ψευδοπροφητῶν, καὶ τοὺς ἀληθεῖς προφήτας διέπτυον (1). *Πάντα δοκιμάζετε.*] Τί οὖν ποιήσομεν; παραδεξόμεθα καὶ τοὺς ψευδοπροφήτας; Οὐχί, φησιν· ἀλλὰ *πάντα δοκιμάζετε*· τουτέστι, καὶ τὰ ψευδῆ καὶ τὰ ἀληθῆ μετὰ δοκιμασίας κρίνετε· καὶ τότε τὸ δόξαν ὑμῖν καλόν, τουτέςι, τὰς ἀληθεῖς προφητείας, *κατέχετε*, τουτέστι, τιμᾶτε, καὶ περὶ πολλοῦ ποιεῖσθε. *Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.*] Δύναται μὲν κατὰ τὸ ἀκόλουθον, καὶ εἰς τοὺς ψευδοπροφήτας τοῦτο νοηθῆναι· δύναται δὲ καὶ εἰς τὰ ἁμαρτήματα. Μὴ τούτου ἢ ἐκείνου ἀπέχεσθέ, φησιν, ἀλλ' ἁπλῶς *παντός*, καὶ προφήτου ψευδοῦς, καὶ ἁμαρτήματος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Εὐχὴ περὶ ἁγιασμοῦ πνεύματος καὶ ψυχῆς καὶ σώματος.

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτε-
λεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ
καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυ-
24 ρίου ὑμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Πιστὸς ὁ κα-
25 λῶν ὑμᾶς, ὃς καὶ ποιήσει. Ἀδελφοί, προσεύχεσθε
26 περὶ ἡμῶν. Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν
27 φιλήματι ἁγίῳ. Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀνα-
γνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελ-
28 φοῖς. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
μεθ' ὑμῶν. Ἀμήν.

Μετὰ τὴν συμβουλὴν ἐπεύχεται αὐτοῖς, ἵνα ἐξ ἑκατέρου τὸ

---

(1) « Φασί τινες, ὡς ἐπανέστησεν ὁ διάβολος καὶ κατὰ τὸν τῶν ἀποστόλων καιρὸν τοῖς προφήταις ψευδοπροφήτας, καὶ ὅτι τινὲς, διὰ τὰς ψευδεῖς προφητείας, καὶ τοὺς τἀληθῆ προαγορεύοντας προφητεύειν ἐκώλυον. Παρεγγυᾷ τοίνυν αὐτοῖς, τὴν προφητικὴν μὴ κωλύειν χάριν, ὡς τῶν τοῦτο ποιούντων μονονουχὶ σβεννύντων τὴν ἄνωθεν φερομένην αὐγήν. » Θεοδώρητος.

ἀσφαλὲς ἔχωσιν. *Ὁλοτελεῖς.*] Τουτέστιν, ὅλους, δι' ὅλων. *Τὸ πνεῦμα.*] *Τὸ πνεῦμά* φησιν, αὐτὸ τὸ ἅγιον Πνεῦμα, ἤγουν, τὴν ἀπ' αὐτοῦ χάριν, ὅπερ αὐτοῖς τηρηθῆναι ἐπεύχεται μέχρι τῆς δεσποτικῆς παρουσίας. Ἐὰν γὰρ λάμπῃ, φησίν, ἐν ἡμῖν, καὶ ἐπιμένῃ ἡμῖν, σωθησόμεθα· εἰ γὰρ μὴ σβέσωμεν αὐτὸ πονηραῖς πράξεσι, κατὰ τὴν ἄνω πρώτην ἐξήγησιν, ἣν προεγράψαμεν, τηρεῖται ἡμῖν καὶ φυλάττεται, φαιδρὰς ἀνάπτον τὰς ἡμετέρας λαμπάδας. Τὸ δὲ, *ἀμέμπτως*, δύναται μὲν καὶ ἐπὶ τοῦ πνεύματος ἁρμοσθῆναι· τουτέστιν, ἵνα ἄμεμπτον καὶ ἀκηλίδωτον αὐτὸ φυλάξωμεν· δύναται δὲ μάλιστα ἐπὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐκληφθῆναι· τοῦ γὰρ πνεύματος παρ' ἡμῖν σωζομένου, ταῦτα ἔσται ἄμεμπτα. Ὅλους οὖν δι' ὅλων τηρηθῆναι αὐτοὺς ἀμέμπτους ἐπεύχεται, διὰ πάντων τῷ θεῷ εὐηρεστηκότας. *Πιστὸς ὁ καλῶν ὑμᾶς.*] Ὅρα ταπεινοφροσύνην! Ἐπειδὴ ἐπηύξατο αὐτοῖς, Μὴ νομίσητέ, φησιν, ὅτι ἐκ τῶν ἐμῶν εὐχῶν σωθήσεσθε, ἀλλὰ ἐκ τῆς τοῦ καλέσαντος ὑμᾶς ἀγαθωσύνης θεοῦ. Εἰ γὰρ εἰς σωτηρίαν ἐκάλεσε, *πιστὸς δέ ἐστι*, τουτέστιν, ἀληθής, πάντως ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ, καὶ σώσει. *Ὃς καὶ ποιήσει.*] Ἐφ' ᾧ δηλαδὴ ἐκάλεσεν· ἐπὶ σωτηρίᾳ δὲ ἐκάλεσεν (1). *Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν.*] Ὅρα ταπεινότητα! Ὁ Παῦλος ἐδεῖτο τῆς τούτων εὐχῆς. *Ἀσπάσασθε τοὺς ἀδελφούς.*] Ἐπειδὴ γὰρ αὐτὸς ἀπὼν, οὐκ' ἠδύνατο διὰ τοῦ οἰκείου στόματος καὶ τοῦ ἔνθεν φιλήματος ἀσπάσασθαι, δι' ἑτέρων αὐτοὺς ἀσπάσασθαι βούλεται. *Ἐν ἁγίῳ δὲ φιλήματί*, φησιν· ἔνι γὰρ καὶ δολερὸν φίλημα, ὡς τὸ τοῦ Ἰούδα. *Ὁρκίζω ὑμᾶς τὸν Κύριον.*] Διὰ τοῦτο ὁρκίζει αὐτοὺς, ἵνα, κἂν αὐτοῦ καταφρονήσωσι, διὰ γοῦν τὸν ὁρκισμὸν πράξωσι τὸ ἐπιταχθέν. *Ἀναγνωσθῆναι τὴν ἐπιστολήν.*] Τοῦτο πόθου μᾶλλον, ἢ διδασκαλίας χάριν· ἵνα κἀκείνοις, φησίν, ᾧ προσδιαλεγόμενος.

(1) « Ὁ ἐπὶ τὸ σῶσαι καλέσας, τῷ ἀγαθῷ ὑμῶν συμπράξει σκοπῷ. » Θεοδώρητος.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν μεθ' ὑμῶν.] Ὅπου δὲ χάρις Χριστοῦ, πάντα τὰ ἀγαθὰ παρομαρτεῖ. Ὑπὸ τῆς αὐτῆς οὖν χάριτος καὶ ἡμεῖς φρουροίμεθα ἀπὸ πάσης ὁδοῦ πονηρᾶς, ἵνα καὶ πρὸς δόξαν ζήσωμεν τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ᾧ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ἀθηνῶν.

Η
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ῥώμης. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Τινὲς ἀπὸ Θεσσαλονίκης ἀργοὶ καὶ ἄτακτοι περιερχόμενοι, τοὺς ἀδελφοὺς ὑπήρπαζον, ὡς ἤδη τῆς παρουσίας τοῦ Κυρίου ἐνςάσης. Ἠπάτων δὲ καὶ τοὺς ἀκούοντας, ὡς τοῦ ἀποςόλου τοῦτο δηλοῦντος, καὶ ὑπὸ πνεύματος ἀκούσαντες. Ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστολος, γράφει τὴν ἐπιστολήν. Καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν αὐξάνουσαν, καὶ ὅτι ἐν αὐτοῖς ἐκαυχᾶτο, τὰς θλίψεις γενναίως ὑποφέρουσι διὰ τὸν Χριστόν. Καὶ παραμυθεῖται αὐτοὺς, ὡς ἐσομένης ἐκδικίας παρὰ τοῦ θεοῦ κατὰ τῶν αὐτοὺς ἀδικούντων. Ἔπειτα περὶ τῆς παρουσίας τοῦ Σωτῆρος διδάσκει, μηδενὶ αὐτοὺς πείθεσθαι, μήτε θροεῖσθαι αὐτοὺς, μήτε διὰ πνεύματος, μήτε ὡς αὐτοῦ γράψαντος, μηδόλως νομίζειν ἤδη παρεῖναι αὐτήν. Μὴ γὰρ πρότερον ἔσεσθαι αὐτὴν, ἐὰν μὴ ἡ ἀποστασία πρῶτον ἔλθῃ, καὶ μετ' αὐτὴν ὁ Ἀντίχριστος, ὁ υἱὸς τῆς ἀπωλείας, οὗ τὴν παρουσίαν ἐν σημείοις καὶ τέρασι ψεύδους κατ' ἐνέργειαν τοῦ σατανᾶ ἔσεσθαι σημαίνει. Εἶτα, παραινέσας αὐτοῖς στήκειν γενναίως, καὶ κρατεῖν τὰς παραδόσεις, ἃς ἐδιδάχθησαν παρ' αὐτοῦ, παραγγέλλει, μηδεμίαν κοινωνίαν ἔχειν μετὰ τῶν ἀτάκτων, ἀλλὰ καὶ ἀποβάλλειν αὐτούς· εἶναι γὰρ καὶ περιέργους καὶ πλάνους ἐδήλωσε τοὺς τοιούτους. Καὶ καθόλου δὲ παρήγγειλε, τὸν μὴ

ὑπακούοντα τοῖς λόγοις αὐτοῦ, τοῦτον ἀποσυνάγωγον γίνεσθαι. Καὶ λοιπὸν ἐπευξάμενος αὐτοῖς εἰρήνην, τελειοῖ τὴν ἐπιστολὴν, τὸν ἀσπασμὸν τῇ ἰδίᾳ χειρὶ γράψας, ὅπερ σημεῖον εἶναι πάσης ἐπιστολῆς δεδήλωκεν.

ΑΛΛΗ.

Ἐπειδὴ ἐν τῇ πρώτῃ ἐπιστολῇ ἔγραψεν, ὡς πάντως ἀπιὼν πρὸς αὐτοὺς, καὶ ἀναπληροῦν μέλλων τὰ ὑστερήματα αὐτῶν, καὶ πολλά τινα ἀγάπης σημαντικὰ, οὐκ ἀπῆλθε δὲ, ταύτην προστίθησι τὴν ἐπιστολὴν ἀντὶ τῆς παρουσίας αὐτοῦ. Ὅτι δὲ οὐκ ἀπῆλθε πρὸς αὐτοὺς, ἔνθεν στοχαστέον. Ἐν μὲν τῇ πρώτῃ ἐπιστολῇ περὶ τῶν χρόνων τῆς τοῦ Κυρίου παρουσίας ὑπερθέμενος γράψαι, ὡς οὐ χρειῶδες αὐτοῖς, νῦν γράφει περὶ τούτου. Οὐκ ἂν δὲ νῦν ἔγραψεν, εἴγε αὐτὸς ἀπεληλύθει. Γράφει δὲ περὶ τῶν χρόνων διὰ ταύτην τὴν αἰτίαν. Λυμεῶνες γάρ τινες ἔλεγον, παρεῖναι λοιπὸν τὴν παρουσίαν τοῦ Κυρίου. Εἰ δὲ τοῦτο ἦν ἀληθὲς, ὁ Χριστὸς ψεύστης ἂν εὑρίσκετο· αὐτὸς γὰρ ἐν τοῖς εὐαγγελίοις σημεῖα τῆς παρουσίας αὐτοῦ δέδωκεν, ἅ τινα οὐκ ἦν ἐκβάντα. Ἀναγκάζεται οὖν καὶ αὐτὸς διαλαβεῖν περὶ τῶν πρὸ τῆς παρουσίας σημείων, καὶ τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως, διὰ πάντων ἀληθεῖς τὰς τοῦ Κυρίου προῤῥήσεις ποιῶν.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ·

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος,
τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ, πατρὶ ἡμῶν,
2 καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Οὕτω καὶ ἐν τῇ πρώτῃ ἤρξατο ἐπιστολῇ, καὶ πρόσχες ταῖς ἐκεῖ παραγραφαῖς. *Ἐν θεῷ, πατρὶ ἡμῶν.*] Ἔνι γὰρ ἐκκλησία, μὴ ἐν πατρὶ καὶ υἱῷ, ὡς αἱ τῶν Ἑλλήνων, καὶ πολλῶν ἄλλων αἱρετικῶν. *Χάρις ὑμῖν καὶ εἰρήνη.*] Οἶδεν, ὅτι μέγα ἡ χάρις καὶ ἡ εἰρήνη τοῦ θεοῦ, καὶ ὅτι πρὸς πειρασμοὺς κουφισμὸν ἀπεργάζεται, καὶ διὰ τοῦτο συνεχῶς αὐτὰς ἐπεύχεται. Ἐὰν γὰρ ἡ χάρις αὐτοῖς παρῇ, οὐδενὸς τῶν πειρασμῶν αἴσθησιν λήψονται, ἀλλὰ καὶ τῆς εἰρήνης τοῦ θεοῦ συναπολαύοντες, ἀσάλευτοι καὶ εἰρηνικοὶ διαμενοῦσιν.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Εὐχαριστία ὑπὲρ τῆς τῶν Θεσσαλονικέων πίστεως καὶ ἀγάπης καὶ ὑπομονῆς, ἐπὶ τιμῇ αὐτῶν, καὶ κολάσει τῶν θλιβόντων,

καὶ εὐχὴ ὑπὲρ τελειώσεως αὐτῶν ἐνδόξου ἐπὶ δόξῃ Χριστοῦ.

3 Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν,
ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πί-
στις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου
4 πάντων ἡμῶν εἰς ἀλλήλους· ὥστε ἡμᾶς αὐτοὺς ἐν
ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ, ὑπὲρ
τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως, ἐν πᾶσι τοῖς
διωγμοῖς ὑμῶν, καὶ ταῖς θλίψεσιν, αἷς ἀνέχεσθε·
5 ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ θεοῦ, εἰς τὸ
καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ
ἧς καὶ πάσχετε.

Δύο ταῦτα διδάσκει αὐτούς· ὅτι οἱ συμβαίνοντες αὐτοῖς πειρασμοί, οὐ θρήνων, οὐδὲ δακρύων, ἀλλ' εὐχαριστιῶν τῶν εἰς τὸν θεόν εἰσιν ἄξιοι· καὶ ὅτι ὑπὲρ ὧν πάσχουσιν, ὑπέρ τε ὧν ὑπομένουσι, τῷ θεῷ χάριν ἰστέον. Εἰ δὲ εὐχαριστεῖν δεῖ περὶ τῶν ἑτέροις κατορθωμάτων, τί πάθωσιν οἱ βασκαίνοντες τοῖς κατορθοῦσι; *Καθὼς ἄξιόν ἐστι.*] Τὸ, *καθὼς ἄξιόν ἐστι*, νοήσεις, ἢ ἀντὶ τοῦ, *Καθὼς δίκαιόν ἐστιν*, ἢ τὸ, Μεγάλως, ἐξακουστέον, ἵνα ᾖ, Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ *μεγάλως*, καθὼς ἄξιόν ἐστι τῷ μεγάλα παρέχοντι (1). *Ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν.*] Ὑπερβολῆς τὸ, *Ὑπέρ*, σημαντικόν ἐστι. Πῶς δὲ ἔνι τὴν πίστιν αὐξηθῆναι; Ὅταν, πειρασμῶν καὶ θλίψεων ἐπελθουσῶν, μὴ σαλευθῇ τις. *Καὶ πλεονάζει ἡ ἀγάπη.*] Ἄρα καὶ πρὸς τὸ φέρειν πειρασμοὺς τὸ ἀλλήλους ἀγαπᾷν καὶ ἀλλήλων ἔχεσθαι, πολλὰ συμβάλλεται. Ἐδήλωσε γὰρ ἐκ τούτων, ὅτι πάντων ἡ πρὸς ἀλλήλους ἀγάπη ἴση ἦν, καὶ οὐδεὶς τὸ πλέον καὶ ἔλαττον εἶχεν ἐν αὐτῇ· τὸ γὰρ, *ἑνὸς ἑκάστου*, καὶ τὸ,

(1) « Τὸ, **Καθὼς ἄξιόν ἐστιν**, εἶπεν, ἵνα μηδὲ ἐπὶ τῇ εὐχαριστίᾳ αὐτῇ ἐπαιρώμεθα, ὡς ξένον τι συνεισαγαγόντες· τὸ γὰρ ἄξιον γίνεσθαι ποιοῦμεν· διὸ καὶ ὀφειλὴν τὸ πρᾶγμα ὠνόμασεν. Ἢ ὅτι καὶ διὰ λόγων καὶ διὰ ἔργων· αὕτη γὰρ ἡ ἀξία εὐχαριστία. » Θεοφύλακτος.

εἰς ἀλλήλους, τοῦτο δηλοῖ. *Ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ.*] Ἐν τῇ πρώτῃ ἐπιστολῇ εἶπεν, ὅτι αἱ ἐκκλησίαι οὐ χρήζουσι παρ' ἡμῶν μανθάνειν τὰ περὶ ὑμῶν· ἴσασι γὰρ πάντες τὰ καθ' ὑμᾶς (α). Πῶς οὖν ὧδε λέγει, ὅτι καυχώμεθα ἐφ' ὑμῖν ἐν ταῖς ἐκκλησίαις; Ἀπ' αὐτῆς τῆς λέξεως δῆλον τοῦτο· οὐ γὰρ εἶπεν, ὅτι διδάσκομεν αὐτοὺς περὶ ὑμῶν, ἀλλ' ὅτι καυχώμεθα καὶ σεμνυνόμεθα ἐφ' ὑμῖν· ἔνι γὰρ καὶ παρὰ τοῖς εἰδόσι καυχᾶσθαι. Εἰ οὖν, φησι, τὰ παρ' ὑμῶν κατορθούμενα καὶ ἡμῖν παρέχει καυχήσεως ἀφορμὰς, διὰ τί ὑμεῖς ἐπὶ τοῖς προξενητικοῖς τῶν κατορθωμάτων πειρασμοῖς ἀλύετε καὶ ἀδημονεῖτε; *Ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν.*] Δείκνυσιν, ὅτι καὶ πολὺν εἶχον ἐν τοῖς πειρασμοῖς χρόνον· ἡ γὰρ ὑπομονὴ οὐκ ἐν δυσὶν ἢ τρισὶν ἡμέραις φαίνεται. Ἔστι μὲν οὖν ὑπομονὴ καὶ τὸ τῶν ἐπηγγελμένων ἀγαθῶν μήπω ἀπολαύοντας φέρειν. Νῦν δὲ καὶ μείζονα λέγει, τὴν *Ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν*· ὡς εἰ ἔλεγεν· Ὑπομονὴ μὲν οὖν, καὶ τὸ ἀνέχεσθαι τῆς ὑπερθέσεως τῶν ἀντιδόσεων, μείζων δὲ καὶ θαυμασιωτέρα ἡ ἐν πειρασμοῖς καὶ θλίψεσιν. Ἐχθροῖς γὰρ συνέζων ἀσπόνδοις, καὶ στεῤῥᾶς ἐδέοντο τῆς ὑπομονῆς, καὶ ταῦτα ἐν ἀρχῇ τοῦ κηρύγματος, καὶ πένητες ἄνθρωποι. *Ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ θεοῦ.*] *Ἔνδειγμα* φησὶ, τὴν ἀπόδειξιν καὶ τὸν ἔλεγχον. Ταῦτα γὰρ ὑπομένετέ, φησι, πρὸς τὸ ἀποδειχθῆναι τὴν δικαίαν κρίσιν τοῦ θεοῦ, καὶ πρὸς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τῶν οὐρανῶν· ὡσεὶ ἔλεγε· Διὰ τοῦτο συγχωρεῖ ἐν ταῖς θλίψεσιν ὑμᾶς εἶναι ὁ θεὸς, ἵνα, ὅταν ἀποδίδωσιν ὑμῖν τὴν βασιλείαν τῶν οὐρανῶν, ἐνδείξηται, καὶ οἷον ἀπόπειραν καὶ ἀπόδειξιν καὶ ἔλεγχον δῷ τῆς οἰκείας δικαίας κρίσεως. Ὅρα δὲ, ὅτι τὸ ὑπὲρ Χριστοῦ πάσχειν, κατὰ δικαίαν κρίσιν παρέχει τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ οὐ κατὰ χάριν. Πολὺ δὲ αὐτῶν ἐκ τούτου εἰς ὕψος ἐπῆρε τὰ φρονήματα, καὶ

(α) Α' Θεσσαλ. Α', 8.

ἔπεισε καταφρονεῖν τῶν θλίψεων (1). *Ὑπὲρ ἧς καὶ πάσχετε.*] Ἧς ἕνεκέν, φησι, καὶ πάσχετε. Ὥστε, οὐ διότι δυνατώτεροί εἰσιν οἱ θλίβοντες ὑμᾶς, διὰ τοῦτο κρατοῦσιν ὑμῶν· ἀλλὰ διότι ἀπὸ τοῦ πάσχειν προσπορίζεται ἡ βασιλεία τῶν οὐρανῶν. Καὶ ἀνάγκη τὸ συνάλλαγμα τοῦτο οὕτω γίνεσθαι, καὶ οὐκ ἀπόνως. Διὰ πολλῶν γὰρ θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ (α).

6 Εἴπερ δίκαιον παρὰ θεῷ, ἀνταποδοῦναι τοῖς θλί-
7 βουσιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν, τοῖς θλιβομένοις, ἄνε-
σιν μεθ' ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ
8 ἀπ' οὐρανοῦ, μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, ἐν
πυρὶ φλογὸς, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι
θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ
9 Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· *οἵτινες δίκην τίσου-
σιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώπου τοῦ Κυρίου,*
10 *καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ*
ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ *θαυμασθῆ-*
ναι ἐν πᾶσι τοῖς πιστεύσασιν, (*ὅτι* ἐπιστεύθη τὸ
μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς,) ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Ε*ἴπερ δίκαιον παρὰ θεῷ.*] Τὸ, *Εἴπερ*, νόει κατὰ ἀπόφανσιν καὶ βεβαίωσιν, καὶ οὐ κατὰ δισταγμὸν καὶ ἀμφιβολίαν εἰρημένον, ἀντὶ τοῦ, Ἐπειδὴ δίκαιον παρὰ θεῷ. Καὶ γὰρ καὶ ἡμεῖς εἰώθαμεν λέγειν ἐν τῇ συνηθείᾳ· Εἰ μισεῖ ὁ θεὸς τοὺς πονηροὺς, ὡς δήλου ὄντος ὅτι μισεῖ (2). *Καὶ ὑμῖν, τοῖς θλιβομέ-*

---

(1) « Καὶ διὰ τῶν εἰρημένων μὲν παρεμυθήσατο αὐτοὺς, διά τε τοῦ εἰπεῖν, Ὅτι εὐχαριστοῦμεν, καὶ τοῦ, Ὅτι καυχώμεθα· μάλιστα δὲ νῦν τίθησιν ὃ πᾶς ὁ ὀδυνώμενος ζητεῖ, τὴν ἀπαλλαγὴν, φημὶ, τῶν θλιβερῶν, καὶ τὴν κόλασιν τῶν θλιβόντων ἀνθρώπων. Ὃ τοίνυν λέγει τοιοῦτό ἐστιν· Ὅτι ἀνέχεσθε τῶν θλίψεων εἰς τὸ δειχθῆναι τὴν δικαίαν κρίσιν τοῦ θεοῦ, ὅπερ ἐστὶ, καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ. Ὅταν μὲν γὰρ ὑμᾶς μὲν τοὺς θλιβομένους στεφανοῖ, ἐκείνους δὲ τοὺς θλίβοντας κολάζῃ, τὸ δίκαιον αὐτοῦ φαίνεται. Μεγάλως δὲ παραμυθεῖται αὐτοὺς, δεικνὺς, ὅτι οὐ χάριτι στεφανοῦνται, ἀλλὰ δικαίως, καὶ ὡς ἀντιμισθίαν τῶν οἰκείων πόνων καὶ ἱδρώτων λαμβάνοντες τὴν βασιλείαν. » Θεοφύλακτος.

(α) Πράξ. ΙΔ', 22. · (2) « Τὸ, Εἴπερ, οὐκ ἐπὶ ἀμφιβολίας τέθεικεν, ἀλλ' ἐπὶ βεβαιώσεως. Καὶ γὰρ καὶ ἡμεῖς εἰώθαμεν ἰσχυριζόμενοι λέγειν· Εἴπερ τόδε ἀληθὲς, ὥσπερ οὖν ἀληθές. Λέγει τοίνυν, ὅτι δίκαιον καὶ πρέπον τῷ τῆς δικαιοσύνης νομοθέτῃ, καὶ ἡμᾶς ὑπὲρ τῶν τῆς πίστεως ἀμείψασθαι παθημάτων, καὶ τοὺς ἐναντίους δίκας εἰσπράξαι τῆς ἀσεβείας. Ἔσται δὲ τοῦτο κατὰ τὸν τῆς συντελείας καιρόν. » Θεοδώρητος.

νοις, *ἄνεσιν μεθ' ἡμῶν.*] Ἐπειδὴ εἶπεν, *ἄνεσιν*, ἵνα μὴ λέγωσι· Τί οὖν; ἄχρι τοῦ λύσιν εὑρεῖν τῶν κακῶν σταίη ἂν τὰ καθ' ἡμᾶς, ἀντίδοσις δὲ οὐδαμοῦ; ἐπάγει τὸ, *μεθ' ἡμῶν*, ἵνα κοινωνοὺς αὐτοὺς λάβῃ καὶ τῶν ἀγώνων καὶ τῶν στεφάνων τῶν ἀποστολικῶν. *Ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου ἀπ' οὐρανοῦ.*] *Ἀποκάλυψιν τοῦ Κυρίου*, τὴν παρουσίαν αὐτοῦ, φησι, παραμυθούμενος καὶ ἐν τούτῳ αὐτούς· διὰ δὲ τοῦ ὑπογράφειν τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, δίδωσιν αὐτοῖς μέγιστα προσδοκᾷν, καὶ ἥδεσθαι ἐξ αὐτῆς τῆς παρουσίας καὶ πρὸ τῶν ἀμοιβῶν. *Ἀπ' οὐρανοῦ* δὲ, ὅς ἐστι θρόνος θεοῦ, ἀποκαλυφθήσεται ὡς θεὸς καὶ δεσπότης. *Μετ' ἀγγέλων δυνάμεως αὐτοῦ.*] Ὡσεὶ εἶπε, Μετὰ τῶν ἀγγέλων τῶν διαφερόντων τῇ δυνάμει αὐτοῦ· ἢ ὡς τῶν ἀγγέλων δυνατῶν ὄντων, τουτέστι, μετὰ τῶν δυνατῶν αὐτοῦ ἀγγέλων *Ἐν πυρὶ φλογός.*] Ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ, τῇ *ἐν φλογὶ πυρὸς* γενησομένῃ. Περὶ ταύτης γὰρ καὶ ὁ Δαυὶδ φησι· *Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ* (α). Ἢ, *ἐν πυρὶ φλογός*, φησι, τὸ εἶδος τῆς τιμωρίας αἰνιττόμενος, ἣν τίσουσιν οἱ μὴ εἰδότες θεὸν, μηδὲ ὑπακούσαντες τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Ἢ, *ἐν φλογὶ πυρὸς*, αὐτὴν τὴν δεσποτικὴν παρουσίαν, ὅτι μετὰ πυρὸς φλέγοντος γενήσεται, δηλῶν· οὕτω γὰρ καὶ οἱ πρὸ ἡμῶν ἐξειλήφασι. *Διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεόν.*] Ἐνταῦθα καὶ ἕτερόν τι λέγει κατασκευαστικὸν, ὅτι πάντως δώσουσι δίκην οἱ θλίβοντες αὐτούς. Ἐπειδὴ γὰρ ἄνω φησὶ, *τοῖς θλίβουσιν ὑμᾶς*, ἵνα μὴ ἀπιστήσωσιν, εἰ ἄρα δι' αὐτοὺς μέλλει κολάζειν ὁ θεὸς τοὺς διώκοντας αὐτοὺς, φησὶν, ὅτι, εἰ καὶ μὴ δι' ὑμᾶς, ἀλλά γε δι' ἑαυτὸν κολάσει αὐτούς. Καὶ γὰρ ἀποδίδωσι δίκην τοῖς μὴ εἰδόσι θεὸν, *καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ αὐτοῦ.* Εἰ δὲ τούτοις ἀποδίδωσι δίκην, πολλῷ μᾶλλον τοῖς κωλύουσι καὶ ἄλλους ὑπα-

(α) Ψαλμ. 96', 3.

χοῦσαι, οἷοί εἰσιν οἱ νῦν ὑμᾶς θλίβοντες (1). *Οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον.*] Ποῦ εἰσὶν οὖν οἱ λέγοντες, μὴ διαιωνίζειν τὰς ἐκεῖ τιμωρίας; Αἰώνιον λέγει ὁ Παῦλος τὸν ὄλεθρον· καὶ πῶς παρ' αὐτοῖς πρόσκαιρος ἡ αἰώνιος κόλασις (2); *Ἀπὸ προσώπου τοῦ Κυρίου.*] Τὸ εὔκολον ἐνταῦθα δηλοῖ. Οὐ γὰρ χρεία, φησὶ, πρὸς τοῦτο ἐργωδίας τινός· ἀπὸ μόνου γὰρ τοῦ προσώπου τοῦ Χριστοῦ, τουτέστι, τῆς ἐπιφανείας αὐτοῦ, οἱ μὲν ἐν κολάσει, οἱ δὲ ἐν τιμῇ ἔσονται. *Καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ.*] Ἥτις ἐπιφάνειά ἔσται, φησὶ, μετὰ δόξης τῆς ἰσχύος αὐτοῦ· ὡσεὶ εἶπεν· Ἅμα ἐπιφανῇ αὐτοῦ τὸ πρόσωπον, καὶ ἅμα ἡ δόξα τῆς ἰσχύος αὐτοῦ, εὐθὺς ἐν κολάσει ἀνάρπαστοι γενήσονται οἱ ἁμαρτωλοί. *Ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ.*] Τὸ, *ἐνδοξασθῆναι*, κατὰ δύο νοεῖται τρόπους· ὅτι τε δόξα αὐτῷ ἐστι τὸ πολλοὺς εἶναι τοὺς ἁγίους, οἷς μέλλει μεταδιδόναι τῶν ἀγαθῶν αὐτοῦ (ὥσπερ γὰρ πλοῦτος αὐτοῦ ἡ ἡμετέρα σωτηρία· οὕτω καὶ δόξα αὐτοῦ τὸ πολλοὺς ἐν δόξῃ εὑρεθῆναι·) καὶ ὅτι δοξασθήσεται ὑπὸ τῶν ἁγίων, ὁρώντων αὐτὸν ἐν τῇ πατρῴᾳ δόξῃ, θεὸν πάντων καὶ κριτὴν προκαθεζόμενον. Ἔστι δὲ καὶ τρισσῶς νοῆσαι, ὅτι δοξασθῆναι αὐτὸν ὑπὸ τῶν ἀσωμάτων δυνάμεων οἱ ἅγιοι παρασκευάσουσι, θεωρουσῶν, ὅσων αὐτοὺς ἀξιώσει ἀμοιβῶν (3). *Καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν.*] *Ἐν πᾶσι τοῖς πιστεύσασι*, τουτέστι, διὰ πάντων τῶν πιστευσάν-

---

(1) «Ταῦτα γέγραφεν ὁ θεῖος ἀπόστολος, τοὺς τὰ δεινὰ ἐκεῖνα καὶ χαλεπὰ ὑπομένοντας τῇ τῶν μελλόντων ἐλπίδι ψυχαγωγῶν. Διά τοι τοῦτο καὶ φόβου μεστὸν ἔδειξε τὸ κριτήριον· πρῶτον μὲν ἀπ' οὐρανοῦ δείξας παραγινόμενον τὸν κριτήν· ἔπειτα τῶν διακονούντων τὴν δύναμιν· ἄγγελοι γὰρ οὗτοι· εἶτα τῆς τιμωρίας τὸ εἶδος· φλογὶ γὰρ πυρὸς παραδίδονται. Εἰ δὲ οἱ μὴ πειθόμενοι τῷ εὐαγγελίῳ ταῦτα πείσονται, εὔδηλον, ὡς χαλεπωτέρων πειρασθήσονται οἱ καὶ τοῖς πιστεύσασι πολεμοῦντες.» Θεοδώρητος. (2) Ὁ Ὠριγένης καὶ οἱ ὀριγενισταὶ ἐδόξαζον τέλος κολάσεως.

(3) «Ὅταν γὰρ ἴδωσιν οἱ νῦν ἀπειθεῖς καὶ τραχηλιῶντες, τοὺς μαστιζομένους ὑπ' αὐτῶν τούτους ἀπείρου δόξης μετασχόντας, δόξα τοῦ θεοῦ γίνεται τὸ πρᾶγμα· ἡ γὰρ αὐτῶν δόξα, αὐτοῦ ἐστιν. Ὥστε ἐν ᾧ τοὺς ἁγίους δοξάζει, αὐτὸς δοξάζεται. Ὥσπερ γὰρ πλοῦτος αὐτοῦ ἐστι τὸ εἶναι πιστούς· οὕτω καὶ δόξα αὐτοῦ, τὸ εἶναι τοὺς μέλλοντας ἀπολαύειν τῶν ἀγαθῶν αὐτοῦ.» Θεοφύλακτος.

των· τὸ γὰρ Ἐν ἀντὶ τοῦ Διά ἐστιν. Ὥσπερ γὰρ πρόφασιν δώσουσιν οἱ ἅγιοι δοξασθῆναι αὐτὸν, οὕτω καὶ θαυμασθῆναι, πῶς τοὺς οὕτω δόξαντας ἐν τῷ παρόντι βίῳ εὐτελεῖς καὶ ἀπεῤῥιμένους, ὡς καὶ παρὰ πάντων διώκεσθαι καὶ φονεύεσθαι, τοσούτων καὶ τοιούτων ἠξίωσεν ἀγαθῶν. Θαυμασθήσεται δὲ ὁ θεὸς *ἐν πᾶσι τοῖς πιστεύσασιν*, *ἐν τῇ ἡμέρᾳ ἐκείνῃ*· ἐπειδὴ τὸ κήρυγμα ἡμῶν· (τοῦτο γὰρ τὸ *μαρτύριον*·) ἐπιστεύθη παρ' ὑμῶν, τουτέστι, διότι ὑμεῖς ἐπιστεύσατε. Καὶ πῶς ἐκ τοῦ πιστεῦσαι αὐτοὺς τῷ κηρύγματι αὐτῶν μέλλει ὁ θεὸς θαυμάζεσθαι; Ὅτι, εἰ μὴ ἠκούσατε ἡμῶν, φησιν, οὐκ ἐμέλλετε τοσούτων ἀγαθῶν ἀξιοῦσθαι· μὴ ἀξιούμενοι δὲ, οὐκ ἂν πρόφασιν δοξολογίας καὶ θαύματος τῷ Χριστῷ παρείχετε ἐφ' οἷς ὑμᾶς ἐδόξασεν. Καλῶς δὲ εἶπεν, *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ*· ἐν γὰρ τῇ τότε ἡμέρᾳ γενήσεται φανερὸν, ὅτι ἐπιστεύσατε (1)· νῦν γὰρ πολλοὶ καὶ ὑποκρίνονται πίστιν.

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα
ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ ἔργον πί-
12 στεως ἐν δυνάμει· ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ θεοῦ ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν.] Τούτου δὲ χάριν καὶ ἀντιβολοῦμεν τὸν τῶν ὅλων θεὸν, *Ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως.*] Τί γάρ; οὐκ ἦσαν κεκλημένοι; Ναί· καὶ γὰρ πάντες κεκλήμεθα, ἀλλ' οὐ πάντες εἰσερχόμεθα. Καὶ τοῦτο δηλοῦσιν αἱ πέντε παρθένοι, καὶ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἔχων (α)· *Κλῆσιν* οὖν ἐνταῦθα λέγει, τὴν διὰ τῶν πράξεων βεβαιουμένην, τὴν καὶ τὸ εἰσελθεῖν ἔχουσαν, ἥτις καὶ κυρίως κλῆσίς ἐστιν, ὥσπερ καὶ πίστις κυρίως ἡ ἔμπρακτος. *Καὶ πληρώσῃ*

(1) « Τότε γὰρ δείκνυνται τῷ ὄντι οἱ ἀληθῶς πιστοί.» Θεοφύλακτος.
(α) Ματθ. ΚΕ΄, 12. ΚΒ΄, 11. 13.

πᾶσαν εὐδοκίαν ἀγαθωσύνης.] Εὐχόμεθα δέ φησιν, ἵνα πληρώσῃ πᾶσαν αὐτοῦ τὴν ἀγαθὴν βουλὴν εἰς ὑμᾶς ὁ θεός· βουλὴ δὲ καὶ εὐδοκία θεοῦ, τὸ πάντας ἀνθρώπους σωθῆναι, καὶ τῶν αἰωνίων τυχεῖν ἀγαθῶν (1). *Καὶ ἔργον πίστεως ἐν δυνάμει.*] *Ἔργον πίστεως* ἐνταῦθα τὴν ἐν τοῖς παθήμασιν ὑπομονὴν προσηγόρευσεν. Καὶ ἵνα, φησὶ, τὴν ἐν τοῖς διωγμοῖς ὑπομονὴν τελείαν ἐν ὑμῖν ποιήσῃ. Πῶς; *Ἐν δυνάμει*, τουτέστιν, ἐνδυναμώσας ὑμᾶς καὶ ἐνισχύσας· ἡ γὰρ ὑπομονὴ, ἔργον πίστεώς ἐστιν. Ὥστε ὁ μὴ ἔχων ὑπομονὴν, οὐδὲ ἔργον πίστεως δείκνυσιν. *Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου.*] Εἰ γὰρ ταῦτα τὰ προειρημένα γένηται ὑμῖν, φησιν, ὥσπερ ἐν τοῖς ἁγίοις αὐτοῦ ἐνδοξασθήσεται ὁ θεὸς, καθὼς ἄνω εἶπεν, οὕτω καὶ ἐν ὑμῖν. Δοξάζεται γὰρ, καθὼς καὶ ἄνω εἴπομεν, τοιούτων ἀξιῶν τοὺς δούλους αὐτοῦ ἀγαθῶν. Καὶ αὐτοῖς δὲ δόξα ἔσται, τὸ τοιούτων ἠξιῶσθαι. *Ἢ οὕτω* νόησον; Εἰ πληρώσει τὸ ἔργον τῆς πίστεως *ὑμῶν ἐν δυνάμει*, τουτέστιν, ἐν ὑπομονῇ πειρασμῶν, δοξασθήσεται ὁ θεὸς ἐν ὑμῖν, ὅτι δυνατοὺς ὑμᾶς κατέστησε πρὸς τοῦτο, καὶ ἐνεύρωσε· καὶ ὑμεῖς ἐν τῷ θεῷ, ὅτι ἀξίους ἐδείξατε ἑαυτοὺς τῆς θείας ἀγάπης καὶ ἐπικουρίας. *Κατὰ τὴν χάριν τοῦ θεοῦ ἡμῶν.*] Χάρις γὰρ ταῦτα πάντα Χριστοῦ. Οὐ γὰρ ἡμεῖς, φησι, πρὸς ταῦτα ἐσμὲν ἱκανοὶ ἢ ἄξιοι, ἀλλ' ἡ χάρις αὐτοῦ δι' ἡμῶν πάντα κατορθοῖ.

---

(1) « Ταύτην, φησὶ, τὴν κλῆσιν λέγω, ἵνα πᾶσα εὐδοκία τοῦ θεοῦ, τουτέστι, πᾶσα ἀρέσκεια, πληρωθῇ ἐν ὑμῖν, καὶ πᾶν ἀγαθὸν διαπράττησθε, καὶ οὕτως ἦτε, ὡς βούλεται ὁ θεὸς, μηδενὸς ὑμῖν λείποντος. Ἐνταῦθα δὲ καὶ καταστέλλει τὸ φρόνημα αὐτῶν, ἵνα μὴ ἐπαρθῶσι τοῖς πολλοῖς ἐγκωμίοις· δείκνυσι γὰρ, ὅτι οὔπω τετελείωνται. » Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τέλους, ὅτι μετὰ Ἀντίχριστον, τὸν πεμπόμενον ἐπὶ ἐλέγχῳ Ἰουδαίων, ἀπιστησάντων Χριστῷ.

ΚΕΦ. II, 1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς
παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ
2 ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν, εἰς τὸ μὴ ταχέως
σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός, μήτε θροεῖσθαι μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ.

Ἐρωτῶμεν.] Τὸ, *ἐρωτῶμεν*, ἀντὶ τοῦ, παρακαλοῦμεν, ἀεὶ τίθησιν. *Ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου.*] Τὸ, *Ὑπὲρ*, ἀντὶ τοῦ, *Περί*. Ἰστέον δὲ, ὅτι τινὲς λυμεῶνες ἀνεφάνησαν παρ' αὐτοῖς, φάσκοντες ἐφιστάναι ἤδη τὴν ἡμέραν τῆς συντελείας καὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ ἐθρόουν αὐτοὺς καὶ ἐπτόουν. Εἶτα ὁ Παῦλος, πότε μὲν ἔσται ἡ ἀνάστασις, οὐ λέγει· ὅτι δὲ οὐ νῦν ἐφέστηκεν ἀποδείκνυσι, σημεῖα λέγων τῆς παρουσίας. *Καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν.*] Ὢ ἐγκώμιον τῶν ἁγίων! Ἔδειξε γὰρ, ὅτι καὶ αὐτοὶ ἐπισυναχθήσονται τῷ Χριστῷ, ὡς καὶ αὐτοὺς μετ' αὐτοῦ φαίνεσθαι, καὶ ἅμα αὐτῷ συνῆχθαι (1). Τί δὲ *ἐρωτῶμεν ὑμᾶς*, τουτέστι, παρακαλοῦμεν; *Εἰς τὸ μὴ ταχέως*, φησὶ, *σαλευθῆναι*

---

(1) « Οὐ μικρὸν πρὸς παραμυθίαν καὶ τὸ εἰπεῖν, ὅτι ἐπ' αὐτὸν συναχθήσονται οἱ πιστοὶ, ὁμοῦ αὐτῷ ἐσόμενοι, ὡς καὶ ἐν τῇ προτέρᾳ (Δ΄, 17.) ἔφη. Ἅμα γὰρ τῷ ἀναστῆναι, ἐπὶ τὸν Κύριον ἀρθήσονται οἱ ἄξιοι.» Θεοφύλακτος.

« Τὸ, Ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτὸν, σαφέστερον ἐν τῇ προτέρᾳ δεδήλωκεν ἐπιστολῇ· εἶπε γὰρ, ὅτι εἰς ἀέρα ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα (Α΄ Θεσσαλ. Δ΄, 17.). Τοῦτο δὲ καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ Κύριος ἔφη, ὅτι ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ συνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν (Ματθ. ΚΔ΄, 31.).» Θεοδώρητος.

ὑμᾶς *ἀπὸ τοῦ νοός*, τουτέστι, ταραχθῆναι καὶ φοβηθῆναι ἐκ τῆς τοῦ νοῦ ἀγνοίας καὶ δειλίας (1). *Μήτε θροεῖσθαι, μήτε διὰ πνεύματος.*] Ψευδοπροφῆται γὰρ ταῦτα ἔλεγον. Φησὶ δὲ *πνεῦμα*, οἷον, χάρισμα. Ἵνα γὰρ συνανέλῃ τοὺς ψευδοπροφήτας, καθολικῶς εἶπεν, ὅτι κἂν χάρισμά τις ἔχων προφητείας τοῦτο εἴπῃ, μὴ πιστεύσητε. Ἢ, *πνεῦμα*, λέγει τὸ ἀκάθαρτον· διὰ γὰρ ἀκαθάρτου πνεύματος ἐλάλουν οἱ ψευδοπροφῆται. Ταύτῃ τῇ δευτέρᾳ ἑρμηνείᾳ συνέθετο ὁ μακάριος Ἰωάννης (2). *Μήτε διὰ λόγου.*] Πιθανολογίᾳ γάρ τινι ἔπειθον, ἐφεστηκέναι τὴν ἡμέραν τοῦ Κυρίου. Ἢ, διὰ διδασκαλίας, ζώσῃ φωνῇ γινομένης. *Μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν.*] Καὶ γὰρ καὶ ἐπιστολὰς ὡς ἐξ ὀνόματος τοῦ Παύλου ἔπλαττον, τοῦτο δῆθεν δηλούσας. *Ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα Κυρίου.*] Ὅτι ἐνέστηκεν *ἡ ἡμέρα Κυρίου*, τουτέστιν, ἡ παρουσία τοῦ Χριστοῦ (3).

3 Μήτις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· *ὅτι*, ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, *καὶ* ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, *ὁ* υἱὸς τῆς ἀπωλείας,
4 ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν, *ὅτι* ἐστὶ θεός.

Ἐπειδὴ εἶπε μὴ ἐφιστάναι τὴν ἡμέραν Κυρίου, αὐτῆς λοιπὸν τῆς ἐπιστασίας σημεῖα λέγει, καὶ μέγα μυστήριον ἀποκαλύπτει. *Κατὰ μηδένα τρόπον.*] Μήτε κατὰ πνεῦμά, φησι, μήτε κατὰ λόγον, μήτε κατὰ ἐπιστολὴν, ὡς ἐμοῦ δηλαδὴ γράφοντος τοιαῦτα, ἐξαπατήσῃ τις ὑμᾶς. *Ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον.*] Οὐ μὴ ἔλθῃ, φησὶν, ἡ παρουσία τοῦ Κυρίου, *ἐὰν μὴ*

(1) « Ὥστε μὴ σαλευθῆναι ὑμᾶς καὶ παρατραπῆναι ἀπὸ τοῦ νοὸς, ὃν μέχρι τοῦ νῦν εἴχετε ὀρθῶς ἱστάμενον.» Θεοφύλακτος.

(2) Χρυσοσ. Τομ. ΙΑ΄. Σελ. 524. F.

(3) « Παρεγγυᾷ τοίνυν ὁ θεῖος ἀπόστολος, μὴ πιστεύειν τοῖς λέγουσιν, ἐνεστηκέναι τὸν τῆς συντελείας καιρὸν, καὶ παραυτίκα τὸν Κύριον ἐπιφανήσεσθαι, μήτε εἰ προσποιοῖντο χρησμῳδεῖν καὶ προφητεύειν· τοῦτο γὰρ λέγει, Μήτε διὰ πνεύματος· μήτε εἰ πλασάμενοι ὡς ἐξ αὐτοῦ γραφεῖσαν ἐπιστολὴν προφέροιεν, μήτε εἰ ἀγράφως αὐτὸν εἰρηκέναι λέγοιεν.» Θεοδώρητος.

ἔλθῃ πρῶτον ἡ ἀποστασία, τουτέστιν, ὁ Ἀντίχριστος. *Ἀποστασίαν* γὰρ, αὐτὸν λέγει τὸν Ἀντίχριστον, ἀπὸ τοῦ πράγματος αὐτῷ τοὔνομα τεθεικὼς, ὡς ἀφιστᾶν μέλλοντα πολλοὺς ἀπὸ τοῦ Χριστοῦ, καὶ τοὺς ἐκλεκτοὺς, εἰ δυνατόν (α). Ἢ, *ἀποστασίαν*, αὐτὴν τὴν ἀπὸ θεοῦ ἀναχώρησιν λέγει καὶ αὐτὸ τὸ πρᾶγμα. *Καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας.*] Καὶ, *ἄνθρωπον τῆς ἁμαρτίας*, τὸν αὐτὸν τοῦτον λέγει, ὡς καὶ αὐτὸν πᾶσαν ἁμαρτίαν τελέσοντα, καὶ ἄλλους πρὸς τὸ ἁμαρτάνειν ὑποσκελίσοντα. Καὶ, *υἱὸν δὲ ἀπωλείας*, ὡς καὶ αὐτὸν ἀπολούμενον. Τίς δὲ οὗτός ἐστιν; Ἆρα ὁ σατανᾶς; Οὐδαμῶς· ἀλλ' ἄνθρωπός τις, πᾶσαν αὐτοῦ δεχόμενος τὴν ἐνέργειαν.— Κατὰ μίμησιν τοῦ Σωτῆρος ἔρχεται ὁ σατανᾶς, ἐν ἀνθρώπῳ ὁλοκλήρῳ (Σευηριανοῦ).— ΑΛΛΩΣ. *Ἄνθρωπον τῆς ἁμαρτίας*, αὐτὸν λέγει τὸν Ἀντίχριστον· οὐ γὰρ ὁ σατανᾶς ἔσται ὁ Ἀντίχριστος, ἀλλ' ἄνθρωπος ἐνεργούμενος ὑπὸ τοῦ σατανᾶ. *Ἄνθρωπον δὲ τῆς ἁμαρτίας* αὐτὸν καλεῖ· ὅτι καὶ αὐτὸς πλεῖστα ἁμαρτήσεται, καὶ ἄλλους εἰς τοῦτο ἀναγκάσει. *Υἱὸν δὲ ἀπωλείας*, αὐτὸν καλεῖ, διὰ τὸ ἀπολλύειν πολλοὺς, καὶ αὐτὸν ἀπόλλυσθαι (1).—*Ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος.*] Ἀντιτεθήσεται γὰρ καὶ ὑπεραρθήσεται τῇ ἰδίᾳ ὑπερηφανείᾳ οὐ μόνον κατὰ τοῦ ἐπὶ πάντων θεοῦ, ἀλλὰ καὶ κατὰ τῶν εἰδώλων. Οὐ γὰρ πρὸς εἰδωλολατρείαν ἄξει τοὺς ἀνθρώπους, ἀλλὰ πάντας καταλύσει τοὺς θεοὺς, καὶ τὰ σεβάσματα αὐτῶν, ἤτοι, τὰ εἴδωλα, καὶ ἑαυτὸν μόνον ἀνακηρύξει θεόν. Διὰ τοῦτο φησὶν, ὑπεραρθήσεται *ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα.* Ὥστε

(α) Ματθ. ΚΔ', 24.

(1) « Ἄνθρωπον αὐτὸν ἁμαρτίας προσηγόρευσεν· ἐπειδὴ ἄνθρωπός τίς ἐστι τὴν φύσιν, πᾶσαν ἐν ἑαυτῷ τοῦ διαβόλου δεχόμενος τὴν ἐνέργειαν· υἱὸν δὲ ἀπωλείας, ὡς καὶ αὐτὸν ἀπολλύμενον, καὶ ἑτέροις πρόξενον τούτου γινόμενον. Μιμεῖται γὰρ ὁ τῶν ἀνθρώπων ἀλάστωρ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐνανθρώπησιν· καὶ ὥσπερ αὐτὸς ἀνθρωπείαν φύσιν ἀναλαβὼν, τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν· οὕτως ἐκεῖνος, ἄνθρωπον ἐκλεξάμενος πᾶσαν αὐτοῦ δέξασθαι δυνάμενον τὴν ἐνέργειαν, δι' αὐτοῦ πάντας ἐξαπατῆσαι τοὺς ἀνθρώπους πειράσεται, Χριστὸν ἑαυτὸν καὶ θεὸν ὀνομάζων, καὶ τῶν καλουμένων θεῶν διελέγχων τὸ ψεῦδος, ὅπερ αὐτὸς ἐν τοῖς παρεληλυθόσι χρόνοις ἐκράτυνεν. » Θεοδώρητος.

αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ὡς Θεὸν καθίσαι.] Οὐχὶ τὸν ἐν Ἱεροσολύμοις ἰδίως λέγει, ἀλλ' εἰς τὰς ἐκκλησίας τοῦ Θεοῦ *ἁπλῶς*, καὶ πάντα ναὸν θεῖον. *Ἀποδεικνύντα ἑαυτὸν, ὅτι ἐστὶ Θεός.*] Οὐκ εἶπε, *λέγοντα*, ἀλλ', *ἀποδεικνύντα*, τουτέστι, πειρώμενον ἀποδεῖξαι δι' ἔργων καὶ σημείων καὶ θαυμάτων, ὅτι ἐστὶ Θεός (1).

5 Οὐ μνημονεύετε, ὅτι, ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα
6 ἔλεγον ὑμῖν; καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ
7 ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. Τὸ
γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον
8 ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται· καὶ
τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ·

Οὐ μνημονεύετε, ὅτι, ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν;] Ἄρα καὶ ἀγράφως πολλὰ παρεδίδου τῶν μυστηρίων, καὶ οὐ δι' ἐπιστολῶν μόνον· ὡσεὶ εἶπεν· Οὐδὲν ξένον λέγω, ἀλλ' ὃ καὶ παρὼν ἔλεγον. Ἐντρεπτικώτερον δὲ ποιεῖται τὸν λόγον, λέγων· *Οὐ μνημονεύετε;* οὕτω ταχέως ἐπελάθεσθε; *Καὶ νῦν τὸ κατέχον οἴδατε.*] *Κατέχον* φησὶ, τὸ κωλύον, τὸ ἐμποδίζον. *Τί δὲ τοῦτο;* Πολλοὶ τὴν χάριν τοῦ Πνεύματός φασιν. Ἄλλοι δὲ, τὴν Ῥωμαίων ἀρχὴν, οἳ καὶ βέλτιον λέγουσιν· ἂν γὰρ μὴ αὕτη καταλυθῇ, ἐκεῖνος οὐχ ἥξει. Διὰ γὰρ τοῦτο καὶ οὕτω συνεσκιασμένως εἶπεν ὁ μακάριος Παῦλος, μὴ βουλόμενος ἔχθρας ἀκαίρους καὶ ἀνονήτους κινδύνους ἀναδέχεσθαι παρὰ τῶν Ῥωμαίων. Ἔμελλον γὰρ, ἀκούοντες, ὅτι καταλυθήσεται ἡ Ῥωμαίων ἀρχὴ, καὶ αὐτὸν κακοῦν καὶ τοὺς πιστοὺς ἅπαντας, ὡς τὴν κατάλυσιν αὐτῆς προσδοκῶντας. Εἰ γὰρ μὴ οὗτος φανῇ,

(1) « Ναὸν θεοῦ τὰς ἐκκλησίας ἐκάλεσεν, ἐν αἷς ἁρπάσει τὴν προεδρείαν, θεὸν ἑαυτὸν ἀποδεικνῦναι πειρώμενος. Ταῦτα καὶ ὁ θεῖος προηγόρευσε Δανιήλ· ἔφη γάρ· Καὶ ἐπὶ θεοὺς τῶν πατέρων αὐτοῦ οὐ συνήσει, καὶ θεὸν Μαωζεὶμ ἐπὶ τόπῳ ἑαυτοῦ δοξάσει (Δαν. ΙΑ΄, 38.)· ἀντὶ τοῦ, θεὸν ἰσχυρὸν ἑαυτὸν ὀνομάσει. » Θεοδώρητος.

οὐ φαίνεται ὁ Χριστός. Διὰ οὖν τὸ φανῆναι τὸν Χριστόν φησι βούλεσθαι αὐτὸν ταχὺ ἐλθεῖν, καὶ τῆς Ῥωμαίων ἡγεμονίας κατάλυσιν γενέσθαι. Εἰ δὲ ἦν περὶ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, τί ἐκώλυεν αὐτὸν εἰπεῖν σαφῶς, ὅτι ἡ τοῦ Πνεύματος αὐτὸν χάρις κατέχει πρὸς τὸ μὴ φανῆναι; — (1). *Καὶ νῦν τὸ κατέχον*, φησὶν, *οἴδατε*, εἰς τὸ μὴ νῦν ἀποκαλυφθῆναι αὐτὸν, ἀλλ' *ἐν τῷ ἑαυτοῦ καιρῷ*· οἷον, ὅταν ὁ ὁρισθεὶς αὐτῷ καὶ συγχωρηθεὶς ὑπὸ Θεοῦ χρόνος ἐπιστῇ· εἰ δὲ μὴ κατείχετο, καὶ νῦν ἂν ἐπέστη· οὕτως ἀεὶ κατὰ τῶν πιστῶν ὀργᾷ, καὶ τὴν κάκωσιν αὐτῶν ὁ πονηρὸς ἐπιθυμεῖ, ἀλλὰ κατέχεται καὶ κωλύεται (Φωτίου). — *Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας.*] *Μυστήριον τῆς ἀνομίας*, τὸν Νέρωνα λέγει, ὡς εἰς τύπον ὄντα τοῦ Ἀντιχρίστου· καὶ γὰρ καὶ ὁ Νέρων φαῦλός τε ἦν καὶ ἀκάθαρτος, καὶ θεὸς ἐζήτει λέγεσθαι. *Μυστήριον* δὲ αὐτόν φησι, διὰ τὸ μὴ ἀπηρυθριασμένως ποιεῖν τὸν Νέρωνα, οἷα ὁ Ἀντίχριστος ποιήσει, ἀλλ' ὑφειμένως. Ἤδη, φησὶν, *ἐνεργεῖται*, τουτέστιν, ὑπὸ τοῦ σατανᾶ· εἰργάζετο γὰρ διὰ μέσου τοῦ Νέρωνος ὁ σατανᾶς τὰ αὐτῷ δοκοῦντα. Οὕτω δὲ συνεσκιασμένως εἶπε περὶ τοῦ Νέρωνος, οὐ διὰ δειλίαν, ἀλλὰ παιδεύων ἡμᾶς, ἀνοήτους ἔχθρας καὶ περιττὰς μὴ ἀναδέχεσθαι, ὅταν

(α) « Τινὲς, τὸ κατέχον, τὴν Ῥωμαϊκὴν ἐνόησαν βασιλείαν· τινὲς δὲ, τὴν χάριν τοῦ Πνεύματος. Κατεχούσης γάρ, φησι, τῆς τοῦ Πνεύματος χάριτος, ἐκεῖνος οὐ παραγίνεται. Ἀλλ' οὐχ οἷόν τε παύσασθαι παντελῶς τὴν χάριν τοῦ Πνεύματος· πῶς γὰρ ἔνεστι τῶν ἐκείνου περιγενέσθαι μηχανημάτων τοὺς τῆς πνευματικῆς ἐπικουρίας ἐστερημένους; Ἀλλ' οὐδὲ τὴν Ῥωμαϊκὴν βασιλείαν ἑτέρα διαδέξεται βασιλεία. Διὰ γὰρ τοῦ τετάρτου θηρίου καὶ ὁ θειότατος Δανιὴλ τὴν Ῥωμαϊκὴν ἠνίξατο βασιλείαν. Ἐν δὲ τούτῳ τὸ μικρὸν τέρας ἐβλάστησε, τὸ ποιοῦν πόλεμον μετὰ τῶν ἁγίων (Δαν. Ζ', 21.). Αὐτὸς δὲ οὗτός ἐστι, περὶ οὗ τὰ προῤῥηθέντα εἶπεν ὁ θεῖος ἀπόστολος. Οὐδέτερον τούτων οἶμαι φάναι τὸν θεῖον ἀπόστολον· ἀλλὰ τὸ παρ' ἑτέρων εἰρημένον ἀληθὲς εἶναι ὑπολαμβάνω. Ἐδοκίμασε γὰρ ὁ τῶν ὅλων θεὸς παρὰ τὸν τῆς συντελείας αὐτὸν ὀφθῆναι καιρόν. Ὁ τοῦ θεοῦ τοίνυν αὐτὸν ὅρος νῦν ἐπέχει φανῆναι. Οἶμαι δὲ καὶ ἑτέραν ἔχειν διάνοιαν τὸ ῥητόν. Μεμαθηκὼς γὰρ ὁ θεῖος ἀπόστολος εἰρηκέναι τὸν Κύριον, ὡς κηρυχθῆναι δεῖ τὸ εὐαγγέλιον εἰς πάντα τὰ ἔθνη, καὶ τότε γίνεσθαι τὸ τέλος (Ματθ. ΚΔ', 14.)· ὁρῶν δὲ κρατοῦσαν ἔτι τῶν εἰδώλων τὴν θεραπείαν, τῇ δεσποτικῇ διδασκαλίᾳ ἑπόμενος, ἔφη, πρότερον καταλυθήσεσθαι τῆς δεισιδαιμονίας τὸ κράτος, καὶ πανταχοῦ διαλάμψειν τὸ σωτήριον κήρυγμα, καὶ τότε φανήσεσθαι τὸν τῆς ἀληθείας ἀντίπαλον. » Θεοδώρητος.

μηδὲν ᾖ τὸ κατεπεῖγον (1). *Μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται.*] Τουτέστιν, ἡ Ῥωμαίων ἀρχὴ καὶ βασιλεία, ἡ νῦν ἐμποδίζουσα, ὅταν *ἀρθῇ ἐκ μέσου*, τουτέστιν, παύσηται, καὶ τέλος λάβῃ, *τότε ἀποκαλυφθήσεται ὁ ἄνομος*, τουτέστι, τότε ἥξει ὁ Ἀντίχριστος. Ἕως μὲν γὰρ ἂν ὁ ταύτης τῆς ἀρχῆς φόβος ᾖ, οὐδεὶς ταχέως ὑποταγήσεται· ὅταν δὲ αὕτη καταλυθῇ, τότε ὁ Ἀντίχριστος ἐπιτεθήσεται τῇ ἀναρχίᾳ· καὶ οὐ μόνον τὴν τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὴν τοῦ Θεοῦ ἀρχὴν ἁρπάζειν ἐπιχειρήσει· τὴν δὲ Ῥωμαίων ἀρχὴν, αὐτὸς τέλεον καταργήσει ὁ Ἀντίχριστος. Ὥσπερ γὰρ ἡ Μήδων ὑπὸ Βαβυλωνίων κατελύθη, καὶ ἡ Βαβυλωνίων, ὑπὸ Περσῶν, καὶ ἡ Περσῶν, ὑπὸ Μακεδόνων, καὶ ἡ Μακεδόνων, ὑπὸ Ῥωμαίων, οὕτως ἡ Ῥωμαίων, ὑπὸ τοῦ Ἀντιχρίστου, καὶ ἡ τοῦ Ἀντιχρίστου, ὑπὸ τοῦ ἡμῶν δεσπότου. Ταῦτα δὲ μετὰ πολλῆς τῆς σαφηνείας ἡμῖν ὁ Δανιὴλ παρατίθεται (α). Τινὲς δὲ τὸ, *κατέχων*, τὴν εἰδωλολατρείαν ἐνόησαν. Ὅταν γάρ, φασιν, ἡ κατέχουσα πλάνη σβεσθῇ, καὶ λήξῃ τῶν εἰδώλων ἡ ἐξαπάτη, τότε ἀποκαλυφθήσεται ὁ ἄνομος. Τοῦτο γὰρ καὶ ὁ Κύριος εἶπε· *Κηρυχθήσεται τὸ εὐαγγέλιον ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος* (β). Ἄλλοι δὲ, *κατέχων*, ὠνόμασαν, τὸν τοῦ Θεοῦ ὅρον. Ὅταν γάρ, φασι, τὸ πέρας ἐπιστῇ τῆς τοῦ Θεοῦ προθέσεως, καὶ ὁ νῦν κατέχων αὐτὸν ὅρος ἐκστῇ πληρωθεὶς, ἑτοίμως τότε καὶ δίχα πάσης ἀναβολῆς ὁ ἄνομος ἀποκαλυφθήσεται. Εἴρηται δὲ, ὅτι καὶ Πνεῦμα τὸ ἅγιον εἶπόν τινες εἶναι τὸ κατέχον. Κατέχει γάρ, φασι, καὶ κωλύει

(1) « Τινὲς τὸν Νέρωνα ἔφασαν κληθῆναι τῆς ἀνομίας μυστήριον, ὡς δυσσεβείας ἐργάτην γεγενημένον. Ἐγὼ δὲ οἶμαι τὰς ἀναφυείσας αἱρέσεις δηλοῦν τὸν ἀπόστολον· δι' ἐκείνων γὰρ ὁ διάβολος πολλοὺς ἀποστήσας τῆς ἀληθείας, προκατασκευάζει τῆς ἀπάτης τὸν ὄλεθρον. Μυστήριον δὲ αὐτοὺς ἀνομίας ἐκάλεσεν, ὡς κεκρυμμένην ἔχοντας τῆς ἀνομίας τὴν πάγην· αὐτὸς γὰρ προφανῶς τοῦ Θεοῦ τοὺς ἀνθρώπους ἀφίστησιν· οὗ δὴ χάριν καὶ ἀποκάλυψιν αὐτοῦ τὴν παρουσίαν ὁ ἀπόστολος κέκληκεν. Ὃ γὰρ κρύβδην ἀεὶ κατεσκεύαζε, τότε προφανῶς καὶ διαῤῥήδην κηρύξει. » Θεοδώρητος.

(α) Δαν. Ζ'. ΙΑ. (β) Ματθ. ΚΔ', 14.

τοῦ ἀνόμου τὴν παρουσίαν τὸ Πνεῦμα τὸ ἅγιον. Ἐπειδὰν οὖν τοῦτο διὰ τὴν τῶν ἀνθρώπων κακίαν ἐκ μέσου γένηται καὶ ἀποςῇ, τηνικαῦτα χώραν ἕξει ὁ ἄνομος, εἰς τὸ ἀποκαλυφθῆναι καὶ ἐπαναςῆναι, μηδενὸς κωλύοντος. Ἔφη δὲ, ὅτι καὶ ἀρχὴν εἴληφε τὸ μυςήριον τῆς ἀνομίας· ἐπειδὴ καὶ Μανιχαῖοι εἶπον τὸν διάβολον, θεὸν τοῦ νόμου, καὶ Μαρκίων φησὶν οὐ τὸν πατέρα εἶναι τοῦ Χριστοῦ τὸν θεὸν τοῦ νόμου. Λέγει δὲ καὶ Μάνης ἑαυτὸν Παράκλητον, καὶ ἔκτοτε τὴν ἀπιστίαν τῶν ἀνθρώπων ὁ διάβολος εἰσῆγεν. *Ὃν ὁ Κύριος ἀναλώσει.*] Λοιπὸν καὶ ἡ παραμυθία. *Ὃν ὁ Χριστὸς*, φησιν, *ἀναλώσει*. Ὥσπερ γὰρ πυρὸς ἔτι πόῤῥωθεν ὄντος, τὰ μικρὰ ζωΰφια ἐκ τῆς θερμότητος αὐτοῦ ναρκᾶται καὶ ἀναλίσκεται· οὕτω καὶ ὁ Ἀντίχριστος ἐξ αὐτῆς τῆς ἐπιφανείας τοῦ Χριστοῦ καὶ τοῦ πνεύματος τοῦ στόματος αὐτοῦ, ἀναλωθήσεται, καὶ *καταργηθήσεται*, οἷον, παύσεται, ἀπολεσθήσεται. *Πνεῦμα δὲ στόματος*, καλεῖ τὸ ἐπίταγμα καὶ κέλευσμα, ἤτοι, τὸ ἐμφύσημα, τὸ Πνεύματος ἁγίου γέμον (1).

9 Οὗ ἐστιν ἡ παρουσία, κατ' ἐνέργειαν τοῦ σατανᾶ,
ἐν πάσῃ δυνάμει, καὶ σημείοις, καὶ τέρασι ψεύ-
10 δους, καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας, ἐν τοῖς
ἀπολλυμένοις· ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας
11 οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς. Καὶ διὰ τοῦ-
το πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ
12 πιστεῦσαι αὐτοὺς τῷ ψεύδει· ἵνα κριθῶσι πάντες οἱ
μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν
τῇ ἀδικίᾳ.

Οὗ *ἐστιν ἡ παρουσία, κατ' ἐνέργειαν τοῦ σατανᾶ.*] Καὶ καταργήσει, φησὶ, τῇ παρουσίᾳ αὐτοῦ ὁ Κύριος τὸν Ἀντίχριστον, οὗ Ἀντιχρίστου ἡ παρουσία ἐστὶ κατ' ἐνέργειαν τοῦ σατανᾶ·

(1) « Ἔδειξεν, ὡς ἐνῆν τὸ τῆς δεσποτικῆς δυνάμεως μέγεθος. Ἐπιφανεὶς γάρ, φησιν, οὐρανόθεν, φθέγξεται μόνον, καὶ πανωλεθρίᾳ παραδώσει τὸν ἀλιτήριον. Τοῦτο καὶ ὁ προφήτης προεθέσπισεν Ἠσαΐας. Εἰρηκὼς γάρ· Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ τὰ περὶ τούτου διεξελθὼν, ἐπήγαγε· Καὶ τῷ πνεύματι διὰ χειλέων ἀνελεῖ τὸν ἀσεβῆ (Ἠσ. ΙΑ, 1-4.). » Θεοδώρητος.

διὰ μέσου γὰρ αὐτοῦ πάντα πράξει ὁ διάβολος. *Ἐν πάσῃ δυνάμει, καὶ σημείοις.*] Τουτέστι, πᾶσαν ἐπιδείξεται δύναμιν, ἀλλ' οὐδὲν ἀληθὲς, ἀλλὰ πάντα πρὸς ἀπάτην. *Σημεῖα δὲ καὶ τέρατα ψεύδους*, ἢ ὅτι κατὰ φαντασίαν μέλλει ποιεῖν, καὶ τοὺς ὀφθαλμοὺς ἀπατᾷν· ἢ ἐπειδὴ πρὸς τὸ ψεῦδος ἄγουσι τοὺς αὐτοῖς προσέχοντας. Ταῦτα προεῖπεν ὁ Παῦλος, ἵνα μὴ ἀπατηθῶσιν οἱ τότε. *Καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας.*] Ἢ ἐν παντὶ πράγματι, ἀπατῆσαι καὶ ἀδικῆσαι τοὺς πιστεύοντας δυναμένῳ· ἢ ὅτι φοβερὸς ἔσται πάντοθεν, ἀπὸ τῆς ἐξουσίας, ἀπὸ τῆς ὠμότητος, πάντα ποιῶν, ἵνα ἀπατήσῃ καὶ ἀδικήσῃ τοὺς ἀνθρώπους, λυμαινόμενος τὴν σωτηρίαν αὐτῶν. Ἵνα δὲ μήτις ἀπορήσῃ, λέγων· Τί οὖν συνεχώρησεν αὐτὸν ὁ θεὸς παραγενέσθαι, ἐπειδὴ μέλλουσι τοσαῦτα βλαβῆναι οἱ ἄνθρωποι; φησιν· *Ἐν τοῖς ἀπολλυμένοις.*] Μὴ φοβηθῇς, φησι, ταῦτα ἀκούων περὶ αὐτοῦ· *ἐν τοῖς ἀπολλυμένοις* γὰρ ἰσχύσει, οἳ, εἰ καὶ μὴ ἐκεῖνος παρεγένετο, ἔμελλον ἀπειθεῖς διαμεῖναι. *Ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο.*] *Ἀγάπην ἀληθείας* τὸν Χριστὸν λέγει· διὰ γὰρ ἀγάπην τὴν πρὸς ἡμᾶς, καὶ ἵνα τ' ἀληθῆ διδάξῃ, ἐνανθρωπῆσαι κατηξίωσεν. Αἰνίττεται δὲ, ὅτι παρὰ Ἰουδαίοις ἰσχύσει μάλιστα ὁ πλάνος· οὗτοι γὰρ τὸν Χριστὸν οὐκ ἐδέξαντο, οὔτε ἐπίστευσαν αὐτῷ, ὃ καὶ ὁ Χριστὸς αὐτοῖς φησιν· Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐκ ἐδέξασθέ με. Ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ οἰκείῳ ὀνόματι, αὐτὸν δέξεσθε (α). *Καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεός.*] Τὸ, *πέμψει*, μὴ οὕτω δέξῃ, ὡς τοῦ θεοῦ πέμποντος, ἀλλὰ τὴν ἀπὸ τοῦ θεοῦ συγχώρησιν οὕτως ἔθος καλεῖν τῷ Παύλῳ. Ὅρα δὲ, ὅτι πρῶτον ἐκεῖνοι ἀπώσαντο τὴν ἀλήθειαν, καὶ τότε ἐγκατέλιπεν αὐτοὺς ὁ θεὸς, καὶ ἐκράτησεν αὐτῶν τὸ ψεῦδος. *Ἐνέργειαν* δέ, φησι, *πλάνης*, τουτέστι, πλάνην ἐνεργὸν, καὶ πλανῆσαι ἰσχύουσαν· ἢ καὶ αὐτὸν τοῦτον οὕτως ὠνόμασεν,

(α) Ἰωαν. ἐ, 43.

ἐνεργούμενον ὑπὸ τοῦ σατανᾶ, εἰς τὸ πλανῆσαι πολλούς (1). *Ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ.*] Ὅρα ἀσφάλειαν λόγου! Οὐκ εἶπεν, ἵνα κολασθῶσιν· ἔμελλον γὰρ κολάζεσθαι πάντες οἱ ἀπιστήσαντες τῷ Χριστῷ, κἂν ὁ Ἀντίχριστος μὴ ἐληλύθει, μηδὲ ἐπιστεύθη παρ' αὐτῶν· ἀλλ', *ἵνα κριθῶσι*, τουτέστι, κατακριθῶσι καὶ ἐν τούτῳ, καὶ ἐμφραγῇ αὐτῶν καὶ εἰς τοῦτο τὰ στόματα. Τί γὰρ ἂν εἴποιεν; Ὅτι διὰ τοῦτο οὐκ ἐπιστεύσαμεν τῷ Χριστῷ, διότι θεὸν αὐτὸν οἱ μαθηταὶ ἐκήρυξαν, ἡμεῖς δὲ ἠκούσαμεν, ὅτι· *Κύριος ὁ θεός σου, Κύριος εἷς ἐστιν* (α). Ἀλλ' ἀκούσονται πρῶτον μὲν τοῦτο φανερῶς· ὅτι τὴν τριάδα ἐκήρυσσον. Πλὴν ἐάσωμεν, κατὰ συγχώρησιν, ὅτι μοναρχίαν δεῖν σέβειν παρηγγύων· Πῶς οὖν τῷ Ἀντιχρίστῳ ἐπιστεύσατε, θεὸν ἑαυτὸν ποιοῦντι; Ὁ μὲν γὰρ Χριστὸς τῷ πατρὶ πάντα ἀνετίθει, οὗτος δὲ τοὐναντίον. Ὁρᾷς, ὅτι ἀποκλείονται αὐτῶν αἱ ἀπολογίαι; Τί λοιπὸν ἐροῦσιν; ὅτι σημεῖα ποιεῖ; Ἀλλὰ καὶ πλείω καὶ μείζω ἐποίησεν ὁ Χριστός. Ἀλλ' ὅτι παρὰ τῶν Γραφῶν ἐμαρτυρεῖτο; Ἀλλ' ὁ μὲν Χριστὸς, ὡς σωτὴρ, ὁ δὲ Ἀντίχριστος, ὡς λυμεὼν μεμαρτύρηται. Τί δὲ ὅλως καὶ καταβλάψει τοὺς πιστοὺς ἡ παρουσία αὐτοῦ; Καὶ πρόφασις αὐτοῖς μᾶλλον στεφάνων γενήσεται· ἐκείνους δὲ ἀπατήσει, τοὺς καὶ τούτου χωρὶς αὐτοκατακρίτους ὄντας· φησὶ γὰρ, ὅτι ἐν τοῖς ἀπολλυμένοις ἰσχύει μόνοις. *Ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.*] Διὰ ταῦτα κατακριθήσονται, ὅτι τὴν ἀλήθειαν ἀφέντες, *εὐδόκησαν*, τουτέστιν, ἠρέσθησαν καὶ προσετέθησαν ἀσμένως *τῇ ἀδικίᾳ*, τουτέστι, τῷ λυμεῶνι, τῷ πᾶσαν ἀδικίαν κατὰ τῶν ἀνθρωπίνων ψυχῶν ἐπισυναγαγόντι, τῷ αὐτόχρημα ἀδικίᾳ ὄντι.—Πολλοὶ ζητοῦσι· Τί δήποτε ἔρχεται ὁ Ἀντίχριστος; Εἰς τί γὰρ ὠφέλιμος ἡ παρουσία αὐτοῦ; Καὶ φα-

(1) « Τὸ, πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης, ἀντὶ τοῦ, Συγχωρήσει φανῆναι τὴν πλάνην, τέθεικεν, ὥστε δειχθῆναι τῆς πονηρίας τοὺς ἐργαστάς· οὐ γὰρ αὐτὸς αὐτὴν πέμψει, ἀλλ' αὐτὸς αὐτὴν ἀναλώσει τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. » Θεοδώρητος.

(α) Δευτερ. ϛ', 4.

μὲν, ἵνα οἱ δόκιμοι φανεροὶ γίνωνται (α). Εἰ δὲ μὴ δέχῃ τὸν λόγον τοῦτον, δέξαι τὸν ἀπόστολον μικροῦ τὴν αἰτίαν λέγοντα· *Ἵνα κριθῶσι πάντες*, φησὶν, *οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ*. Ἐπειδὴ γὰρ οἱ τῷ Χριστῷ μὴ πιστεύσαντες Ἰουδαῖοι, εἶχον ἐν τῇ κρίσει προβάλλεσθαι· Διὰ τοῦτο οὐκ ἐπιστεύσαμεν εἶναι τὸν Χριστὸν θεὸν, ὅτι γέγραπται· Εἷς θεὸς, ἐξ οὗ τὰ πάντα (β)· καί· Κυρίῳ τῷ θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις (γ). Ἵνα οὖν μηδὲ ταῦτα προΐσχωνται, ὁ Ἀντίχριστος αὐτῶν ἀποῤῥάψει τὰ στόματα. Πῶς; Ὅταν γὰρ τῷ μὲν Χριστῷ οὐκ ἐπίστευσαν, ὅτι ἐστὶ θεὸς, καὶ ταῦτα διαῤῥήδην λέγοντος τοῦ Χριστοῦ, ὅτι θεός εἰμι, τῷ δὲ Ἀντιχρίστῳ, ὡς θεῷ καὶ πιστεύσωσι καὶ προσκυνήσωσι. Τί λοιπὸν ἐροῦσιν; ὅτι σημεῖα ἐποίει; Ἀλλὰ καὶ πλείω καὶ μείζω ἐποίει ὁ Χριστός. Ἀλλ' ὅτι παρὰ τῶν Γραφῶν ἐμαρτυρεῖτο; Καίτοι ὁ μὲν Χριστὸς, ὡς σωτὴρ, ὁ δὲ Ἀντίχριστος, ὡς υἱὸς ἀνομίας καὶ ἀπωλείας ἐκηρύττετο παρὰ τῶν προφητῶν. Καὶ ἁπλῶς, τὴν ἄνω παραγραφὴν ἀνάγνωθι. *Εὐδοκήσαντες* δὲ, οἷον, συνυπουργήσαντες καὶ συμπράξαντες *τῇ ἀδικίᾳ*, τουτέστι, τῷ Ἀντιχρίστῳ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Εὐχαριστία περὶ τῆς κλήσεως· ἐν ᾧ, προτροπὴ ἐπιμονῆς, εὐχὴ πρὸς Θεὸν καὶ Χριστὸν περὶ στηριγμοῦ αὐτῶν.

13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε
περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι
εἵλετο ὑμᾶς ὁ θεὸς ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁ-
14 γιασμῷ πνεύματος, καὶ πίστει ἀληθείας· εἰς ὃ ἐκά-

(α) Α' Κορ. ΙΑ', 19 (β) Α' Κορ. Η', 6. (γ) Δευτερ. ϛ', 13. Ι', 20.

λεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίη-
15 σιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἄρα
οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδό-
σεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπι-
16 στολῆς ἡμῶν. Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χρι-
στὸς, καὶ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡ-
μᾶς, καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγα-
17 θὴν ἐν χάριτι, παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ
στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

Ἐπειδὴ φοβερά τινα εἶπε καὶ δυνάμενα κατασεῖσαι διάνοιαν ἀκρατῆ, νῦν λεαίνει τὰς καρδίας, διδάσκων, ὅτι ταῦτα μὲν ἔσται ἐν τῷ ἰδίῳ καιρῷ· *ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ περὶ ὑμῶν, ὅτι εἵλετο ὑμᾶς*, οἷον, ἐξελέξατο ὑμᾶς ὁ Θεὸς, καὶ προώρισεν *εἰς σωτηρίαν*, ἀξίους δηλαδὴ προγνούς. Πῶς; *Ἐν ἁγιασμῷ πνεύματος*, τουτέστι, διὰ τοῦ ἁγιάσαι ὑμᾶς τῷ ἁγίῳ αὐτοῦ πνεύματι (1). Εἶτα, ἵνα μή τις εἴπῃ· Τί οὖν; ἡμεῖς οὐδὲν εἰσηνέγκαμεν; ἐπάγει· *Καὶ ἐν πίστει ἀληθείας.*] Τουτέστι, διὰ πίστεως ἀληθοῦς. Ταύτην γὰρ ἡμῶν προεισενεγκόντων, ἡγίασεν αὐτὸς ἡμᾶς διὰ τοῦ πνεύματος. Διὰ τοῦτο δὲ πρῶτον εἶπε τὸν ἁγιασμὸν τοῦ πνεύματος, δηλῶν ὡς οὐδὲ ἐπιστεύσαμεν ἂν, εἰ μὴ ἡ χάρις τοῦ πνεύματος ἡγιάσατο ἡμᾶς. Καὶ ἄλλως δὲ, δευτέρας ἐμνήσθη τῆς πίστεως· ἐπειδὴ καὶ μετὰ τὸν ἁγιασμὸν, πολλῆς αὐτῆς ἔτι δεόμεθα, ἵνα μὴ παρασαλευθῶμεν. *Εἰς ὃ ἐκάλεσεν ὑμᾶς.*] Εἰς ὃ πνεῦμα, ἢ εἰς ὃν ἁγιασμὸν ἐκάλεσέ, φησιν, ὑμᾶς ὁ Θεὸς διὰ τοῦ εὐαγγελίου ἡμῶν· ἐκεῖθεν γὰρ καλούμενοι, Χριστῷ πιστεύομεν· ὑπὸ δὲ τοῦ πνεύματος ἁγιαζόμεθα (2). *Εἰς περιποίησιν δόξης.*] Διὰ τοῦτο

(1) «Τουτέστιν, ἔσωσεν ὑμᾶς, ἁγιάσας διὰ τοῦ πνεύματος.» Θεοφύλακτος.

(2). « Ἵνα μὴ, ἀκούσαντες πίστιν, ἐπαρθῶσιν, ὡς αὐτοὶ αὐτὴν συνεισαγαγόντες, οὐδὲ τοῦτο ἀφίησιν ἁπλῶς· ἀλλὰ καὶ τοῦτό, φησι, τοῦ Θεοῦ. Εἰς τοῦτο γὰρ ἐκάλεσεν ὑμᾶς, φησιν. Εἰς τοῦτο· Ποῖον; Εἰς τὸ σωθῆναι διὰ τοῦ ἁγιασμοῦ καὶ τῆς πίστεως. Ὥστε κἂν ἐπιστεύσατε, χάρις τοῦτο τοῦ καλέσαντος. Εἰ μὴ γὰρ διὰ τοῦ λόγου, ὃν ἐκηρύξαμεν ὑμῖν, ἐκάλεσεν ὑμᾶς, πῶς ἂν ἠκούσατε; » Θεοφύλακτος.

δέ, φησιν, ἐκάλεσεν ὑμᾶς ὁ θεὸς εἰς ἁγιασμὸν πνευματικόν, ἵνα δόξαν περιποιήσῃ τῷ υἱῷ αὐτοῦ. Δόξα γὰρ Χριστῷ, τὸ πολλοὺς εἶναι τοὺς μέλλοντας σώζεσθαι διὰ τῆς πίστεως αὐτοῦ, καθὼς καὶ ἄνω εἶπεν, *ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ* (α). Ὅρα δὲ, πῶς τετίμηται ὁ ἄνθρωπος, ὅτι δόξαν αὐτοῦ ἡγεῖται Χριστὸς τὴν ἡμῶν σωτηρίαν. Τίς οὖν οὐκ ἀγαπήσει τοιοῦτον δεσπότην; τίς οὐ θελήσει τὴν δόξαν αὐτοῦ, ἤτοι, τὴν ἑαυτοῦ σωτηρίαν; *Ἄρα οὖν, ἀδελφοί, στήκετε.*] Μὴ καταβλήθητέ, φησι, τοῖς πειρασμοῖς. Δείκνυσι δὲ ἐνταῦθα πολλοὺς ὄντας τοὺς παρασαλευομένους. *Καὶ κρατεῖτε τὰς παραδόσεις.*] Κἀντεῦθεν δῆλον, ὅτι πολλὰ καὶ ἀγράφως διὰ λόγου, τουτέστι, ζώσῃ φωνῇ, παρέδωκαν οἱ ἀπόστολοι, οὐ μόνον δι' ἐπιστολῶν· καὶ ἀξιοφύλακτα ἀμφότερα. Τοιγαροῦν καὶ ἡ ἄγραφος τῆς ἐκκλησίας παράδοσις, φυλακτέα ἐςίν. *Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν.*] Πάλιν μετὰ τὴν παραίνεσιν, εὐχῇ βεβαιοῖ τὰ παραινεθέντα. *Καὶ ὁ θεὸς καὶ πατὴρ ἡμῶν.*] Ποῦ εἰσιν οἱ λέγοντες διὰ τοῦτο μείζονα τοῦ υἱοῦ τὸν πατέρα, ὅτι πρῶτος ὀνομάζεται; Ἰδοὺ γὰρ ἐνταῦθα πρῶτος ὁ υἱὸς ὀνομάζεται(1). *Δοὺς παράκλησιν αἰωνίαν.*] Τίς δὲ ἡ αἰωνία παράκλησις; Ἡ ἐλπίς, φησι, τῶν μελλόντων ἀγαθῶν, ἣν διὰ τοῦτο καὶ *ἀγαθὴν* καλεῖ. Αὕτη γάρ ἐστιν ἡ ἀνέχουσα τὰς καρδίας ἡμῶν καταπιπτούσας ἐν τοῖς πειρασμοῖς, ἡ τῶν μελλόντων ἀγαθῶν ἐλπίς. *Ἐν χάριτι.*] Ταύτην δὲ τὴν ἐλπίδα ἔδωκεν ἡμῖν ὁ θεὸς διὰ οἰκείας χάριτος, οὐ διὰ κατορθώματα ἡμέτερα. Τοῦτο δὲ εἶπε, καταστέλλων αὐτῶν τὸ φρόνημα. Ὅρα δέ, πῶς ἐν τάξει εὐχῆς διανίστησιν αὐτῶν τὴν διάνοιαν, τὰ τῆς κηδεμονίας τοῦ θεοῦ ἐνέχυρα καὶ τεκμήρια τιθείς. Εἰ γὰρ μηδὲν κάμνουσι παράκλησιν ἔδωκε, πολλῷ μᾶλλον τοῖς ὑπὲρ πίστεως κάμνουσι δώσει.

(α) Β' Θεσσαλ. Α', 10.

(1). « Καὶ ταῦτα τὴν Ἀρείου καὶ Εὐνομίου βλασφημίαν ἐλέγχει, καὶ διδάσκει σαφῶς, ὡς οὐδὲ ἡ τάξις τῶν ὀνομάτων διαφορὰν ἀξιωμάτων δηλοῖ· τὸν γὰρ υἱὸν ἐνταῦθα προέταξε τοῦ πατρὸς, οὐ μείζονα τοῦ πατρὸς τὸν υἱὸν εἶναι διδάσκων, ἀλλὰ τῇ τῆς τάξεως ἐναλλαγῇ τὴν ὁμοτιμίαν δεικνύων. » Θεοδώρητος.

Ὥστε εὐέλπιδες γίνεσθε. *Παρακαλέσαι ὑμῶν τὰς καρδίας.*] Τοῦτο γὰρ παράκλησις ἀληθῶς χριστιανοῖς πρὸ τῆς τῶν μελλόντων ἐλπίδος, τὸ ἐστηρίχθαι καὶ βεβαίους εἶναι ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ. Τί γὰρ πρὸς παράκλησιν ἴσον, ὡς τὸ συνειδέναι ἡμᾶς, ὅτι Χριστῷ ἀρέσκομεν ἐξ ὧν ζῶμεν καὶ πολιτευόμεθα; *Ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.*] Τῷ μὲν, ἔργῳ, τὰς πράξεις δηλοῖ· τῷ δὲ, *λόγῳ*, τὰ ὀρθὰ δόγματα.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Παράκλησις εὐχῆς ὑπὲρ αὐτοῦ καὶ τοῦ ἔργου αὐτοῦ ὑπὲρ αὐτῶν εἰς ἀγάπην θεοῦ.

ΚΕΦ. III, 1 Τὸ λοιπὸν, προσεύχεσθε, ἀδελφοὶ, περὶ
ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζη-
2 ται, καθὼς καὶ πρὸς ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν ἀπὸ
τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάν-
3 των ἡ πίστις. Πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρί-
4 ξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. Πεποίθαμεν
δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν,
5 καὶ ποιεῖτε, καὶ ποιήσετε. Ὁ δὲ Κύριος κατευθύναι
ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ, καὶ
εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

Ἄνω αὐτὸς εὐξάμενος ὑπὲρ αὐτῶν, ἵνα στηριχθῶσι, νῦν αἰτεῖ εὐχὴν παρ' αὐτῶν. Ἅμα δὲ καὶ τὰ φρονήματα αὐτῶν ἐπαίρει, ὅτι ἱκανοί εἰσιν ὑπὲρ τοῦ διδασκάλου εὔξασθαι. *Ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ.*] Ἀξιοῖ δὲ αὐτοὺς εὔχεσθαι ὑπὲρ αὐτοῦ, οὐχ ἵνα ἀπαλλαγῇ κινδύνων· (εἰς τοῦτο γὰρ ἔκειτο, ὡς ἐν τῇ πρώτῃ ἐπιστολῇ φησιν (α)·) ἀλλ' ἵνα τὸ κήρυγμα τρέχῃ, καὶ ἐν πᾶσι πιστεύηται καὶ δοξάζηται. *Καθὼς καὶ*

(α) Α' Θεσσαλ. Γ', 3.

πρὸς ὑμᾶς.] Τοῦτο καὶ ἐγκωμίου ἔχεται. Ὥσπερ καὶ παρ' ὑμῖν, φησιν, ἔδραμε καὶ ἐπιστεύθη. *Ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων.*] Περὶ τῶν ἀντιλεγόντων τῷ κηρύγματι λέγει, περὶ τῶν μαχομένων τοῖς δόγμασιν, οἷος ἦν Ἀλέξανδρος ὁ χαλκεύς (α). Τοῦτο γὰρ ᾐνίξατο, εἰπών· οὐ γὰρ *πάντων ἡ πίστις*· ὡσεὶ ἔλεγεν· Οὐ πάντων ἐστὶ τὸ πιστεῦσαι, ἀλλὰ τῶν ἀξίων τοῦ πιστεῦσαι· ὥσπερ ἂν εἴτις εἴποι· Οὐ πάντων ἐστὶ τὸ στρατεύεσθαι ἐν τοῖς βασιλείοις, ἀλλὰ τῶν ἀξίων καὶ ἐπιτηδείων πρὸς τοῦτο. Ἐκεῖνοι τοιγαροῦν ἀνθίστανται, ὧν οὐκ ἔστιν ἡ πίστις (1). *Πιστὸς δέ ἐστιν ὁ Κύριος.*] Ἐπειδὴ γὰρ εἵλετο ὑμᾶς εἰς σωτηρίαν, καθὼς ἄνω φησὶ, τουτέστιν, ἐξελέξατο, *πιστός ἐστι*, τουτέστιν, ἀληθὴς, καὶ πάντως ποιήσει ὃ ἐνήρξατο· καὶ στηρίξει μὲν ὑμᾶς, καθάπερ καὶ ηὐξάμεθα, ὡς σαλευομένους· φυλάξει δὲ, ὥστε μὴ ἰσχύσαι τὸν σατανᾶν καθ' ὑμῶν. *Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς.*] Ἐπειδὴ ἐπηύξατο αὐτοῖς, καὶ εἶπεν, ὅτι πιστός ἐστιν ὁ θεὸς, ὅτι *ποιήσει ὃ ἐνήρξατο*· ἵνα μὴ νομίσωσι πάντα αὐτοῖς ἔσεσθαι ἀπὸ τοῦ ἐπαγγειλαμένου θεοῦ, καὶ ἑλομένου αὐτοὺς εἰς σωτηρίαν, καὶ ῥάθυμοι μείνωσι, ἰδοὺ νῦν καὶ τὴν αὐτῶν συνέργειαν ἀπαιτεῖ. *Ὅτι ἃ παραγγέλλομεν ὑμῖν*, φησι, *καὶ ποιεῖτε, καὶ ποιήσετε*· ὡσεὶ εἶπεν· Ἀληθὴς μὲν ὁ θεὸς, ὁ εἰς σωτηρίαν ὑμᾶς ἑλόμενος, *καὶ πάντως ποιήσει* τὰ αὐτοῦ· πλὴν ἀλλὰ δεῖ καὶ ὑμετέρων ἔργων. Διὸ οὐδὲ ἐθάρσησεν εἰπεῖν, *Πεποίθαμεν δὲ ἐφ' ὑμᾶς*, ἀλλὰ προστέθεικεν, *ἐν Κυρίῳ*· τουτέστι, τῇ φιλανθρωπίᾳ αὐτοῦ πιστεύομεν, ὅτι αὐτὴ ἐπιῤῥώσει ὑμᾶς· ἵνα δείξῃ αὐτοῖς, ὅτι τὸ πᾶν ἀναρτητέον τοῦ θεοῦ. Πάλιν οὐκ εἶπεν ἁπλῶς, *πεποίθαμεν ἐν Κυρίῳ*, ἀλλ', *ἐφ' ὑμᾶς*, καὶ ὅτι, *ποιεῖτε καὶ ποιήσετε*, ἵνα μὴ

(α) Β' Τιμ. Δ', 14.

(1). Τοῦτο καὶ ἀλλαχοῦ ἔφη· Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος (Γαλ. Ε', 18)· θεοῦ γὰρ ἴδιον τὸ καλεῖν, ἡμῶν δὲ, τὸ πείθεσθαι. Οὕτω καὶ ἐν τοῖς εὐαγγελίοις ὁ Κύριος ἔλεγεν· Εἴτις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω (Ἰωάν. Ζ', 37.)· καί· Εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι (Λουκ. Θ', 23.). Οὐ γὰρ ἀνάγκῃ βιάζεται, ἀλλὰ τὴν γνώμην ζητεῖ. » Θεοδώρητος.

τὸ πᾶν ἀναρτήσαντες τοῦ θεοῦ, ἀργότεροι αὐτοὶ γένωνται. Δεῖ μὲν γὰρ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτειν, ἀλλ' ἐνεργοῦντας καὶ αὐτούς. Οὐκ ἠρκέσθη δὲ τῷ εἰπεῖν, *ποιεῖτε*, ἀλλὰ προσέθηκε καὶ τὸ, *ποιήσετε*, δεικνὺς, ὅτι δεῖ ἡμῖν ἄχρι καὶ τῆς ἐσχάτης ἀναπνοῆς παρεῖναι τὴν ἀρετήν. *Ὁ δὲ Κύριος κατευθύναι.*] Πάλιν ἐπεύχεται αὐτοῖς, δεικνὺς τὴν αὐτοῦ κηδεμονίαν· ἐπειδὴ γὰρ μέλλει τισὶν αὐτῶν ἐπιτιμᾷν, προλεαίνει τὰς καρδίας αὐτῶν, ἵνα δόξῃ, ὅτι ἀπὸ ἀγάπης πολλῆς ἐπιτιμᾷ. Φησὶν οὖν, ὅτι· *Ὁ Κύριος κατευθύναι τὰς καρδίας ὑμῶν*, τουτέστιν, ἐπ' εὐθείας ἐνεχθῆναι ποιήσειε καὶ μὴ παρατραπῆναι· πολλὰ γὰρ τὰ ἀφέλκοντα καὶ ἐκτρέποντα τῆς πρὸς τὴν ἀγάπην τοῦ θεοῦ ὀρθῆς ὁδοῦ, οἷον χρήματα, καὶ κενοδοξία, καὶ θλίψεις, καὶ πειρασμοί. Ταῦτα γὰρ καὶ ἄλλα πλείω οὐκ ἐῶσιν ἡμᾶς εἰς τὴν ἀγάπην τοῦ θεοῦ εὐθυπορῆσαι, καὶ ἀγαπῆσαι αὐτὸν, ὡς δεῖ. *Καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.*] Τοῦτο ἢ οὕτω νοήσεις, Ἵνα ὑπομένωμεν, ὡς ἐκεῖνος ὑπέμεινεν· ἢ, Ἵνα μεθ' ὑπομονῆς ἀναμένωμεν τὸν Χριστὸν, καὶ μὴ ἀπελπίζωμεν, ἀλλὰ πιστεύωμεν βεβαίως, ὅτι ἃ ἐπηγγείλατο πληρώσει. Εἰπὼν δὲ *ὑπομονὴν*, θλίψεις ᾐνίξατο. Τῇ ἀγάπῃ δὲ τοῦ θεοῦ συνέζευξε τὴν ὑπομονήν· τοῦτο γάρ ἐστι τὸ ἀγαπᾷν τὸν θεὸν, τὸ ὑπομένειν δι' αὐτὸν, καὶ μὴ θορυβεῖσθαι. Ὁ δὲ μακάριος Βασίλειος, ἐν τοῖς πρὸς Ἀμφιλόχιον, τοῦτο σημειοῦται, ὅτι τῷ Πνεύματι εὔχεται ὁ Παῦλος, λέγων· *Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.* Ποῖος γὰρ Κύριος παρὰ τὸ Πνεῦμα ἔμελλε κατευθύνειν τὰς καρδίας αὐτῶν εἰς τὴν ἀγάπην τοῦ θεοῦ καὶ πατρὸς, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ; Οὐδεὶς δὲ εὔχεται, πλὴν θεῷ (1).

(1). « Ὁ θεῖος ἀπόστολος τὴν Τριάδα ἡμῖν ὑπέδειξε. Κύριον γὰρ τέθεικε, καὶ Θεὸν, καὶ Χριστόν. Δῆλον δὲ, ὅτι Κύριον τὸ πανάγιον προσηγόρευσε Πνεῦμα. Οὕτω καὶ Κορινθίοις ἐπιστέλλων, ἔγραφεν· Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν (Β' Κορ. Γ', 17.) » Θεοδώρητος.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Προτροπὴ ἐργασίας, καὶ παραιτήσεως τῶν ἀργῶν καὶ περιέργων.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς
ἀπὸ παντὸς ἀδελφοῦ, ἀτάκτως περιπατοῦντος, καὶ
μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν.
7 Αὐτοὶ γὰρ οἴδατε, πῶς δεῖ μιμεῖσθαι ἡμᾶς· ὅτι
8 οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφά-
γομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα
καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί
9 τινα ὑμῶν. Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ'
ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι
10 ἡμᾶς. Καὶ γὰρ, ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγ-
γέλλομεν ὑμῖν, ὅτι, εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ
11 ἐσθιέτω. Ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν
ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιερ-
γαζομένους.

Φοβερωτέραν τὴν παραγγελίαν εἰργάσατο, ὡς εἰ εἶπε· Διὰ τοῦ Χριστοῦ παραγγέλλομεν ὑμῖν· ἢ, Μέσου ὄντος τοῦ ὀνόματος αὐτοῦ, καὶ μαρτυροῦντος, ὅτι παρηγγείλαμεν· ἢ, ὅτι οὐχ ἡμεῖς παραγγέλλομεν ὑμῖν, ἀλλ' ὁ Χριστός· αὐτοῦ γάρ ἐστι λόγος ὁ ῥηθησόμενος, οὐκ ἐμός. Οὐδαμοῦ γὰρ ἐκεῖνος προσέταξεν ἀργεῖν. *Στέλλεσθαι.*] Ὑποστέλλεσθαι, χωρίζεσθαι. *Ἀπὸ παντὸς ἀδελφοῦ, ἀτάκτως περιπατοῦντος.*] Τουτέστιν, ἀπὸ παντὸς ἀργῶς βιοῦντος ἀδελφοῦ, κἂν πλούσιος ᾖ, κἂν πένης, κἂν ἅγιος. Εἰπεῖν δὲ θέλει ἐνταῦθα περί τινων ἀργῶς περιϊόντων, καὶ μὴ ἐργαζομένων. *Καὶ μὴ κατὰ τὴν παράδοσιν.*] Ἣν διὰ τῶν ἔργων ὑμῖν παρέδωκα, τύπος γενόμενος ὑμῖν. *Αὐτοὶ γὰρ οἴδατε.*] Ἐξ ὧν γὰρ ἐποιοῦμεν, δεδώκαμεν ὑμῖν σπέρματα καὶ εἰκόνας μιμήσεως. *Ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν.*] Τουτέστιν, οὐκ ἠργήσαμεν. *Ἀταξίαν* γὰρ τὴν ἀργίαν ὀνομάζει, ὡς καὶ ἀνωτέ-

ρω· καὶ οὕτως ἔχει· ὁ γὰρ Θεὸς ἔταξε τὸν ἄνθρωπον ἐργάζεσθαι, καὶ τὰ μέλη πρὸς τοῦτο διέπλασεν. Ὥστε ὁ ἀργὸς ἐκλέλοιπε τὴν τάξιν. *Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος.*] Ὅρα δὲ, πῶς *δωρεὰν φαγεῖν*, ἐκάλεσε τὸ παρ' αὐτῶν τραφῆναι· καίτοι οὐκ ἦν δωρεάν· ἐκήρυττε γάρ. *Ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ.*] Βαβαὶ, ἐπίτασις! *Πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν.*] *Βάρος* μὲν κυρίως λέγεται, τὸ παρὰ ἀκόντων λαβεῖν· πλὴν οὐ διὰ τοῦτο λέγει, ἀλλ' ὅτι σφόδρα πένητες ἦσαν (1). *Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν.*] Εἶχε γὰρ ἐξουσίαν ἀργεῖν ἐκ τοῦ ἔργου τῶν χειρῶν, ἐπησχολημένος τῷ κηρύγματι, καὶ τρέφεσθαι παρὰ τῶν μαθητευομένων· ἄξιος γάρ, φησιν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ (α)· ἀλλ' ἐκ περιουσίας καὶ φιλοτιμίας καὶ εἰργάζετο, καὶ ἑαυτὸν ἔτρεφε καὶ τοὺς σὺν αὐτῷ· ὃ καὶ ἀλλαχοῦ φησιν (β). *Ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν.*] Ἵνα, φησὶν, εἰκόνα ἑαυτοὺς δῶμεν ὑμῖν, πῶς δέοι βιοῦν. *Ὅτε ἦμεν πρὸς ὑμᾶς.*] Οὐδὲν καινόν, φησι, γράφομεν ὑμῖν, ἀλλ' ἅπερ ἐξ ἀρχῆς ἡμᾶς ἐδιδάξαμεν. Τὸ δὲ, *πρὸς ὑμᾶς*, ἀντὶ τοῦ, παρ' ὑμῖν, μεθ' ὑμῶν. *Ὅτι, εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.*] *Ἐργασίαν*, τὴν διὰ τῶν χειρῶν φησιν· ἀνάγκη γὰρ πάντως τι ποιεῖν. Ἐν μὲν οὖν τῇ προτέρᾳ ἐπιστολῇ προσηνέστερον περὶ τούτων διηνέχθη, ἐνταῦθα δὲ αὐστηρότερον. Εἰ γὰρ αὐτὸς νύκτα καὶ ἡμέραν εἰργάζετο, καίτοι μηδεμίαν ἔχων ἀνάγκην, πολλῷ μᾶλλον τοὺς ἄλλους ἐχρῆν τοῦτο ποιεῖν. *Μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.*] Ὁ Θεὸς ἐνεργὸν ἡμῖν δέδωκε τὸν νοῦν. Ὅταν οὖν αὐτὸν τῶν ἔργων ἀπαγάγωμεν, ἐπειδὴ αὐτὸς ἀργεῖν οὐ δύναται, λοιπὸν εἰς ἐργασίας ἔρχεται διαβολικὰς, εἰς περιεργίαν, φλυαρίαν, καταλαλιὰν, εὐτραπελίαν, καὶ τὰ ὅμοια (2). Ἐργάζεσθαι οὖν δεῖ τὰ διὰ τῶν χειρῶν ἔργα· οὐ γὰρ ἐλεεῖσθαι δεῖ τὸν δυνάμενον ἐργάζεσθαι ἀργοῦντα.

---

(1) Ἰδ. Α' Θεσσ. Β', 9. (α) Ματθ. Ι, 10. Λουκ. Ι, 7.
(β) Πραξ. Κ', 34.
(2) « Ἴδιον τῶν ἀργίᾳ συζώντων ἀδολεσχία, καὶ φλυαρία, καὶ ἡ ἀνόητος πολυπραγμοσύνη. » Θεοδώρητος.

12 Τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦ-
μεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα,
μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον
13 ἐσθίωσιν. Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε καλο-
14 ποιοῦντες. Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν
διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε· καὶ μὴ
15 συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· καὶ μὴ ὡς
ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

Ἐπειδὴ καθήψατο, εἰπὼν, *Παραγγέλλομεν*, προσηνέστερον πάλιν ποιεῖ τὸν λόγον, καί φησι, *Παρακαλοῦμεν*. *Διὰ τοῦ Κυρίου.*] Τουτέστιν, αὐτός ἐστιν ὁ παραγγέλλων, αὐτὸς ὁ παρακαλῶν, οὐκ ἐγώ. Ὁρᾷς, πῶς φοβερὰν εἰργάσατο τὴν παράκλησιν; *Μετὰ ἡσυχίας ἐργαζόμενοι.*] Οὐ μόνον ἡσυχάζειν, ἀλλὰ καὶ ἐργάζεσθαι κελεύει. Ἔτι περὶ τῶν ἀργῶν ὁ λόγος· ἁρμόζει δὲ καὶ περὶ τῶν ἁμαρτανόντων λέγεσθαι. *Τὸν ἑαυτῶν ἄρτον.*] Ἵνα ἐσθίωσι τὸν ἑαυτῶν ἄρτον, μὴ τὸν ἀλλότριον διὰ τοῦ ἐπαιτεῖν. Οὐ γὰρ δεῖ αὐτοὺς ἀποβλέπειν εἰς ἄλλων χεῖρας. Οὕτω τούτοις τὴν ἐργασίαν καὶ τὴν ἡσυχίαν νομοθετήσας, παραινεῖ τοῖς ἄλλοις, τῇ φιλαδελφίᾳ κεχρῆσθαι. *Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε καλοποιοῦντες.*] Μὴ νικήσῃ τὴν ὑμετέραν φιλοτιμίαν ἡ ἐκείνων μοχθηρία. Ὅρα σπλάγχνα πατρικά! Οὐ προήγαγεν ἐπὶ πολὺ τὴν ἐπιτίμησιν, δεδοικὼς, μὴ λιμῷ φθαρῶσιν οἱ ἄτακτοι. Καί φησι, *στέλλεσθαι* μὲν ἀπ' αὐτῶν, τουτέστι, χωρίζεσθαι, καὶ διὰ τοῦ χωρισμοῦ ἐπιτιμᾶσθαι· ἐν ὅσῳ δὲ διορθοῦνται, μεταδίδοτέ, φησιν, αὐτοῖς, ἵνα μὴ λιμώττωσιν. Ἀρκεῖ γὰρ μὴ διορθουμένοις, ἡ ἐπιτίμησις τοῦ στέλλεσθαι ὑμᾶς ἀπ' αὐτῶν. *Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς.*] Ἢ, *Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἐμοῦ* τοῦ Παύλου, τῷ διὰ τῆς ἐπιστολῆς ταύτης οἱονεὶ λαλοῦντι, *τοῦτον σημειοῦσθε*· ἢ τῷ διὰ τῆς ἐπιστολῆς ἀποσταλέντι (1). *Τοῦτον σημειοῦσθε.*] Ἵνα μὴ λάθῃ ὑμᾶς, φησι.

(1) Παρ' ἄλλοις τὸ, διὰ τῆς ἐπιστολῆς, συνάπτεται τῷ ἑπομένῳ, τοῦτον σημειοῦσθε.

Καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ.] Ὁρᾷς, τίς ἡ ὠφέλεια τοῦ εἶναι αὐτὸν οἱονεὶ ἀφωρισμένον; Τὸ ἐντραπῆναι· μεγίστη γὰρ ἐντροπὴ, τὸ πάντας ἔχειν ἀποστρεφομένους. *Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε.*] Ὥσπερ ἄνω, εἰπὼν, μὴ δεῖν τὸν ἀργὸν ἐσθίειν, δείσας, μὴ λιμῷ φθαρῇ ὁ τοιοῦτος, ἐπήγαγεν, *Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε καλοποιοῦντες·* οὕτω καὶ ὧδε, εἰπὼν, *Μὴ συναναμίγνυσθε*, ἔδεισε μὴ, ἀποσχισθεὶς, τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ, ὅπερ πρὸς Κορινθίους ἔγραψε (α). Διὸ ἐπάγει· *Μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν·* ὡς εἰ εἶπεν· Ἐπιτιμᾶτε μὲν αὐτῷ, μὴ ὡς ἐχθρῷ δὲ ὀργιζόμενοι, ἀλλ' ὡς ἀδελφὸν ἐν ἀγάπῃ νουθετοῦντες.

ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

Εὐχὴ περὶ εἰρήνης, τῆς παρὰ θεοῦ.

16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰ-
ρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ· ὁ Κύριος μετὰ
17 πάντων ὑμῶν. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου,
18 ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω· Ἡ
χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάν-
των ὑμῶν. Ἀμήν.

Ἐπειδὴ οἶδεν, ἐκ τοῦ νουθετεῖσθαι καὶ ἐπιτιμᾶσθαι ἔρεις καὶ μάχας τικτομένας, τῶν τοῦτο πασχόντων πρὸς τοὺς ἐλέγχους τραχυνομένων, ἐπεύχεται αὐτοῖς εἰρήνην παρὰ τοῦ θεοῦ τῆς εἰρήνης. *Ἐν παντὶ τρόπῳ.*] Ὥστε μηδεμίαν ὑπολελεῖφθαι μάχης ἀφορμὴν, μήτε ἀπὸ λόγου, μήτε ἀπὸ ἔργου. *Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.*] Ἀσπασμὸν καλεῖ τὴν ἐν τῷ τέλει κειμένην εὐχήν· ὑπέγραφε δὲ ἰδιόχειρον τὸν ἀσπασμὸν, ἵνα μὴ παραποιῶνται αὐτοῦ τὰ γράμματα. Εἶπε γὰρ ἄνω, ὡς ἀπ' αὐτοῦ ἐπιστολὰς πλαττόμενοι οἱ ἀπατεῶνες, διέστρεφον αὐ-

(α) Β' Κορ. Β', 7.

τοὺς ἀπὸ τῶν ὀρθῶν δογμάτων (1). *Ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ.*] Τοῦτο γὰρ σημεῖον πρὸς τὸ μὴ παραποιεῖσθαι τὰς ἐπιστολάς μου παρά τινων ἀπατεώνων. *Ἐν πάσῃ δὲ*, τῇ ὡς εἰκὸς πεμφθησομένῃ πρὸς ὑμᾶς· ἢ καὶ ἁπλῶς, *ἐν πάσῃ*, τῇ πρὸς οὕς τινας δήποτε πεμφθησομένῃ· ὡς εἰ εἶπεν· Εἰ μὴ ἔχοι τοῦτο, οὐκ ἔστι μου ἐπιστολή (2). *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πάντων ὑμῶν.*] Καὶ ἤρξατο ἀπὸ τῆς χάριτος, καὶ νῦν πάλιν εἰς τὴν χάριν ἀποτελευτᾷ τὴν ἐπιστολήν, ἑκατέρωθεν, ὥσπερ μεγάλοις τειχίοις, ἀσφαλιζόμενος τὰ λεγόμενα, καὶ θεμελίους ἀσφαλεῖς τιθεὶς, καὶ τέλος ἐπάγων ἀσφαλές. Ἐὰν γὰρ ἡ χάρις, φησὶν, ᾖ μεθ' ὑμῶν, ἡ ἐξ ἀρχῆς σώσασα ἡμᾶς, πάσας τὰς ἀσθενείας ὑμῶν παρόψεται· τοῦτο γὰρ χάριτος· ἔσται δὲ μεθ' ὑμῶν, ἐὰν μὴ ταύτην ἀποδιώζητε. Ἡ χάρις εὐγνώμοσι ψυχαῖς ἐνοικεῖ, ἁπλότητα καὶ φιλαδελφίαν ἐχούσαις. Γένοιτο τοίνυν, τοιαύτας καὶ ἡμεῖς τὰς ψυχὰς ἔχοντες, καὶ φιλαδελφίαν ἐπιδεικνύμενοι, καὶ τοὺς παρασφαλλομένους τυχὸν ὡς ἀδελφοὺς νουθετοῦντες, καὶ πᾶσι τρόποις τὴν αὐτῶν διόρθωσιν μετὰ τῆς πρὸς αὐτοὺς εἰρήνης κατεργαζόμενοι, ὑπὸ τῆς χάριτος φρουρηθείημεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ προσλαβομένου ἡμᾶς καὶ προσαγαγόντος τῷ Πατρὶ ἐν ἁγίῳ Πνεύματι· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(1) Β' Θεσσαλ. Β', 2.

(2) Ὁ Θεοδώρητος, εἰπὼν, « Ἀσπασμὸν ἐκάλεσε τὴν ἐν τῷ τέλει κειμένην εὐλογίαν, » ἐπιφέρει· « Τοῦτο δὲ προστέθεικε διὰ τοὺς πεπλασμένας ἐπιστολὰς περιφέρειν τολμῶντας, διδάσκων, ἐπιζητεῖν αὐτοῦ τὴν ὑπογραφήν. Τοῦτο γὰρ, φησὶ, τῶν ἐμῶν ἐπιστολῶν σημεῖον. Ἐν πάσῃ γὰρ ἐπιστολῇ τὸν ἀσπασμὸν ἐγὼ γράφω. Μανθάνομεν τοίνυν ἐντεῦθεν, ὡς τὸ, Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν, ἀντὶ τοῦ, ἐῤῥῶσθαί σε, γράφειν εἰώθει. »

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ἀθηνῶν.

Η
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ταυτην ἐπιστέλλει ἀπὸ Λαοδικείας· ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ἐν τῇ Ἐφέσῳ τινὲς ἰουδαΐζοντες, ἐπεχείρουν ἑτεροδιδασκαλεῖν καὶ ἀπατᾷν τοὺς ἀκεραιοτέρους προφάσει τοῦ νόμου. Τοῦτο δὲ μαθὼν ὁ ἀπόστολος, προτρέπει τὸν Τιμόθεον ἐκεῖ προσμεῖναι πρὸς διόρθωσιν αὐτῶν, γράφει τε τὴν ἐπιστολήν. Καὶ πρῶτον μὲν ὑπομιμνήσκει Τιμόθεον εἰδότα τὴν ἐν Χριστῷ πίστιν, διδάσκων αὐτὸν περὶ τοῦ νόμου, κωλύειν τοὺς παρὰ τὴν ὀρθὴν διδασκαλίαν λαλοῦντας, ἐπιτιμᾷν τε αὐτοῖς. Καὶ γὰρ καὶ αὐτὸς Ὑμέναιον καὶ Ἀλέξανδρον, ναυαγήσαντας περὶ τὴν πίστιν, παρέδωκε τῷ σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. Ταῦτα ὑπομνήσας, λοιπὸν διατάσσει αὐτῷ κανόνας ἐκκλησιαστικούς. Πρῶτον περὶ προσευχῆς, πῶς, καὶ ποῦ, καὶ περὶ τίνων δεῖ προσεύχεσθαι. Δεύτερον, περὶ τοῦ σιγᾷν ἐν ἐκκλησίᾳ τὰς γυναῖκας, καὶ μᾶλλον μανθάνειν ἐθέλειν, καὶ μὴ διδάσκειν αὐτάς. Τρίτον, περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων καὶ διακόνων, πῶς καὶ ὁποίους εἶναι δεῖ τοὺς καθισταμένους. Τέταρτον, περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ χηρῶν, ἀπὸ πόσων ἐτῶν χρὴ ταύτας καταλέγεσθαι, καὶ ὁποίας αὐτὰς εἶναι δεῖ, καὶ πῶς αὐταῖς δεῖ προσέχειν. Πέμπτον, περὶ τοῦ σωφρονεῖν τοὺς νεωτέρους, καὶ γαμεῖν μᾶλλον, καὶ μὴ αἰσχρῶς ζῆν. Ἕκτον, περὶ τοῦ παραγγέλλειν τοῖς πλουσίοις, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἐλ-

πίζειν ἐπὶ πλούτῳ. Περὶ τούτων διαταξάμενος, προτρέπεται αὐτὸν ταῦτα διδάσκειν· καὶ μηκέτι μὲν ὑδροποτεῖν, προσέχειν δὲ ἑαυτῷ καὶ τῇ διδασκαλίᾳ, εἰδότα ἔσεσθαι καιροὺς, ἐν οἷς ἀποστήσονταί τινες τῆς πίστεως. Διδάξας δὲ καθαρὰ εἶναι τὰ βρώματα, καὶ παραγγείλας αὐτῷ, ἐκτρέπεσθαι τὰς ἐμφιλονείκους ζητήσεις, ὡς βεβήλους οὔσας, ἐφ' αἷς καί τινες καυχώμενοι παρέβησαν τὴν πίστιν, καὶ τέλος, ὃν χρὴ τρόπον ἄρχειν τε καὶ διατάσσεσθαι, τελειοῖ τὴν ἐπιστολήν.

ΑΛΛΗ.

Τί δήποτε καὶ ἄλλους ἔχων μαθητὰς ὁ Παῦλος, οἷον τὸν Σίλαν, τὸν Λουκᾶν, καὶ ἑτέρους, πρὸς Τιμόθεον μόνον καὶ πρὸς Τίτον ὀνομαστὶ γράφει; Καὶ φαμὲν, ὅτι τούτοις ἦν ἤδη ἐκκλησίας ἐγκεχειρικὼς, τοὺς δὲ ἄλλους ἔτι εἶχε μεθ' ἑαυτοῦ. Γράφει δὲ πρὸς Τιμόθεον, τὰ διδασκάλῳ πρέποντα λοιπόν.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ, ἀπόστολος Ἰησοῦ Χριστοῦ,
κατ' ἐπιταγὴν θεοῦ, σωτῆρος ἡμῶν, καὶ Κυρίου
2 Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, Τιμοθέῳ, γνη-
σίῳ τέκνῳ ἐν πίστει· χάρις, ἔλεος, εἰρήνη ἀπὸ
θεοῦ, πατρὸς ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ, τοῦ Κυ-
ρίου ἡμῶν.

Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ.] Ἐπειδὴ μέλλει νομοθετεῖν τῷ Τιμοθέῳ, ἀξιόπιστον τὸν λόγον ποιῶν, ἑαυτὸν ἀπόστολον ἀνακηρύττει. Οὐ γὰρ τὰ ἐμαυτοῦ, φησι, φθέγξομαι, ἀλλὰ τὰ τοῦ ἀποστείλαντός με. Ὥστε ὅρα, μὴ παρακούσῃς. *Κατ' ἐπιταγὴν θεοῦ.*] Τὸ ἄτυφον καὶ νῦν δείκνυσιν· ὅτι, φησὶν, οὐκ ἀπ' ἐμαυτοῦ προσῆλθον, ἀλλὰ προσετάγην παρὰ θεοῦ. Ποῦ δὲ ἐπετάγη; Ἐν ταῖς Πράξεσιν, ἔνθα φησὶ τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν (α)· καὶ ἔνθα ὁ Κύριος πρὸς αὐτόν· Εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε (β). Ἀλλ' ὅπερ ὁ υἱὸς ἢ τὸ πνεῦμα ἐπέταξε, ταῦτα τὸν πατέρα φησὶν ἐπιτεταχέναι· ἓν γὰρ θέλημά ἐστι τῆς ἁγίας Τριάδος. *Καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν.*] Πολλὰ μέν, φησιν, οἱ ἀπόστολοι πάσχομεν, ἀλλ' οὐ καταπίπτομεν·

(α) Πραξ. ΙΓ', 2. (β) Πραξ. ΚΒ', 21.

ἔχομεν γὰρ σωτῆρα, οὐκ ἄνθρωπον, ἀλλ' αὐτὸν τὸν θεὸν καὶ πατέρα, ὃς ταχέως ἡμᾶς ἀπαλλάξει τῶν κινδύνων. Κἂν μὴ ταχέως σωθῶμεν ἀπὸ τούτων, ἐλπίζειν χρὴ τὰ χρηστότερα· ἡ γὰρ ἐλπὶς ἡμῶν ἀκαταίσχυντός ἐστιν, ὁ Χριστός. Δυσὶ γὰρ τούτοις φέρομεν τοὺς κινδύνους, ἢ ταχέως ἀπ' αὐτῶν σωζόμενοι, ἢ ἐλπίσι χρησταῖς τρεφόμενοι.—Συνῆψε τῷ θεῷ καὶ τὸν δεσπότην Χριστὸν, τὴν ὁμοτιμίαν δεικνύς. Σωτηρίαν δὲ τὸν θεὸν, καὶ τὸν Χριστὸν ἐλπίδα κέκληκεν, οὐ διαιρῶν τὰ ὀνόματα, καὶ τῷ μὲν, τοῦτο, τῷ δὲ, ἐκεῖνο προσνέμων, ἀλλ' ἀμφότερα ἐφ' ἑκατέρου προσώπου νοῶν. Καὶ γὰρ ὁ μακάριος Δαυὶδ ἀμφότερα ἐφ' ἑνὸς προσώπου τέθεικε, λέγων· Ἐπάκουσον ἡμῶν ὁ θεὸς, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς (α). (Θεοδωρήτου). — *Γνησίῳ τέκνῳ ἐν πίστει.*] Βαβαί! ὅσην ἐπεδείξατο πίστιν ὁ Τιμόθεος, ὡς καὶ διὰ ταύτης γενέσθαι Παύλου τέκνον γνήσιον· οὐδὲν γὰρ ἐνήλλακτο κατὰ τὴν πίστιν (1). *Χάρις, ἔλεος.*] Τὸν ἔλεον ἐνταῦθα ἐπεύχεται τῷ Τιμοθέῳ, μὴ εἰωθὼς, δεικνὺς τήν τε πρὸς αὐτὸν φιλοστοργίαν, καὶ ὅτι πλείονος ἐλέου χρήζουσιν οἱ διδάσκαλοι.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς εἰς ἀγάπην θεοῦ ὁδηγίας, τὴν ἀπροσδεῆ νομικῆς ἀνάγκης.

3 Καθὼς παρεκάλεσά σε, προσμεῖναι ἐν Ἐφέσῳ, πο-
ρευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ,
4 μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ
γενεαλογίαις ἀπεράντοις, αἵ τινες ζητήσεις παρέ-

(α) Ψαλμ. ΞΔ', 6.

(1) «Ἄγαν ἁρμοδίως τῷ σχετικῷ ὀνόματι τὴν πίστιν συνέζευξεν· οὐ γὰρ ἡ φύσις, ἀλλ' ἡ πίστις υἱὸν αὐτὸν ἀπειργάσατο. Πεπιστευκὼς γὰρ τῷ θείῳ κηρύγματι, πατέρα καλεῖν ἠξιώθη τὸν θεῖον ἀπόστολον.» Θεοδώρητος.

χουσι μᾶλλον ἢ οἰκονομίαν (1) θεοῦ, τὴν ἐν πίστει.

Καθὼς *παρεκάλεσά σε.*] Ὅρα ἱκέτου καὶ οὐ διδασκάλου ῥήματα! Οὐ γὰρ εἶπεν, *ἐπέταξα*, ἀλλὰ, *παρεκάλεσα*. Πρὸς γὰρ τοὺς ἡμετέρους μαθητὰς οὕτω διακεῖσθαι χρή· πρὸς δὲ τοὺς διεφθαρμένους καὶ τοὺς μὴ γνησίους, ἑτέρως. *Προσμεῖναι ἐν Ἐφέσῳ.*] Παρακαλεῖ δὲ τοῦτον, *προσμεῖναι ἐν Ἐφέσῳ*· οὐ γὰρ ἤρκεσεν ἡ Παύλου ἐπιστολὴ, ἣν ἐπέστειλεν αὐτοῖς, τούτους διορθώσασθαι· πρὸς γὰρ τὰ γράμματα καταφρονητικώτερον ἔχουσιν οἱ ἄνθρωποι. Ἴσως δὲ καὶ πρὸ τῆς ἐπιστολῆς τοῦτο ἦν. Ζητεῖται δὲ, εἰ νῦν ἐνταῦθα αὐτὸν ἐπίσκοπον ἐκεχειροτονήκει. *Ἵνα παραγγείλῃς τισίν.*] Οὐ εἶπεν, *ἵνα παρακαλέσῃς*, ἀλλ', *ἵνα*, ὡς πρὸς διεφθαρμένους, μετὰ αὐστηρίας *παραγγείλῃς*, φησίν. Οὐκ εἶπε δὲ τούτους ὀνομαστὶ, ἵνα μὴ ἀναισχυντοτέρους αὐτοὺς ἐργάσηται τοῖς ἐλέγχοις. *Μὴ ἑτεροδιδασκαλεῖν.*] *Ἑτεροδιδασκαλεῖν*, τὸ ἑτέρας διδασκαλίας παρεισάγειν. Ἦσαν γὰρ ψευδαπόστολοί τινες ἀπὸ Ἰουδαίων, πάλιν ἐπὶ τὸν νόμον ἕλκοντες, καὶ νόθα ἄλλα κατηχοῦντες δόγματα, ἔρωτι δόξης, καὶ τῷ θέλειν καλεῖσθαι διδάσκαλοι. *Μηδὲ προσέχειν μύθοις.*] Μύθους οὐ τὸν νόμον λέγει, ἀλλὰ τὰς παρατηρήσεις καὶ τὰ παραπεποιημένα δόγματα· ὁ γὰρ ταῦτα λαλῶν, ἑτεροδιδασκαλεῖ. *Καὶ γενεαλογίαις ἀπεράντοις.*] Πάππους γὰρ καὶ προπάππους ἠρίθμουν· οἷον οἱ Ἰουδαῖοι τοὺς ἀμφὶ τὸν θεσπέσιον Ἀβραὰμ, ἐν αὐτοῖς ἐγκαλλωπιζόμενοι, καὶ μηδὲν αὐτοὶ χρηστὸν πράττοντες. Τὸ δὲ, *ἀπεράντοις*, ἢ, ταῖς εἰς τοὺς ἄνω χρόνους ἀναβαινούσαις, ἢ, ταῖς μὴ ἐχούσαις πέρας τι χρήσιμον ἢ τοῖς λέγουσιν ἢ τοῖς ἀκούουσιν. *Αἵτινες ζητήσεις παρέχουσι μᾶλλον.*] Εἰ αἱ ζητήσεις ἐν καταγνώσει εἰσὶ, πῶς ὁ Χριστὸς λέγει· Ζητεῖτε καὶ εὑρήσετε (α); καί· Ἐρευνᾶτε τὰς γραφάς (β); Ὅτι ἡ ζήτησις τῶν μέσων ἐστίν. Ἔνι γὰρ ζητεῖν χρηστὰ, ὡς τό· Ζητεῖτε τὴν βασιλείαν τῶν

(1) Παρ' ἄλλοις, οἰκοδομίαν. (α) Ματθ. Ζ', 7. (β) Ἰωαν. Ε', 39.

οὐρανῶν (α)· ἕνι καὶ ζητεῖν κακὰ, ὡς οἱ φιλόσοφοι τὰ οὐράνια καὶ οὐσίαν θεοῦ. Ἐνταῦθα οὖν *ζητήσεις*, τὰς ἀνονήτους φησὶ, τὰς ἐμφιλονείκους. *Ἡ οἰκονομίαν θεοῦ.*] Τί δὲ ᾠκονόμησεν ὁ θεός; Τὸ πίστει δέχεσθαι τὰ αὐτοῦ· ἀκατάληπτα γάρ· τὸ δὲ λογισμοὺς καὶ ἀποδείξεις ἐπὶ ἑκάστου ζητεῖν· τοῦτο γὰρ αἱ *ζητήσεις*· τῇ τοῦ θεοῦ διοικήσει ἀνθίσταται (1)..

5 Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως
6 ἀνυποκρίτου· ὧν τινες ἀστοχήσαντες, ἐξετράπησαν
7 εἰς ματαιολογίαν, θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

Τὸ *δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη.*] *Τὸ τέλος*, ἤτοι, τὸ κεφάλαιον τῆς παραγγελίας, *ἐστὶν ἀγάπη*. Ἐὰν παραγγέλλῃς, φησὶ, μὴ ἑτεροδιδασκαλεῖν, τοῦτο κατορθώσεις, τὴν ἀγάπην. Ἐὰν δὲ ταύτην ἐμφυτεύσῃς, πᾶν δόγμα διεστραμμένον *οἰχήσεται*. Πῶς; Ὅτι ἐκ τοῦ μὴ ἀγαπᾷν, φθόνος εἰσῆλθέ τισι πρὸς τοὺς διδασκάλους, ἐκ τοῦ θέλειν αὐτοὺς εἶναι διδασκάλους. Λοιπὸν ἐκ τούτου τὸ ἑτεροδιδασκαλεῖν. *Ἐκ καθαρᾶς καρδίας.*] Ἔστι γὰρ καὶ ἐξ ἀκαθάρτου καρδίας ἀγαπᾷν, οἷαί εἰσιν αἱ τῶν λῃστῶν πρὸς τοὺς λῃστὰς φιλίαι (2). *Καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου.*] Τὴν οὐ μέχρι ῥημάτων, φησὶ, ζη-

(α) Ματθ. ϛ', 33.

(1) « Οἱ ἐξ Ἰουδαίων πεπιστευκότες, ἐπὶ τῇ γνώσει τῆς παλαιᾶς Διαθήκης μέγα φρονοῦντες, ζητήματα ἄττα τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι προσέφερον, ἐλέγχειν μὲν αὐτοὺς ὡς ἀμυήτους τῶν θείων λογίων πειρώμενοι, φυλάττειν δὲ τὴν νομικὴν πολιτείαν παραπείθειν ἐπιχειροῦντες. Οὕτω καὶ τὰς ἐξ Ἀβραὰμ καὶ Δαυὶδ γενεαλογίας κατέλεγον, ἐρευνῶντες ὅθεν, εἰ ἀληθῶς ἐκ τούτων ὁ Κύριος κατὰ σάρκα γεγέννηται. Παρεγγυᾷ τοίνυν ὁ θεῖος ἀπόστολος τῷ θαυμασίῳ Τιμοθέῳ, τούτους μὲν ἐπιστομίζειν, καὶ μὴ συγχωρεῖν αὐτοῖς παραφθείρειν τὸν τῆς διδασκαλίας κανόνα· τοῖς δέ γε ἄλλοις παρακελεύεσθαι, τῇ τούτων μὴ προσέχειν ἀδολεσχίᾳ. Μύθους δὲ οὐ τὴν τοῦ νόμου διδασκαλίαν ἐκάλεσεν, ἀλλὰ τὴν Ἰουδαϊκὴν ἑρμηνείαν, τὴν ὑπ' αὐτῶν καλουμένην δευτέρωσιν· καὶ διδάσκει, ὡς αἱ μὲν περιτταὶ ζητήσεις ἀνόνητοι, ἡ δὲ πίστις φωτίζει τὸν νοῦν, καὶ ἐπιδείκνυσι τὰς θείας οἰκονομίας. » Θεοδώρητος.

(2) « Ἀγάπην ἀπαιτεῖ τὴν εἰλικρινῆ, τὴν οὐ μέχρι ῥημάτων, ἀλλὰ τὴν ἀπὸ καρδίας, καὶ ταύτης καθαρᾶς, καὶ μὴ τὴν ὑποκρίσει συνεσκιασμένην, ἀλλὰ τὴν ἐκ διαθέσεως καὶ τοῦ συναλγεῖν συνισταμένην. » Θεοφύλακτος.

τῶ ἀγάπην, ἥτις καὶ ἐν ὑποκρίσει δύναται εἶναι, ἀλλὰ τὴν ἀπὸ καρδίας, καὶ ταύτης καθαρᾶς, τὴν ἀπὸ συνειδήσεως ἀγαθῆς, ἀλλ' οὐκ ἀπὸ φαύλης, καὶ τὴν ἐκ πίστεως ἀνυποκρύτου. Ὁ γὰρ πιστεύων εἰλικρινῶς εἰς θεὸν, οὐκ ἀνέχεταί ποτε τῆς ἀληθοῦς ἀγάπης ἐκστῆναι. *Ὧν.*] Τῶν εἰρημένων, ἤτοι, τῆς καθαρᾶς καρδίας, τῆς ἀγαθῆς συνειδήσεως, καὶ τῆς ἀνυποκρίτου πίςεως. *Ἀστοχήσαντες.*] Τὸ, *ἀστοχεῖν*, ἐπὶ τῶν τοξευόντων ἀτέχνως λέγεται. Καὶ ἐνταῦθα οὖν, φησι, τέχνης δεῖται, ὥστε κατ' εὐθεῖαν βάλλειν, καὶ μὴ ἔξω τοῦ σκοποῦ τῆς ἀληθείας πεσεῖν. Ἀλλά τινες ἠστόχησαν τῆς τε ἀγάπης καὶ τῆς πίστεως, καὶ διὰ τοῦτο *ἐξετράπησαν εἰς ματαιολογίαν*. Ὃ δὲ εἶπεν ἄνω, *ζητήσεις*, καὶ, *γενεαλογίας*, νῦν λέγει, *ματαιολογίαν*. *Θέλοντες εἶναι νομοδιδάσκαλοι.*] Ἄλλη πρόφασις ἀστοχίας. Οὐ γὰρ μόνον, φησὶ, τὸ μισάλληλον, ἀλλὰ καὶ τὸ φίλαρχον εἰς τοῦτο ἄγει· ὅπερ καὶ αὐτὸ ἐκ τοῦ μίσους ἐγείρεται καὶ τοῦ φθόνου. *Μὴ νοοῦντες μήτε ἃ λέγουσι.*] Δεῖξαι θέλει, ὅτι ὄντως ἀπὸ φιλαρχίας ἦλθον εἰς τὸ θέλειν εἶναι διδάσκαλοι. Οὔτε γὰρ τὸν νόμον ἴσασιν, οὔτε περὶ ὧν διαβεβαιοῦνται. Εἰ γὰρ ᾔδεισαν τὸν νόμον, Χριστῷ ἂν ἐπίστευον, ὃ καὶ ἀλλαχοῦ φησι· Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι· τὸν νόμον οὐκ ἀκούετε (α); Εἰ γὰρ ᾔδεισαν τὸν νόμον, ἠπίσταντο ἂν, ὅτι Χριστῷ παραπέμπει.

8 Οἴδαμεν δὲ, ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νο-
9 μίμως χρῆται, εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ
κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ
ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλῴαις
10 καὶ μητραλῴαις, ἀνδροφόνοις, πόρνοις, ἀρσενοκοί-
ταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ
τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται,
11 κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου θεοῦ,
ὃ ἐπιστεύθην ἐγώ·

Ὅ*τι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται.*] Ὡς εἴγε

(α) Γαλατ. Δ΄, 21.

μὴ ᾖ τοῦτο, οὐ καλός. Τίς δὲ ὁ νομίμως αὐτῷ χρώμενος; Ὁ δι' αὐτοῦ εἰς τὴν πίστιν παραπεμπόμενος. Μὴ ἰσχύων γὰρ ὁ νόμος ποδηγῆσαι, ἤτοι δικαιῶσαι, ἐπὶ τὸν δικαιοῦν δυνάμενον παραπέμπει Χριστόν. Καὶ τοῦτο σκοπὸς αὐτῷ. Ἢ, *Ἐάν τις αὐτῷ νομίμως χρῆται*, τουτέστιν, Ἐάν τις μὴ μόνον ἐξηγῆται αὐτὸν διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ τῶν ἔργων τελειοῖ· ὁ γὰρ πληρῶν, οὐχ ὁ ἐξηγούμενος, νομίμως αὐτῷ χρῆται. *Εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται.*] Καὶ ἐκεῖνός, φησι, νομίμως αὐτῷ κέχρηται, ὁ εἰδὼς, ὅτι οὐ χρήζει αὐτοῦ πρὸς τὸ ὀρθῶς βιοῦν. Τίς δὲ οὗτος; Ὁ δι' ἀρετὴν ὀρθῶς βιῶν, καὶ οὐ διὰ τὸν φόβον τοῦ νόμου. *Ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις.*] Τοῦτο καὶ ἀλλαχοῦ φησιν· Ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη (α). Ὥστε τοῖς δικαίοις, ἅτε μὴ πρὸς παραβάσεις ῥέπουσιν, οὐκ ἔστιν ἀναγκαῖος ὁ νόμος, ἀλλ' ἐκείνοις τοῖς μὴ ἀφ' ἑαυτῶν τὴν ἀρετὴν μετιοῦσιν, ἀλλὰ δεομένοις τῆς ἀπειλῆς τοῦ νόμου. Καὶ λοιπὸν καταλέγει τοὺς ὄντας τοιούτους, τοὺς Ἰουδαίους αἰνιττόμενος. *Ἀσεβέσι καὶ ἁμαρτωλοῖς*, καὶ ἑξῆς.] Οἱ γὰρ συνεχῶς εἰδώλοις προσκυνοῦντες, οἱ τὰ τέκνα τοῖς δαίμοσι θύοντες (β), οἱ τὸν Μωσέα λιθάζοντες (γ), καὶ φόνοις ἐμφυλίοις μολυνόμενοι Ἰουδαῖοι, ταῦτα πάντα οὐκ ἂν εἶεν; Διὰ τοῦτο τοίνυν ἐδόθη αὐτοῖς ὁ νόμος, ἵνα τὰς κακίας ταύτας ἀναστείλῃ. *Καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται.*] Καίτοι καὶ τὰ εἰρημένα ἱκανὰ ἦν, ἀλλ' ὅμως καὶ κατὰ περίληψιν εἶπε καθολικῶς, *καὶ εἴ τι ἕτερον*. Δείκνυται δὲ ἐντεῦθεν, ὅτι ταῦτα πάντα, πάθη ψυχῆς ἐστι διεφθαρμένης· ἡ δὲ τοιαύτη ψυχὴ τῇ ὑγιεῖ καὶ καλῶς ἐχούσῃ διδασκαλίᾳ ἀντιπράττει. *Κατὰ τὸ εὐαγγέλιον τῆς δόξης.*] Ποίᾳ ὑγιαινούσῃ διδασκαλίᾳ; Τῇ οὔσῃ κατὰ εὐαγγέλιον τοῦ θεοῦ. *Εὐαγγέλιον* δὲ *δόξης* αὐτὸ καλεῖ, ὅτι δι' αὐτοῦ μάλιστα δοξάζεται ὁ Χριστὸς, σταυρὸν ἑλόμενος. Ἢ, *Εὐαγγέλιον δόξης*, τὸ κήρυγμα κέκληκεν· ἐπειδὴ τὴν

(α) Γαλατ. Γ', 19. (β) Ψαλμ. ΡΕ', 37. (γ) Ἀριθ. ΙΔ', 10.

μέλλουσαν δόξαν ἐπαγγέλεται ταῖς πιστεύουσιν (1). *Ὃ ἐπιστεύθην ἐγώ.*] Εἰκὸς γὰρ ἦν ἔχειν τοὺς ψευδαποστόλους πεπλασμένα εὐαγγέλια. Διὰ τοῦτο λέγει, *Ὃ ἐπιστεύθην ἐγὼ*, οὐχ οἱ ψευδαπόστολοι· τὸ γὰρ τούτων εὐαγγέλιον, αἰσχύνης ἐστὶν, οὐ δόξης.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ἑαυτοῦ ἐκλογῆς εἰς εὐαγγελιστὴν ἐκ διώκτου κατὰ χάριν θεοῦ.

12 Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰη-
σοῦ, τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέ-
13 μενος εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον
καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνο-
14 ῶν ἐποίησα ἐν ἀπιστίᾳ· ὑπερεπλεόνασε δὲ ἡ χάρις
τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν
Χριστῷ Ἰησοῦ.

Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ.] Ἐπειδὴ εἶπεν, *ὃ ἐπιστεύθην ἐγὼ*, ἵνα μὴ δόξῃ κομπάζειν, ἐπὶ τὸν θεὸν τὸ πᾶν ἀνάγει, καί φησιν· Ὅτι καὶ χάριν ἔχω τῷ ταύτην μοι τὴν δύναμιν δεδωκότι, εἰς τὸ ὅλως πιςευθῆναι τὸ εὐαγγέλιον. Φορτίον γὰρ ὑπεισῆλθον μέγα, φησὶ, καὶ πολλῆς δεόμενον τῆς παρὰ θεοῦ ἰσχύος. *Ὅτι πιστόν με ἡγήσατο.*] Εἶτα, ἵνα μή τις τῶν ἀπίςων εἴπῃ, ὅτι, Εἰ τὸ πᾶν τοῦ θεοῦ ἐςι, καὶ οὐδὲν παρ' ἡμῶν εἰσφέρεται, τί δήποτε Παῦλον μὲν τοιοῦτον εἰργάσατο, τὸν δὲ Ἰούδαν οὐκέτι; ταύτην ἀναιρῶν τὴν ἀντίθεσιν, δείκνυσιν, ὅτι δεῖ καὶ παρ' ἡμῶν

(1) « Δόξης δὲ αὐτὸ καλεῖ, διὰ τοὺς αἰσχυνομένους ἐπὶ τοῖς διωγμοῖς, καὶ ἐπὶ τῷ πάθει τοῦ Χριστοῦ, δεικνύων, ὅτι δόξα ἐστὶ καὶ τὸ πάθος τοῦ Χριστοῦ, καὶ οἱ διωγμοί· ἢ καὶ διότι προξενεῖ τὴν μέλλουσαν δόξαν. Εἰ γὰρ καὶ τὰ παρόντα, φησίν, αἰσχύνην ἔχει, ἀλλὰ καὶ τὰ μέλλοντα δόξαν· καὶ ταύτην εὐαγγελίζεται ἡμῖν τὸ εὐαγγέλιον· πᾶν γὰρ εὐαγγέλιον, μελλόντων ἐστὶν, οὐ παρόντων. » Θεοφύλακτος.

εἰσενεχθῆναί τινα· οὐ γὰρ ἀκρίτως ὁ θεὸς ἐπιλέγεταί τινας· ἢ γὰρ ἂν ἦν ἀδικία τὸ πρᾶγμα· καί φησιν, ὅτι *πιστόν με ἡγήσατο*· τὸν δὲ μὴ ὄντα πίστεως ἄξιον, πῶς ἂν πιστὸν ἡγήσατο ὁ θεός; *Πιστὸς* δὲ, ὁ μηδὲν τῶν τοῦ θεοῦ σφετεριζόμενος, ἀλλὰ καὶ τὰ ἑαυτοῦ τῷ θεῷ ἀνατιθείς. *Θέμενος εἰς διακονίαν.*] Τουτέστι, τοῦ εὐαγγελίου· *διάκονον* δὲ λέγει ἑαυτὸν διὰ τὸ κηρύσσειν. Οὐ λέγω, φησὶν, ὅτι ἤμην πιστὸς, ἀλλ' ἐκεῖνος με ἡγήσατο τοιοῦτον· ἀπόδειξις δὲ τοῦ ἡγήσασθαί με πιστὸν, τὸ τὴν διακονίαν μοι πιστευθῆναι τοῦ εὐαγγελίου. Πῶς γὰρ ἂν ἔθετό με εἰς διακονίαν, εἰ μὴ ἐπιτηδειότητα εἶδεν ἐν ἐμοί; Ἐκεῖνος γὰρ εἶπεν· Ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν (α). *Τὸν πρότερον ὄντα βλάσφημον.*] Ὅρα, πῶς αὔξει τὸν ἔλεον τοῦ θεοῦ, τοῦ προτέρου μεμνημένος βίου, καὶ δεικνὺς, τίνα ἐλεῆσαι εἵλετο. *Καὶ διώκτην, καὶ ὑβριστήν.*] Ὡς εἰ ἔλεγεν· Οὐ μόνον αὐτὸς ἐβλασφήμουν, οὐδὲ μέχρις ἐμαυτοῦ ἵστων τὴν κακίαν· ἀλλὰ καὶ τοὺς βουλομένους εὐσεβεῖν διώκων, βλασφημεῖν ἠνάγκαζον, ὑβριστικώτερον ἀποκεχρημένος τῷ πράγματι (1). *Ἀλλ' ἠλεήθην.*] Δείκνυσιν ἑαυτὸν τιμωρίας ἄξιον· ὁ γὰρ ἔλεος ἐπὶ τοὺς τοιούτους γίνεται. *Ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ.*] Εἰ, ἐπειδὴ ἀγνοῶν ἐποίησεν, ἠλεήθη, τί δή ποτε καὶ οἱ λοιποὶ Ἰουδαῖοι οὐκ ἠλεήθησαν; Καὶ φαμὲν, πρῶτον μὲν, ὅτι οὐκ ἐβούλοντο· οἱ γὰρ προσελθόντες τῷ Χριστῷ, ἠλεήθησαν. Δεύτερον δὲ, ὅτι ὁ μὲν Παῦλος ἐξ ἀγνοίας ἐδίωκεν, ἐκεῖνοι δὲ οὐκ ἐξ ἀγνοίας, ἀλλὰ καὶ εἰδότες καὶ σφόδρα ἐπιστάμενοι ἔπραττον ἅπερ ἔπραττον. Καὶ ἵνα μάθῃς ἀκριβῶς, ἄκουε τοῦ εὐαγγελιστοῦ λέγοντος, ὅτι Πολλοὶ ἐκ τῶν Φαρισσαίων καὶ Ἰουδαίων ἐπίστευον μὲν, οὐχ ὡμολόγουν δέ· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ θεοῦ (α). Καὶ πάλιν πρὸς αὐτοὺς ὁ Χριστός· Πῶς δύνασθε πιστεύειν, δόξαν παρ

(α) Πραξ. Θ', 15. (1) Πραξ. ΚΒ', 4. 19.
(α) Ἰωάν. ΙΒ', 42, 43.

ἀλλήλων λαμβάνοντες (α); Καὶ πάλιν· Ταῦτα εἶπον, φησὶν, οἱ γονεῖς τοῦ τυφλοῦ διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ καὶ αὐτοὶ ἀποσυνάγωγοι γένωνται (β). Καὶ αὐτοὶ δὲ οἱ Ἰουδαῖοι ἔλεγον· Ὁρᾶτε, ὅτι οὐδὲν ὠφελοῦμεν· ἴδε, πᾶς ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν (γ). Εἶδες αὐτοὺς ἐν εἰδήσει πταίοντας, φιλαρχίας ἕνεκεν; Τότε δὲ ὁ Παῦλος ἴσως παρὰ τοὺς πόδας ἦν Γαμαλιήλου (1), μὴ ἐπικοινωνῶν τῷ ὄχλῳ. Πῶς οὖν μετὰ ταῦτα ὁ Παῦλος ἐφυλάκιζεν; Ὅτι, ὁρῶν τὴν τοῦ Χριστοῦ πίστιν αὐξανομένην, ἐζηλοτύπει, ζῆλον Θεοῦ ἔχων ὑπὲρ τοῦ νόμου· εἰ καὶ μὴ κατ' ἐπίγνωσιν. Πῶς δὲ ἀκριβὴς ὢν τὰ νομικὰ, οὐκ ἔγνω ὁ Παῦλος διὰ τῶν Γραφῶν τὸν Χριστόν; Ἐκ τοῦ νόμου, τὰ περὶ τὸν Χριστὸν ἂν ἐγνώκει· ἐπεὶ οὖν εὐθέως μὴ ἐπίστευσε τῷ Χριστῷ, διὰ τοῦτο καταγινώσκει ἑαυτὸν, ὅτι ἄγνοιαν ἐνόσησεν, ἐξ ἀπιστίας τεχθεῖσαν· διὰ τοῦτο καὶ ἐλεηθῆναί φησιν. *Ὑπερεπλεόνασε δὲ ἡ χάρις.*] Οὐ μόνον, φησὶν, ἄξιον ὄντα τιμωρίας, εἴασεν ἀτιμώρητον, ἀλλὰ καὶ ἐδικαίωσε, καὶ υἱὸν, καὶ φίλον, καὶ κληρονόμον, καὶ συγκληρονόμον ἐποίησε. Τοσοῦτον ἐπλεόνασεν ἡ χάρις τῆς φιλανθρωπίας αὐτοῦ! *Μετὰ πίστεως καὶ ἀγάπης.*] Ἵνα δὲ μή τις εἴποι, ὅτι, ἐπειδὴ πανταχοῦ ἡ χάρις, ἀνῄρηται τὸ λοιπὸν ἡ ἡμετέρα προαίρεσίς, φησιν· Ὑπερεπλεόνασε δὲ ἡ χάρις μετὰ τῆς ἐμῆς πίστεως καὶ ἀγάπης. Πίστιν γὰρ, φησὶν, εἰσήνεγκα ἐγὼ, πιστεύσας, ὅτι δύναταί με σῶσαι· καὶ ἀγάπην, τὴν καὶ αὐτὴν διὰ Χριστοῦ μοι ὑπαρχθεῖσαν· τῆς γὰρ πρὸς Θεὸν ἀγάπης πρόξενός μοι ὁ Χριστὸς, οὐχ ὁ νόμος. *Πίστεως* δὲ εἶπε *καὶ ἀγάπης*· ὅτι ἔνι μὲν πιστεῦσαι, μὴ πράττειν δὲ τὰ τῶν ἀγαπώντων τὸν Χριστόν. Δείκνυσι δὲ, ὅτι ἐπάναγκες μετὰ πίστεως καὶ ἀγάπην συνεισενεγκεῖν· ἐξ ἀγάπης γὰρ ἡ τῶν ἐντολῶν κατόρθωσις, ὡς ὁ Κύριος εἶπεν· Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε (δ).

(α) Ἰωάν. Ε΄, 44. (β) Ἰωάν. Θ΄, 22. (γ) Ἰωάν. ΙΒ΄, 19.
(1) Πραξ. ΚΒ΄, 3. (δ) Ἰωάν. ΙΔ΄, 15.

15 Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι
Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς
16 σῶσαι, ὧν πρῶτος εἰμί ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεή-
θην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χρι-
στὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν
τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον·
17 τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μό-
νῳ σοφῷ θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

Πιστὸς ὁ λόγος.] Τουτέστιν, ἀψευδὴς καὶ ἀληθής. *Καὶ πάσης ἀποδοχῆς ἄξιος.*] Τουτέστιν, ἀξιάγαστος, καὶ πάσης εὐφημίας ἄξιος. Ποῖος δὲ λόγος; Ὁ ῥηθησόμενος. *Ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι.*] Ἐπειδὴ εἶπεν, ὅτι διώκτην ὄντα αὐτὸν ἠλέησε, Μὴ θαυμάσῃς, φησί, μηδὲ ἀπιστήσῃς ἐπὶ τῷ μεγέθει τῆς δωρεᾶς· καὶ γὰρ ἐπ' αὐτῷ τούτῳ εἰς τὸν κόσμον ἦλθεν, ἵνα καὶ πάντας τοὺς ἁμαρτωλοὺς σώσῃ. Ὅτι δὲ ἁμαρτωλῶν χάριν ὁ μονογενὴς ἐνηνθρώπησε, καὶ αὐτὸς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἐδίδαξεν. Οὐκ ἦλθον γάρ, φησι, καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν (α). *Ὧν πρῶτος εἰμὶ ἐγώ.*] Καίτοι ἀλλαχοῦ λέγει· Κατὰ τὴν δικαιοσύνην, τὴν ἐν νόμῳ, γενόμενος ἄμεμπτος (β)· πῶς οὖν ὧδε ἁμαρτωλὸν, καὶ πρῶτον τῶν ἁμαρτωλῶν, λέγει ἑαυτόν; Καὶ φαμὲν, ὅτι ἡ ἐκ νόμου δικαιοσύνη, πρὸς τὴν ἐκ πίστεως παραβαλλομένη, οὐ μόνον οὐκ ἔστι δικαιοσύνη, ἀλλὰ καὶ πρώτη ἁμαρτία. Πάντες γὰρ ἥμαρτόν, φησι, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ (γ). Ταύτῃ δὲ τῇ συγκρίσει καὶ ἀλλαχοῦ κέχρηται, ἔνθα φησί· Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης (δ). *Ἀλλὰ διὰ τοῦτο ἠλεήθην.*] Ὅρα, τί ταπεινὸν εἶπε! Διὰ τοῦτό, φησιν, ἠλεήθην, ἵνα μηδεὶς λοιπὸν ἀπαγορεύῃ τῶν ἡμαρτηκότων, ἀλλ' εὔελπις ᾖ.

(α) Λουκ. Ε', 32. (β) Φιλιπ. Γ', 6.
(γ) Ῥωμ. Γ', 23. (δ) Β' Κορ. Γ', 10.

Ἐμοῦ γὰρ σωθέντος, τοῦ πάντων ἁμαρτωλοτέρου, οὐ δεῖ λοιπὸν ἀμφιβάλλειν περὶ σωτηρίας. Δεῖξαι δὲ θέλει διὰ τούτου, ὅτι οὐ σέσωσται, ὡς ἄξιος σωτηρίας, ἀλλὰ διὰ τὸ τοὺς ἄλλους μὴ ἀπελπίσαι τῆς σφῶν σωτηρίας. *Τὴν πᾶσαν μακροθυμίαν.*] Ὢ τῆς Παύλου ταπεινώσεως! Οὐκ εἶπεν· Ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν μακροθυμίαν· ἀλλά, *τὴν πᾶσαν μακροθυμίαν*· ὡς ἂν εἰ τοῦτο λέγων· Εἰς πᾶν εἶδος ἐλθὼν κακίας, τῆς πάσης ἐδεόμην μακροθυμίας, οὐ μέρους αὐτῆς, ὥσπερ οἱ ἐν μέρει ἡμαρτηκότες. *Πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ.*] Πρὸς ὑπόδειγμα, πρὸς ἀπόδειξιν, πρὸς παράκλησιν, πρὸς προτροπὴν πάντων τῶν μελλόντων πιστεύειν. *Εἰς ζωὴν αἰώνιον.*] Ἐπὶ γὰρ τῷ σχήσειν ζωὴν αἰώνιον, ἡ εἰς Χριστὸν γίνεται πίστις (1). *Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, καὶ ἑξῆς.*] Ταῦτα περὶ τῆς ἁγίας δέξαι Τριάδος· κοιναὶ γὰρ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος αἱ τοιαῦται προσηγορίαι. Ἔνι γὰρ ἀλλαχοῦ περὶ τοῦ υἱοῦ ταῦτα εὑρεῖν, ἀλλαχοῦ περὶ τοῦ ἁγίου πνεύματος, νῦν δὲ περὶ τοῦ πατρός. Περὶ γὰρ τῆς τοῦ Χριστοῦ ἀγάπης φιλοσοφήσας, μέμνηται καὶ τοῦ πατρός, καὶ δοξολογίαν ἀναπέμπει αὐτῷ, ἵνα μήτις νομίσῃ ἄμοιρον τῆς εἰς ἡμᾶς ἀγάπης εἶναι τὸν πατέρα· ὑπὲρ γὰρ τῆς εἰς ἡμᾶς ἀγάπης, τὴν ἁγίαν Τριάδα δοξάζεσθαι πρέπει, κοινῆς οὔσης τῆς ἀγάπης (2).

---

(1) Εἰς ὅλον τὸν στίχον ΙϚ'· «Καθάπερ ἰατρὸς ἐν οἰκίᾳ μιᾷ πολλῶν κατὰ ταὐτὸν ἀῤῥωστούντων, καὶ πάντων ἀπαγορευσάντων τὴν ὑγείαν, ἕνα λαβὼν, χαλεπώτατα διακείμενον, καὶ τούτῳ προσενεγκὼν τὰ ἀλεξίκακα φάρμακα, καὶ εἰς τὴν ἄκραν αὐτὸν μεταγαγὼν ὑγείαν, πᾶσι τοῖς ἄλλοις ἐντίθησι θάῤῥος· οὕτως ὁ δεσπότης Χριστὸς, ὁ τῶν ψυχῶν ἰατρὸς, τῆς τῶν ἁμαρτωλῶν ἕνεκα σωτηρίας ἐνανθρωπήσας, ἐμὲ, τὸν πάντων παρανομώτατον εἰς μέσον ἀγαγὼν, οὐ μόνον τῶν προτέρων ἠλευθέρωσε κηλίδων, ἀλλὰ καὶ μεγίσταις ἐπέκλυσε δωρεαῖς· δι' ἐμοῦ πᾶσιν ἀνθρώποις τὴν ἀμέτρητον μακροθυμίαν δεικνὺς, ἵνα μηδεὶς τῶν μεγάλα παρανενομηκότων, εἰς ἐμὲ ἀποβλέπων ἀπαγορεύσῃ τὴν σωτηρίαν.» Θεοδώρητος.

(2) «Ἐπειδὴ τὸν δεσπότην Χριστὸν ἐκείνων ἔδειξε τῶν ἀγαθῶν χορηγὸν, διδάξαι βουλόμενος, ὡς τοῦ θεοῦ καὶ πατρὸς εὐδοκοῦντος, καὶ τοῦ θείου πνεύματος συνεργοῦντος, ἐκεῖνα γεγένηται, ἀπὸ τοῦ ἑνὸς προσώπου ἐπὶ τὸ κοινὸν μετέβη τῆς φύσεως, καὶ τὸν ὕμνον τῇ Τριάδι προσήνεγκε· καὶ τὰ πρόσωπα σιγήσας, τὴν θείαν φύσιν ἀνύμνησεν. Ὅτι γὰρ οὐ μόνον τῷ θεῷ καὶ πατρὶ, ἀλλὰ καὶ τῷ υἱῷ,

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Παραγγελία περὶ πιστῆς καὶ εὐσυνειδήτου διακονίας, ἧς ἄνευ κίνδυνος.

18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον
Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας,
ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν,
19 ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπω-
20 σάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν· ὧν ἐστιν
Ὑμέναιος καὶ Ἀλέξανδρος· οὓς παρέδωκα τῷ σα-
τανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε.] Ἐπειδὴ *παραγγελίαν* ἔφησεν· ἡ δὲ παραγγελία δεσποτικώτερον γίνεται, ἐπήγαγε, *τέκνον* Τιμόθεε. Ὡς τέκνῳ, φησὶ, παραγγέλλω, οὐ κατά τινα ἐξουσίαν, δεσπόταις πρέπουσαν. Εἶπε δὲ καὶ τὸ, *παρατίθεμαι*, ἵνα δηλώσῃ τῆς φυλακῆς τὸ ἀκριβὲς, καὶ ὅτι οὐχ ἡμέτερα, ἃ ἔχομεν, ἀλλὰ τοῦ θεοῦ. Ἅπερ οὖν ἔδωκε, ταῦτα ὀφείλομεν φυλάττειν. *Κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας.*] Μεθ' ὑπερβατοῦ κεῖται· ἡ γὰρ σύνταξις αὕτη· *Ἵνα στρατεύῃ κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας*· τουτέστιν, Ἵνα στρατεύῃ ἀξίως τῶν ἐπὶ σὲ προφητειῶν. Κατὰ γὰρ πνεύματος ἀποκάλυψιν, καὶ ᾑρέθη παρὰ τοῦ Παύλου εἰς μαθητὴν, καὶ περιετμήθη, καὶ ἐπίσκοπος ἐχειροτονήθη. *Ἵνα στρατεύῃ.*] Ὡς Χριστοῦ στρατιώτης μετὰ τῶν πνευματικῶν ὅλων τοῖς νοητοῖς ἐχθροῖς πολεμῶν. *Ἐν αὐταῖς.*] Ταῖς προφητείαις, φησίν· ἐκεῖναι γὰρ εἵλοντό σε. Δι' ἃς οὖν ᾑρέθης,

---

καὶ τῷ ἁγίῳ πνεύματι τὰ εἰρημένα προσήκει, καταμαθεῖν εὐπετές. Βασιλεὺς γὰρ τῶν αἰώνων οὐ μόνος ὁ πατὴρ, ἀλλὰ καὶ ὁ μονογενὴς υἱός· τῶν γὰρ αἰώνων ἐστὶ ποιητὴς (Ἑβρ, Α', 2.). Καὶ μέντοι καὶ τὸ πανάγιον πνεῦμα· αἰώνιον γὰρ καὶ αὐτὸ προσηγόρευσεν ὁ θεῖος ἀπόστολος· Ὃς διὰ πνεύματος γὰρ, φησιν, αἰωνίου (Ἑβρ. Θ', 14). Καὶ τὸ ἄφθαρτόν τε καὶ ἀόρατον, καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἴδια. Τούτων δὲ οὕτω δεδηλωμένων, καὶ τὸ Θεὸς ὄνομα, τῆς Τριάδος μόνης ἀληθῶς ὄνομα· οὐδεὶς γὰρ παρὰ ταύτην φύσει θεός. » Θεοδώρητος.

καὶ ἐξ ὧν ἐπελέγης, *ἐν αὐταῖς* καὶ δι' αὐτῶν στρατεύου, τουτέστι, διὰ τοῦ αὐτοῦ πνεύματος, δι' οὗ καὶ αἱ προφητεῖαι (1). *Τὴν καλὴν στρατείαν.*] Ἔνι γὰρ καὶ κακὴ στρατεία, ὅταν τις παριστᾷ τὰ μέλη, ὅπλα τῇ ἁμαρτίᾳ καὶ τῇ ἀκαθαρσίᾳ, περὶ ἧς φησι· Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ καὶ τῇ ἀκαθαρσίᾳ (α). Στρατείας δὲ ἐμνήσθη, ἵνα δηλώσῃ, ὅτι καὶ πᾶσι μὲν πόλεμος σφοδρὸς, μάλιστα δὲ τῷ διδασκάλῳ. Ὥστε νήφειν δεῖ, καὶ μηδὲν χαῦνον ἐνδείκνυσθαι. *Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν.*] Τὸν γὰρ διδάσκαλον χρὴ ἑαυτοῦ πρῶτον εἶναι διδάσκαλον, καὶ τὸν στρατηγὸν, στρατιώτην εἶναι δεῖ πρότερον ἀγαθόν. *Πίστιν* δέ φησι, τὴν περὶ τὰ δόγματα· *συνείδησιν* δὲ, τὴν περὶ τῆς πολιτείας. Τουτέστι, Δεῖ σε ἔχειν *πίστιν*, ὥστε τὸν λόγον ὀρθοτομεῖν, καὶ *ἀγαθὴν συνείδησιν*, τουτέστι, πολιτείαν ἀκατάγνωστον κεκτῆσθαι. *Ἥν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν.*] Ἥντινα, ἀγαθὴν συνείδησιν δηλονότι, τὴν περὶ τὸ ὀρθῶς βιοῦν. Εἰκότως· ὅταν γάρ τις ἀδοκίμως ζῇ, καὶ περὶ τὴν πίστιν ναυαγεῖ. Ἵνα γὰρ μὴ τῷ φόβῳ τῶν μελλόντων βασανίζωνται οἱ ἀκαθάρτως ζῶντες, σπουδάζουσι πείθειν τὴν ἑαυτῶν ψυχὴν, ὅτι ψευδῆ πάντα τὰ παρ' ἡμῖν, τά τε περὶ ἀναστάσεως καὶ κρίσεως. Λέγει δὲ

---

(1) Διαφέρει τῆς τοῦ Οἰκουμενίου ἑρμηνείας ἡ τοῦ Χρυσοστόμου καὶ ἡ κατ' αὐτὴν τοῦ Θεοφυλάκτου. Ἰδοὺ ἐκείνη· « Τὸ τῆς διδασκαλίας καὶ ἱερωσύνης ἀξίωμα, μέγα ὂν, τῆς τοῦ θεοῦ δεῖται ψήφου, ὥστε τὸν ἄξιον δέξασθαι. Διὸ τὸ παλαιὸν ἀπὸ προφητείας ἐγίνοντο οἱ ἱερεῖς, τουτέστιν, ἀπὸ πνεύματος ἁγίου· προφητεία γάρ ἐστιν οὐ τὸ τα μέλλοντα λέγειν, ἀλλὰ καὶ τὸ τὰ παρόντα. Προφητεία ἦν καὶ τὸ λέγειν· Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Παῦλον εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτοὺς (Πραξ. ΙΓ', 2.). Οὕτω καὶ ὁ Τιμόθεος ἡρέθη ἐπὶ τὴν ἱερωσύνην. Ἐπεὶ δὲ καὶ προφητείας λέγει πολλὰς, ἴσως καὶ ὅτε προσελήφθη εἰς μαθητὴν ἐξ ἀρχῆς, καὶ ὅτε περιετμήθη (Πραξ. ΙϚ', 1. 3.), καὶ ὅτε ἐχειροτονήθη, πάντα μετὰ προφητείας ἐγένοντο. Φησὶν οὖν, ὅτι παραγγέλλω σοι κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας· τουτέστιν, ἀφορῶν πρὸς ἐκείνας, καὶ οἱονεὶ παρ' ἐκείνων διδασκόμενος, τί δεῖ ποιεῖν σε, παραινῶ σοι, ἵνα ἀξίως ἐκείνων περιπατῇς, καὶ μὴ καταισχύνῃς αὐτάς. » Κατὰ ταῦτα καὶ ἡ ἑρμηνεία τοῦ ἑπομένου· « Τί παραγγέλλω σοι; Ἵνα στρατεύῃ ἐν αὐταῖς, τουτέστιν, ἵνα μὴ παρεξέλθῃς τοὺς νόμους αὐτῶν· ἀλλὰ καθώς σε εἵλοντο αὗται, καὶ εἰς ὃ εἵλοντο, ἵνα στρατεύῃ τὴν καλὴν στρατείαν. »

(α) Ῥωμ. Ϛ', 13.

καὶ τοὺς τότε περὶ τὴν πίστιν ναυαγήσαντας. *Ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος* (1). Εἶτα καὶ τὴν κατ᾽ αὐτῶν ἐξενεχθεῖσαν δείκνυσι ψῆφον. *Οὓς παρέδωκα τῷ σατανᾷ, ἵνα παιδευθῶσιν.*] Ὁ ἑαυτὸν μὴ παιδεύων σατανᾶς, πῶς τοῖς ἄλλοις γίνεται χρηστῆς παιδείας πρόξενος; Καὶ φαμὲν, ὅτι οὐχ ὡς ἀγαθῷ διδασκάλῳ παρέδωκε τούτους τῷ σατανᾷ, ἀλλ᾽ ὡς δημίῳ πικρῷ. Τούτου χάριν οὐκ εἶπεν, Ἵνα παιδεύσῃ, ἀλλ᾽, *Ἵνα παιδευθῶσιν*· οὐ γὰρ ἐκεῖνος τοῦτο ἐργάζεται, ἀλλὰ τοῦτο ἐκβαίνει ἐξ ἀποτελέσματος. Ὥσπερ γὰρ οἱ δήμιοι, μυρίων γέμοντες κακῶν, τοὺς ἄλλους σωφρονεῖν παιδεύουσιν, οὕτω καὶ ὁ σατανᾶς. Παράδοσις γὰρ ὅταν γένηται τῷ σατανᾷ, δι᾽ ἀφορισμοῦ τῆς κοινωνίας γίνεται. Λοιπὸν παραλαβὼν ὁ δαίμων, γυμνὸν τῆς τοῦ Θεοῦ βοηθείας τὸν ἄνθρωπον, παιδεύει· καὶ τοῦτο γίνεται αὐτῷ πρὸς σωφρονισμόν. Διὰ τί δὲ τῷ σατανᾷ παραδίδωσι, καὶ μὴ αὐτὸς παιδεύει; Ἵνα δείξῃ, ὅτι καὶ τῷ σατανᾷ ἐπιτάσσειν οἷός τέ ἐστι, καὶ ἐκ τούτου φοβερώτερος ᾖ, καὶ ἵνα μετὰ τῆς κολάσεως καὶ ὑβρίζωνται, τοῦ σατανᾶ τιμωρουμένου. Τοὺς μὲν γὰρ ἀπίστους, δι᾽ ἑαυτῶν ἐκόλαζον οἱ ἀπόστολοι, ὥσπερ τὸν μάγον Βαριησοῦν ὁ αὐτὸς Παῦλος (α), καὶ ὁ Πέτρος τὸν Ἀνανίαν (β), ἵνα δείξωσιν, ὅτι δύνανται· τοὺς δὲ τοῦτο μὲν μαθόντας, ἐκτραπέντας δὲ, τῷ σατανᾷ παρεδίδουν. *Μὴ βλασφημεῖν.*] Οὗτοι γὰρ λογισμοῖς ἀνθρωπίνοις τὴν πίστιν ὑποβάλλοντες, ἐξετράπησαν εἰς τὸ βλασφημεῖν, ὅπερ νῦν Νεστοριανοὶ πάσχουσι, καὶ αἱ λοιπαὶ αἱρέσεις (2).

---

(1) Β′ Τιμ. Β′, 17. 18. Δ′, 14.
(α) Πραξ. ΙΓ′, 6. 11. (β) Πραξ. Ε′, 3. 5. (2) « Τὸ τῆς βλασφημίας εἶδος οὐ πεποίηκε δῆλον· εἰδότι γὰρ ἔγραφε. » Θεοδώρητος.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Περὶ εὐχῆς, ὅτι ὑπὲρ πάντων, ὅτι πανταχοῦ, ἀκάκως, ἀταράχως, σεμνῶς.

ΚΕΦ. II, 1 Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι
δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ
2 πάντων ἀνθρώπων· ὑπὲρ βασιλέων, καὶ πάντων τῶν
ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διά-
3 γωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ
καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν
4 θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς
ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

Π*αρακαλῶ οὖν πρῶτον πάντων*.] Ἐν τῇ καθημερινῇ, φησι, λατρείᾳ, παρακαλῶ πρὸ πάντων *ποιεῖσθαι δεήσεις*, καὶ ἑξῆς.] *Δέησις* μέν ἐςιν, ἱκεσία ὑπὲρ ἀπαλλαγῆς λυπηρῶν προσφερομένη· *προσευχὴ* δὲ, αἴτησις ἀγαθῶν· *ἔντευξις* δὲ, κατηγορία τῶν ἀδικούντων· ἡ δέ γε *εὐχαριστία* ὑπὲρ τῶν προϋπηργμένων ἀγαθῶν προσφέρεται τῷ θεῷ. Δεῖ γὰρ εὐχαριστεῖν τῷ θεῷ καὶ ὑπὲρ τῶν εἰς ἄλλους γινομένων ἀγαθῶν· ὅτι τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους (α)· ὅτι πάντας ἐμπιπλᾷ τῶν ἑαυτοῦ ἀγαθῶν, καὶ τοὺς ἀπίστους, καὶ τοὺς βλασφήμους. *Ὑπὲρ πάντων ἀνθρώπων*.] Τὸν γὰρ ἐπίσκοπον, κοινὸν πατέρα ὄντα, χρὴ ὑπὲρ πάντων ἀνθρώπων εὔχεσθαι, πιστῶν, ἀπίστων, φίλων, ἐχθρῶν, ἐπηρεαζόντων, θλιβόντων. *Ὑπὲρ βασιλέων*.] Ἵνα μὴ κολακείας εἶναι τὸ πρᾶγμα ὑπολάβῃς, πρῶτον εἰπὼν, *ὑπὲρ πάντων ἀνθρώπων*, οὕτως ἐπήγαγεν, *ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ*. *Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν*.] Ἵνα μὴ ταράττηται ὁ χριστιανός, εἴγε κελεύεται ἐν τῷ τῶν μυστηρίων καιρῷ εὔχεσθαι ὑπὲρ βασιλέων, πολλάκις καὶ ἀπί-

(α) Ματθ. έ, 45.

στων ὄντων, δείκνυσιν ἡμῖν κέρδος ὂν τὴν ἐκείνων σωτηρίαν. Πῶς δὲ ἡμῶν κέρδος ἡ ἐκείνων σωτηρία; Πῶς; Ἂν γὰρ ἐκεῖνοι σώζωνται καὶ εὐδοκιμῶσιν ἐν τοῖς πρὸς ἐχθροὺς πολέμοις, ἡμεῖς ἐν ἡσυχίᾳ καὶ ἠρεμίᾳ διάξομεν, μηδενὸς ἡμᾶς ταράττοντος. Καὶ γὰρ ἦν ἄτοπον, αὐτοὺς μὲν ὑπὲρ τῆς κοινῆς σωτηρίας μοχθεῖν καὶ κινδυνεύειν, ἡμᾶς δὲ, μηδὲ τὸ κατὰ δύναμιν ἀμυντήριον, τὴν εὐχὴν λέγω, ὑπὲρ αὐτῶν συνεισφέρειν. Βούλεται οὖν ὑπὲρ βασιλέων εὔχεσθαι, ἵνα τε νικῶσι καὶ διαμένωσιν, εἰδὼς τὴν ἀπὸ τῶν βαρβάρων εἰρήνην πολὺ συντελοῦσαν εἰς τὴν ἐν ἡμῖν αὐτοῖς εἰρήνην. Εἰ γὰρ δεῖ σχολάσαι καὶ γνῶναι θεὸν, πάντως σχολῆς καὶ ἡσυχίας χρεία εἰς ἐπίγνωσιν τοῦ θεοῦ καὶ τῆς ἀγαθοεργίας αὐτοῦ. Πῶς δ' ἂν οἱ πολέμοις ἐνεχόμενοι βαρβαρικοῖς σχολάσαιεν; *Ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.*] Τοῦτο προσέθηκεν· ἐπειδὴ πολλοῖς ἡ ἀπὸ τῶν πολέμων ἠρεμία, τρυφῆς καὶ ὕβρεως ὑπόθεσις γίνεται, ἐξ ὧν καὶ δόγματα πονηρὰ τίκτεται. Ἵνα οὖν *διάγωμέν*, φησιν, οὐκ ἐν τρυφῇ καὶ ὕβρει, ἀλλ' *ἐν πάσῃ εὐσεβείᾳ· πάσῃ*, μὴ μόνον τῇ τῶν δογμάτων, ἀλλὰ καὶ τῇ τοῦ βίου· (ἔστι γὰρ καὶ διὰ τοῦ βίου ἀσέβεια, ὡς ὅταν λέγῃ· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται (α)·) ἢ καὶ, τῇ καθαρωτάτῃ καὶ πασῶν τῶν αἱρέσεων ἀπῳκισμένῃ. Ὡσαύτως καὶ *ἐν πάσῃ σεμνότητι*, μὴ μόνῃ τῇ ἀποχῇ τῆς ἀσελγείας, ἀλλὰ πάσῃ ἀρετῇ. Δεῖ οὖν ἡμᾶς εἰρηνεύοντας ἀπὸ τῶν ἔξω, εἰρηνεύειν καὶ κατὰ ψυχὴν, διάγοντας εν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· τότε γὰρ ὄντως ἔχοιμεν ἂν ἤρεμον καὶ ἡσύχιον βίον. Τρεῖς γὰρ εἰσὶ πόλεμοι· εἷς, ὁ ἐκ τῶν βαρβάρων ἐπιφερόμενος· εἷς, ὁ ἐκ τῶν ὁμοφύλων· τρίτος, ὁ καὶ πάντων χαλεπώτερος, ὃν ἡ ψυχὴ στασιάζει πρὸς τὸ σῶμα. Ὁ μὲν γὰρ ἐκ τῶν βαρβάρων, θάνατον ἢ δουλείαν ἐπιφέρει μόνον· τὸν δὲ ἐκ τῶν ὁμοφύλων, ἔστι καὶ δι ἐπιεικείας ἐκφυγεῖν· Ἀντὶ γὰρ

(α). Τιτ. Α', 16.

τοῦ ἀγαπᾷν με, φησὶν, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην (α)· καί· Μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤμην εἰρηνικός (β). Ὁ δὲ ἐν ἡμῖν αὐτοῖς, δυσκατόρθωτός ἐστι, καὶ τῇ ψυχῇ τὴν βλάβην ἐπιφέρει, καὶ τοῦτον διὰ πάντων τῶν ὅπλων τῆς δικαιοσύνης παύειν ὀφείλομεν. *Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον.*] Τοῦτο· ποῖον; Τὸ εὔχεσθαι ὑπὲρ πάντων ἀνθρώπων, καὶ Ἑλλήνων, καὶ αἱρετικῶν, ἵνα ἐπιστραφῶσιν. *Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι.*] Μιμοῦ, φησι, τὸν σκοπὸν τοῦ θεοῦ. Αὐτὸς γὰρ πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ σὺ ὑπὲρ πάντων εὔχου ἀνθρώπων. Εἰ τοίνυν, φήσειεν ἄν τις, αὐτὸς θέλει πάντας σωθῆναι, ὁ καὶ τοῦ σώζειν κύριος, τίς χρεία τῶν παρ' ἐμοῦ εὐχῶν; Ναί· αὐτούς τε γὰρ ἐκείνους εἰς ἀγάπην ἕλκεις, καὶ τὸ φιλόστοργον δεικνύεις. Εἰ οὖν θέλει, φήσεις, ὁ θεὸς, τί μὴ γίνεται ὃ θέλει; Οὐ γίνεται· διότι ἐκεῖνοι οὐ θέλουσιν· οὐδὲν γὰρ πρὸς ἀνάγκην ποιεῖ ὁ θεός. *Καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.*] Τουτέστι, τῆς εἰς αὐτὸν πίστεως· μόνη γὰρ αὕτη ἀλήθεια.

5 Εἷς γὰρ θεὸς, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων,
6 ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις·
7 εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος, (ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι), διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

Εἰπὼν, ὅτι *θέλει πάντας ἀνθρώπους σωθῆναι*, κατασκευάζει τοῦτο, καί φησιν, ὅτι διὰ τοῦτο καὶ τὸν υἱὸν αὐτοῦ πέπομφεν, ἵνα ἀποκαταλλάξῃ ἐκεῖνος αὐτὸν τοῖς ἀνθρώποις. *Εἷς θεός.*] Οὐ γὰρ ἄλλος τῶν πιστῶν, καὶ ἄλλος τῶν ἀπίστων ἐστὶ ποιητὴς, ἀλλ' εἷς ὑπάρχει δημιουργός. *Εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς.*] Ὅρα δὲ, ὅτι οὐκ εἶπε, δύο, ἀλλὰ, εἷς, καὶ, εἷς, ταύτῃ τὴν πολυθεΐαν φεύγων. Ἐπεὶ οὖν ἔδει τὸν μεσιτεύειν μέλλοντα,

(α) Ψαλμ. ΡΗ΄, 4. (β) Ψαλμ. ΡΙΘ΄, 6.

ἀμφοτέρων μετέχειν, ἵνα καὶ μεσιτεῦσαι δυνηθῇ, ὁ υἱὸς τοῦ θεοῦ, ὁ προαιώνιος λόγος, σαρκωθεὶς παραγέγονεν, ἐκ δύο φύσεων, οἷον ἐκ θεότητος καὶ ἀνθρωπότητος, ὑπάρχων, καὶ ἐν μιᾷ ὑποστάσει μετὰ τὴν ἕνωσιν νοούμενος καὶ προσκυνούμενος. Εἰ γὰρ γυμνῇ τῇ θεότητι ἐπεφάνη ἡμῖν ὁ μονογενὴς, οὐκ ἂν ἤνεγκεν ἡ κτίσις αὐτὸν, ὅπου γε οὐδὲ τὸ πρόσωπον Μωσέως ἰδεῖν ἴσχυον οἱ υἱοὶ Ἰσραὴλ (α). Τὸ δὲ, *εἷς θεὸς*, οὐ πρὸς ἀντιδιαστολὴν κεῖται τοῦ υἱοῦ ἢ τοῦ πνεύματος, ἄπαγε! ἀλλὰ πρὸς τοὺς οὐκ ὄντας μὲν, λεγομένους δὲ θεούς. Ζητεῖται δὲ, διὰ τί τοῦ Πνεύματος οὐκ ἐμνήσθη; Ἐπειδὴ περὶ Ἑλλήνων ὁ λόγος ἦν· περὶ αὐτῶν γὰρ τὸ, *Καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν*· παρ' αὐτοῖς δὲ πολυθεΐα ἦν, καὶ ἐφυλάξατο οἰκονομικῶς τοῦ πνεύματος μνησθῆναι, μήπως δόξῃ πολυθεΐαν εἰσάγειν. Ἐπεὶ ἔνθα πιστοῖς διαλέγεται, συνεχῶς αὐτοῦ μέμνηται, πολλάκις καὶ μόνου, μὴ φέρων μνήμην πατρὸς καὶ υἱοῦ (1). *Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων.*] Καὶ Ἑλλήνων. Ἐκεῖνος μὲν οὖν ἀπέθανεν ὑπὲρ πάντων· σὺ δὲ εὔξασθαι οὐκ ἀνέχῃ; Ὅρα δὲ τὸ, *δοὺς ἑαυτὸν*· κατὰ Ἀρειανῶν γὰρ τοῦτο, τῶν λεγόντων, ὅτι ἄκων παρεδόθη. Τί δέ ἐστιν *ἀντίλυτρον*; Ἔνοχος ἦν ἡ φύσις, ὥστε ἀπολέσθαι· ἀλλ' ἀντ' ἐκείνης ἑαυτὸν ἔδωκε. *Τὸ μαρτύριον.*] Τουτέστι, διὰ τοῦ μαρτυρίου ἐγένετο ὁ υἱὸς ἀντίλυτρον· ἢ ἑρμηνεύων τοῦτό, φησι νῦν, ὅτι ἀντίλυτρον τὸ μαρτύριον λέγω, τουτέστι, τὸ πάθος.

(α) Ἐξόδ. ΛΔ', 33-35. Β' Κορ. Γ', 7. 13.

(1) «Εἷς τῆς εἰρήνης ὁ πρύτανις, ὁ ἐν ἑαυτῷ τὰ διεστῶτα συνάψας. Ἄνθρωπον δὲ τὸν Χριστὸν ὠνόμασεν, ἐπειδὴ μεσίτην ἐκάλεσεν· ἐνανθρωπήσας γὰρ ἐμεσίτευσε. Καὶ καθάπερ ὁ δύο τινὰς πρὸς ἀλλήλους ζυγομαχοῦντας καταλλάξαι βουλόμενος, μέσος γινόμενος, καὶ τοῦτον μὲν, τῇ δεξιᾷ χειρὶ, τοῦτον δὲ, τῇ εὐωνύμῳ κατέχων, εἰς φιλίαν συνάπτει· οὕτως αὐτὸς, τῇ θείᾳ φύσει τὴν ἀνθρωπείαν ἑνώσας, ἀκήρατον καὶ ἀδιάλυτον εἰρήνην ἐπραγματεύσατο. Εἰ δὲ, κατὰ Ἄρειον καὶ Εὐνόμιον, οὐ μετέχει τῆς τοῦ πατρὸς οὐσίας, πῶς μεσίτης ἐστίν; Ἡμῖν μὲν γὰρ ἥνωται, ἐπειδήπερ ἡμῖν ἐστι κατὰ τὸ ἀνθρώπινον ὁμοούσιος· τῷ δὲ πατρὶ οὐκέτι, εἴπερ, κατ' ἐκείνους, τῆς φύσεως ἐκείνης ἀφέστηκεν. Ἀλλὰ μεσίτην αὐτὸν ὁ θεῖος ἀπόστολος κέκληκεν· οὐκοῦν καὶ τῷ πατρὶ ἥνωται κατὰ τὴν θεότητα, καὶ ἡμῖν ὡσαύτως κατὰ τὴν ἀνθρωπότητα. Δείκνυσι δὲ καὶ τὸ δεσποτικὸν πάθος ὑπὲρ ἁπάντων γεγενημένον ». Θεοδώρητος.

Ἦλθε γὰρ μαρτυρήσων τῇ ἀληθείᾳ μέχρι θανάτου· ἐμαρτύρησε γὰρ δι' ὧν ἔπραττεν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ· καὶ γὰρ αὐτὸς τὸν πατέρα ἐφανέρωσε, καὶ τὸ ἀληθὲς δόγμα, καὶ τὸν ἀληθῆ καὶ ἀγγελικὸν βίον αὐτὸς εἰσηγήσατο. Ἢ, διὰ τοῦ μαρτυρίου ἔδωκεν ἑαυτὸν ἀντίλυτρον, τουτέστι, διὰ τοῦ πάθους· ἐν αὐτῷ γὰρ ἐμαρτύρει τῇ τοῦ πατρὸς ἀγαθότητι, ὅτι αὐτὸς καὶ τὸν υἱὸν ἔδωκεν. Αὐτοὶ δὲ τῆς πρὸς αὐτὸν ἔχθρας οὐκ ἐπαύσαντο, ἀλλὰ καὶ τὸν υἱὸν ἐσταύρωσαν· καὶ ὅτι αὐτὸς τὰς ἐπαγγελίας αὐτοῖς πληρῶσαι θέλει, αὐτοὶ δὲ οὐ βούλονται. Διὰ τοῦ μαρτυρίου, τοῦ *καιροῖς ἰδίοις*, τουτέστι, τοῖς πάλαι προτετυπωμένοις καὶ προορισθεῖσιν ὑπὸ τῆς ἁγίας καὶ μακαρίας Τριάδος, γενομένου.—*Καιροῖς ἰδίοις.*] Τουτέστιν, ὅτε ἐπιτηδείως εἶχον πρὸς τὴν πίστιν οἱ ἄνθρωποι. Οὕτως ὁ Κλήμης ἐν ζ΄ τῶν Ὑποτυπώσεων.—*Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ.*] Εἰς ὃ μαρτύριον καὶ πάθος ἐγὼ ἐτέθην καὶ ἀφωρίσθην *κήρυξ*, ὥστε κηρύττειν αὐτό. Καὶ οὐχ ἁπλῶς *κήρυξ*, ὥστε ἐν ἑνὶ τόπῳ μόνον κηρύττειν, ἀλλὰ καὶ *ἀπόστολος*, ὥστε πανταχοῦ περιϊέναι, ἵνα πανταχοῦ καταφανῆ ποιήσω τὸν σταυρὸν, καὶ τὸν θάνατον τοῦ Χριστοῦ. Ἐπειδὴ δὲ ἔμελλε λέγειν, *διδάσκαλος ἐθνῶν*, ἄπιστον δὲ ἐδόκει, ὅτι προσεκλήθησαν οἱ εἰδωλολάτραι, προαναφωνεῖ, *ἀλήθειαν λέγω, οὐ ψεύδομαι. Διδάσκαλος ἐθνῶν.*] Ἐπειδὴ ἔνι καὶ παρατρεχόντως κηρύξαι, ἐπήγαγε τὸ, *διδάσκαλος*. Οὐ γὰρ ἐκήρυξά, φησι, μόνον, ἀλλὰ καὶ παραμένων ἐδίδασκον. Τοῦτο δὲ τὴν περὶ τὰ ἔθνη σπουδὴν τοῦ θεοῦ ἐνδείκνυται. *Ἐν πίστει καὶ ἀληθείᾳ.*] Ὅρα πάλιν τὸ, *ἐν πίστει*. Οὐ κηρύσσω, φησὶν, ἐν συλλογισμοῖς καὶ πλοκαῖς ῥητορικαῖς, ἀλλ' *ἐν πίστει*· τοῦτο γὰρ δεικνύει τοῦ κηρύγματος τὴν δύναμιν. Εἶτα, ἐπειδὴ εἶπεν, *ἐν πίστει*, ἵνα μή τις νομίσῃ, ὅτι ἀπάτη ἐστὶν, ἐπάγει, *ἐν ἀληθείᾳ*. Οὐκ ἔστι γάρ, φησι, ψεῦδος τὸ ἐν πίστει διδασκόμενον καὶ παραδιδόμενον, ἀλλ' ἐν ἀληθείᾳ παραδίδοται.

8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παν-

τὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς
9 καὶ διαλογισμοῦ. Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν
καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης,
κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαρ-
10 γαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ', ὃ πρέπει
γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων
ἀγαθῶν.

Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ.] Πῶς οὖν ὁ Χριστὸς ἐκώλυε τὸ φανερῶς εὔχεσθαι; *Σὺ γάρ*, φησιν, *ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου* (α). Οὐδὲ ὁ Χριστὸς ἐκώλυε τὸ ἐν παντὶ τόπῳ εὔχεσθαι, ἀλλὰ τοῦτο εἶπεν ἐκ περιουσίας, ἀναιρῶν τὸ πρὸς ἐπίδειξιν εὔχεσθαι· ὥσπερ καὶ τό· *Μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου* (β)· οὐ περὶ χειρῶν φησιν, ἀλλ' ὅπως ἀκενοδόξως καὶ μὴ πρὸς ἐπίδειξιν εὐποιῶμεν. Οὐ γὰρ ὁ τόπος ἔχει διαφορὰν, ἀλλὰ πανταχοῦ τοῦ μὴ ἐπιδεικτιᾷν ἐφρόντισε. Πρὸς τούτοις, καὶ τοῦτο δηλοῖ ὁ ἀπόστολος· Οὐχ ὥσπερ τοῖς Ἰουδαίοις οὐκ ἐξῆν ἔξω τοῦ ναοῦ θύειν, οὕτω καὶ ἡμῖν εὔχεσθαι. Ἡμῖν γάρ, φησι, πᾶς τόπος ἐπιτήδειος, μόνον εἰ *ὁσίας αἴρωμεν χεῖρας*, τουτέστι, καθαράς· καθαρὰς δὲ ἀπὸ ἁρπαγῆς, ἀπὸ πλεονεξίας, ἀπὸ φόνων, διὰ ἐλεημοσύνης καθαιρομένας. *Χωρὶς ὀργῆς.*] Τουτέστι, χωρὶς μνησικακίας καὶ ἐμπαθείας τῆς πρὸς τὸν ἀδελφὸν, χωρὶς τοῦ ἐπαρᾶσθαί τινι· τοῦτο γὰρ ὄντως ὀργὴ, τὸ μηδὲ εὐχόμενοι φείσασθαι τοῦ ἀδελφοῦ· *Καὶ διαλογισμοῦ.*] *Διαλογισμὸν*, τὴν ἀμφιβολίαν φησί. *Χωρὶς ἄρα διαλογισμοῦ*, ἀντὶ τοῦ, ἀμφιβολίας χωρίς· Ἆρα ἀκούσει μου ὁ θεός; ἆρα μὴ ἁπλῶς καὶ μάτην εὔχομαι; Πεπεῖσθαι γὰρ χρὴ, ὅτι εἰσακούσεται ὁ θεὸς, εἰ τὰ αὐτῷ φίλα αἰτοῦμεν, καθαροὶ ὄντες. *Ὡσαύτως καὶ τὰς γυναῖκας.*] Τουτέστι, Βούλομαι καὶ αὐτὰς ὁσίας αἴρειν χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. *Ἐν καταστολῇ κοσμίῳ.*] Πλέον τι ἀπαιτεῖ παρὰ τῶν γυναικῶν, τὸ ἐστολίσθαι

(α) Ματθ. ϛʹ, 6. (β) Ματθ. ϛʹ, 3.

κοσμίως, καὶ μὴ περιέργως· ἀκοσμία γὰρ ἐκεῖνο. Τὸ δὲ, *ἐν καταστολῇ*, δηλοῖ, τὸ πάντοθεν περιεστάλθαι καὶ συγκεκαλύφθαι. Κοσμίως, φησὶ, μὴ περιέργως, ὥστε τέρψαι τοὺς ὁρῶντας. *Μετὰ αἰδοῦς καὶ σωφροσύνης.*] Μὴ τοίνυν μιμοῦ τὰς ἑταιριζομένας, τὰς ἀναίσχυντον βλεπούσας καὶ πορνικόν. *Μὴ ἐν πλέγμασι.*] Μὴ γὰρ εἰς σκηνὴν ἐλήλυθάς, φησι; μὴ γὰρ χορεῦσαι ἦλθες; Ἦλθες δακρύσαι τὰς ἁμαρτίας σου. Οὐκ ἔστι δὲ σχῆμα ἱκέτιδος ἡ πολυτέλεια, οὔτε τὰς ἁμαρτίας πενθούσης ὁ κόμπος τοῦ περί σε κόσμου. Εἰ δὲ ταῦτα ἐκώλυσεν, ἃ πλοῦτον ἐνδείκνυται, πολλῷ μᾶλλον τὰ περίεργα, οἷον ἐπιτρίμματα παρειῶν, ὑπογραφὰς ὀφθαλμῶν, διατεθρυμμένον βάδισμα, κατακεκλασμένην φωνὴν, ὄμμα ὑγρὸν καὶ περίεργον, ἀναβολὴν τοῦ χιτωνίσκου πορνικὴν, ζώνην περιεργοτέραν, ὑποδήματα ἀπηρτισμένα. Ἅπαντα γὰρ ταῦτα διὰ τοῦ εἰπεῖν, *ἐν καταστολῇ κοσμίῳ*, ἐξέβαλεν. *Ἐπαγγελλομέναις θεοσέβειαν.*] Ἀλλὰ κοσμεῖν ἑαυτὰς δι᾽ ἔργων ἀγαθῶν. Εἶτα διὰ μέσου· Τοῦτο γὰρ πρέπει γυναιξὶν *ἐπαγγελλομέναις θεοσέβειαν*, τουτέστι, χριστιαναῖς, ταῖς τὸν ἀληθινὸν θεὸν σεβομέναις. Ἢ καὶ ἄλλως· Ἐπειδή ἐστι διὰ λόγων μόνων ἐπαγγέλλεσθαι θεοσέβειαν, τοῖς δὲ ἔργοις αὐτὴν ἀρνεῖσθαι, προσέθηκε τὸ, *δι᾽ ἔργων*· εἶτα, ἐπειδὴ τὰ ἔργα τῶν μέσων ἐςὶν, ἐπήγαγεν, *ἀγαθῶν*.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ διδασκάλων, ὅτι ἄνδρας χρὴ, καὶ οὐ γυναῖκας εἶναι, διὰ τὴν φύσιν καὶ τὸ πάθος τὸ ἐξ ἀγάπης.

11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. Γυ-
12 ναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν
13 ἀνδρός, ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ. Ἀδὰμ γὰρ πρῶτος

14 ἐπλάσθη, εἶτα Εὔα. Καὶ Ἀδὰμ οὐκ ἠπατήθη· ἡ
15 δὲ γυνὴ ἀπατηθεῖσα, ἐν παραβάσει γέγονε· σωθή-
σεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν
πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ.] Οὐ μόνον κοσμίας ἀπαιτεῖ τὰς γυναῖκας εἶναι, ἀλλὰ καὶ σιγηρὰς καὶ ὑποτεταγμένας· διὰ γὰρ τῆς σιγῆς, τὴν ὑποταγὴν σημαίνουσι. Μὴ φθεγγέσθω, φησὶ, μηδὲ περὶ πνευματικῶν, ἀλλὰ μανθανέτω μόνον. Τοῦτο δὲ αὐτῇ ἔσται μᾶλλον, ἐὰν ἡσυχάζῃ. *Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω.*] Πᾶσαν ἀφορμὴν λαλιᾶς ἀνεῖλε τῇ γυναικί. Ἐπειδὴ γὰρ σιγᾷν αὐταῖς παρήγγειλεν, ἵνα μὴ προφάσει εὐλόγῳ τοῦ διδάσκειν λαλοῖεν, μηδὲ διδασκέτωσάν, φησι, μὴ μόνον ἀνθρώπινα, ἀλλὰ καὶ πνευματικά. Τὸ δὲ μὴ διδάσκειν ἀπηγόρευσεν οὐχ ἁπλῶς, ἀλλ' ἐν ἐκκλησίᾳ· οὐ γὰρ παντάπασιν αὐταῖς τὴν διδαχὴν ἀνεῖλε· τέως γὰρ αὐταῖς ἐπιτρέπει διδάσκειν τὰ ἑαυτῶν τέκνα, ὅπερ προϊὼν, φησιν. *Οὐδὲ αὐθεντεῖν ἀνδρός.*] Αὐτὸ γὰρ τὸ διδάσκειν, καταυθεντεῖν ἐστιν ἀνδρός. *Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη.*] Ἐπεὶ οὖν ὁ Ἀδὰμ πρῶτος ἐπλάσθη, μὴ αὐθεντείτω τοῦ ἀνδρὸς ἡ γυνὴ, ἀλλ' ὑποτετάχθω (1). *Ἀδὰμ οὐκ ἠπατήθη.*] Ὡς πρὸς τὴν σύγκρισιν τῆς ἀπάτης, ἣν ἡ γυνὴ ἠπατήθη, οὐδὲ ἀπάτη ἐστὶν ἡ τοῦ Ἀδάμ· πολὺ γὰρ τὸ μέσον παρὰ τοῦ ὄφεως ἀπατηθῆναι, καὶ παρὰ τῆς γυναικὸς δέξασθαι τὸ ξύλον καὶ φαγεῖν. Ὅθεν ἀπολογούμενος, οὐδὲ ἠπατῆσθαί φησιν, ἀλλ' ὅτι ἡ γυνὴ, ἣν ἔδωκάς μοι βοηθὸν, ἔδωκέ μοι ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον (α), ἠρέμα δεικνὺς, ὡς οὐδὲ ἐσφάλη, τῆς βοηθοῦ ἀκούσας. Ἢ, *οὐκ ἠπατήθη*, ἀντὶ τοῦ, πρῶτος, εἴρηκε. — ΚΑΙ ΑΛΛΩΣ. Πῶς οὐκ ἠπατήθη ὁ Ἀδάμ; Ὅτι οὐδὲ ἡ γραφὴ τοῦτο

---

(1) «Ἐπειδὴ, φησι, τῶν πρωτείων ἀπήλαυσε τὸ γένος τῶν ἀνδρῶν ἐν τῇ πλάσει, δευτέρα δὲ ἐπλάσθη ἡ Εὔα, ὀφείλουσι λοιπὸν καὶ αἱ λοιπαὶ γυναῖκες τὰ δευτερεῖα ἔχειν τῶν ἀνδρῶν, καὶ ὑποτάττεσθαι. Ὃ γὰρ τότε περὶ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν συνέβη, τοῦ παντὸς γένους τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν ἐγένετο.» Θεοφύλακτος. (α) Γενεσ. Γ', 12. 13.

λέγει· ἀλλ' ἡ μὲν γυνή φησιν, ὅτι ὁ ὄφις ἠπάτησέ με· ὁ δὲ Ἀδάμ, οὐ λέγει, ὅτι ἡ γυνὴ ἠπάτησέ με, ἀλλ' ὅτι ἔδωκέ μοι. Οὐκ ἔστι δὲ ἴσον τὸ πεισθῆναι ὁμογενεῖ καὶ βοηθῷ, καὶ τὸ πεισθῆναι θηρίῳ δούλῳ καὶ ὑποτεταγμένῳ. Ὥστε ἐκεῖνο ἀπάτης. Πρὸς τὴν σύγκρισιν οὖν τῆς γυναικός, αὐτόν φησι μὴ ἠπατῆσθαι. Ἀλλ' οὐδὲ ὁ Ἀδὰμ εἶδε τὸ ξύλον, ὅτι καλὸν εἰς βρῶσιν, ἀλλ' ἡ γυνὴ ἰδοῦσα, ἠπατήθη, εἶθ' οὕτως ἔδωκε καὶ τῷ ἀνδρί. Ὥστε ἐκείνη μὲν ὑπὸ τῆς ἐπιθυμίας παρήχθη· οὗτος δέ, τῇ γυναικὶ ἐπείσθη. *Ἡ δὲ γυνὴ ἀπατηθεῖσα.*] Τοῦτο ὡς πρὸς τὸ μὴ διδάσκειν γυναῖκα. Ἅπαξ γάρ, φησιν, ἐδίδαξεν ἡ γυνή, καὶ πάντα ἀνέτρεψε, καὶ τῇ παρακοῇ ὑπεύθυνον ἐποίησε τὸν ἄνδρα. Αὕτη γὰρ εἰσηγήσατο αὐτῷ τὸ φαγεῖν. Διὸ οὐκ εἶπεν, Ἡ Εὔα ἀπατηθεῖσα, ἀλλ', *ἡ γυνή*, τὴν εὐεξαπάτητον τῶν γυναικῶν φύσιν δηλῶν. *Ἐν παραβάσει γέγονεν.*] Ἐν παραβάσει γέγονεν, οὐχ ἡ Εὔα μόνη, ἀλλ' ὅλη ἡ τῶν γυναικῶν σύστασις. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτως ἐν τῇ Εὔᾳ πᾶσαι παρέβησαν. *Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας.*] Ὁρᾷς, ὅτι οὐ περὶ τῆς Εὔας ἦν μόνης ὁ λόγος αὐτῷ, ἀλλὰ περὶ τοῦ κοινοῦ τῶν γυναικῶν συστήματος; *Σωθήσεται* γάρ, φησι, *διὰ τῆς τεκνογονίας*, οὐχ ἡ Εὔα μόνον, ἀλλὰ πᾶσα γυνή. *Τεκνογονίαν* δέ φησι, τὸ μὴ μόνον τεκεῖν, ἀλλὰ καὶ τὸ κατὰ θεὸν ἀναγαγεῖν. Τί οὖν; εἴποι τις· Αἱ παρθένοι, καὶ στεῖραι, καὶ ἄπαιδες, καὶ χῆραι ἀπολώλασιν; Ἄπαγε! Οὐ γὰρ τοῦτό φησιν, ὅτι ἐξ οἰκείας ἀρετῆς οὐ σωθήσονται, ἀλλ' ὅτι καὶ ἡ τεκνογονία ἔσται αὐταῖς πρόφασις σωτηρίας, ἐκείνου ὡμολογημένου, τοῦ ἐξ οἰκείας ἀρετῆς σώζεσθαι. Δοκεῖ μοι δέ, ὅτι, ἐπειδὴ ἐκώλυσε τὴν γυναῖκα διδάσκειν, ὡς ἂν εἰ παραμυθούμενος αὐτήν, νῦν δίδωσιν αὐτῇ οὓς διδάξει. Εἰ γὰρ ἐπιθυμεῖς διδάσκειν, δίδαξον τὰ τέκνα. *Ἐὰν μείνωσιν ἐν πίστει.*] Τὰ τέκνα. Ἐάν, φησι, στεφανίτας Χριστῷ θρέψῃ, καὶ ἐμμείνωσι τῇ ἀρετῇ (1).

(1) « Ἐὰν φυλάξωσι τὴν εὐσεβῆ πίστιν καὶ τὰ δόγματα. » Θεοφύλακτος.

Καὶ τῇ ἀγάπῃ.] Τουτέστι, τῷ ὀρθῷ βίῳ· οὐ γὰρ ἀρκεῖ ἡ πίστις· τὸ κεφάλαιον δὲ καὶ ἡ πηγὴ τοῦ ὀρθοῦ βίου, ἡ ἀγάπη. *Καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης.*] *Ἁγιασμὸν*, τὴν καθαρότητα τοῦ σώματός φησιν. Ἐπεὶ δὲ οὐ πάντες παρθένοι, προσέθηκε τό, *μετὰ σωφροσύνης*· *σωφροσύνη* γὰρ λέγεται ἐπὶ τῶν ἐννόμως γάμῳ προσομιλησάντων· ἢ *σωφροσύνην* ἁπλῶς, τὴν κοσμιότητά φησι. Τί οὖν, ἂν ἡ μήτηρ κακὴ ᾖ, ἀναθρέψει δὲ καλῶς; Ἀδύνατον μὲν τὴν κακήν, ἀναγαγεῖν καλῶς· πλὴν εἰ γένηται, μισθὸν ἕξει. Τί δὲ εἰ, καλὴ οὖσα, κακῶς ἀνάξει; Ἀπώνατο τῆς κακίας τῶν παίδων. Καὶ μάρτυς τούτου Ἠλεὶ ὁ ἱερεύς (α).

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ ἀρετῆς ἐπισκόπου· ἐν ᾧ, περὶ διακόνων, ἀνδρῶν τε καὶ γυναικῶν.

ΚΕΦ. III, 1 Πιστὸς ὁ λόγος (1)· Εἴ τις ἐπισκοπῆς
2 ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν·
3 μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ'
4 ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον· τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος·

Πρὸς Τιμόθεον γράφων, δείκνυσι καθολικῶς, ὁποῖον εἶναι χρή

(α) Αʹ Βασιλ. Βʹ. Γʹ. Δʹ.

(1) Τὰς τρεῖς ταύτας λέξεις ἀναφέρουσιν ὁ Χρυσόστομος, ὁ Θεοφύλακτος, καὶ αὐτὸς ὁ Οἰκουμένιος εἰς τὰ προηγούμενα. Ὁ Χρυσόστομος λέγει « Πιστὸς ὁ λόγος. Πρὸς τοῦτο εἴρηται, οὐ πρὸς τό, Εἴ τις ἐπισκοπῆς ὀρέγεται. Ἐπειδὴ γὰρ τοῦτο ἀμφιβαλλόμενον ἦν, διὰ τοῦτο λέγει· Πιστὸς ὁ λόγος, ὅτι ἐπισονται δηλαδὴ οἱ πατέρες ἀπολαύειν τῆς τῶν παίδων ἀρετῆς, καὶ αἱ μητέρες, ὅταν αὐτοὺς ἐκθρέψωσι καλῶς.» Ὁ δὲ Θεοδώρητος συνάπτει ταύτας τοῖς ἑπομένοις, καὶ οὕτως ἅπαντες οἱ νεώτεροι.

τὸν ἐπίσκοπον. *Πιστὸς ὁ λόγος.*] Ἀψευδής τε καὶ ἀληθής. *Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ.*] Οὐκ ἐγκαλῶ, φησί· *καλοῦ* γὰρ *ἔργου*, τουτέστι, λειτουργίας καὶ προστασίας, *ἐπιθυμεῖ*, εἴγε διὰ τὴν τῶν πολλῶν ὁδηγίαν, καὶ οὐ διὰ δόξαν ἐπιθυμεῖ· *ἐπίσκοπος* γὰρ εἴρηται, διὰ τὸ ἐπισκοπεῖν ἅπαντας· ἐπεὶ καὶ Μωϋσῆς ἐπεθύμησεν, ἀλλ' οὐ διὰ δόξαν, ἀλλὰ διὰ τὸ συμφέρον τοῖς πολλοῖς. *Ἀνεπίληπτον εἶναι.*] Τουτέστι, πᾶσαν ἀρετὴν ἔχοντα, ὡς μήτε ἄλλους αὐτοῦ, μήτε αὐτὸν ἑαυτοῦ ἐπιλαμβάνεσθαι, μηδὲν ἑαυτῷ κακὸν συνειδότα· εἰ γὰρ σύνοιδε, κακῶς ποιεῖ ἐπιθυμῶν ἐπισκοπῆς, ἧς διὰ τῶν ἔργων ἑαυτὸν ἠλλοτρίωσεν (1). *Μιᾶς γυναικὸς ἄνδρα.*] Οὐ τοῦτο νομοθετεῖ, ὅτι ἀπὸ γυναικὸς εἶναι δεῖ πάντως τὸν ἐπίσκοπον· ἀλλ' εἰ γίνεταί, φησιν, ἀπὸ κοσμικῶν, μὴ εἴη δευτερόγαμος· ἢ ὅτι μίαν εἰδέτω πρὸς μίξιν γυναῖκα, τὴν νομικήν· πλὴν ἵνα, πρὸς ἐπισκοπὴν κληθείς, ἐκεῖνο πληροῖ· *Ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι* (α)· καί· *Θέλω πάντας εἶναι ὡς κἀγώ*, φησὶν ὁ Παῦλος· καί· *Ὁ γαμήσας, μεριμνᾷ τὰ τοῦ κόσμου* (β). Πῶς οὖν δίκαιον φροντίζειν κοσμικῶν πραγμάτων τὸν ἐπίσκοπον; Τινὲς δὲ ἀλογίστως περὶ ἐκκλησίας τοῦτό φασιν αὐτὸν εἰρηκέναι, ἵνα μὴ μεταβαίνῃ,

---

(1) « Οὐχ ἁπλῶς τῆς ἐπιθυμίας, ἀλλὰ τῆς φιλαρχίας κατηγορεῖ· καὶ διδάσκει, μὴ τιμῆς, ἀλλ' ἀρετῆς ὀρέγεσθαι· μὴ τὴν ἀξίαν ποθεῖν, ἀλλὰ τῆς ἀξίας τὸ ἔργον ἐπιζητεῖν. Ἐπίσκοπον δὲ ἐνταῦθα, τὸν πρεσβύτερον λέγει, ὡς τὴν πρὸς Φιλιππησίους ἐπιστολὴν ἑρμηνεύοντες ἀπεδείξαμεν. Ῥᾴδιον δὲ τοῦτο καὶ ἐντεῦθεν καταμαθεῖν· μετὰ γὰρ τοὺς ἐπισκοπικοὺς νόμους, τοὺς τοῖς διακόνοις προσήκοντας γράφει, τοὺς πρεσβυτέρους παραλιπών. Ἀλλ', ὅπερ ἔφην, τοὺς αὐτοὺς ἐκάλουν ποτὲ πρεσβυτέρους καὶ ἐπισκόπους· τοὺς δὲ νῦν καλουμένους ἐπισκόπους, ἀποστόλους ὠνόμαζον. Τοῦ δὲ χρόνου προϊόντος, τὸ μὲν τῆς ἀποστολῆς ὄνομα, τοῖς ἀληθῶς ἀποστόλοις κατέλιπον· τὴν δὲ τῆς ἐπισκοπῆς προσηγορίαν, τοῖς πάλαι καλουμένοις ἀποστόλοις ἐπέθεσαν. Οὕτω Φιλιππησίων ἀπόστολος ὁ Ἐπαφρόδιτος ἦν· Ὑμῶν γάρ, φησίν, ἀπόστολον, καὶ συνεργὸν τῆς χρείας μου (Φιλιπ. Β', 25.). Οὕτω Κρητῶν ὁ Τίτος, καὶ Ἀσιανῶν ὁ Τιμόθεος ἀπόστολοι. Οὕτως ἀπὸ τῶν Ἱεροσολύμων τοῖς ἐν Ἀντιοχείᾳ ἔγραψαν οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι (Πράξ. ΙΕ', 23.). Ἀλλ' ὅμως, εἰ καὶ πρεσβυτέροις ταῦτα ὁ θεῖος ἐνομοθέτησε Παῦλος, εὔδηλον, ὡς τοὺς ἐπισκόπους πρώτους προσήκει τούτους φυλάττειν τοὺς νόμους, ἅτε δὴ καὶ μείζονος μεταλαχόντας τιμῆς. » Θεοδώρητος.

(α) Α' Κορ. Ζ', 29. (β) Α' Κορ. Ζ', 7. 33.

φασὶν, ἀπὸ ἄλλης εἰς ἄλλην· μοιχεία γάρ ἐστι τὸ πρᾶγμα (1). *Νηφάλιον.*] Ἄγρυπνον, διορατικὸν, ζέοντα τῷ πνεύματι. *Σώφρονα.*] Τουτέστι, κατεσταλμένον. *Κόσμιον.*] Τουτέστι, σεμνοπρεπῆ. *Φιλόξενον.*] Φιλοφρόνως τοὺς ἐπιδημοῦντας ξένους ὑποδεχόμενον. *Διδακτικόν.*] Τὴν γὰρ σωφροσύνην, καὶ τὴν κοσμιότητα, καὶ τὴν φιλοξενίαν καὶ τοὺς ἀρχομένους ἔχειν χρή. Προσέθηκεν οὖν τὸ διδασκάλου ἴδιον, *διδακτικὸν* εἰπών. Τοῦτο γὰρ πάντων μάλιστα προσεῖναι δεῖ τῷ ἐπισκόπῳ (2). *Μὴ πάροινον.*] *Πάροινον*, οὐ τὸν μέθυσον λέγει· πολὺ γὰρ ἦν τοῦτο παχύ· ἀλλὰ τὸν ὑβριστὴν καὶ αὐθάδη. *Μὴ πλήκτην.*] *Πλήκτην* πάλιν, οὐ τὸν ταῖς χερσὶ παίοντα, ἀλλὰ τὸν ἀκαίρως τὴν συνείδησιν πλήττοντα τῶν ἀδελφῶν. *Μὴ αἰσχροκερδῆ.*] *Αἰσχροκερδής* ἐστιν, οὐχ, ὥς τινες ὑπειλήφασιν, ὁ καὶ τῶν μικρῶν κερδῶν ἐφιέμενος· ἀλλ' ὁ ἐκ πραγμάτων αἰσχρῶν καὶ λίαν ἀτόπων κέρδη συλλέγειν ἀνεχόμενος. *Ἀλλ' ἐπιεικῆ.*] Φέρειν εἰδότα τὰ εἰς αὐτὸν πλημμελήματα. *Ἄμαχον.*] Ζυγομαχεῖν περὶ χρημάτων μὴ ἀνεχόμενον. *Ἀφιλάργυρον.*] Οὐκ

(1) « Εἰ ὁ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, τὸν δὲ ἐπίσκοπον οὐ δεῖ τὰ τοῦ κόσμου μεριμνᾷν, πῶς φησι, Μιᾶς γυναικὸς ἄνδρα; Τινὲς μὲν οὖν φασιν, ὅτι τὸν ἀπὸ γυναικὸς ἠνίξατο· μένοντα ἐλεύθερον· εἰ δὲ μὴ τοῦτο εἴη, ἐχέτω μέν, φησι, μίαν γυναῖκα, πλὴν ὡς μὴ ἔχων· τουτέστι, μὴ καταδουλούμενος ταῖς ἐπιθυμίαις αὐτῆς. Οὐ νομοθετῶν δὲ τοῦτό φησιν, ὅτι δεῖ γεγαμηκότα εἶναι πάντως τὸν ἐπίσκοπον· πῶς γὰρ ὁ λέγων, ὅτι Θέλω πάντας εἶναι ὡς καὶ ἐμαυτὸν (Α΄ Κορ. Ζ΄, 7)· ἀλλ' ἐπειδὴ ὁ τότε καιρὸς ταῦτα ἀπῄτει, εἰ γίνηταί, φησι, μιᾶς ἔστω ἀνήρ. Τοῦτο καὶ διὰ τοὺς Ἰουδαίους· ἐκείνοις γὰρ ἐφεῖτο ἡ πολυγαμία. » Θεοφύλακτος.

« Ἀρχὴν εἶχε τὸ κήρυγμα· τὴν δὲ παρθενίαν οὔτε Ἕλληνες ἤσκουν, οὔτε Ἰουδαῖοι μετῄεσαν· εὐλογίαν γὰρ τὴν παιδοποιίαν ἐνόμιζον. Ἐπειδὴ τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν, οὐχ' οἷόν τε ἦν ῥᾳδίως εὑρεῖν τοὺς τὴν ἁγνείαν ἀσκοῦντας, τῶν γεγαμηκότων τοὺς τὴν σωφροσύνην τετιμηκότας κελεύει χειροτονεῖν. Τὸ δὲ, Μιᾶς γυναικὸς ἄνδρα, εὖ μοι δοκοῦσιν εἰρηκέναι τινές. Πάλαι γὰρ εἰώθεσαν καὶ Ἕλληνες καὶ Ἰουδαῖοι, καὶ δυσὶ, καὶ τρισὶ, καὶ πλείοσι γυναιξὶ νόμῳ γάμου κατὰ ταὐτὸν συνοικεῖν. Τινὲς δὲ καὶ νῦν, καίτοι τῶν βασιλικῶν νόμων δύο κατὰ ταὐτὸν ἄγεσθαι κωλυόντων γυναῖκας, καὶ παλακίσι μίγνυνται, καὶ ἑταίραις. Ἔφασαν τοίνυν, τὸν θεῖον ἀπόστολον εἰρηκέναι, τὸν μιᾷ μόνῃ γυναικὶ συνοικοῦντα σωφρόνως, τῆς ἐπισκοπικῆς ἄξιον εἶναι χειροτονίας. Οὐ γὰρ τὸν δεύτερόν, φασιν, ἐξέβαλε γάμον, ὅ γε πολλάκις τοῦτο γενέσθαι κελεύσας . . . Ταῦτα καὶ τὰ τοιαῦτα σκοπούμενος, ἀποδέχομαι τῶν οὕτω νενοηκότων τὴν ἑρμηνείαν. » Θεοδώρητος.

(2) « Διδακτικὸν, οὐ τὸν εὐγλωττίᾳ λέγει κεκοσμημένον, ἀλλὰ τὸν τὰ θεῖα πεπαιδευμένον, καὶ παραινεῖν δυνάμενον τὰ προσήκοντα. » Θεοδώρητος.

εἶπεν, ἀκτήμονα· σύμμετρα γὰρ νομοθετεῖ· ἀλλὰ μὴ ἐρῶντα χρημάτων. Δυνατὸν γὰρ κεκτῆσθαι μὲν, οἰκονομεῖν δὲ ταῦτα δεόντως· καὶ μὴ δουλεύειν τούτοις, ἀλλὰ τούτων δεσπόζειν. *Τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον.*] Ὁ γὰρ ἑνὸς οἴκου προστῆναι μὴ εἰδὼς, ἢ τοὺς φύσει υἱοὺς δύο ἢ τρεῖς μὴ ἰσχύσας οἰκονομῆσαι καλῶς, πῶς ἐκκλησίας καὶ λαοῦ τοσούτου προσταίη δεόντως; *Τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος.*] Δεῖ γὰρ αὐτὸν οἴκοθεν ἔχοντα φέρειν τὰ παραδείγματα. Τίς γὰρ πιστεύσειεν, ὅτι τὸν ἀλλότριον ὑποτάξει, ὁ τὸν υἱὸν μὴ ὑποτάξας; πῶς ἄλλους ποιήσει σεμνοὺς, ὁ τὰ οἰκεῖα σπλάγχνα ἐάσας ἀσέμνως βιοῦν; *Μετὰ πάσης* δὲ *σεμνότητος*, τῆς καὶ ἐν λόγῳ, καὶ σχήματι, καὶ ἔργῳ, καὶ πρὸς πάντας, καὶ ἐν παντὶ καιρῷ.

5 (Εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς
6 ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;) μὴ νεόφυτον, ἵνα
7 μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου. Δεῖ
δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

Τί δή ποτε τοῖς ἐπισκόποις τὰ παχέα ταῦτα ἐπέταξε, Μὴ πάροινον, Μὴ πλήκτην, Ἀλλ' ἐπιεικῆ, καὶ τὰ ὅμοια, ὁ τοῖς μαθηταῖς ἐπιτάσσων, *Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς* (α); καί· *Οἱ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν* (β); καὶ ὁ Χριστὸς δὲ αἴρειν τὸν σταυρὸν καὶ ἀκολουθεῖν πᾶσιν ἐπέταξε (γ); Διὰ τί γὰρ μὴ ἀγγέλους αὐτοὺς εἶναι ἐπέταξεν, ὡς πρὸς τὴν τῶν λαϊκῶν ἀναλογίαν; Καὶ φαμὲν, ὅτι ἡ ὑπερτάτη ἀρετὴ, ὀλίγων ἐστίν· ἐπισκόπων δὲ πολλῶν ἦν χρεία, καθ' ἑκάστην ἐκκλησίαν εἶναι ὀφειλόντων. Ἵνα οὖν μὴ σπάνιον ἢ ἀδύνατον ποιήσῃ τὸ τῶν ἐπισκόπων, χρειωδῶν ὄντων, τὴν μέσην ἐπιτάσσει ἀρετὴν, εὐπρόσιτον ποιῶν τὸ πρᾶγμα. *Πῶς ἐκκλησίας*

(α) Κολοσ. Γ΄, 5 (β) Γαλατ. Ε΄, 24. (γ) Ματθ. ΙϚ΄, 24.

θεοῦ ἐπιμελήσεται;] Οὐδέν ἐστιν ὁ οἶκος, ἢ μικρὰ ἐκκλησία. Εἰ τοίνυν τοῦ μικροῦ καὶ εὐπεριορίστου καὶ εὐδιαγνώστου οὐκ ἠδυνήθη προστῆναι, πῶς ἐκκλησίας θεοῦ, ὅπου καὶ μείζω καὶ πλείω τὰ πράγματα, ἐπιμελήσεται; *Μὴ νεόφυτον.*] *Νεόφυτον*, οὐ τὸν νεώτερον λέγει, ἀλλὰ τὸν νεοκατήχητον· ἐπεὶ καὶ αὐτὸς ὁ Τιμόθεος νεώτερος ἦν· Μηδείς γάρ σου τῆς νεότητος καταφρονείτω, προϊών φησιν. Ἐπειδὴ γὰρ ἐξ Ἑλλήνων προσῄεσαν, καὶ ἐβαπτίζοντο, μὴ ὁ εὐθὺς, φησι, πιςεύσας καὶ βαπτισθεὶς εἰς τὴν τηλικαύτην ἀρχὴν ἀγέσθω. *Ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ.*] Τὸν γὰρ ἔτι μαθητὴν εἶναι ὀφείλοντα, εἴ τις διδάσκαλον ποιήσει, φυσᾶται καὶ ἐπαίρεται, καὶ εἰς τὴν αὐτὴν τῷ διαβόλῳ καταδίκην ἐμπίπτει, εἰς ἣν ἐξ ἀπονοίας ἔπεσεν ἐκεῖνος. *Ἀπὸ τῶν ἔξωθεν.*] Τουτέστιν, ἀπὸ τῶν Ἑλλήνων, ἵνα καὶ αὐτοὶ μὴ ἔχωσί τι ἐπιλαμβάνεσθαι αὐτοῦ, ἀλλὰ μᾶλλον καὶ αἰδεῖσθαι. Ὅρα τὴν ἀκρίβειαν! Τί οὖν, εἰ κακὸς μέν ἐστιν, ἔχει δὲ μαρτυρίαν καλήν; Δύσκολον μὲν τοῦτο· οἱ γὰρ ἐχθροὶ καὶ τοὺς πάνυ διηκριβωμένους μωμεύονται. Πλὴν οὐδὲ τοῦτο μόνον εἴασεν, ἀλλὰ μετὰ τῶν ἄλλων ἀπαιτεῖ καλῶν· ὁ γὰρ, Καὶ, σύνδεσμος τοῦτο δηλοῖ. Τί δὲ εἰ καλὸς ὢν, λοιδορεῖται περὶ τὸν βίον ὑπὸ τῶν βασκαινόντων; Δυσχερὲς μὲν τοῦτο· τὸν γὰρ ἄληπτον ἔχοντα βίον καὶ αὐτοὶ αἰδοῦνται· εἰ δὲ καὶ θῶμεν τοῦτο γίνεσθαι, καὶ κατὰ συκοφαντίαν διαβάλλεσθαι τὸν ἄνθρωπον, μὴ γινέσθω ἐπίσκοπος. Εἰ δὲ ἀπὸ τῶν ἔξωθεν μαρτυρίαν δεῖ ἔχειν, πολλῷ μᾶλλον ἀπὸ τῶν ἀδελφῶν. *Ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ.*] Μέλλει γὰρ, κακὸς ὢν, ὀνειδίζεσθαι καὶ ὑβρίζεσθαι ὑπὸ τῶν Ἑλλήνων· ὃ καὶ τοῦ κηρύγματός ἐστιν ἐμποδισμός. *Καὶ παγίδα τοῦ διαβόλου.*] Εἰ γὰρ ᾖ, φησι, κατά τι κακὸς, καὶ ἄλλην αὐτῷ εὐχερῶς τίθησι παγίδα. Εἰ γὰρ ἐκ τοῦ ὀνειδίζεσθαι καὶ ὑβρίζεσθαι εἰς ἁμαρτίας ἐκτρέπεται, ἐμπίπτει εἰς ἕτερον πάθος, τῆς ὀργῆς καὶ τῆς μνησικακίας· οὐδεὶς γὰρ ἀοργήτὶ φέρειν ὀνειδισμὸν δύναται.

8 Διακόνους ὡσαύτως σεμνοὺς, μὴ διλόγους, μὴ οἴνῳ

9 πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας
τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει.
10 Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες.

Διακόνους ὡσαύτως σεμνούς.] Τί δή ποτε τοὺς πρεσβυτέρους παρέλιπεν; Ὅτι ἀνέμιξεν αὐτοὺς τοῖς ἐπισκόποις· ἃ γὰρ περὶ ἐπισκόπων εἶπε, ταῦτα καὶ περὶ πρεσβυτέρων ἁρμόζει. Ὁμοίως γὰρ καὶ αὐτοὶ ἱερεῖς τέ εἰσι, καὶ διδασκαλίαν εἰσὶ πεπιστευμένοι (1). Φησὶν οὖν, ὅτι καὶ οἱ διάκονοι *ὡσαύτως*, τουτέστι, καὶ οὗτοι ὀφείλουσι τὰ αὐτὰ ἔχειν, ἤτοι φιλόξενοι εἶναι, ἐπιεικεῖς, ἄμαχοι, καὶ τἄλλα. *Σεμνούς.*] Σεμνότητι καὶ σωφροσύνῃ λάμποντας. *Μὴ διλόγους.*] Οἷον, ὑπούλους καὶ δολερούς· ἄλλα φρονοῦντας, καὶ ἄλλα λέγοντας· καὶ ἄλλα μὲν τούτοις, ἄλλα δὲ ἐκείνοις· ἀλλ' ἀληθείᾳ τὴν γλῶτταν κοσμοῦντας. *Μὴ οἴνῳ πολλῷ προσέχοντας.*] Οὐκ εἶπε, Μὴ μεθύσους· τοῦτο γὰρ πολὺ παχὺ ἦν· ἀλλά, Μὴ πολυπότας. Κἂν γάρ, φησι, μὴ μεθύσκωνται, ἀλλ' ὅμως ἡ πολυποσία χαυνοῖ τῆς ψυχῆς τὸν τόνον. *Μὴ αἰσχροκερδεῖς.*] *Αἰσχροκερδής* ἐστιν, ὁ μηδὲν κέρδος παραιτούμενος, κἂν ὁθενδήποτε ᾖ. Ἐνταῦθα δὲ ἀντὶ τοῦ ἀφιλαργύρου δέξαι τὸν μὴ αἰσχροκερδῆ. *Ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει.*] Τουτέστι, μετὰ τοῦ τὸ δόγμα ὀρθὸν τηρεῖν, ἔχοντας καὶ βίον ἀνεπίληπτον· ἡ γὰρ καθαρὰ συνείδησις ἐπὶ βίῳ ἀκαταγνώστῳ. *Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν.*] Ὥσπερ, φησί, τὸν ἐπίσκοπον ἀπῄτησα, μὴ νεόφυτον εἶναι, οὕτω καὶ τούτους μὴ ἀδο-

(1) « Διαλεγόμενος περὶ ἐπισκόπων, καὶ χαρακτηρίσας αὐτούς, καὶ εἰπών, τίνα μὲν ἔχειν, τίνων δὲ ἀπέχεσθαι χρή, καὶ τὸ τῶν πρεσβυτέρων τάγμα ἀφείς, εἰς τοὺς διακόνους μετεπήδησε. Τί δήποτε; Ὅτι οὐ πολὺ τὸ μέσον αὐτῶν καὶ τῶν ἐπισκόπων· καὶ γὰρ καὶ αὐτοὶ διδασκαλίαν εἰσὶν ἀναδεδεγμένοι, καὶ προστασίαν τῆς ἐκκλησίας· καὶ ἃ περὶ ἐπισκόπων εἶπε, ταῦτα καὶ πρεσβυτέροις ἁρμόττει· τῇ γὰρ χειροτονίᾳ μόνῃ ὑπερβεβήκασι, καὶ τούτῳ μόνον δοκοῦσι πλεονεκτεῖν τοὺς πρεσβυτέρους. » Χρυσόστομος.

κιμάστους προάγεσθαι, ἀλλὰ τῷ χρόνῳ βασανισθέντας, καὶ φανέντας ἀνεγκλήτους.

11 Γυναῖκας ὡσαύτως σεμνὰς, μὴ διαβόλους, νηφα-
12 λίους, πιστὰς ἐν πᾶσι. Διάκονοι ἔστωσαν μιᾶς γυ-
ναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν
13 ἰδίων οἴκων. Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν
ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παῤῥη-
14 σίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Ταῦτά σοι
15 γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον· ἐὰν δὲ
βραδύνω, ἵνα εἰδῇς, πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέ-
φεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στύ-
λος καὶ ἑδραίωμα τῆς ἀληθείας (1).

Γ*υναῖκας ὡσαύτως σεμνάς.*] *Γυναῖκας*, οὐ τὰς οἱασδήποτε λέγει, ἀλλὰ τὰς διακόνους. Τί γὰρ ἐβούλετο μεταξὺ τῶν ἐν τῷ κλήρῳ, τῶν οἱωνδήποτε γυναικῶν ἐπιμνησθῆναι; *Μὴ διαβόλους.*] Εἶπεν ἄνω περὶ τῶν ἀνδρῶν, μὴ εἶναι *διλόγους*· λέγει νῦν περὶ τῶν γυναικῶν, μὴ εἶναι *διαβόλους*, τουτέστι, μὴ καταλάλους, ὅπερ αἱ γραΐδες εἰώθασι, τοὺς οἴκους περιερχόμεναι, καὶ ψιθυρίζουσαι τὰ ταύτης πρὸς ἐκείνην. *Νηφαλίους.*] Ὥσπερ τοῖς ἀνδράσιν ἐνομοθέτησε, μὴ οἴνῳ πολλῷ προσέχειν, οὕτω τὰς γυναῖκας ἐκέλευσε, νηφαλίους εἶναι, τουτέστι, διεγηγερμένας. Εὐαπάτητον γὰρ τὸ τῶν γυναικῶν γένος. Δεῖ οὖν νήφειν καὶ ἀγρυπνεῖν. Ὅσῳ γὰρ εὐχείρωτοι ταῖς ἀπάταις εἰσὶ, τοσούτῳ νήψεως χρήζουσι. *Πιστὰς ἐν πᾶσι.*] Τουτέστι, σταθερότητα ἐχούσας ἐν πίστει καὶ βίῳ. *Μιᾶς γυναικὸς ἄνδρες.*] Ὁρᾷς, πῶς τὰ αὐτὰ καὶ παρὰ διακόνων ἀπαιτεῖ, ἃ παρὰ ἐπισκόπων; Ταῦτα δὲ καὶ περὶ διακονισσῶν δεῖ δέχεσθαι. *Τέκνων καλῶς προϊστάμενοι.*] Πανταχοῦ τοῦτο τίθησι, βουλόμενος οἴκοθεν αὐτοὺς φέρειν τὸν ἔλεγχον. *Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται.*] Βαθ-

(1) Παρ' ἄλλοις αἱ τελευταῖαι αὗται λέξεις συνάπτονται τοῖς ἑπομένοις· οἷον· Στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας καὶ ὁμολογουμένως. κτλ.

μόν, τουτέστι, προκοπήν. Οἱ γὰρ ἐν τοῖς κάτω πεῖραν ἑαυτῶν δεδωκότες χρηστὴν, ταχέως εἰς προκοπὴν καὶ παῤῥησίαν ἐλεύσονται τὴν ἐπὶ τοῦ Χριστοῦ. *Καὶ πολλὴν παῤῥησίαν ἐν πίστει, τῇ ἐν Χριστῷ Ἰησοῦ.*] Τίς δὲ σχοίη παῤῥησίαν ἐν τῇ τοῦ Χριστοῦ πίστει, εἰ μὴ ὁ μετὰ τῆς πίστεως καὶ ὀρθῶς βιούς; *Ταῦτά σοι γράφω.*] Ἵνα μὴ τὸ περὶ τούτων διατάσσεσθαι εἰς ἀθυμίαν ἐμβάλῃ τὸν Τιμόθεον τοῦ μηκέτι τὸν Παῦλον παραγενέσθαι, ὅρα τί φησιν· Οὐ διὰ τοῦτο ταῦτα γράφω, ὡς οὐκέτι μέλλων ἐλθεῖν· ἀλλ' ἐλεύσομαι μέν· *ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς, πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι·* τουτέστι, Πλὴν εἰ συμβῇ με βραδῦναι, ἵνα ἔχῃς ὑποτύπωσιν, πῶς δεῖ σε πολιτεύεσθαι τὸν τῶν ψυχῶν πεπιστευμένον κηδεμονίαν. Καλῶς δὲ εἶπε τὸ, *ἐλπίζων*· ἐπειδὴ γὰρ πνεύματι ἤγετο, καὶ οὐκ ἠπίστατο, ποῦ κελεύεται ὑπὸ τοῦ πνεύματος ἀπελθεῖν, διὰ τοῦτο ἀμφιβάλλει καὶ περὶ τοῦ πρὸς Τιμόθεον ἐλθεῖν. *Ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος.*] Ὅστις οἶκος, ἐκκλησία ἐστὶ *θεοῦ ζῶντος*. Καλῶς δὲ τὸ, *θεοῦ ζῶντος*. Μὴ γάρ, φησιν, εἴπῃς, ὅτι ἐξ ἀνθρώπων πληροῦται· θεῷ γὰρ διαφέρει, καὶ αὐτῷ ἀνάκειται, καὶ αὐτὸν ἔνοικον ἔχει. *Στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας.*] Τουτέστιν, οὐχ ὡς ὁ Ἰουδαϊκὸς ναὸς, ἀλλὰ *στύλος ἐστὶ καὶ ἑδραίωμα*, τουτέστι, βεβαίωσις τῆς ἀληθείας· ὁ γὰρ Ἰουδαϊκὸς ναὸς, τῶν τύπων τῆς ἀληθείας ἦν ἑδραίωμα (1).

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ θείας σαρκώσεως· ἐν ᾧ, περὶ τῶν ἐσομένων δαιμονικῶν αἱρέσεων.

16 Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας

(1) « Οἶκον θεοῦ, καὶ ἐκκλησίαν, τῶν πεπιστευκότων τὸν σύλλογον προσηγόρευσε. Τούτους ἔφη στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας· ἐπὶ γὰρ τῆς πέτρας ἐρηρεισμένοι, καὶ ἀκλόνητοι διαμένουσι, καὶ διὰ τῶν πραγμάτων κηρύττουσι τὴν τῶν δογμάτων ἀλήθειαν. » Θεοδώρητος.

μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

Καὶ *ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον.*] *Ὁμολογουμένως*· οὐ γάρ τις ἀμφιβάλλει περὶ τούτου. Καὶ μυστήριόν ἐστι, καὶ μέγα, καὶ εὐσεβείας ἐστὶ μυστήριον ἡ καθ' ἡμᾶς πίστις (1), καὶ οὔτε ἀμφισβητήσιμον ἔχει τι. Πῶς δὲ μυστήριον, ὅπερ πάντες ἴσασι; Μάλιστα μέν· οὐ πάντες ἴσασιν· εἰ δὲ καὶ πάντες ἴσασιν, ἀλλὰ νῦν· πρὸ τούτου δὲ οὐ πᾶσι δῆλον ἦν. Ἄλλως τε, τὸ μὲν, ὅτι ὁ Θεὸς ἐσαρκώθη, πάντες ἴσασι· τὸ δὲ πῶς, ἀποκέκρυπται, καὶ διὰ τοῦτο μυστήριόν ἐστιν. Ὅρα δὲ τὴν πρὸς ἡμᾶς ἀγάπην τοῦ Θεοῦ, εἴπερ τὸ μυστήριον αὐτοῦ ὅλως ἡμῖν ἐγνώρισε. *Θεὸς ἐφανερώθη ἐν σαρκί.*] Ἐπειδὴ περὶ ἱερέων ὁ Παῦλος διατασσόμενος, οὐδὲν τοιοῦτον εἶπεν, οἷον ἐν τῷ Λευϊτικῷ, φησι· Μηδεὶς θαυμαζέτω, εἰ μὴ τοιαῦτα μικρολογοῦμαι· μέγα ἐστὶ τὸ ἡμέτερον, καὶ οὐδὲν τοιοῦτον ἐκεῖ· ἐνταῦθα γὰρ *Θεὸς ἐφανερώθη*. Πῶς; *Ἐν σαρκί*· τῇ γὰρ θεότητι ἀόρατος (2). Ὁ δὲ ἐν ἁγίοις Κύριλλος ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τῶν σχολίων φησίν· *Ὃς ἐφανερώθη ἐν σαρκί. Ἐδικαιώθη ἐν πνεύματι.*] Ἐκεῖνος γὰρ ὁ ἐν σαρκὶ τοῖς ἀνθρώποις φανερωθεὶς, οὗτος οὐ παρὰ ἀνθρωπίνοις ὀφθαλμοῖς δίκαιος ἐκρίθη, ἀλλὰ τοῖς τοῦ Πνεύματος ὀφθαλμοῖς, τοῖς ἐρευνῶσι καὶ τὰ βάθη τοῦ Θεοῦ (α). Τὸ δὲ, *ἐδικαιώθη*, διὰ τὴν σάρκα· καθὸ γάρ ἐστι Θεὸς, οὐ δικαιοῦται, ἀλλὰ δικαιοῖ. Τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· *Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ* (β). Κατ' οὐδένα γὰρ τρόπον ταῖς ἡμετέραις ἀσθενείαις ἧλω. — *Ἐδικαιώθη ἐν πνεύματι.*] Καὶ ποίαν ἐδικαιώθη δικαιοσύνην ἡ αὐ-

(1) «Ἡ ὑπὲρ ἡμῶν οἰκονομία.» Χρυσόστομος. Θεοφύλακτος. «Μυστήριον δὲ αὐτὸ καλεῖ, ὡς ἄνωθεν μὲν προορισθὲν, ὕστερον δὲ φανερωθέν.» Θεοδώρητος.

(2) «Θεὸς ἐφανερώθη ἐν σαρκί. Θεὸς γὰρ ὢν, καὶ Θεοῦ υἱὸς, καὶ ἀόρατον ἔχων τὴν φύσιν, δῆλος ἅπασιν ἐνανθρωπήσας ἐγένετο. Σαφῶς δὲ ἡμᾶς τὰς δύο φύσεις ἐδίδαξεν· ἐν σαρκὶ γὰρ τὴν θείαν ἔφη φανερωθῆναι φύσιν.» Θεοδώρητος.

(α) Α' Κορ. Β', 10. (β) Ἡσ. ΝΓ', 9.

τυδικαιοσύνη καὶ ἀπολύτρωσις, ὁ τῆς δικαιοσύνης ἥλιος κατὰ τὸν Μαλαχίαν (α); ὃ δηλοῖ τὴν ἀκραιφνεστάτην καὶ καθαρωτάτην δικαιοσύνην. Τὴν ἐκπλήρωσιν δηλονότι τῶν νομικῶν δικαιωμάτων, περὶ ὧν τῷ Ἰωάννῃ ἔλεγεν· *Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἡμῖν ἐστι, πληρῶσαι πᾶσαν δικαιοσύνην* (ϐ). Ἐπειδὴ γὰρ καὶ περὶ ϐαπτισμάτων ἐνετείλατο ὁ νόμος, ἦλθεν ἐν Ἰορδάνῃ καὶ τοῦτον πληρῶσαι, ὥσπερ ἀμέλει τὴν περιτομὴν, καὶ τὰς ὑπὲρ τῶν πρωτοτοκίων προσφοράς. Τί δὲ ϐούλεται τὸ, *ἐν πνεύματι*; Πνεύματι δουλείας ἦν κατεσφιγμένος ὁ Ἰσραὴλ διὰ τοῦ κολάζοντος νόμου· οὐ γὰρ εἶχε τὸ πνεῦμα τῆς υἱοθεσίας· τοῦτο γὰρ Χριστιανοῖς δεδώρηται, καθώς φησι καὶ Παῦλος· *Ἡ δὲ ἄνω Ἱερουσαλὴμ, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν* (γ). Λέγει οὖν ὅτι, εἰ καὶ τὰς νομικὰς ἐπλήρου δικαιοσύνας, ἀλλ' οὐ τῷ τῆς δουλείας πνεύματι· (πῶς γὰρ, ὁ καὶ τοὺς ἄλλους ἐλευθερῶν;) ἀλλὰ τῷ ἁγίῳ Πνεύματι, τῷ τῆς υἱοθεσίας, ὅπερ ἔλαϐε κατὰ τὸ ἀνθρώπινον, ἡμῖν τὸ δῶρον προξενῶν ὁ γνήσιος υἱὸς, καὶ ὁμοούσιος τῷ Πνεύματι, καὶ οὐχ ἑαυτῷ· ὥσπερ ἀμέλει καὶ ηὔξατο, τὰς ἡμῶν εὐχὰς εὐπροσδέκτους ποιῶν, καὶ ναὸν τὸ οἰκεῖον ἐκάλει σῶμα (δ), ναοὺς ἡμᾶς θεοῦ γενέσθαι προξενῶν. Καὶ γὰρ καὶ οἱ κατὰ τὸ εὐαγγέλιον δίκαιοι, ὄντως πνευματικοὶ, πολλῷ τῶν ἐν νόμῳ δικαιουμένων πάλαι ὑπερέχοντες.—ΑΛΛΩΣ. *Ἐδικαιώθη ἐν πνεύματι.*] Ἀντὶ τοῦ, πνευματικῶς ἐδικαιώθη, ἀλλ' οὐ νομικῶς· καὶ γὰρ καὶ τὰς νομικὰς πληρῶν ἐντολὰς, οὐ νομικῶς αὐτὰς, ἀλλὰ πνευματικῶς ἐξεπλήρωσεν. Ἢ ὅτι, εἰ καὶ τοῖς σαρκικοῖς καὶ τοῖς ϐαρυκαρδίοις οὐκ ἐδόκει δεδικαιῶσθαι· (ἔλεγον γάρ· *Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης* (ε)·) ἀλλὰ τοῖς ἐν πνεύματι θεοῦ στηριζομένοις δεδικαίωται· *Καὶ ἐθεασάμεθα* γὰρ, φησὶ, *τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς*, καὶ ἑξῆς (ζ). Οὕτως ὁ Κλήμης

(α) Μαλαχ. Δ', 2. (ϐ) Ματθ. Γ', 15. (γ) Γαλατ. Δ', 26.
(δ) Ἰωάν. Β', 21.
(ε) Ματθ. ΙΑ', 19. (ζ) Ἰωάν. Α', 15.—« Ἐδικαιώθη ἐν πνεύματι. Τὴν γὰρ ἀνθρωπείαν φύσιν ἀνειληφὼς, ἐλευθέραν ταύτην ἁμαρτημάτων ἐφύλα-

ἐν τῷ ἑβδόμῳ τῶν Ὑποτυπώσεων. — *Ὤφθη ἀγγέλοις.*] Ὢ μυστήριον! Μεθ' ἡμῶν εἶδον οἱ ἄγγελοι τὸν Χριστὸν, πρότερον αὐτὸν οὐχ ὁρῶντες. Τὴν γὰρ ἀόρατον τῆς θεότητος φύσιν οὐδὲ ἐκεῖνοι ἑώρων, σαρκωθέντα δὲ ἐθεάσαντο. *Ἐκηρύχθη ἐν ἔθνεσιν.*] Ὁ παρὰ τῶν Ἰουδαίων σταυρωθεὶς ἐκηρύχθη ἔθνεσι τοῖς ἀπεγνωσμένοις, τοῖς διαβεβλημένοις. Καὶ οὐκ ἐκηρύχθη μόνον, ἀλλὰ καὶ *ἐπιστεύθη ἐν κόσμῳ*, καὶ τὴν θείαν παρὰ τῶν πεπιστευκότων προσκύνησιν δέχεται. *Ἀνελήφθη ἐν δόξῃ.*] Διηκόνουν γὰρ αὐτῷ, ἐπὶ τῶν νεφελῶν ἀναλαμβανομένῳ, οἱ ἄγγελοι. Διὰ τοῦτο φησὶν, *ἐν δόξῃ*· ὅτι καὶ αὐτὸ τὸ ἀναληφθῆναι, ἔνδοξόν ἐστι. —Τοῦτο γεγένηται μὲν πρὸ τοῦ κηρύγματος· τελευταῖον δὲ αὐτὸ τέθεικε, διδάσκων, ὡς εἰκότως ἐπιστεύθη τὸ κήρυγμα· ἐν οὐρανοῖς γάρ ἐστιν ὁ τοῦτο γενέσθαι κελεύσας, καὶ τὴν ἐκ δεξιῶν ἔχει καθέδραν. Οὕτω τῆς οἰκονομίας μνημονεύσας, καὶ διὰ τῆς πνευματικῆς χάριτος τὰς αἱρετικὰς προθεωρήσας ἀκάνθας, ἃς Οὐαλεντῖνος, καὶ Βασιλείδης, καὶ Μαρκίων, καὶ Μάνης παρέσπειραν, πάντες μὲν ὁμοίως τῆς σαρκὸς ἀρνούμενοι τὴν ἀνάληψιν, καὶ τῇ παλαιᾷ Διαθήκῃ μαχόμενοι, ἐν δὲ τοῖς ἄλλοις πολυσχιδεῖς ὑπομείναντες πλάνας, καὶ τὰ περὶ τούτων ἀναγκαίως προλέγει (Θεοδωρήτου).

ΚΕΦ. IV, 1 Τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέ-
ροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως,
προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις
2 δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηρια-
3 σμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν,
ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετά-
ληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνω-
4 κόσι τὴν ἀλήθειαν. Ὅτι πᾶν κτίσμα θεοῦ καλὸν,

ξεν. Ἔχει δὲ καὶ ἑτέραν διάνοιαν τουτὶ τὸ ῥητὸν, Ἐδικαιώθη ἐν πνεύματι· διὰ τοῦ θείου πνεύματος ἐνεργεῖ τὰ θαύματα. Εἰ γὰρ ἐγώ, φησιν, ἐν πνεύματι ἐκβάλλω τὰ δαιμόνια (Ματθ. ΙΒ', 28.). Ἀπεδείχθη τοίνυν διὰ τῶν θαυμάτων καὶ ἀπεφάνθη, ὅτι θεὸς ἀληθὴς, καὶ θεοῦ υἱός. Οὕτω καὶ ὁ ἑκατόνταρχος παρὰ τὸν σταυρὸν, κλονουμένην ἰδὼν τὴν γῆν, καὶ σκότους πληρωθεῖσαν τὴν οἰκουμένην, ἐβόησεν· Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος (Μαρκ. ΙΕ', 39.)» Θεοδώρητος.

καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανό-
5 μενον· ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

Τὸ *δὲ πνεῦμα ῥητῶς λέγει.*] Τουτέστι, σαφῶς, φανερῶς, καὶ οὐ συνεσκιασμένως, ὡς ὁ νόμος καὶ οἱ προφῆται. *Ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως.*] Ἐπειδὴ εἶπεν ἄνω, ὅτι *ἐναυάγησάν τινες περὶ τὴν πίστιν* (α), Μὴ θαυμάσῃς, φησὶν, εἰ νῦν ἀπὸ τῆς πίστεως ἀποστάντες τινὲς ἰουδαΐζουσιν· ἔσται γὰρ καιρὸς, ὅτε καὶ μᾶλλον ἡ πίστις πλατυνθήσεται, ἐν ᾧ καὶ χείρονα ποιήσουσιν οἱ δοκοῦντες χριστιανίζειν, οὐ μέχρι βρωμάτων παρατηρούμενοι, ἀλλὰ καὶ γάμων, καὶ τῶν λοιπῶν. *Προσέχοντες πνεύμασι πλάνοις.*] Ἐὰν γὰρ τῆς πίστεως ἀποστῇ τις, πάντα λοιπὸν ἕψεται τὰ χαλεπά. Λοιπὸν γὰρ ἀνάγκη, πνεύμασιν ἀκαθάρτοις καὶ δαίμοσι προσέχειν, πλανῶσιν ἀπὸ τῆς ὀρθότητος τὸν ἄνθρωπον. *Καὶ διδασκαλίαις δαιμόνων.*] Διὰ τούτων πᾶσαν αἵρεσιν ἐδήλωσε, μάλιστα δὲ Μανιχαίους, Ἐγκρατιτὰς, καὶ Μαρκιωνιστάς· πᾶσαι γὰρ ἀπὸ πλάνης καὶ διδασκαλίας δαιμόνων ἐγεννήθησαν. *Ἐν ὑποκρίσει ψευδολόγων.*] Τουτέστιν, ἐπιτηδεύσει. Δείκνυσι δὲ, ὅτι οὐ κατ' ἄγνοιαν ψεύδονται, ἀλλ' εἰδότες, ὅτι ψευδὴς αὐτῶν ἡ ἐπιτήδευσις τῶν δογμάτων, ἐπιτηδεύουσι τὸ ψευδολογεῖν *Κεκαυτηριασμένων τὴν συνείδησιν.*] Τουτέστι, πονηροῦ βίου εἰσί· καὶ ἐπειδὴ συνοίδασιν ἑαυτοῖς ἀκαθαρσίαν πολλὴν, διὰ τοῦτο τὸ συνειδὸς αὐτῶν ἀνεξαλείπτους ἔχει τοὺς καυτῆρας τοῦ ῥυπαροῦ βίου. Ὄντως γὰρ οἱ τοιοῦτοι, δέει τῶν ἀντιδόσεων, διαστρέφουσι τὰ ἀληθῆ δόγματα, πάντα πείθοντες αὐτοὺς εἶναι ἢ μόνον Θεὸν κριτὴν δίκαιον, ἀνάστασιν, ἀπόληψιν καλῶν καὶ κακῶν (1). *Κωλυόντων γαμεῖν.*] Τί οὖν; οἱ χριστιανοὶ οὐ κωλύουσι γαμεῖν; μὴ γένοιτο! *τίμιος γὰρ ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος* (β)· ἀλλὰ τοὺς μὴ

(α) Α΄ Τιμ. Α΄, 19.

(1) «Κεκαυτηριασμένους τὴν ἰδίαν συνείδησιν αὐτοὺς κέκληκε, τὴν ἐσχάτην αὐτῶν ἀναλγησίαν διδάσκων· ὁ γὰρ τοῦ καυτῆρος τόπος νεκρωθεὶς, τὴν προτέραν αἴσθησιν ἀποβάλλει.» Θεοδώρητος.

(β) Ἑβρ. ΙΓ΄, 4.

βουλομένους γαμεῖν, ἐπὶ παρθενίαν προτρέπουσιν· οἱ δὲ, κωλύοντες γαμεῖν, ὡς ἐξ ἀκαθάρτου κωλύουσιν. *Ἀπέχεσθαι βρωμάτων.*] Οὐκ ἔστι σφάλμα καλλιγραφικὸν τὸ, *Ἀπέχεσθαι βρωμάτων*, ὡς ἐνίοις ἔδοξεν, οὐδὲ παρόραμα ἀποστολικὸν, ἀλλὰ καὶ ὀρθῶς εἰς τὴν Ἀτθίδα συνήθειαν διαπεφρασμένον, ὥσπερ τὸ, *Ἐκώλυσεν αὐτὸν μὴ ποιεῖν τὰ ἄτοπα*, οὐ λέγει, ὡς *Εἰς ἀτοπίαν αὐτὸν προὔτρεψεν*, καὶ τὸ, *Ἀπέτρεπεν αὐτὸν μὴ προσκρούειν φίλοις*, οὐχὶ, *Φίλοις προσκρούειν*, ἀλλὰ τοὐναντίον. Καὶ πάλιν, *Ἐκώλυσε μὴ κλέπτειν*, οὐχ ὅτι ἐπέτρεπε τὴν κλοπήν. Καὶ, *Ἐκώλυεν ἀπέχεσθαι ἀῤῥητοποιΐας*, ἀντὶ τοῦ, *Ἀπῆγεν* ἀπὸ τῆς τοιαύτης πράξεως. Οὕτω καὶ *Ἐκώλυον ἀπέχεσθαι βρωμάτων*, ἀντὶ τοῦ, *Ἐκώλυον ἀπὸ τῆς βρώσεως*. Πολλὴ δὲ καὶ παρὰ τοῖς ἔξω ἡ χρῆσις (1). *Εἰς μετάληψιν μετὰ εὐχαριστίας.*] Ὅρα, πῶς ἐξέβαλε τὴν τρυφὴν τῷ ὀνόματι τῆς μεταλήψεως· ἡ γάρ μετάληψις τὴν μεμετρημένην λῆψιν δηλοῖ. Καὶ αὐτὴν δὲ τὴν τρυφὴν, οὐχ ὡς ἀκάθαρτον ἐξέβαλεν, ἀλλ' ὡς ἐκλύουσαν διὰ τῆς ἀμετρίας καὶ τῆς οἷον διαῤῥήξεως τὴν ψυχήν. Τοῖς πιστοῖς, φησιν, εἰς εὐχάριστον μετάληψιν ἔκτισεν ὁ Θεὸς τὰ βρώματα· τοῖς γὰρ ἀπίστοις οὐκέτι· νόμοις γὰρ ἰδίοις ἑαυτοὺς ἀπείργουσιν αὐτῶν (2). *Καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν.*] Ἄρα τὰ ἰουδαϊκὰ τύπος ἦν· νῦν γὰρ ἡ ἀλήθεια. Ἐκωλύοντο δὲ τῶν πολλῶν ἐκεῖνοι, οὐχ ὡς ἀκαθάρτων, ἀλλ' ἵνα τοῦ τρυφᾷν ἐπισχεθῶσιν. *Ἀλήθειαν* δέ φησι, τὴν εἰς Χριστὸν πίστιν. *Πᾶν γὰρ κτίσμα θεοῦ καλόν.*] Πάντα γάρ, φησι, καλὰ λίαν (α). Εἰπὼν δὲ, *κτίσμα* θεοῦ, περὶ τῶν ἐδωδίμων βρωμάτων ἁπάντων ᾐνίξατο. Προκαταβάλλει δὲ ἤδη τὴν αἵρεσιν τῶν τὴν ἀγέννητον ὕλην εἰσαγόντων, καὶ ἐκείνης τὰ βρώματα λεγόντων εἶναι. *Καὶ οὐδὲν ἀπόβλητον.*] Οὐκοῦν καὶ

---

(1) « Οὐκ ὀφείλεις ἀπὸ κοινοῦ λαβεῖν τὸ, κωλυόντων, ἀλλ' ἔξωθεν προσθεῖναι τὸ, Συμβουλευόντων ἀπέχεσθαι βρωμάτων. » Θεοφύλακτος.

(2) « Τί δαί; Τοῖς ἀπίστοις οὐκ ἔκτισε ταῦτα ὁ θεός; Ναί· ἀλλ' αὐτοὶ ἑαυτοὺς ἀπείργουσι. » Θεοφύλακτος. (α) Γενεσ. Α', 31.

τὸ εἰδωλόθυτον οὐκ ἔστιν ἀπόβλητον, μετὰ εὐχῆς λαμβανόμενον; Ναὶ, ἐὰν ἀγνοῇς σὺ, ὅτι εἰδωλόθυτόν ἐστιν· ἐὰν δὲ γνοὺς μεταλάβῃς, ἀκάθαρτος εἶ, οὐχ ὅτι ἐκεῖνο εἰδωλόθυτόν ἐστιν, ἀλλ' ἐπεὶ ὑπεύθυνος γίνῃ τῷ νόμῳ, τῷ κελεύοντι μὴ κοινωνεῖν εἰδώλων τραπέζης. Ἐκ τῆς τοῦ νόμου οὖν παραβάσεως κοινοῦται· ὥσπερ οὖν καὶ τὸ καθαρὸν παντελῶς, εὐχαριστίας δίχα λαμβανόμενον, κοινοῦται διὰ τὴν ἀχάριστόν σου προαίρεσιν. *Ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως.*] Οὐκοῦν εἰ ἁγιάζεται, ἀκάθαρτον λοιπόν ἐστι; Μὴ γένοιτο! πάντα γὰρ καθαρά. Ἀλλὰ δύο τίθησιν ἐνταῦθα κεφάλαια πρὸς ἐκείνους τοὺς ἀκάθαρτά τινα τῶν βρωμάτων λέγοντας. Πρῶτον μὲν γὰρ κατὰ ἔνστασίν φησιν, ὅτι πᾶν κτίσμα θεοῦ καλὸν, καὶ οὐδὲν ἀκάθαρτον. Ἔπειτα δὲ κατὰ συγχώρησιν· Εἴ τις δώῃ εἶναί τι ἀκάθαρτον, ἔνι καὶ οὕτω φάρμακον· *ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ*, τουτέστι, δι' εὐχῆς. Πρωθύστερον δὲ κεῖται· νοεῖται γὰρ οὕτω· Διὰ λόγου καὶ ἐντεύξεως τῆς πρὸς θεὸν γινομένης (1).

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρη-
7 κολούθηκας. Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ.

Ταῦτα *ὑποτιθέμενος τοῖς ἀδελφοῖς*.] *Ταῦτα*. Ποῖα; Τὰ περὶ τοῦ μυστηρίου, τὰ περὶ τῶν αἱρέσεων, τὰ περὶ τῶν βρωμάτων, ἅπερ κατέλεξεν. Ὅρα δὲ, οὐκ εἶπε, *κελεύων*, ἀλλ', *ὑποτιθέμενος*, τουτέστι, συμβουλεύων· συγκαταβατικὸν γὰρ, οὐκ ἀρχοντικὸν εἶναι δεῖ τὸν ἐπίσκοπον. *Καλὸς ἔσῃ διάκονος.*] Διακονεῖ γὰρ τῷ Χριστῷ διδάσκων, ἃ διδάσκεσθαι ὁ Χριστὸς βούλεται. *Ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως.*] Οὐ μόνον σε

(1) « Κατὰ συνδρομὴν ὁ λόγος. Πρῶτον μὲν γάρ, φησιν, οὐδὲν ἀκάθαρτον. Εἰ δέ τις καὶ κατὰ συγχώρησιν δώῃ εἶναί τι μὴ καθαρὸν, ἀλλὰ καὶ τοῦτο δι' εὐχῆς αὖθις ἁγιάζεται. » Σχόλιον ἀρχαῖον.

δεῖ, φησι, τοῖς ἀδελφοῖς ταῦτα ὑποτίθεσθαι, ἀλλὰ καὶ σαυτὸν ἀεὶ τρέφειν τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας. Τὸ γὰρ ἀδιάλειπτον τῆς εἰς τὰ τοιαῦτα προσοχῆς δηλῶν, εἶπε τὸ, *ἐντρεφόμενος*· ὡς εἰ εἶπεν· Ὥσπερ τροφῆς οὐκ ἀφίστασαι, οὕτω μηδὲ τῶν λόγων τούτων· ἢ ὅτι τρεφόμενος ἐν αὐτοῖς τὴν πνευματικὴν τροφήν· οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος (α). *Καὶ τῆς καλῆς διδασκαλίας.*] Ἔνι γὰρ καὶ κακὴ διδασκαλία, ἡ τῶν αἱρετικῶν. *Ἧ παρηκολούθηκας.*] Τουτέστι, ἧς ἐγένου τρόφιμος. *Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ.*] *Μύθους βεβήλους καὶ γραώδεις* τὰς ἰουδαϊκὰς λέγει παρατηρήσεις, ἢ ὡς παραπεποιημένας, ἢ διὰ τὸ ἄκαιρον. Αὗται γὰρ, ἐν μὲν τῷ οἰκείῳ καιρῷ χρήσιμοι ἦσαν· νῦν δὲ, γραώδεις καὶ σεσηπυῖαι. Ἢ καὶ περὶ Ἑλληνικῶν καὶ αἱρετικῶν φλυαριῶν ταῦτα λέγει. Ὄντως γὰρ βέβηλοι αὗται καὶ ἀνόσιοι, καὶ γραϊδίων αὗται λεληρηκότων ῥήματα (1). Λέγει λοιπόν· Τοῖς μὲν σοῖς παραίνει ἃ εἶπον· πρὸς δὲ τοὺς διεστραμμένους, μηδὲ εἰς γυμνασίαν καταβῇς· οὐ γάρ ἐστιν αὐτοὺς ὠφελῆσαι, πλὴν εἴποτε σκάνδαλον ἀναφύοιτο, ὡς δι' ἀσθένειαν ἡμῶν παραιτουμένων τὴν πρὸς αὐτοὺς μάχην.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἀγῶνος εὐσεβείας ἐπ' ἐλπίδι.

8 Γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν· ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν
9 ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης. Πιστὸς δ

(α) Ματθ. Δ', 4.

(1) « Γραώδεις μύθους, τὰς ἰουδαϊκὰς διδασκαλίας ἐκάλεσεν, οὐ τὸν νόμον, ἀλλὰ τὴν ἐψευσμένην ἑρμηνείαν τοῦ νόμου, καὶ τὴν ἄκαιρον αὐτοῦ φυλακήν. » Θεοδώρητος.

10 λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος. Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

Γύμναζε δὲ σεαυτόν.] Ἀντὶ τοῦ, ἔθιζε. *Πρὸς εὐσέβειαν.*] Τουτέστι, πρὸς πίστιν ὀρθὴν καὶ βίον καθαρόν· τοῦτο γὰρ *εὐσέβεια*, ἡ μετὰ πίστεως ὀρθῆς ἐπιμέλεια τοῦ καθαροῦ βίου (1). *Ἡ γὰρ σωματικὴ γυμνασία.*] Ἡ τὰ σώματα ὑγιαίνειν ποιοῦσα. Ἡ δὲ σύγκρισις ἀπὸ τοῦ ἐλάττονος. *Πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος.*] Οἷον ἄχρι τοῦ σώματος, καὶ ἄχρι τοῦ παρόντος βίου. *Ἐπαγγελίαν ἔχουσα ζωῆς.*] Ὁρᾷς τὴν ὠφέλειαν; ὅτι καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι βίῳ ἡ εὐσέβεια ζωοποιεῖ τὴν πνευματικὴν ζωήν (2). *Πιστὸς ὁ λόγος.*] *Πιστὸς*, τουτέστιν, ἀληθής, καὶ πᾶσιν ἀπόδεκτος ὁ τοιοῦτος λόγος. Ποῖος; ὅτι ἡ εὐσέβεια καὶ ἐνταῦθα καὶ ἐκεῖ ὠφελεῖ. Ὅρα δὲ, ὅτι καὶ *πιστὸν* αὐτὸν εἶπεν, οἱονεὶ ἀληθῆ, καὶ πᾶσιν ἀπόδεκτον· ἔνι γὰρ καὶ ἀληθῆ μὲν εἶναι, ἀμφίβολον δέ. Διὰ δὲ τὸ θαῤῥεῖν τῷ μαθητῇ, ἀποφαντικῶς ἐν ὅλῃ λαλεῖ τῇ ἐπιστολῇ. *Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν.*] *Εἰς τοῦτο*, Ποῖον; *Ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι.* Καὶ ἡμεῖς γὰρ τῷ τοῦτο συνειδέναι κάμνομεν ἀνενδοιάστως· καὶ οἱ ἐχθροὶ διὰ τοῦτο ἡμᾶς μάλιστα πολεμοῦσιν. *Ὅς ἐστι σωτὴρ πάντων.*] Σωτὴρ πάντων ἐστὶν ἐνταῦθα· ἐκεῖ δὲ οὐ πάντων, ἀλλὰ τῶν ἀξίων τοῦ σώζεσθαι. Καὶ ἐνταῦθα δὲ, τῶν πιστῶν μάλιστα προνοεῖ. Εἰ μὴ γὰρ αὐτὸς τούτους ἔσωσε, πῶς ἂν ἀντέσχον ὑπὸ τοσούτων πολεμούμενοι; Διὰ δὲ τούτων παρορμᾷ τὸν Τιμόθεον εἰς τοὺς ὑπὲρ πίστεως κινδύνους. Μὴ γὰρ ἐκλύου, φησὶ, τοιοῦτον ἔχων θεὸν, μηδὲ

(1) « Εὐσεβείας γυμνασίαν ἐκάλεσε τὸν ἐπαινούμενον βίον· ἡ πολιτεία γὰρ τοῖς ἀγῶσιν ἁρμόττει. » Θεοδώρητος.

(2) « Οἱ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελούμενοι, πρὸς ὀλίγον ταύτης ἀπολαύουσιν· οἱ δὲ τῆς εὐσεβείας ἀγῶνες, καὶ κατὰ τόνδε τὸν βίον περιβλέπτους ἀποφαίνουσι τοὺς ἀγωνιστὰς, καὶ ἐν ἐκείνῳ παρασκευάζουσι τῶν ἀκηράτων ἀπολαῦσαι στεφάνων ». Θεοδώρητος.

τὴν παρ' ἑτέρων συμμαχίαν ἐπικαλοῦ, ἀλλ' ἔλπιζε ἐπ' ἐκεῖνον· ζῇ γὰρ καὶ σωτήρ ἐστιν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἐπιμελείας αὐτοῦ καὶ τῆς ἐκκλησίας.

11 Παράγγελλε ταῦτα, καὶ δίδασκε. Μηδείς σου τῆς
12 νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν
πιστῶν, ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύ-
13 ματι, ἐν πίστει, ἐν ἁγνείᾳ. Ἕως ἔρχομαι, πρόσεχε
14 τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ
ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ
προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρε-
15 σβυτερίου. Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι· ἵνα σοῦ
16 ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν. Ἔπεχε σεαυτῷ καὶ
τῇ διδασκαλίᾳ· ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν,
καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

Π*αράγγελλε ταῦτα καὶ δίδασκε.*] Ἐπὶ μὲν τῶν ἐν γνώσει ἁμαρτανόντων, παραγγέλλειν μετὰ αὐθεντίας χρεία· ἐπὶ δὲ τῶν ἐν ἀγνοίᾳ, διδάσκειν. Καὶ ἁπλῶς, ὁ μὲν ἐπὶ ἀγαθὰ προτρέπων, διδάσκει· ὁ δὲ κακοῦ κωλύων, παραγγέλλει. *Μηδείς σου τῆς νεότητος καταφρονείτω.*] Ἐπειδὴ ἡ κοινὴ πρόληψις εὐκαταφρόνητον πρᾶγμα ἡγεῖται τὴν νεότητα, φησίν· Αὐθεντικώτερον παράγγελλε, καὶ μηδείς σου καταφρονείτω. Δεῖ γὰρ καὶ αὐθεντικώτερον διαλέγεσθαι τὸν ἐπίσκοπον. Ποῦ οὖν, *Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις* (α); Καὶ φαμὲν, ὅτι ἐν μὲν οἷς αὐτὸς ἀδικεῖται, πρᾶος εἶναι ὀφείλει· ἐν οἷς δὲ οἱ ἀδελφοὶ ἁμαρτάνοντες ἀδικοῦνται, αὐστηρός. Ἢ οὕτως· Ἐὰν κοσμιώτατον ἀσκῇς βίον, οὐ καταφρονηθήσεται ἡ νεότης, φύ-

---

(α) Φιλιπ.' Δ', 5.

σει τὸ εὐκαταφρόνητον ἔχουσα, ἀλλὰ θαυμασθήσεται. *Ἀλλὰ τύπος γίνου τῶν πιστῶν.*] Ὥσπερ εἰκὼν ἔμψυχος, καὶ ὅρος εὐζωίας (1). *Ἐν λόγῳ.*] Ἐν τῷ λαλεῖν, ἃ δεῖ λαλεῖν τὸν διδάσκαλον. Ὅρα δὲ, ὅτι δεῖ τὸν διδάσκαλον παρασκευὴν ἔχειν λόγου. *Ἐν ἀναστροφῇ.*] Οἷον, ἐν βίῳ καὶ πολιτείᾳ. *Ἐν ἀγάπῃ.*] Τῇ πρὸς πάντας. *Ἐν πνεύματι.*] Ἡ ἐν τῇ πνευματικῇ καταστάσει, ἢ ἐν τῷ χαρίσματι, ὥστε μὴ ἐπαίρεσθαι ἐπὶ τούτῳ. *Ἐν πίστει.*] Τῇ ὀρθῇ καὶ τῇ ἀδιστάκτῳ, ὅταν τις πιστεύῃ τῷ Θεῷ καὶ περὶ τῶν ἀδυνάτων. *Ἐν ἁγνείᾳ.*] Τουτέστι, καθαρότητι, παρθενίᾳ, ἢ καὶ σωφροσύνῃ. *Ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει.*] Εἰκὸς ἦν αὐτὸν, ἀπορφανισθέντα τοῦ Παύλου, ζητεῖν αὐτόν. Διττῶς οὖν αὐτὸν παραμυθεῖται, τῇ τε τῆς ἀφίξεως ἐπαγγελίᾳ, καὶ τῇ ἐκ τῶν Γραφῶν παραμυθίᾳ. Ὅρα δέ· εἰ Τιμόθεος ἀναγινώσκειν τὰς θείας Γραφὰς ἐπιτάσσεται, τί δεῖ ποιεῖν ἡμᾶς; *Τῇ παρακλήσει.*] Τῇ πρὸς τοὺς λελυπημένους, ἢ καὶ ἄλλους ἐκλελυμένως ἔχοντας. *Τῇ διδασκαλίᾳ.*] Τῇ πρὸς τὸν λαόν (2). *Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος.*] Τῆς διδασκαλίας τὸ χάρισμα φησὶν ἐνταῦθα, ὃ ἐδέξατο ἐπίσκοπος γενόμενος. Χάρις γὰρ Θεοῦ, τὸ ποιμένα εὑρεθῆναι τὸν νέον. *Ὃ ἐδόθη σοι διὰ προφητείας.*] Προστάξαντος τοῦ Πνεύματος. Πνεύματος γὰρ προστάξει ἐγίνοντο οἱ ἐπίσκοποι, καὶ οὐ χύδην. Προφητείας δὲ εἶδος, καὶ τὸ τὰ ἐνεστῶτα λέγειν, ὡς ἐκεῖ· *Ἀφορίσατέ μοι τὸν Βαρνάβαν καὶ τὸν Παῦλον* (α). *Μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου.*] *Πρεσβυτέρους*, τοὺς ἐπισκόπους φησίν· οὐ

---

(1) « Ἀρχέτυπον τοῦ βίου ἴσο, καὶ κανὼν ἀρίστης πολιτείας. » Θεοφύλακτος.

(2) « Καὶ ἐντεῦθέν ἐστι μαθεῖν, ὡς καὶ ἡμᾶς προσήκει συνεισφέρειν τὸν πόνον, καὶ οὕτω λαμβάνειν τὴν χάριν τοῦ Πνεύματος. Καὶ γὰρ τῷ τρισμακαρίῳ Τιμοθέῳ, πνευματικῷ ὄντι, τῇ ἀναγνώσει προσέχειν ἐκέλευσεν ὁ διδάσκαλος. Παράκλησις δὲ διδασκαλίας διαφέρει· τῷ τὴν μὲν διδασκαλίαν ἀκωλύτως διάφορα προσφέρειν παιδεύματα· τὴν δὲ παράκλησιν, ἢ τοὺς ἀθυμοῦντας ψυχαγωγεῖν, ἢ τοὺς ὀργιζομένους ταῖς συμβουλαῖς μεταβάλλειν. » Θεοδώρητος.

(α) Πράξ. ΙΓ', 2. Ἴδ. καὶ Α' Τιμ. Α', 18.

γὰρ ἂν οἱ πρεσβύτεροι ἐχειροτόνησαν τὸν ἐπίσκοπον (1). *Ταῦτα μελέτα.*] Ποῖα; Ἃ εἶπεν ἄνω, Ἐν λόγῳ, Ἐν ἀναςροφῇ, Ἐν πίστει, Ἐν ἁγνείᾳ. Ἐκ δὲ τοῦ πολλάκις αὐτῷ τὰ αὐτὰ παρεγγυᾷν, δείκνυσι τὸν ἐπίσκοπον δεῖν ἀναντιῤῥήτως ταῦτα φυλάττειν. *Φανερὰ ᾖ ἐν πᾶσιν.*] Εἰ δὲ μὴ γένηται σφόδρα μεγάλη, οὐκ ἂν γένηται καταφανής. *Ἐν πᾶσι* δὲ, ἢ ἀνθρώποις, ἢ πράγμασιν. *Ἔπεχε σεαυτῷ.*] Οἷον, πρόσεχε, καὶ μὴ μόνον σαυτῷ, ἀλλὰ καὶ τῇ διδασκαλίᾳ, ἵνα καὶ ἄλλους ὠφελήσῃς. Εἶτα καὶ τὸ ἀνένδοτον παρεγγυῶν, φησιν· *Ἐπίμενε αὐτοῖς. Τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις.*] Ἐν γὰρ τῷ παραινεῖν ἑτέροις, καὶ ὁ παραινῶν κατανύττεται καὶ ὠφελεῖται, ἐρυθριῶν ὑπεύθυνος γενέσθαι, ὧν ἄλλους ἀποτρέπει.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ ἁρμοζόντως ἑκάςῳ προσφέρεσθαι.

ΚΕΦ. V, 1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρα-
2 κάλει ὡς πατέρα· νεωτέρους, ὡς ἀδελφούς· πρεσβυτέρας, ὡς μητέρας· νεωτέρας, ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ.

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς.] *Πρεσβύτερον*, οὐ τὸν τὸ ἀξίωμα τοῦ πρεσβυτέρου ἐν ἐκκλησίᾳ ἔχοντά φησιν, ἀλλὰ πάντα γεγηρακότα. Τί οὖν, ἂν δέηται διορθώσεως; Ὡς ἂν πατρί, φησι, προσενέχθητι αὐτῷ, μετὰ προσηνείας διδάσκων. Ἐπειδὴ γὰρ φορτικὸν ἡ ἐπίπληξις, μάλιςα ἡ παρὰ νέου πρὸς γεγηρακότα γινομένη, τῇ ἐπιεικείᾳ ὑποτέμνεται τὸ φορτικόν. *Νεωτέρους, ὡς ἀδελφούς.*] Ἀπὸ κοινοῦ τὸ, παρακάλει· ὡς ἀδελφοὺς δὲ

(1) « Πρεσβυτέριον ἐνταῦθα, τοὺς τῆς ἀποστολικῆς χάριτος ἠξιωμένους ἐκάλεσεν. Οὕτω καὶ τοὺς ἐντίμους τοῦ Ἰσραὴλ γερουσίαν προσηγόρευσεν ἡ θεία Γραφή. » Θεοδώρητος.

διὰ τοῦτο, ἵνα τὸ θρασὺ αὐτῶν καταστείλῃς. *Πρεσβυτέρας, ὡς μητέρας.*] Διὰ τὴν εἰρημένην ἐπὶ τῶν πρεσβυτέρων αἰτίαν. *Νεωτέρας, ὡς ἀδελφάς.*] Ἐπειδὴ ἡ ἡλικία αὕτη θρασύτητα ἔχει, καὶ οὐ δέχεται τοὺς ἐλέγχους, ἡ ἐπιείκεια, φησι, μεσαζέτω. *Εν πάσῃ ἁγνείᾳ.*] Ἐπειδὴ καὶ αἱ πρὸς νεωτέρας ὁμιλίαι δυσκόλως διαφεύγουσιν ὑποψίαν, Σὺ, φησὶ, μετὰ πάσης ἁγνείας τοῦτο ποίει, τουτέστι, μὴ μόνον τὴν τῆς μίξεως ἁμαρτίαν φυλαττόμενος, ἀλλὰ καὶ πᾶσαν ἄλλην ὑποψίας ἀφορμήν. Οὐ Τιμοθέῳ δὲ μόνῳ, ἀλλὰ καὶ παντὶ ἐπισκόπῳ παραινεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ χηρῶν ἡλικίας, καὶ τρόπου, καὶ διοικήσεως.

3 Χήρας τίμα, τὰς ὄντως χήρας. Εἰ δέ τις χήρα
4 τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν
ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς
προγόνοις· τοῦτο γάρ ἐστιν (1) ἀπόδεκτον ἐνώ-
5 πιον τοῦ θεοῦ. Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη,
ἤλπικεν ἐπὶ τὸν θεὸν, καὶ προσμένει ταῖς δεήσεσι
6 καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας· ἡ δὲ σπα-
7 ταλῶσα, ζῶσα τέθνηκε. Καὶ ταῦτα παράγγελλε,
8 ἵνα ἀνεπίληπτοι ὦσιν. Εἰ δέ τις τῶν ἰδίων, καὶ μά-
λιστα τῶν οἰκείων, οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται,
καὶ ἔστιν ἀπίστου χείρων.

Διὰ τί περὶ παρθένων οὐδὲν λέγει; Ἴσως ὅτι οὐκ ἦσαν ἀκμήν. Τίς δέ ἐστιν ἡ ὄντως χήρα, προϊὼν λέγει. Τιμᾶσθαι δὲ αὐτὰς προσέταξε· διότι ἄνδρας οὐκ ἔχουσι τοὺς προστησομένους, οὐδὲ τέκνα, καὶ τὸ πρᾶγμα ἐπικατάρατον πολλοῖς εἶναι δοκεῖ. Διὰ τοῦτο πολλῆς, φησι, παρὰ τοῦ ἱερέως ἀπολαυέτωσαν τιμῆς, ὥσπερ ἀνορθοῦντος τὰ παρὰ τῶν ἄλλων ὀνείδη. *Ἡ τι-*

(1) Παρ' ἄλλοις, καλὸν καὶ ἀπόδεκτον.

μὴν, τὴν τῶν ἀναγκαίων λέγει χορηγίαν. *Εἰ δέ τις χήρα τέκνα ἔχει.*] Αὗται οὐκ εἰσὶν ὄντως χῆραι. Ὄντως γὰρ χῆραί εἰσιν, αἱ πάντοθεν μεμονωμέναι. *Μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν.*] Τουτέστι, διατιθέναι καλῶς.—ΚΑΙ ΑΛΛΩΣ, Εἰς τὸ, *Μανθανέτωσαν τὰ τέκνα καὶ τὰ ἔκγονα πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν.*] Τουτέστι, Μανθανέτωσαν τὰ τέκνα καὶ τὰ ἔκγονα, τιμᾷν τὴν οἰκείαν μητέρα, καὶ τρέφειν, καὶ εὖ ποιεῖν· τοῦτο γὰρ λέγει *εὐσεβεῖν*, τὸ γηροκομεῖν μητέρα ἢ μάμμην· ἐπεὶ καὶ θεῖον ἀξίωμα τὸ τῶν γονέων. Ὥστε ἐκ τοῦ ἐναντίου, ἀσέβεια τὸ μὴ γηροκομεῖν.—*Καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις.*] Ὅρα σύνεσιν τοῦ μακαρίου Παύλου! Πολλάκις καὶ ἀπὸ ἀνθρωπίνων προτρέπει λογισμῶν. Ἐπειδὴ γὰρ, φησιν, οἱ πρόγονοι ἀνῆξάν σε καὶ ἐπιμελείας ἠξίωσαν, σὺ δὲ ἐκείνοις τὰς ἀμοιβὰς οὐκ ἴσχυσας ἀντιδοῦναι· ἀπέθανον γάρ· διὰ τῶν ἐκγόνων τῶν ἐκείνων, τέκνων δὲ σῶν, ἄμειψαι αὐτοὺς, ἃς ὤφειλες ἐκείνοις τὰς χάριτας, τούτοις ἀποδιδοῦσα. Προςτίθησι δὲ καὶ λογισμὸν, ὅτι καὶ τῷ θεῷ τοῦτο ἀπόδεκτον. *Ἡ δὲ ὄντως χήρα.*] Ἐπειδὴ τὰς ὄντως χήρας τιμᾶσθαι προσέταξε, νῦν λέγει, ποῖαι εἰσὶν αἱ ὄντως χῆραι, ὡς ἐν ἐξηγήσει χαρακτηρίζων αὐτάς. Ἡ μεμονωμένη, φησὶ, καὶ ἀπὸ τέκνων καὶ ἀπὸ ἐκγόνων, καὶ ἐπὶ μόνον τὸν θεὸν ἐλπίζουσα. *Καὶ προσμένει ταῖς δεήσεσιν.*] Αὕτη τοιγαροῦν ἡ ὄντως χήρα, ἡ ἐλπίζουσα ἐπὶ τὸν θεὸν, καὶ προσμένουσα ταῖς δεήσεσιν· ἐπειδὴ γὰρ ἔρημος ἀνθρωπίνης ὑπάρχει βοηθείας, εἰκότως ἐπὶ τὸν θεὸν καταφεύγει (1). *Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε.*] Ἐπειδὴ γὰρ πολλαὶ τὴν χηρείαν αἱροῦνται, ἵνα μετὰ πλείονος ἐξουσίας πράττωσιν, ὅπερ οὐ χρὴ, φησίν· *Ἡ δὲ σπαταλῶσα*, τουτέστιν, ἡ τρυφῶσα, *ζῶσα τέθνηκε.* Πῶς; Ζῆν γὰρ δοκοῦσα τὴν νῦν ζωὴν, τὴν αἰώνιον ζωὴν ἀπώλεσε. Τέθνηκεν οὖν διὰ τῆς ἁμαρτίας,

(1) «Τῆς ἐκκλησιαστικῆς, φησι, προσήκει ἀπολαύειν θεραπείας τὰς μηδαμόθεν ἐτέρωθεν ἐχούσας παραψυχῆς ἀφορμήν. Αὗται δὲ, διὰ τὸ φροντίδων ἀπηλλάχθαι, ἓν ἔργον ἔχουσι, τὸ ταῖς θείαις προσευχαῖς ἐνδιατρίβειν ἀεί.» Θεοδώρητος.

ὅσον πρὸς ἐκείνην τὴν ζωήν. *Καὶ ταῦτα παράγγελλε.*] Ὁρᾷς, ὅτι ὡς νόμον τὸ πρᾶγμα εἶναι θέλει; Οὐ γὰρ τῇ προαιρέσει τὸ μὴ τρυφᾷν ἐπιτρέπει, ὥσπερ τὰ κατορθώματα, ἀλλ' ὡς ἁμαρτίαν τοῦτο ἀπαγορεύει. *Εἰ δέ τις τῶν ἰδίων οὐ προνοεῖ.*] Οὐ γὰρ ἀρκεῖ πρὸς σωτηρίαν ἡ οἰκεία μόνον ἀρετὴ, ἂν μὴ καὶ ἄλλων προνοῇ τις. Περὶ δὲ τῆς χήρας ταῦτά φησιν. *Ἰδίους* μὲν λέγει, τοὺς κατά τι διαφέροντας, οἷον φίλους, οἰκέτας· *οἰκείους* δὲ, τοὺς τῷ γένει προσήκοντας· ἔνι γὰρ εἶναι ἰδίους, οἷον φίλους, οὐ μὴν καὶ οἰκείους. Προνοητέον οὖν αὐτῇ τῶν ἰδίων, μάλιστα δὲ τῶν οἰκείων, ὅπερ ἡ σπαταλῶσα οὐ ποιεῖ, τῇ τρυφῇ μόνῃ προσέχουσα. *Πρόνοιαν* δὲ, τήν τε κατὰ ψυχὴν, τήν τε κατὰ τὸ σῶμα λέγει.—Τῶν ἰδίων καὶ τῶν οἰκείων προνοεῖ, ὁ μὴ μόνον τῶν προσηκόντων προνοῶν, ἀλλὰ καὶ αὐτὸς ἑαυτοῦ, διὰ τοῦ ἐκκόπτειν τὰ πάθη. Οὕτως ὁ Κλήμης ἐν ἑβδόμῳ τῶν Ὑποτυπώσεων.—*Τὴν πίστιν ἤρνηται.*] Καὶ πῶς ἡ σπαταλῶσα, καὶ τῶν ἰδίων καὶ τῶν οἰκείων οὐ προνοοῦσα, τὴν πίστιν ἤρνηται; Ὅτι τὰ ἔργα αὐτῆς οὐκ εἰσὶ πιστεύοντος· εἰ γὰρ ἐπίστευε τῷ Θεῷ, ἤκουεν ἂν αὐτοῦ λέγοντος· *Καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει* (α). Εἰ δὲ δοκεῖς μὲν τὸν Θεὸν μὴ ἀρνεῖσθαι, τοὺς δὲ νόμους αὐτοῦ παραβαίνεις, τὸν Θεὸν ἀρνῇ· εἴρηται γάρ· *Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται* (β). *Καὶ ἔστιν ἀπίστου χείρων.*] Πῶς δέ ἐστι καὶ ἀπίστου χείρων; Ὅτι οἱ ἄπιστοι, εἰ καὶ μὴ πάντων, τῶν συγγενῶν μέντοι προνοοῦσι διὰ τὸν νόμον τῆς φύσεως· αὐτὴ δὲ καὶ τὸν τοῦ Θεοῦ καὶ τὸν τῆς φύσεως νόμον ἀναιρεῖ καὶ ἀδικεῖ.

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα
10 γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνὴ, ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ
11 παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. Νεωτέρας δὲ χή-

(α) Ἡσ. ΝΗ', 7. (β) Τιτ. Α', 16.

ρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χρι-
12 στοῦ, γαμεῖν θέλουσιν· ἔχουσαι κρίμα, ὅτι τὴν
13 πρώτην πίστιν ἠθέτησαν. Ἅμα δὲ καὶ ἀργαὶ μαν-
θάνουσι περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ
ἀργαὶ, ἀλλὰ καὶ φλύαροι, καὶ περίεργοι, λαλοῦσαι
τὰ μὴ δέοντα.

Ἐπειδὴ εἶπεν ἀνωτέρω, ὅτι ἡ σπαταλῶσα καὶ μὴ προνοοῦσα τῶν οἰκείων, ἀναξία ἐστὶ τοῦ καταλόγου τῶν χηρῶν, νῦν διδάσκει ἡμᾶς τί δεῖ αὐτὴν ἔχειν. Καὶ πρῶτον μὲν περὶ τῆς ἡλικίας ἀκριβολογεῖται· τὴν δὲ αἰτίαν προϊὼν λέγει. Οὐ γὰρ ἁπλῶς οὕτω τὴν ἑξηκοντοῦτιν ἐγκρίνει· ὡς εἴγε καὶ ἑξήκοντα εἴη ἐτῶν, τὰ δὲ λοιπὰ μὴ ἔχοι, μὴ καταλεγέσθω. Ἔπειτα καὶ μονογαμίαν αὐτὴν ἀπαιτεῖ, ὡς σημεῖον σεμνότητος καὶ σωφροσύνης. Φασὶ δὲ τὰς εἰς τὸ χηρικὸν τεταγμένας λέγειν. *Ἐν ἔργοις καλοῖς μαρτυρουμένη.*] Τοῦτο ἐστὶ τὸ κυρίως αὐτὴν ἀξιοῦν τοῦ καταλόγου. Εἰπὼν δὲ γενικῶς, *ἐν ἔργοις καλοῖς*, λοιπὸν καὶ τὰ καθ' ἕκαστον ἀριθμεῖ. *Εἰ ἐτεκνοτρόφησεν.*] *Τεκνοτροφεῖν* οὐ τοῦτό ἐστι, τὸ τρέφειν τὰ τέκνα ἁπλῶς, ἀλλὰ τὸ ὡς δεῖ, ὥσπερ καὶ ἄνω εἶπε (α). Τί οὖν, εἰ μὴ ἔχει παῖδας; Τὰ λοιπὰ ποιείτω. *Εἰ ἐξενοδόχησεν.*] Ὁρᾷς, ὅτι καὶ ἐνταῦθα τὰς τῶν οἰκείων εὐεργεσίας προτίθησι τῶν εἰς τοὺς ἀλλοτρίους; Εἰπὼν γὰρ πρῶτον, *εἰ ἐτεκνοτρόφησεν*, οὕτως ἐπάγει τὸ, *εἰ ἐξενοδόχησεν*. *Εἰ ἁγίων πόδας ἔνιψεν.*] Ἀλλ' ἐρεῖ, ὅτι πενιχρά εἰμι, καὶ ξενοτροφεῖν οὐκ εὐπορῶ, οὔτε θλιβομένοις ἐπαρκέσαι. Μὴ ἁγίων, φησὶ, πόδας νίψαι οὐκ ἔχεις; μὴ τῷ ἀγαθῷ ἔργῳ ἐπακολουθεῖν εὐπορίας χρήζει; Κατὰ γὰρ τὰ ἐγχωροῦντα τούτων ἕκαστον εἴρηκεν. *Ἅγιοι* δέ εἰσι πάντες, ὅσοι πίστιν ὀρθὴν μετὰ βίου ἔχουσι, κἂν μὴ σημεῖα ἐργάζωνται.—*Εἰ ἁγίων πόδας ἔνιψε.*] Τουτέστιν, εἰ τὰς ἐσχάτας ὑπηρεσίας τοῖς ἁγίοις ἀνεπαισχύν-

(α) Α' Τιμ. Β', 15.

τως ἐξετέλεσεν. *Οὕτως* ὁ Κλήμης ἐν ἑβδόμῳ τῶν Ὑποτυπώσεων.—*Εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν.*] Οἷον, ἐκοινώνησεν, ὑπηρέτησεν. Εἰ γὰρ καὶ ἐργάσασθαι οὐκ εὐπορεῖ, ὑπηρετῆσαι μέντοι εὐπορεῖ. *Νεωτέρας δὲ χήρας παραιτοῦ.*] Τί δή ποτε, καίτοι μείζονος ἀγῶνος ὄντος, ἐπὶ τῶν παρθένων οὐδαμοῦ φαίνεται χρόνου παρατήρησιν εἰπών; Ὅτι ἐκεῖναι μὲν ἀπὸ μείζονος θερμότητος, τῆς ἐν πίστει, εἰς τοῦτο ἦλθον· αὗται δὲ καὶ ἀνάγκῃ τινὶ, τῇ ἐκ τῆς ἐρημίας· ἢ ὅτι καὶ ἐπὶ τῆς παρθένου εἰπὼν, εὐπρόσεδρον εἶναι καὶ τὰ τοῦ Κυρίου μεριμνῶσαν (α), πολλὴν ἀκρίβειαν ἐπεζήτησεν. *Ὅταν καταστρηνιάσωσι τοῦ Χριστοῦ.*] Ἴσως ἦσαν τοῦτο πεποιηκυῖαι τινές. Ὅρα δὲ, ὅτι καὶ αἱ ὄντως χῆραι, τῷ Χριστῷ ἁρμόζονται· ἁρμοζόμεναι δὲ, ἐν τάξει παρθένων καθίστανται· *ἡρμοσάμην γὰρ ὑμᾶς*, φησὶν, *ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ* (β). Ταῦτα δὲ πρὸς πᾶσαν ἐκκλησίαν ἁρμόζει. Τί δὲ τὸ, *ὅταν καταστρηνιάσωσι*, βούλεται; Τουτέστιν, ὅταν καταβλακευθῶσιν, ὅταν καταθρυφθῶσιν, ἢ, ὅταν ἀκκισθῶσιν, ὅταν καθυπερηφανεύσωνται τοῦ Χριστοῦ, μὴ καταδεχόμεναι αὐτὸν νυμφίον, ἐκπίπτουσι λοιπὸν εἰς τὸν γάμον· οὐ γὰρ εἵλοντο τὴν χηρείαν μετὰ κρίσεως λογισμοῦ. *Ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.*] Τὴν πρὸς τὸν Χριστὸν συνθήκην λέγει *πίστιν*. Συνθέμεναι γὰρ αὐτῷ ἡρμόσθαι, ἀθετοῦσιν αὐτὸν, ἐπὶ ἀνθρώπινον ἐρχόμεναι γάμον, καὶ διὰ τοῦτο ἔχουσι κατάκρισιν. Μετὰ δὲ τοῦτο, καὶ ἄλλῳ ἁμαρτήματί, φησιν, ὑποπίπτουσι, τῇ ἀργίᾳ. Οὐ μόνον τοιγαροῦν ἀνδράσι τὸ ἐργάζεσθαι προσέταξεν, ἀλλὰ καὶ γυναιξί· πᾶν γὰρ κακὸν, ἐξ ἀργίας τίκτεται. *Ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι.*] Πῶς δὲ ἀργαὶ μανθάνουσιν; Ἔχουσαι τοὺς ἐπεισάκτους ἄνδρας χορηγοῦντας αὐταῖς τὰ πρὸς χρείαν, τῶν μὲν ἔργων ῥᾳθυμοῦσιν, ὅπως δὲ εὐπρόσωποι τοῖς ἀνδράσι δόξωσιν ἐπιμελοῦνται. *Οὐ*

(α) Α΄. Κορ. Ζ΄, 35. (β) Β΄ Κορ. ΙΑ΄, 2.

μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι.] Εἰκότως· Περιοδεύουσαι γὰρ τὰς οἰκίας, οὐδὲν ἄλλο ἢ τὰ ταύτης πρὸς ἐκείνην φέρουσι, καὶ τὰ ἐκείνης, εἰς ταύτην· καὶ ἀναγκαίως εἰς περιεργίαν ἐκ τοῦ ἐρευνᾷν πάντα, καὶ εἰς φλυαρίαν, ἐκ τοῦ λέγειν τὰ πάντων πρὸς πάντας, ἐκτραχηλίζονται. Ἐνεργὸς γὰρ ὁ νοῦς ἡμῖν παρὰ τοῦ δημιουργοῦ κατεσκεύασται. Ὅταν οὖν αὐτῷ μὴ δῶμεν ἐργασίαν χρηστὴν, αὐτὸς ἐπιλαμβάνεται ἐργασίας ἀτόπου.

14 Βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικει-
15 μένῳ λοιδορίας χάριν. Ἤδη γάρ τινες ἐξετράπησαν
16 ὀπίσω τοῦ σατανᾶ. Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.

Βούλομαι οὖν νεωτέρας γαμεῖν.] Τὸ μὲν καλὸν ἦν, ἅπαξ ταῖς χήραις συγκαταλεγείσας, μὴ καταστρηνιᾷν τοῦ Χριστοῦ, μηδὲ ἀθετεῖν τὴν πρώτην πίστιν· ἐπειδὴ δὲ τοῦτο ποιοῦσι, γαμείτωσαν· τὸ μὲν γὰρ, ἀναμάρτητον, τὸ δ', ἀνόσιον. Τὸ γὰρ κεχηνὸς αὐτῶν καὶ ῥᾴθυμον, οὕτω γοῦν καταστέλλεται, τῇ περισσοτέρᾳ θλίψει καὶ φροντίδι (1). *Μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν.*] Ἂν γὰρ ἐξ ὀρθοῦ γαμήσωσι, μὴ πρότερον ἑαυτὰς Χριστῷ κατεγγυήσασαι, οὐκ εἰς ἀφορμὴν λοιδορίας ἥξουσιν. Οὐχ ἵνα δὲ ἀδεῶς ζῶσι, γαμεῖν προσέταξεν, ἀλλ' ἵνα ταῖς φροντίσι γοῦν πιεζόμεναι, τοῦ κοσμίως ζῆν προνοήσωσιν. *Ἤδη γάρ τινες ἐξετράπησαν.*] Διὰ τί δὲ τοσαύτην παραφυλακὴν περὶ αὐτῶν ἐποιήσατο; καὶ πλείω ἤπερ

(1) « Προηγουμένως μὲν, φησιν, ἠβουλόμην αὐτὰς μὴ ἀθετῆσαι τὰς συνθήκας· ἐπεὶ δὲ αὗται βούλονται τὸν γάμον, βούλομαι κἀγὼ, συγκαταβαίνων. Κρεῖττον γὰρ τεκνογονεῖν· εἰπὼν δὲ, τεκνογονεῖν, ἔδειξεν, ὅτι διὰ τεκνογονίαν δεῖ ὑπεισιέναι τὸν γάμον, ἵνα πλείονας προσάξῃ τῷ θεῷ· οἰκοδεσποτεῖν· τουτέστι, τοῦ οἰκείου οἴκου φροντίζειν, καὶ ἐργάζεσθαι, ἢ ἀλλοτρίους οἴκους περιερχομένας ἀργεῖν καὶ φλυαρεῖν ». Θεοφύλακτος.

ἐπὶ τῶν παρθένων; Ὅτι αὐταί, φησι, τὴν ἀφορμὴν δεδώκασιν, ἐκτραπῆσαι ὀπίσω τοῦ σατανᾶ. Ταῦτα γάρ, φησι, λέγω, οὐχ ἵνα μὴ ὦσι νεώτεραι χῆραι, ἀλλὰ δεδοικώς, μὴ τὸν Χριστὸν ἀθετήσωσι. *Εἴ τις πιστὸς ἢ πιστή.*] Καλῶς τό, *πιστὸς ἢ πιστή*· εἰ γὰρ ἦσαν ἄπιστοι, οὐκ ἔδει παρ' αὐτῶν τρέφεσθαι, ἵνα μὴ δόξωσι δέεσθαι αἱ πισταὶ τῶν ἀπίστων. Ἄλλως δὲ καὶ πρὸς τοὺς πειθομένους αἱ νομοθεσίαι, οὐ πρὸς τοὺς οὐ πεισθησομένους. *Ἐπαρκείτω αὐταῖς.*] Ἀβαρὲς ποιείτω τὸ πρᾶγμα. Διὰ γὰρ τοῦ, *ἐπαρκείτω*, τὴν ἀναγκαίαν ἐδήλωσε τροφήν, οὐ τὴν πολυτέλειαν. *Καὶ μὴ βαρείσθω ἡ ἐκκλησία.*] Ὥστε οἱ πιστοί, τρέφοντες τὰς ἑαυτῶν χήρας, καὶ ταῖς τῆς ἐκκλησίας χήραις συμβάλλονται, οἷα δὴ μὴ βαρουμένης τῆς ἐκκλησίας, καὶ διὰ τοῦτο ἀφθονώτερον τρεφούσης, ἃς τρέφει, τὰς ὄντως δηλαδὴ χήρας, τουτέστι, τὰς ἀπροστατεύτους καὶ μεμονωμένας. *Ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.*] Ὄντως χῆραι, αἱ πάντοθεν ἔρημοι. Ὁ γὰρ τοῦτο ποιῶν, φησιν, οὐ μόνον τρέφει, ἣν τρέφει, ἀλλὰ καὶ ταῖς λοιπαῖς πολὺ συμβάλλεται, πλάτος αὐταῖς προξενῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ πρεσβυτέρων τιμῆς.

17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι, διπλῆς τιμῆς
ἀξιούσθωσαν· μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ
18 διδασκαλίᾳ. Λέγει γὰρ ἡ γραφή· Βοῦν ἀλοῶντα
οὐ φιμώσεις (α)· καί· Ἄξιος ὁ ἐργάτης τοῦ μι-
19 σθοῦ αὐτοῦ (β). Κατὰ πρεσβυτέρου κατηγορίαν
μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρ-
20 τύρων. Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγ-
21 χε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι. Διαμαρτύρομαι

(α) Δευτερ. ΚΕ', 4. (β) Ματθ. Ι', 10. Λουκ. Ι', 7.

ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.

Οἱ *καλῶς προεστῶτες πρεσβύτεροι.*] Τίνες δὲ *οἱ καλῶς προεστῶτες*, ὁ Χριστὸς ἐδήλωσεν. Ὁ ποιμὴν, φησιν, ὁ καλὸς, τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων (α). *Διπλῆς τιμῆς ἀξιούσθωσαν.*] *Τιμὴν* φησι τὴν τῶν ἀναγκαίων χορηγίαν, ὡς ἐκ τῶν ἐπαγομένων δῆλον. Οὐ φιμώσεις γὰρ, φησι, βοῦν ἀλοῶντα· καί· Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. *Διπλῆς* δὲ, ὡς πρὸς τὰς χήρας· οὐ γὰρ ὡς πρὸς τοὺς μὴ καλῶς προεστῶτας πρεσβυτέρους· ἐκεῖνοι γὰρ οὐκ ἀξιοῦνται οὐδ' ἁπλῆς, ἀλλὰ διώκονται· ἢ ἁπλῶς *διπλῆς*, ἀντὶ τοῦ πολλῆς (1). *Οἱ κοπιῶντες ἐν λόγῳ.*] *Ἐν λόγῳ*, οὐ τῷ κομπώδει, ἀλλὰ τῷ πνευματικῶς τρέφειν ἰσχύοντι (2). Ποῦ δὲ νῦν εἰσὶν οἱ λέγοντες, μὴ δεῖσθαι λόγων, μηδὲ διδασκαλίας τὸν προεστῶτα, ἀλλὰ βίου; Ἀκουέτωσαν νῦν Παύλου, πῶς τὸν λόγον τιμᾷ, *μάλιστα*, λέγων, *οἱ κοπιῶντες ἐν λόγῳ*· δεῖ γὰρ καὶ τούτου, εἴπερ τινος ἄλλου. Ὅταν γὰρ περὶ δογμάτων ᾖ ὁ λόγος, ποῖος βίος ἐνταῦθα ἰσχύει; *Οὐ φιμώσεις βοῦν ἀλοῶντα.*] Προπλέκει μαρτυρίας, μίαν μὲν ἐκ τοῦ νόμου, ἑτέραν δὲ ἀπὸ τῆς καινῆς διαθήκης. Ὅρα δὲ τὸ ἀντιδιαστελλόμενον τῷ, *Οὐ φιμώσεις βοῦν ἀλοῶντα*· τὸν γὰρ μὴ ἀλοῶντα φιμωτέον. *Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.*] Καὶ ὁ Χριστὸς σύμφωνα τῷ νόμῳ λέγει. *Τοῦ μισθοῦ*, τῆς τροφῆς δηλονότι· *ἐργάτην* δὲ λέγει τὸν κάμνοντα· ὡς ὅγε μὴ κάμνων, ἀνάξιος τροφῆς. Ταῦτα δὲ λέγει πρὸς τοὺς διδασκάλους, τοὺς κοπιῶντας ἐν τῇ διδασκαλίᾳ. *Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου.*] Τί δέ; κατὰ νεωτέρου τοιαύτην παραδεκτέον

(α) Ἰωάν. Ι, 11.
(1) « Τὸ, διπλῆς τιμῆς, ἀντὶ τοῦ, πλείονος, τέθηκε. » Θεοδώρητος.
(2) « Λόγον δὲ, οὐ τὸν κομπώδη ἀπαιτεῖ, ἀλλὰ τὸν δυνάμεως γραφικῆς γέμοντα καὶ νοημάτων, κἂν ὁπωσδήποτε λέγηται ». Θεοφύλακτος.

κατηγορίαν; Μὴ γένοιτο! Ἀλλ' ὡς εἰ ἔλεγε· Κατὰ μηδενὸς μὲν, μάλιστα δὲ κατὰ πρεσβυτέρου. Οὐκ εἶπε δὲ, Μὴ κατακρίνῃς, ἀλλὰ, Μηδὲ παραδέξῃ ὅλως· καὶ γὰρ διὰ τὴν ἡλικίαν ἐλάττονα τῶν νέων ἁμαρτάνουσιν· ἔχουσι γὰρ καὶ τὸν ἀπὸ τῆς ἡλικίας χαλινόν. *Πρεσβύτερον* δὲ, τὸν ἐν γήρᾳ ὄντα, τὸν γεγηρακότα φησίν. *Ἐκτὸς εἰμὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.*] Ἐπειδὴ γὰρ πολλὰ ἀπὸ ὑπονοίας κρίνονται, δεῖ, φησιν, εἶναι μάρτυρας τοὺς ἐλέγχοντας, κατὰ τὸν παλαιὸν νόμον. Τί οὖν, ἂν ὡμολόγηνται μὲν τὰ ἁμαρτήματα, μάρτυρας δὲ μὴ ἔχῃ, ἀλλὰ μόνον ἔχει πονηρὰν ὑπόνοιαν; Περὶ τούτου εἶπεν ἄνω· Δεῖ γὰρ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν (α). *Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε.*] Ζήτει μέν, φησιν, ἐπιμελῶς· εὑρίσκων δὲ, μετὰ σφοδρότητος ἐπίπληττε· τοῦτο γὰρ τὸ, *ἔλεγχε*. Ἐνώπιον δὲ πάντων, *ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι*, τουτέστι, σωφρονισθῶσι. Τοῦτο καὶ ὁ θεὸς ἐποίησεν ἐπί τε τοῦ Φαραὼ (1), καὶ τοῦ Ναβουχοδονόσορ (2). *Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ.*] Ὅρα σφοδρότητα! Οὐ γὰρ ἐπειδὴ Τιμόθεος ἦν, παραιτεῖται, ἀλλὰ διαμαρτύρεται, τὸ ἑαυτοῦ ἀσφαλιζόμενος, εἴτι τῶν μὴ δεόντων γένηται. Τί δήποτε δὲ τὸν πατέρα καὶ τὸν υἱὸν καλέσας μάρτυρας, καὶ τοὺς ἀγγέλους συγκέκληκεν; Ὅτι καὶ αὐτοὶ, τῆς κρίσεως γινομένης, μετὰ τοῦ οἰκείου δεσπότου παρεῖναι μέλλουσι, καὶ μαρτυρεῖν τῷ λόγῳ (3). Ἔθος δέ ἐστι καὶ ἡμῖν, καὶ ὑπερέ-

---

(α) Α' Τιμ. Γ', 7. — Ὁ Θεοδώρητος πρεσβύτερον νοεῖ ἐνταῦθα τὸν κατὰ τὸ ἀξίωμα, καὶ οὐ τὸν κατὰ τὴν ἡλικίαν πρεσβύτερον· ἑρμηνεύει γὰρ « Περὶ πάντων ὁ νόμος τοῦτο κελεύει· ἐπὶ δύο γάρ, φησι, καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα (Δευτερ. ΙΘ', 15)· οὐχ ἥκιστα δέ, φησιν, ἐπὶ πρεσβυτέρου τοῦτο προσήκει ποιεῖν. Συμβαίνει γὰρ, ἐκκλησίας αὐτὸν προστασίαν πεπιστευμένον, καὶ λυπῆσαι τῶν ἁμαρτανόντων τινὰς, εἶτα ἐντεῦθεν ἐκείνους δυσμενῶς διατεθέντας, συκοφαντίαν ὑφῆναι. Δεῖ τοίνυν ἀπαιτῆσαι τῶν μαρτύρων τὸν ἀριθμόν. »

(1) Ἐξοδ. ΙΔ'. (2) Δαν. Δ'. — « Μήτε κατακρίνῃς πρὸ τῶν ἐλέγχων, μήτε τοὺς προφανῶς ἐπί τισι παρανομίαις ἐλεγχομένους φειδοῦς ἀξιώσῃς· ἀλλὰ τῶν ἁλισκομένων, πάντων παρόντων καταψηφίζου· ἵνα τῷ δέει τῆς τιμωρίας φύγωσι τὴν ἁμαρτίαν ». Θεοδώρητος.

(3) Ματθ. ΚΕ', 31

χοντα καὶ ἐλάττονα πρόσωπα εἰς μαρτυρίαν παραλαμβάνειν. Καὶ ὁ Ἰακὼβ, καὶ τὸν Θεὸν καὶ τὸν βουνὸν μάρτυρα παραλαμβάνει (1). *Ἐκλεκτῶν δὲ ἀγγέλων* εἶπε· διότι ἄγγελοι καὶ οἱ δαίμονες, ἀλλ' ἀπόβλητοι. *Ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος.*] Ταῦτα μὲν, ἅπερ εἴρηκε. *Χωρὶς δὲ προκρίματος*, τουτέστι, χωρὶς τοῦ προπετῶς τι καὶ ἁπλῶς καὶ δίχα κεκριμένης βουλῆς πρᾶξαί τι ἐν τοῖς εἰρημένοις.— *Χωρὶς προκρίματος.*] Οἷον, ἄνευ τοῦ εἴς τι πταίσαντα ὑποπεσεῖν τῇ κρίσει καὶ τῇ τῆς παρακοῆς κολάσει. Οὕτως ὁ Κλήμης ἐν ἑβδόμῳ τῶν Ὑποτυπώσεων.—*Μηδὲν ποιῶν κατὰ πρόσκλισιν.*] Οἷον, κατὰ πρόληψιν· αἱ γὰρ προλήψεις πολλάκις οὐκ ἔχουσι τὸ ἀληθές. *Πρόσκλισις* δέ ἐστι, τὸ κατὰ προσπάθειαν προσκλίνεσθαι τῷ ἑνὶ μέρει (1). Ὁ δὲ ἐν ἁγίοις Βασίλειος ἐν τῇ ἑρμηνείᾳ τῶν Παροιμιῶν φησί· *Κατὰ πρόσκλισιν*, οἷον μὴ ἐπικλινόμενος εἰς τὸ μὴ ὀρθὸν, ἀλλ' εὐθεῖαν τὴν κρίσιν ἐκφέρων. Φησὶ γὰρ οὕτω· *Μηδὲν ποιῶν κατὰ πρόσκλισιν*· τουτέστιν, Ἀλλ' εὐθείας καὶ ἀδιαστρόφους ἐκφέρων τὰς κρίσεις.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ χειροτονίας ἀσφαλοῦς.

22 Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει
23 ἁμαρτίαις ἀλλοτρίαις. Σεαυτὸν ἁγνὸν τήρει. Μηκέτι

---

(4) Γενεσ. ΛΑ, 44-47. — « Τοὺς μέντοι ἀγγέλους τῷ Θεῷ καὶ τῷ Χριστῷ συνέταξεν, οὐχ ὡς ὁμοτίμους, ἀλλ' ὡς δούλους. Καὶ γὰρ καὶ ἡμεῖς πολλάκις τοῖς μείζοσι τοὺς ἐλάττους συντάττομεν· καὶ δούλων ὁμοῦ καὶ δεσποτῶν, καὶ ἱερέων καὶ λαϊκῶν παρόντων, φαμέν· Ἐπὶ τούτων σε πάντων μαρτύρομαι. Οὕτω καὶ ὁ μακάριος Παῦλος, Μαρτύρομαί σε, φησιν, ἐπὶ τοῦ Θεοῦ, καὶ τοῦ υἱοῦ αὐτοῦ, καὶ τῶν θεραπόντων αὐτοῦ ». Θεοδώρητος.

(1) « Κατὰ πρόσκλισιν, καθ' ἑτεροβάρειαν ἢ ἑτερομέρειαν » Φώτιος. « Κατὰ χάριν, κατὰ προσωποληψίαν.» Ζωναρᾶς.

ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει.] Καὶ περὶ χειροτονιῶν διαλαμβάνει· ἐπισκόπῳ γὰρ ἔγραφε. Τὸ δὲ, *μὴ ταχέως*, οἷον, μὴ ἐκ πρώτης ἢ δευτέρας δοκιμασίας, ἀλλὰ πολλάκις ἐξετάσας καὶ ἀκριβῶς· οὐ γὰρ ἀκίνδυνον τὸ πρᾶγμα. *Μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις.*] Τὸν ἀνάξιον λαοῦ μυσταγωγὸν προχειρίζων. Τῶν γὰρ μελλουσῶν ὑπ' αὐτοῦ γίνεσθαι αἴτιος εἶ, καὶ διὰ τοῦτο ὥσπερ τῶν κατορθωμάτων κοινωνεῖς, οὕτω καὶ τῶν ἁμαρτημάτων. *Σεαυτὸν ἁγνὸν τήρει.*] Περὶ σωφροσύνης αὐτῷ παραγγέλλει ἐνταῦθα (1). Εἰ δὲ ἀνδρὶ, νηστείαις καὶ ὑδροποσίαις ἑαυτὸν ἐκτήκοντι, ὡς λοιπὸν καὶ ἀσθενεῖν, γράφει ταῦτα, τί ἡμᾶς χρὴ ποιεῖν; ἢ πῶς παραφυλάττεσθαι; *Μηκέτι ὑδροπότει.*] Ὁρᾷς, πόσους κόπους ἔχων, ἔτι καὶ ἑαυτὸν συνέτριβε τῇ ὑδροποσίᾳ; *Ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ.*] Ὅσος πρὸς ὑγείαν, οὐ πρὸς τρυφὴν συντελεῖ· οἶδε γὰρ τὸν πλείονα, καὶ προσαδικοῦντα. Δηλοῖ δὲ ἔνθεν, ὅτι οὐ μόνον τὸν στόμαχον ἠσθένει ὁ Τιμόθεος, ἀλλὰ καὶ ἄλλα μέρη τοῦ σώματος· προσέθηκε γάρ, *καὶ τὰς πυκνάς σου ἀσθενείας*. Τί δήποτε μὴ ἔῤῥωσεν αὐτοῦ τὸν στόμαχον ὁ Παῦλος, ὃς καὶ ἀπὸ τοῦ χρωτὸς αὐτοῦ ἰάσεις ἐπετέλει (2), ἀλλὰ διαίτῃ αὐτὸν θεραπεῦσαι βούλεται; Ἵνα ὑπογραμμὸς ἡμῖν γένηται, μὴ σκανδαλίζεσθαι, ἐναρέτων ἀσθενούντων· καὶ ἵνα αὐτὸς ὁ Τιμόθεος καταστέλληται τῇ νόσῳ τὸ φρόνημα· καὶ ἵνα γνῶμεν ἡμεῖς, ὅτι τῆς αὐτῆς ἡμῖν φύσεως ὄντες, κατώρθουν ἃ κατώρθουν· ἐπεὶ ἴσχυεν ὁ Παῦλος μιᾷ εὐχῇ αὐτὸν ἰάσασθαι, ἀλλὰ πάντως οὐ συνέφερε. Πολλὰ δὲ λέγει ὁ Χρυσόστομος εἰς τοῦτο. Τὴν βίβλον τοίνυν ἄθρει τὴν χρηματίζουσαν τῶν Ἀνδριάντων, καὶ εἴσῃ εὖ μάλα τὰ ἐν τῷδε τῷ χωρίῳ ἐν αὐτῇ θαυμασίως διαγορευθέντα ὑπὸ τοῦ θεοσόφου Χρυσοστόμου, ἐν τῷ προοιμιακῷ, ὡς οἶμαι, ἔπει.

(1) « Μὴ ποίει σαυτὸν κατηγορίας ὑπεύθυνον. » Θεοδώρητος.
(2) Πραξ. ΙΘ', 12.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Ὅτι οὐδὲν ἔργον λανθάνει.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν.
25 Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι· καὶ τὰ ἄλλως ἔχοντα, κρυβῆναι οὐ δύνανται.

Ἐπειδὴ, περὶ χειροτονιῶ διατασσόμενος, εἶπεν ἄνω, *Μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις*, ὡς ἐν ἀντιθέσει ἐπιλύει τὸ εἰρημένον. Τί οὖν; εἶπεν ἂν ὁ Τιμόθεος· εἰ ἀγνοῶ τοῦ χειροτονουμένου τὰς ἁμαρτίας, μὴ ἄρα κοινωνός εἰμι; Καί φησι· *Τινῶν ἀνθρώπων πρόδηλοί εἰσιν αἱ ἁμαρτίαι, προάγουσαι εἰς κρίσιν*. Τοὺς τοιούτους τοιγαροῦν, ἂν ἐπιμελῶς ζητήσῃς, γνώσῃ πάντως· *τισὶ δὲ καὶ ἐπακολουθοῦσι*· τουτέστι, μετὰ τὴν χειροτονίαν ἀκολουθοῦσι. Ταῖς πρώταις μὲν οὖν κοινωνήσεις· ἀμελείας γὰρ τὸ τὰς προδήλους μὴ γνῶναι· ταῖς δὲ δευτέραις οὐκέτι· οὐδὲν γὰρ παρὰ σέ. Οἶδα τοιαύτην παρά τινι τῶν ἁγίων ἀναγνοὺς ἑρμηνείαν· Ὧν μὲν προάγουσιν αἱ ἁμαρτίαι, οὗτοι πᾶσιν εἰσὶ πρόδηλοι. Ἔστωσαν τοιγαροῦν καὶ σοί. Οἷς δὲ ἐπακολουθοῦσι, τούτους σὺ φυλάξῃ τῷ προορατικῷ ὀφθαλμῷ. Εἴ τι οὖν παρὰ τοῦτο ποιήσεις, κοινωνήσεις ταῖς ἁμαρτίαις. Ὁ δὲ μακάριος Βασίλειος οὕτως ἡρμήνευσε τοῦτο, ὡς κεφάλαιον ἕτερον αὐτὸ καθ' ἑαυτὸ, καὶ μὴ συντεῖνον εἰς τὸν περὶ χειροτονιῶν λόγον. Οἵτινές, φησιν, αὐτοὶ ἥμαρτον, μόνοι τὰς ἁμαρτίας ἔχουσιν ἐπὶ κρίσιν προαγούσας, ἃς ἐν τῇ ζωῇ διεπράξαντο· ὅσοι δὲ καὶ μετὰ τὸ ἔνθεν ἀπελθεῖν ἑτέροις καταλελοίπασι προφάσεις ἁμαρτιῶν, ὡς Νεστόριος καὶ οἱ λοιποὶ αἱρετικοὶ, τούτοις καὶ ἀπελθοῦσιν ἕτεραι ἐπακολουθοῦσιν ἁμαρτίαι, ὁ ὄλεθρος τῶν δι' αὐτοὺς ὀλλυμένων· τῶν γὰρ δι' αὐτοὺς σφαλλομένων, καὶ ἐκείνοις αἱ ἁμαρτίαι λογίζονται.—ΑΛΛΩΣ. Τοῦτο περὶ τῶν ἀνοσίων αἱρεσιαρχῶν φησιν· ἔχουσι γὰρ ἐπακολουθοῦσαν μετὰ

θάνατον τὴν ἁμαρτίαν, ἤγουν τὴν ὀλέθριον διδαχὴν, ἣν κατέλιπον ἐν τῷδε τῷ βίῳ. Ἡ γὰρ ἀπώλεια τῶν ὑπ' αὐτῶν διδαχθέντων, πρόφασις αὐτοῖς γίνεται αἰωνίου κολάσεως (1).—*Ὡσαύτως καὶ τὰ καλὰ ἔργα.*] Τουτέστι, παραπλησίως. Ὅσα, φησὶν, εἴρηται περὶ ἁμαρτιῶν, ταῦτα δέξαι καὶ ἐπὶ τοῖς καλοῖς ἔργοις. Εἰσὶ γὰρ οἳ πρόφασις γεγόνασιν ἑτέροις σωτηρίας. Τούτων αἱ κατορθώσεις, καὶ τοῖς τὰ σπέρματα δεδωκόσιν ὑπολογίζονται.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ δούλων ὑπακοῆς.

ΚΕΦ. VI, 1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς
ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν·
ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλα-
2 σφημῆται. Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ
καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον
δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ, οἱ
τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. Ταῦτα δίδασκε,
καὶ παρακάλει.

Περὶ πιστῶν δούλων διαλέγεται, τῶν ἐχόντων ἀπίστους δεσπότας, ἵνα, φησὶ, καὶ ταῦτα παραινῇς. *Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι.*] Παραίνει καὶ δίδασκε, φησιν, ἵνα, κἂν ἄπιστοι ὦσιν οἱ δεσπόται, ὑπείκωσιν αὐτοῖς οἱ πιστοὶ δοῦλοι, *πάσης τιμῆς*, καὶ τῆς διὰ λόγων καὶ τῆς δι' ἔργων, ἀξιοῦντες

(1) «Ἐπειδὴ περὶ χειροτονιῶν διαταττόμενος εἶπε, Μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις, εἰκὸς ἦν ἀνθυπενεγκεῖν τὸν Τιμόθεον, καὶ εἰπεῖν· Τί οὖν, ἂν ἀγνοῶ; τοῦτο διορθούμενός φησιν, ὅτι τινὲς δῆλα καὶ προφανῆ ἁμαρτάνουσι, προάγοντα αὐτοὺς εἰς κρίσιν, τουτέστιν, ἐντεῦθεν ἤδη αὐτοὺς κατακρίνοντα, καὶ ἔμπροσθεν αὐτῶν προπορευόμενα, ἃ καὶ σὺ διαγνώσῃ. Τινῶν δὲ ἄδηλοι μὲν αὐτόθεν εἰσὶν αἱ ἁμαρτίαι, ἴσως δὲ ἐξετάζων εὑρήσεις· τὸ γὰρ, ἐπακολουθοῦσι, τοιοῦτόν τι αἰνίττεται. Ἔξεστιν οὖν σοι καὶ τούτους φυλάττεσθαι ἐν ταῖς χειροτονίαις. Ἢ ὅτι κἂν ἐνταῦθα λάθωσι, καὶ χειροτονήσῃς αὐτοὺς, ἀναίτιος πάντως ὢν ἐπὶ τούτοις, ἀλλ' ἐκεῖ οὐ λήσονται· οὐ γὰρ συγκαταλύονται τῷ βίῳ, ἀλλ' ἐπακολουθοῦσιν.» Θεοφύλακτος.—«Οὐ πάντες, φησὶ, προφανῶς ἁμαρτάνουσιν· εἰσὶ γὰρ οἳ καὶ κρύβδην παρανομοῦσιν. Ἀλλ' ὅμως τὸ σήμερον λανθάνον, τῷ χρόνῳ φωρᾶται. Ἀνάμενε τοίνυν τὴν ἀπὸ τῆς πείρας διδασκαλίαν.» Θεοδώρητος.

αὐτούς. Μὴ γὰρ, ὅτι πιστὸς εἶ, νομίσῃς ἐλεύθερος εἶναι· ἐλεύθερος μὲν εἶ τῇ φύσει, δοῦλος δὲ τῷ σώματι· ὃ καὶ αὐτὸ ἐλευθερία ἐστὶ, τὸ δουλεύειν, φημὶ, ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. *Ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται.*] Ἐὰν γὰρ, φησι, διὰ τὸ εἶναι τοὺς δεσπότας ἀπίστους, οἱ πιστοὶ δοῦλοι παρακούωσι καὶ ἀπαυθαδιάζωνται, πρόφασιν τοῖς οἰκείοις παρέχουσι δεσπόταις βλασφημεῖν τὸν Χριστὸν καὶ τὸ κήρυγμα, ὡς αἴτιον τῆς αὐθαδείας τῶν δούλων γινόμενον. *Μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν.*] Μὴ τὸ εἶναί σε ἀδελφὸν τοῦ δεσπότου διὰ τοῦ βαπτίσματος, αἴτιον γενέσθω σοι καταφρονήσεως αὐτοῦ· ἀλλ' ἐνθυμούμενος, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ θεοῦ οἱ δεσπόται, μᾶλλον δούλευε, μιγνὺς τῷ φόβῳ καὶ τὴν ἀγάπην. Ὅσον γὰρ εὐηργέτησθε, ἀδελφοὺς ἔχοντες τοὺς δεσπότας, τοσοῦτον καὶ ὑμεῖς εὐχάριστοι γίνεσθε ἐν τῷ μᾶλλον δουλεύειν. Ἢ, ὅτι ἀντευεργετούμενοι παρὰ τῶν δεσποτῶν, διὰ τοῦ τρέφεσθαι καὶ ἐνδύεσθαι. *Ἀλλὰ μᾶλλον δουλευέτωσαν.*] Τουτέστιν, οἱ δοῦλοι, *οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι.* Καθ' ὑπερβατὸν γὰρ κεῖται ὃ λέγει· διὰ μέσου δὲ τὸ, *ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί,* καὶ προσυπακουστέον, οἱ δεσπόται. Ἢ ἁπλῶς ὥσπερ κεῖται νοητέον τὸ, *οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι,* τουτέστιν, οἱ δεσπόται, οἱ φροντίζοντες τοῦ εὐεργετεῖν τοὺς δούλους (1). *Ταῦτα δίδασκε καὶ παρακάλει.*] Οὐκ ἄρα αὐθεντίας, ἀλλὰ προσηνείας χρῄζει ὁ διδάσκαλος (2).

---

(1) « Οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι, τουτέστι, μετέχοντες· πρὸς τὸ, δουλευέτωσαν, δὲ ἀποδοτέον. Τίς δὲ ἡ εὐεργεσία; Ὅτι ἀδελφοὺς τοὺς δεσπότας ἔχουσιν· ἢ ὅτι παρ' αὐτῶν καὶ τρέφονται καὶ ἐνδύονται. » Σχόλιον ἀρχαῖον.

(2) « Οὐκ ἄρα μόνον αὐθεντίας δεῖ τῷ διδασκάλῳ, ὡς ἐν τῷ, Παράγγελλε, ἀλλὰ καὶ προσηνείας, ὡς ἐν τῷ, Παρακάλει, νῦν. Ἰατρὸς γάρ ἐστι, ποτὲ μὲν μαλάσσων, ποτὲ δὲ στύφων. » Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Κατὰ φιλοκερδῶν, καὶ ψευδοδιδασκάλων·

3 Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγι-
αίνουσι λόγοις, τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
4 στοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφω-
ται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις
καὶ λογομαχίας· ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλα-
5 σφημίαι, ὑπόνοιαι πονηραί, διαπαρατριβαὶ διεφθαρ-
μένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς
ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν.
6 Ἀφίστασο ἀπὸ τῶν τοιούτων. Ἔστι δὲ πορισμὸς
7 μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας. Οὐδὲν γὰρ εἰσ-
ηνέγκαμεν εἰς τὸν κόσμον· δῆλον, ὅτι οὐδὲ ἐξ-
8 ενεγκεῖν τι δυνάμεθα. Ἔχοντες δὲ διατροφὰς καὶ
σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

Εἴ τις ἑτεροδιδασκαλεῖ.] Τουτέστιν, ἕτερα παρὰ τὰ ὀρθὰ διδάσκει. *Καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ.*] Ὃ εἶπεν, *ὑγιαίνουσι λόγοις*, τοῦτό φησι, *καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ*, τῇ τῆς πίστεως δηλονότι. *Τετύφωται, μηδὲν ἐπιστάμενος.*] Ὁ γὰρ μὴ εἰδὼς ἃ δεῖ εἰδέναι, οὐδὲν ἐπίσταται· ὁ δὲ τὰ ὑγιῆ μὴ ἐπιστάμενος, δῆλον ὅτι τὰ δαιμονιώδη ἐπίσταται· φίλον δὲ τοῖς δαίμοσι καὶ οἰκεῖον ὁ τύφος (1). *Νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας.*] Ἐὰν γὰρ μὴ πιστεύῃς, ζητεῖς δέ, ἀνάγκη λογομαχίας εἶναι καὶ στάσεις λογισμῶν. Ἐπειδὴ γὰρ ὁ χριστιανισμὸς τὰ μέλλοντα ἐπαγγέλλεται, οὐκ ἔστι δὲ ταῦτα ὀφθαλμοῖς ἐπιδεῖξαι, ἀναγκαία ἡ πί-

(1) « Ὁρᾷς, ὅτι τὸ μηδὲν ἐπίστασθαι, τοῦτο εἰς ἀπόνοιαν αἴρει καὶ τετυφῶσθαι ποιεῖ; καὶ ὅτι ὁ μὴ τοὺς ὑγιαίνοντας παραδεχόμενος λόγους, ἐκεῖνος τετύφωται; ὁ γὰρ τύφος ὄγκος ἐστὶ νοσούσης ψυχῆς, ὥσπερ φλεγμονὴ ἐπὶ τραύματος σώματος. Εἰ οὖν παρεδέχετο τοὺς τοῦ Κυρίου λόγους, οὐκ ἂν ἐτυφοῦτο. » Θεοφύλακτος.

« Προσήκει τοῖς δεσποτικοῖς ὅροις ἐμμένειν· οἱ γὰρ τούτους μὲν παραβαίνειν τολμῶντες, τοῖς οἰκείοις δὲ λογισμοῖς ἀκολουθοῦντες, ἴσασι μὲν τῶν δεόντων οὐδέν, τύφῳ δὲ μόνῳ δουλεύουσιν. » Θεοδώρητος.

στις. Ὅρα δὲ, ὅτι τὸ ζητεῖν, *νοσεῖν* ἐστίν· ὅπου γὰρ οὐκ ἔστι πίστις, ἅπαντα νοσεῖ. *Βλασφημίαι.*] Ἀνάγκη γὰρ τὸν λογισμοῖς ἀνθρωπίνοις τὰ κατὰ θεὸν ἐπιτρέποντα, καὶ εἰς τὸ βλασφημεῖν ἐμπίπτειν ἐκ τῶν ζητήσεων. *Ὑπόνοιαι πονηραί.*] Οἷον, δόξαι, καὶ δόγματα νόθα. *Διαπαρατριβαί.*] Τῆς νόσου τῶν κακῶν δογμάτων μετάδοσις· ἀπὸ μεταφορᾶς τῶν ψωραλέων προβάτων. Ταῦτα γὰρ διαπαρατριβόμενα, νόσου πληροῖ καὶ τὰ ὑγιαίνοντα (1). *Νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν.*] Ὁρᾷς, ὅτι αἱ λογομαχίαι καὶ αἰσχροκέρδειαν τίκτουσιν; Εἰκότως. Καὶ γὰρ μαθητὰς πλείονας οἱ λογομάχοι ἐπισυρόμενοι, ἐκ τούτων χρηματίζονται, καὶ ἐπὶ πλέον τὰς λογομαχίας ἀσκοῦσιν, ἵνα πλείονας ἐπισπάσωνται. *Πορισμὸν* δὲ, οἷον, χρημάτων κέρδος· ὑποκρίνονται γὰρ εὐσέβειαν, ἵνα δι' αὐτῆς ἐρανίζωνται. *Ἀφίστασο ἀπὸ τῶν τοιούτων.*] Οὐκ εἶπε, Συμπλέκου τοῖς τοιούτοις, καὶ ἀντιμάχου, ἀλλ', *Ἀφίστασο*, μετὰ πρώτην δηλονότι καὶ δευτέραν νουθεσίαν. Ἀνθρώπους γὰρ, χρημάτων ἕνεκα μαχομένους, πότε δυνήσῃ πεῖσαι; Ἀδιορθώτους τοίνυν ὄντας ἐκτρέπου. *Ἔστι δὲ πορισμὸς μέγας.*] Οἱ μὲν οὖν ἐν τούτῳ τὴν εὐσέβειαν ὑποκρίνονται, ἵνα πρόφασιν πορισμοῦ καὶ κέρδους λάβωσιν· ἔστι δὲ ἀληθὲς κέρδος, αὐτὴ καθ' ἑαυτὴν ἡ εὐσέβεια, καὶ ταῦτα τὰ αὐτάρκη ἔχουσα, καὶ μὴ περισσεύουσα ἐν τοῖς σαρκικοῖς. Ἢ, ὅτι κέρδος ἐστὶν ἡ εὐσέβεια, ἐὰν καὶ ἡμεῖς μὴ πλειόνων ἐφιέμεθα, ἀλλὰ τῇ αὐταρκείᾳ στοιχῶμεν. *Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον.*] Εἰ οὐδὲν εἰσηνέγκαμεν, καὶ οὐδὲν ἐκβάλλομεν, τίς χρεία τοῦ ἔχειν ὑπὲρ τὴν χρείαν; *Ἔχοντες δὲ διατροφὰς καὶ σκε-*

(1) « Οἱ τῆς ἀληθείας ἀφιστάμενοι, καὶ λογισμοῖς οἰκείοις ἑπόμενοι, διδάσκειν μὲν πειρῶνται τὰ μὴ προσήκοντα, ἔρις δὲ καὶ φθόνος ἐντεῦθεν ἀκολουθεῖ, ἐκ δὲ τῆς ἔριδος ἡ κατὰ τοῦ θεοῦ βλασφημία τολμᾶται. Τῆς δὲ πίστεως ἐλλειπούσης, ὑπόνοιαι πονηραὶ περιφύονται. Ἐντεῦθεν δὲ λύμη τις γεννᾶται, διαφθείρουσα τοὺς πελάζοντας· τοῦτο γὰρ δηλοῖ τὸ, διαπαρατριβαὶ διεφθαρμένων τὸν νοῦν· ὥσπερ γὰρ τὰ νοσοῦντα πρόβατα, τοῖς εὐεκτοῦσι συνδιαιτώμενα, μεταδίδωσι τῆς νόσου· οὕτω καὶ οὗτοι τοὺς πελάζοντας ἐμφοροῦσι τῆς λύμης. » Θεοδώρητος.

πάσματα.] Ὁρίζεται ἐνταῦθα, τίς ἐστὶν ἡ αὐτάρκεια· καί φησι· Τοσαῦτα ἐσθίειν χρὴ καὶ τοιαῦτα, ὅσα θρέψαι ἀρκεῖ, οὐχ ὅσα τρυφὴν ἐμποιῆσαι· καὶ τοσαῦτα ἀμφιέννυσθαι καὶ τοιαῦτα, ὅσα τὴν γύμνωσιν μόνον σκεπάσαι ὀφείλει, οὐχ ὅσα θρύψιν ἐμποιῆσαι καὶ βλακείαν τοῖς φοροῦσι. Τοῦτο γὰρ τὸ τῆς διατροφῆς καὶ τῶν σκεπασμάτων δηλοῖ.

9 Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρα-
σμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους
καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους
10 εἰς ὄλεθρον καὶ ἀπώλειαν. Ῥίζα γὰρ πάντων τῶν
κακῶν ἐστιν ἡ φιλαργυρία· ἧς τινες ὀρεγόμενοι,
ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς πε-
11 ριέπειραν ὀδύναις πολλαῖς. Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ
θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν,
12 πίστιν, ἀγάπην, ὑπομονήν, πρᾳότητα. Ἀγωνίζου
τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς
αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης, καὶ ὡμολόγη-
σας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρ-
τύρων.

Οἱ *βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν.*] Οὐ τοὺς καλῶς τῷ πλούτῳ χρωμένους λέγει, ἀλλὰ τοὺς ἐπιθυμοῦντας αὐτόν· ὁ δέ γε ἐπιθυμῶν, οὐκ ἂν ἑτέρῳ μεταδοίη, ἵνα μὴ τὰ τῆς ἐπιθυμίας αὐτῷ ἐλαττωθείη. *Εἰς πειρασμὸν δὲ καὶ παγίδα ἐμπίπτουσι*, καθὸ καὶ τῆς πίστεως ἀποπλανῶνται, καὶ κινδύνοις περιβάλλονται διὰ τὸν πλοῦτον, καὶ πάντας φοβοῦνται (1). *Καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς.*] Ἐπιῤῥέων γὰρ ὁ πλοῦτος καὶ τὸ δυνατὸν ἔχων, εἰς ἐπιθυμίας ἀτόπους ἐξάγει. *Αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους.*] Ὥστε μηδὲ ἀνανῆψαι

(1) « Οὐχ ἁπλῶς εἶπεν, οἱ πλουτοῦντες, ἀλλ', οἱ βουλόμενοι πλουτεῖν. Ἐὰν γάρ τις τὸν ἐκ προγόνων διαδεξάμενος πλοῦτον, κατὰ τοὺς θείους νόμους οἰκονομεῖ, κατηγορίας ἐλεύθερος. Ὁ δὲ ἐκ πενήτων μὲν φὺς, πλούτου δὲ ἐφιέμενος, καὶ πάντα πόρον εἰς τὴν τούτου κτῆσιν κινῶν, κόρον μὲν τῆς ἐπιθυμίας οὐ λήψεται, ταῖς δὲ τῆς ἁμαρτίας περιπαρήσεται πάγαις· καὶ κλυδωνιζόμενος, καὶ ναυαγῶν ἐκτελέσει τὸν βίον. » Θεοδώρητος.

ἔτι δύνασθαι. *Εἰς ὄλεθρον καὶ ἀπώλειαν.*] Καὶ τὴν ἐνταῦθα καὶ τὴν μέλλουσαν. *Ῥίζα γὰρ πάντων τῶν κακῶν ἡ φιλαργυρία.*] Καὶ γὰρ μιαιφονίαι, καὶ γοητεῖαι, καὶ ἁρπαγαὶ, καὶ πλεονεξίαι, καὶ ψεῦδος, καὶ παράβασις ὅρκων, καὶ τἄλλα τῆς παρανομίας εἴδη, ἐκ τῆς ῥίζης ταύτης βλαστάνει. *Ἧς τινες ὀρεγόμενοι, ἀπεπλανήθησαν.*] Ἐπισκοτεῖ γὰρ ἡ φιλαργυρία τῷ τῆς ψυχῆς ὄμματι, καὶ οὐκ ἐᾷ τὴν ὁδὸν τῆς ἀληθείας ἰδεῖν, ἀνθέλκουσα τοὺς ὀφθαλμοὺς πρὸς ἑαυτήν. Πῶς γὰρ πιστεύσει τῷ τὴν πτωχείαν εἰσηγουμένῳ εὐαγγελίῳ ὁ χρηματιστής; Οὐκ ἔστι τοῦτο. *Καὶ ἑαυτοὺς περιέπειραν.*] Ἀκανθῶν γὰρ δίκην ἡ φιλαργυρία τὰς χεῖρας τοῦ προσψαύοντος αἱμάσσειν ποιεῖ. *Ὀδύναις πολλαῖς.*] Οὐ μόνον, φησὶν, εἰς τὰ περὶ θεὸν ἐμποδίζει τὸ θέλειν πλουτεῖν, ἀλλὰ καὶ σωματικῶς καθάπτεται τῶν ἐραστῶν, φροντίσι, καὶ ἀγρυπνίαις, καὶ φόβοις αὐτοὺς περιπείρων. *Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ θεοῦ.*] Μέγα τὸ ἀξίωμα! Πάντες μὲν γὰρ, ἄνθρωποι καὶ δοῦλοι θεοῦ, μάλιστα δὲ οἱ δίκαιοι, οὐ κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον, ἀλλὰ καὶ κατὰ τὸν τῆς οἰκειώσεως. *Ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην.*] Ἀμφότερα μετὰ ἐπιτάσεως. Οὐ γὰρ εἶπε, Τοῦδε μὲν ἀπόστηθι, τῷδε δὲ πρόστηθι· ἀλλὰ, *φεῦγε*, καὶ, *δίωκε*. *Δικαιοσύνην* δὲ, ὥστε μὴ πλέον ἔχειν τῶν ζωαρκῶν, ὡς οἱ βουλόμενοι πλουτεῖν. *Εὐσέβειαν.*] Τὴν ἐν δόγμασι. *Πίστιν.*] Τὴν χωρὶς ζητήσεων. *Ἀγάπην.*] Τὸ τῆς πίστεως ἔκγονον, τὴν πρὸς θεὸν καὶ ἀνθρώπους. Καλὴ δὲ ἡ τάξις τοῦ λόγου· ἀπὸ μὲν γὰρ πίστεως, ἀγάπη τίκτεται· ἀπὸ δὲ ἀγάπης, ὑπομονή· ἡ δὲ ὑπομονὴ, ὁδῷ βαδίζουσα, πρᾴους ποιεῖ. *Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως.*] Τουτέστιν, ὑπὲρ τῆς πίστεως ἵστατο ἑδραῖος καὶ ἀκαταγώνιστος διά τε λόγου δυνάμεως καὶ βίου καθαρότητος. Ὁ δὲ τῆς πίςεως ἀγὼν, τά τε εἰρημένα, καὶ τὸ ἐν πειρασμοῖς ἀνδρεῖον. *Ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς.*] Ἰδοὺ καὶ ἡ ἀντίδοσις τοῦ τοιούτου ἀγῶνος, ἡ αἰώνιος ζωή. *Εἰς ἣν ἐκλήθης.*] Ἐπ' ἐλπίδα γὰρ ζωῆς αἰωνίου ἐκλήθης. Πᾶς γὰρ εἰς τὸ βαπτι-

σμα ἐρχόμενος, εἰς ταύτην καλεῖται. *Καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν.*] Ἐνταῦθα αὐτοῦ τὴν παῤῥησίαν καὶ τὴν ἀνδρείαν ἐπαινεῖ, ὡς ἐν κινδύνοις ὁμολογήσαντος τὸν Χριστόν. Ἢ, *ὁμολογίαν*, τὴν ἐν τῇ πρὸ τοῦ βαπτίσματος κατηχήσει λέγει, ὅταν ὁμολογῶμεν ἀποτάσσεσθαι μὲν τῷ διαβόλῳ, συντάσσεσθαι δὲ καὶ πιστεύειν τῷ Χριστῷ.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Παραγγελία φοβερὰ περὶ καθαρᾶς ὑπακοῆς ἄχρι τέλους.

13 Παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ, τοῦ ζωοποιοῦν-
τος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ, τοῦ μαρτυρή-
σαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν,
14 τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον, μέ-
χρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
15 στοῦ· ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ
μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ
16 κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν,
φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων,
οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώ-
νιον. Ἀμήν.

Παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ.] Πάλιν τὸν θεὸν ποιεῖται μάρτυρα, αὔξων τε τὸν φόβον, καὶ ἀσφαλέστερον ποιῶν τὸν μαθητὴν, τῷ τὸν μαρτυρηθέντα ἔχειν ἐν νῷ. *Τοῦ ζωοποιοῦντος τὰ πάντα.*] Τοῦτο καὶ πρὸς κινδύνους ἐστὶ παράκλησις. Εἰ γὰρ ὁ θεός, φησι, ζωογονεῖ τὰ πάντα, τί πεφρίκαμεν τοὺς ὑπὲρ πίστεως ἀγῶνας; Καὶ ὅτι εἰς τοῦτο προτρέπει, δῆλον ἐκ τοῦ ἐπομένου· *Καὶ Ἰησοῦ Χριστοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου.*] Εἰ γὰρ ὁ δεσπότης ἐμαρτύρησε, διὰ τί ἡμεῖς ἀναβαλλόμεθα; Ἐμαρτύρησεν ἐκεῖνος, ὀφείλομεν λοιπὸν καὶ ἡμεῖς μιμεῖσθαι αὐτόν.—Ἐμαρτύρησε δι' ὧν ἔπραττεν, ὅτι αὐτός ἐςιν

ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ. Οὕτως ὁ Κλήμης ἐν ἑβδόμῳ τῶν Ὑποτυπώσεων. —*Τὴν καλὴν ὁμολογίαν.*] Ποίαν λέγει *καλὴν ὁμολογίαν*; Ἐν ᾗ καὶ αἰνιγματωδῶς μὲν, ὡμολόγησε μέντοι εἶναι θεός. Εἰπόντος γὰρ τοῦ Πιλάτου· *Εἰ βασιλεὺς εἶ σύ*; εἶπεν· *Ἐγὼ εἰς τοῦτο γεγέννημαι· καί· Ἐγὼ εἰς τοῦτο ἐλήλυθα, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ* (α). *Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον.*] Τουτέστι, μήτε δογμάτων ἕνεκεν, μήτε βίου, κηλῖδα τινὰ ἑαυτῷ προστριβόμενον. *Μέχρι τῆς ἐπιφανείας.*] Τουτέστι, μέχρι τῆς τελευτῆς σου, μέχρι τῆς ἐσχάτης σου ἀναπνοῆς. Ἀλλ' οὕτως μὲν οὐκ εἶπεν, ὅπως δὲ αὐτὸν διεγείρῃ μειζόνως, τῆς ἐπιφανείας ἐμνήσθη τοῦ Κυρίου, καὶ τῆς δόξης τῆς φρικτῆς. *Ἣν καιροῖς ἰδίοις δείξει.*] Τουτέστι, τοῖς προσήκουσι, τοῖς ἀφωρισμένοις. Μὴ τοίνυν λυποῦ, ὅτι μὴ ἤδη γέγονεν. *Ὁ μακάριος καὶ μόνος δυνάστης.*] Ταῦτα περὶ τοῦ υἱοῦ εἴρηται· τὴν γὰρ παρουσίαν ὁ ἐρχόμενος δεικνύει. Εἰ δὲ ὁ πατὴρ οὐχ ἥξει, ἀλλ' ὁ υἱὸς, ἐπὶ κρίσιν, περὶ τοῦ ἐρχομένου ταῦτα εἴρηται. *Ὁ μακάριος*, ἡ αὐτομακαριότης· παρ' αὐτῷ γὰρ ἀπέδρα πᾶσα λύπη καὶ ὀδύνη. Οὗτος καὶ δυνάστης, καὶ ἀγαθὸς βασιλεύς. Οὐ φοβητέον οὖν τοὺς ἐπιγείους δυνάστας καὶ βασιλεῖς. *Καὶ μόνος δυνάστης.*] Ἔνθα ἂν ἀκούῃς περὶ μιᾶς τῶν τριῶν ἁγίων ὑποστάσεων, *ὁ μόνος* τόδε ἢ τόδε, μὴ πρὸς ἀντιδιαστολὴν δέχου τὸ εἰρημένον τῶν ἄλλων δύο, ἀλλὰ περὶ τῶν μὴ ὄντων μὲν, λεγομένων δὲ θεῶν. Ἰδοὺ γὰρ νῦν περὶ τοῦ υἱοῦ ταῦτα λέγων, ἅπερ ἀλλαχοῦ καὶ περὶ τοῦ πατρὸς καὶ περὶ τοῦ πνεύματος εἴρηκεν, *ὁ μόνος* εἶπεν. *Ὁ μόνος ἔχων ἀθανασίαν.*] Πῶς φησὶ περὶ τοῦ θεοῦ, *ὁ μόνος ἔχων ἀθανασίαν*, ὁπότε καὶ ἄγγελοι, καὶ ψυχαὶ, καὶ δαίμονες ἔχουσιν ἀθανασίαν; Ὁ οὖν λέγων περὶ θεοῦ, *ὁ μόνος ἔχων ἀθανα-*

(α) Ἰωαν. ΙΗ', 37.— « Τοῦ ταλάντου τὰς εὐθύνας δεδιὼς ὁ θεῖος ἀπόστολος, ἀφειδῶς τῷ μαθητῇ τὰς διαμαρτυρίας προσφέρει· μᾶλλον δὲ καὶ τούτου κηδόμενος, τοῦτο ποιεῖ· ἵνα μετὰ πλείονος καὶ αὐτὸς προθυμίας ῥυθμίσῃ τοὺς ἑαυτοῦ μαθητάς. Καλὴν δὲ ὁμολογίαν τοῦ Κυρίου, τὴν τῆς οἰκουμένης κέκληκε σωτηρίαν· ὑπὲρ αὐτῆς γὰρ τὸ πάθος ὑπέμεινε. » Θεοδώρητος.

σίαν, ἢ ἀφαιρεῖται τῶν εἰρημένων τὴν ἀθανασίαν, ἢ ψεύδεται. Καὶ φαμὲν, ὅτι αὐτὸς ἔχει οὐσιωδῶς τὴν ἀθανασίαν· οὗτοι δὲ, περὶ ὧν ὁ λόγος, οὐκ ἔχουσι φύσει ἀθανασίαν, ἀλλὰ μετέχουσιν αὐτῆς χάριτι τοῦ μόνου ἀθανάτου φύσει. Ὑπὸ θεοῦ γὰρ αὐτοῖς τοῦτο δεδώρηται· θεὸς γάρ ἐστιν οὗ πάντες μετέχομεν, ὥσπερ τῶν ἄλλων τῶν πρὸς τὸ κρεῖττον νοουμένων, οὕτω δὴ καὶ ἀθανασίας. *Φῶς οἰκῶν ἀπρόσιτον.*] Ὁ ὢν αὐτοαθανασία, καὶ φῶς τὸ ἀπρόσιτον, ἆρα τόπῳ περιείληπται; ἆρα ἄλλο τὸ φῶς, καὶ ἄλλο αὐτός; Καὶ μὴν αὐτόφως ἐστίν. Ὁρᾷς, ὅτι, καὶ ὅταν μέγα τι φθέγξασθαι βουληθῶμεν, ἀδυνατεῖ ἡ γλῶσσα; *Ἀπρόσιτον* δὲ, ᾧ οὐδεὶς προσελθεῖν δύναται διὰ τὴν ἄγαν λαμπρότητα (1). *Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων.*] Οὐδὲ γὰρ τοῦ υἱοῦ τὴν θεότητα εἶδέ τις, ὥσπερ οὐδὲ τὴν τοῦ πατρὸς καὶ τοῦ πνεύματος· κατὰ γὰρ τὴν σάρκα ὤφθη. *Ὧ τιμὴ καὶ κράτος.*] Εἰ ἡ τιμὴ αὐτοῦ καὶ τὸ κράτος αἰώνιον ἔσται, πάντως καὶ ἡ ἐπιφάνεια αὐτοῦ· ὑπέσχετο γάρ· Καὶ *ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας* (α).

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Πλουσίων ὁδηγία ἐπὶ τὴν ὄντως ζωήν.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ θεῷ τῷ ζῶντι, τῷ παρέχοντι

(1) « Ἀπὸ τῶν προσόντων τῷ θεῷ, τὸν περὶ τῆς ἀναστάσεως, καὶ τῆς κρίσεως, καὶ τῶν ἀντιδόσεων ἐβεβαίωσε λόγον. Πρῶτον μὲν γὰρ αὐτοῦ τὸ ἄτρεπτον ἔδειξε, μακάριον ὀνομάσας· ὁ γὰρ φύσει μακάριος, οὐδεμίαν τροπὴν ἐπιδέχεται. Εἶτα τὸ δυνατόν· Μόνος γάρ, φησι, δυνάστης, καὶ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων. Ἔπειτα τὸ ἀνώλεθρον· Ὁ μόνος γὰρ ἔχων, φησὶν, ἀθανασίαν. Πρὸς τούτοις αὐτὴν οὐ δυνηθεὶς ἐρευνῆσαι τὴν φύσιν, τὸ περὶ αὐτὴν ὑπέδειξε φῶς. Φῶς γὰρ, φησὶν, οἰκῶν ἀπρόσιτον. Ἀλλ' οὐδὲ τοῦτο ἁρμόδιον θεῷ· ἀπερίγραφον γὰρ ἔχει τὴν φύσιν· εἰ δὲ φῶς οἰκεῖ, περιγράφεται ἀπὸ τούτου. Ἀλλ', ὡς δύναται, ὑμνεῖ, καὶ, ὅσον φθάνει, βλέπει. Εἰ δὲ τὸ περὶ αὐτὸν φῶς ἀπρόσιτον, πῶς οἷόν τε αὐτὸν κατιδεῖν; Ὅθεν ἐπήγαγεν· Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται ». Θεοδώρητος. (α) Ματθ. ΚΗ', 20.

18 ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν· ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι,
19 κοινωνικούς· ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι.] Εἰσὶ γὰρ καὶ ἄλλοι πλούσιοι, ἀλλ᾽ οὐκ ἐν τῷ αἰῶνι τούτῳ, ἀλλ᾽ ἐν τῷ μέλλοντι, οἱ ὄντως πλούσιοι, οἱ δίκαιοι δηλαδή. *Παράγγελλε, μὴ ὑψηλοφρονεῖν.*] Οὐδὲν γὰρ οὕτως, ὡς τὰ χρήματα, φυσᾷ καὶ μετεωρίζει. *Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι.*] Ὅρα, πῶς αὐτούς, καὶ ὡς ἀνοήτους διαβάλλει! Τίς γὰρ ἐπὶ ἀδήλῳ ἐλπίζει; *Ἀλλ᾽ ἐν τῷ θεῷ.*] Ὁ γὰρ εἰς θεὸν ἐλπίζων, οὐκ ἐπαίρεται. *Τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως.*] Αὐτὸς γάρ, ὅσον εἰς αὐτὸν ἧκε, πάντα κοινὰ προὔθηκε καὶ ἄφθονα, οὐρανόν, γῆν, ἀέρα, ζωήν, τροφάς· ἀλλ᾽ ἡ πλεονεξία, λαβοῦσα συνεργὸν τὴν δυναστείαν, πολλὰ τῶν κοινῶν ἐσφετερίσατο, καὶ ἐποίησεν ἴδια. *Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς.*] Ἀπὸ κοινοῦ τό, Παράγγελλε αὐτοῖς ἀγαθοεργεῖν, καὶ τὰ ἑξῆς. Εἰ πλοῦτον ζητεῖς, τὸν ὄντως ζήτει, τὸν οὐκ ἄδηλον. Ποῖον δὲ τοῦτον; Τὸ ἀγαθοεργεῖν, φησίν. *Εὐμεταδότους εἶναι.*] Τοῦτο τῶν χρημάτων. *Κοινωνικούς.*] Τοῦτο τῆς ἀγάπης. *Κοινωνικοὺς* δὲ νόει τοὺς πρᾴους, προσηνεῖς, ἀτύφους, συγκαταβατικοὺς (1). *Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον.*] Οἷον, ἀποτιθεμένους *θεμέλιον καλόν*· ἔνθα δὲ καλὸς ὁ θεμέλιος, ἐκεῖ πάντα ἀσφαλῆ καὶ βέβαια. Ἐπεὶ οὖν τὰ τῆς ἀρετῆς, καὶ τὰ τοῦ μέλλοντος αἰῶνος ἑδραῖα, διὰ τοῦτο θεμελίου ἐμνήσθη. *Ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.*] Ἄρα διὰ ταύτην τὴν ζωὴν δεῖ ἀποθησαυρίζειν τὸν θεμέλιον. Πῶς δ᾽ ἂν εἴη τοῦτο; Εἰ διὰ τοῦ εὖ ποιεῖν ἐνταῦθα, ἀποθώμεθα ἑαυτοῖς τῆς ζωῆς ταύτης τὸν θεμέλιον καὶ τὴν ἀσφάλειαν· ἡ γὰρ τῶν

(1) « Κοινωνικοὺς καλεῖν εἰώθαμεν, τοὺς ἄτυφον ἦθος ἔχοντας.» Θεοδώρητος.

ἀγαθῶν ἔργων πρᾶξις, ἣν καὶ *θεμέλιον* ὠνόμασε, τὴν ἀπόλαυσιν ἐκείνης προξενῆσαι δύναται.

20 Ὦ Τιμόθεε, τὴν παραθήκην (1) φύλαξον, ἐκτρε-
πόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις
21 τῆς ψευδωνύμου γνώσεως· ἥν τινες ἐπαγγελλόμε-
νοι, περὶ τὴν πίστιν ἠστόχησαν. Ἡ χάρις μετὰ
σοῦ. Ἀμήν.

Τὴν παραθήκην φύλαξον.] *Παραθήκην*, τὴν ἐντολήν, φησι, τοῦ θεοῦ, ἣν δι' ἐμοῦ σοι παρέθετο· ἢ αὐτὴν τὴν χάριν τοῦ πνεύματος, ἣν διὰ τῆς χειροτονίας ἐδέξατο (2). *Ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας.*] Τὰς *βεβήλους*, τὰς ἀκαθάρτους, τὰς μιαράς. *Κενοφωνίας* δὲ, τὰς ματαιολογίας φησίν. Ἄρα οὖν ἐστι καὶ κενοφωνία οὐ βέβηλος. Ὁ δὲ μακάριος Ἰωάννης τὰς νεωτέρας παραινέσεις *καινοφωνίας* εἶπε, διὰ τῆς, αι, διφθόγγου, τὸ, *καὶ*, γράφων, ὡς ἔοικε (3). *Καὶ ἀντιθέσεις.*] Ἄρα εἰσὶν ἀντιθέσεις, πρὸς ἃς οὔτε ἀποκρίνασθαι χρὴ, διὰ τὴν ἀτοπίαν, ἀλλ' ἐκτρέπεσθαι ταύτας, καὶ μὴ συμπλέκεσθαι τοῖς τοιούτοις. *Τῆς ψευδωνύμου γνώσεως.*] Ὅταν γὰρ πίστις μὴ ᾖ, ἀλλ' ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν πάντα τίκτηται, γνῶσις οὐκ ἔστιν· ἡ δὲ εἶναι δοκοῦσα, ψευδής ἐστιν. *Ἥν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν.*] *Ἥν*, τὴν ψευδομένην φησὶ καὶ νόθον γνῶσιν. Ἴσως γὰρ ἦσαν τινὲς, γνῶσιν ἐπαγγελλόμενοι, τὴν ἀπὸ λογισμῶν ἀνθρωπίνων εὑρεθεῖσαν, ἥτις ἐναντία τῇ πίστει καθέστηκε· καὶ δῆλον ἐξ ὧν περὶ τὴν πίστιν ἐναυάγησαν (4). *Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.*] Τὴν σφραγῖδα

(1) Ἐν ἄλλοις, παρακαταθήκην. (2) «Ταῦτα πάντα, ἃ ὑπ' ἐμοῦ ἐνετάλθης, ὡς δεσποτικὰ ὄντα, φύλαξον· μηδὲν τούτων ἐλαττώσῃς.» Θεοφύλακτος.

(3) Οὐδὲν τοιοῦτον παρὰ τῷ Χρυσοστόμῳ εὕρηται. Τομ. ΙΑ'. Σελ. 655. Γράφει δὲ καὶ ἑρμηνεύει, καινοφωνίας. Β' Τιμ. Β', 16. (4) «Ἀνάγκη, τὸν λογισμοῖς ἀνθρωπίνοις ἀκολουθοῦντα, τῆς πίστεως ἀστοχεῖν· ἡ γὰρ πίστις λογισμοὺς οὐ παραδέχεται. Οἶμαι δὲ ταῦτα λέγειν τὸν ἀπόστολον περὶ τῶν τότε λεγομένων Γνωστικῶν, τῶν πάσης ἀκαθαρσίας πεπληρωμένων· διὸ καὶ βεβήλους ὠνόμασε τὰς κενοφωνίας αὐτῶν.» Θεοφύλακτος.—«Οἱ ἀπὸ Σίμωνος Γνωστικοὺς ἑαυτοὺς προσηγόρευσαν· ἃ γὰρ σεσίγηκε, φασιν, ἡ θεία Γραφὴ, ταῦτα ὁ θεὸς αὐτοῖς ἀπεκάλυψεν· ἔστι δὲ πάσης δυσσεβείας καὶ ἀσελγείας μεστά. Ταύτην εἰκότως ψευδώνυμον ἐκάλεσε γνῶσιν, Ἀγνοίας ζόφον, ἀλλ' οὐ θεογνωσίας ἔχουσι φῶς.» Θεοδώρητος.

πάντων ἐπεύχεται αὐτῷ, τὴν χάριν τοῦ Θεοῦ, ἀφ' ἧς καὶ δίδοται πᾶν ἀγαθὸν καὶ φυλάττεται· ἧς καὶ ἡμεῖς ἀπολαύοιμεν δαψιλῶς, ἃ παρ' αὐτῆς ἐδεξάμεθα ἀγαθὰ μὴ ἀπολλύντες, ἀλλὰ συντηροῦντες ταῦτα δι' αὐτῆς, καὶ δοξάζοντες Χριστὸν, τὸν τῶν χαρισμάτων δοτῆρα, σὺν Πατρὶ καὶ Πνεύματι· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

Η
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ῥώμης· ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Τῶν συναποδημούντων τῷ Παύλῳ καταλιπόντων αὐτὸν, βουλόμενος ὁ ἀπόστολος, ἐλθεῖν Τιμόθεον πρὸς αὐτὸν, γράφει τὴν ἐπιστολήν. Καὶ πρῶτον μὲν δηλοῖ αὐτῷ, μνημονεύειν αὐτοῦ τε τῆς εὐσεβείας καὶ τῆς τῶν προγόνων αὐτοῦ πίστεως. Ἔπειτα δηλοῖ, ὅτι οἱ ἀπὸ Ἀσίας, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης, ἀπεστράφησαν αὐτὸν, ὁρῶντες αὐτοῦ τὰς ἁλύσεις. Μόνῳ δὲ Ὀνησιφόρῳ μαρτυρεῖ σπουδὴν πλείστην, καὶ τοῦτον ἀπεδέξατο ἐλθόντα εἰς τὴν Ῥώμην, καὶ προσμείναντα αὐτῷ. Παραγγέλλει δὲ αὐτῷ, παραιτεῖσθαι τὰς μωρὰς ζητήσεις, διὰ τὸ ἐξ αὐτῶν γεννᾶσθαι μάχας· καὶ γὰρ Ὑμέναιος καὶ Φιλητὸς οὕτως ἐκτραπέντες, παρέβησαν τὴν ἀλήθειαν, λέγοντες, ἀνάστασιν ἤδη γεγονέναι, καί τινας ἀνατρέπουσι. Μᾶλλον οὖν παραινεῖ αὐτῷ, προσέχειν ἑαυτῷ τε καὶ τῇ διδασκαλίᾳ· καὶ εἰδέναι μὲν, ὅτι ἐν ἐσχάτοις καιροῖς ἔσονται ἄνθρωποι φίλαυτοι καὶ φιλήδονοι μᾶλλον ἢ φιλόθεοι· προβλέποντα δὲ μᾶλλον ταῦτα, ἀσφαλίζεσθαι τοὺς λαοὺς, μή τις ἐξ αὐτῶν ἀπατηθῇ. Καὶ εἰς τὰ ἤθη δὲ, καὶ εἰς τὴν τῆς διδασκαλίας ἀκρίβειαν πολλὰ προτρεψάμενος αὐτὸν, καὶ σημάνας τὸν καιρὸν τῆς ἀναλύσεως αὐτοῦ ἐνστῆναι, καὶ μέλλειν σπένδεσθαι καὶ μαρτυρεῖν, ἐνετείλατο αὐτῷ, ἐλθεῖν πρὸς αὐτὸν ταχέως,

κομίζοντα τὸν φαιλόνην καὶ τὰ βιβλία. Παρῄνεσε δὲ αὐτῷ, Ἀλέξανδρον τὸν χαλκέα φυλάττεσθαι, ὡς πολλὰ κακὰ ἐνδειξάμενον αὐτῷ· καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

ΑΛΛΗ.

Τι δή ποτε καὶ δευτέραν γράφει πρὸς Τιμόθεον ἐπιστολήν; Εἶπεν ἐν τῇ πρώτῃ· *Ἐλπίζω ἐλθεῖν πρὸς σὲ τάχιον* (α)· καὶ οὐκ ἠδυνήθη ἀπελθεῖν· ἤδη γὰρ κατείχετο ὑπὸ Νέρωνος. Ἔδει οὖν ἀντὶ τῆς παρουσίας, γράμματα γοῦν πέμψαι, ὁμοῦ μὲν, τὸ μὴ ἐλθεῖν παραμυθούμενον, ὁμοῦ δὲ, καὶ ἐπιῤῥωννύντα τὸν Τιμόθεον, οὕτω τῇ φροντίδι τῆς ἐκκλησίας ἐγκεχρονικότα.

(α) Αʹ Τιμ. Γʹ, 14.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ

ΔΕΥΤΕΡΑ ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦ. I, 1 ΠΑΥΛΟΣ, ἀπόστολος Ἰησοῦ Χριστοῦ
διὰ θελήματος θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς
2 ἐν Χριστῷ Ἰησοῦ, Τιμοθέῳ, ἀγαπητῷ τέκνῳ· χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ, τοῦ Κυρίου ἡμῶν.

Απόςολός εἰμι, φησὶν, ἐπὶ τῇ ἐπηγγελμένῃ ζωῇ, τῇ οὔσῃ ἐν Χριςῷ Ἰησοῦ, τουτέστι, τῇ διὰ Χριστοῦ Ἰησοῦ δοθῆναι μελλούσῃ. *Κατ' ἐπαγγελίαν ζωῆς.*] Μή μοι, φησὶ, τοὺς ἐνταῦθα κινδύνους εἴπῃς. Οὗτοι γὰρ τὴν ἐπηγγελμένην ἡμῖν αἰώνιον ζωὴν τίκτουσιν. Ἀπόστολοι γεγόναμεν, ἵνα ἀποθάνωμεν, καὶ ζήσωμεν αἰωνίως. Ἐπεὶ οὖν ἐπήγγελται, ἐκεῖ αὐτὴν ζήτει, φησίν. Ἐκ προοιμίων δὲ ὑπὲρ τῶν ἑαυτοῦ πειρασμῶν τοῦτον παραμυθεῖται.—Ἀπόστολόν με προεβάλετό, φησιν, ὁ δεσπότης θεὸς, συμψηφισαμένου καὶ τοῦ Χριςοῦ, ὥςε με τὴν ἐπαγγελθεῖσαν αἰώνιον ζωὴν τοῖς ἀνθρώποις κηρύξαι (Θεοδωρήτου). — *Ἀγαπητῷ τέκνῳ.*] Ἔνι γὰρ εἶναι μὲν τέκνον, οὐ μὴν δὲ ἀγαπητόν. Ὁ τοίνυν Τιμόθεος, εἰ μὴ ἦν σφόδρα ἐνάρετος, οὐκ ἂν ἦν καὶ τέκνον, καὶ ἀγαπητὸν, καὶ μάλιστα Παύλου. *Χάρις, ἔλεος.*] Ἅπερ καὶ πρότερον, ταῦτα καὶ νῦν αὐτῷ ἐπεύχεται. Ἀνάγνωθι οὖν τὴν ἐν τῇ προτέρᾳ ἐπιστολῇ εἰς ταῦτα παραγραφήν.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἔπαινος τῆς Τιμοθέου πίστεως, καὶ προτροπὴ ὑπομονῆς κατὰ τὸ πρέπον τῇ χάριτι, ἐν ᾗ καὶ αὐτός, φησι, διακαρτερεῖ πάσχων.

3 Χάριν ἔχω τῷ θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν
καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ
4 ἡμέρας, ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν
5 δακρύων, ἵνα χαρᾶς πληρωθῶ· ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε
πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου
6 Εὐνίκῃ· πέπεισμαι δέ, ὅτι καὶ ἐν σοί. Δι' ἣν αἰτίαν
ἀναμιμνήσκω σε, ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου·

Χάριν ἔχω τῷ θεῷ.] Ὁρᾷς ἀγάπης ὑπερβολήν; Εὐχαριστῶ, φησι, τῷ θεῷ, ὅτι ἀγαπῶν σε μέμνημαί σου. Τοῦτο ἔστιν ἀγάπη ἀληθής, ὅταν τις ἐγκαλλωπίζηται τῇ πρὸς τὸν δεῖνα φιλίᾳ. *Ἐν καθαρᾷ συνειδήσει.*] Πῶς *ἐν καθαρᾷ συνειδήσει*, ὅπου γε ἠγνόει τὸν Χριστὸν ἐξ ἀρχῆς; Δείκνυσιν οὖν, ὅτι οὐδὲν πονηρὸν ἑαυτῷ σύνοιδεν· εἰ γὰρ καὶ ἐδίωκε, κατὰ ζῆλον ἐδίωκε, καὶ οὐ κατὰ ἀνθρώπινον λογισμόν, ὡς οἱ πολλοὶ διὰ δόξαν αἵρεσιν συνιστῶντες, ᾗ συνοίδασι πολλὴν τὴν σαθρότητα (1). Καλῶς δὲ συνίστησιν ἑαυτόν, ἵνα καὶ τὸ ἀγαπᾶν τὸν Τιμόθεον δείξῃ ἀληθεύων, καὶ μὴ ἀφίλου λάβῃ δόξαν, μὴ ἀπελθὼν πρὸς αὐτόν, καὶ ταῦτα ὑποσχόμενος. *Ὡς ἀδιάλειπτον.*] Ἐπειδὴ ἀδιά-

(1) «Ἀψευδὴς μὲν ὁ λόγος, εἰ καὶ τοῦ βίου προσεμαρτύρει λαμπρότητι, ἀλλ' ὅμως τὴν εἰλικρινῆ περὶ τὸν θεὸν διάθεσιν διὰ τοῦ καθαροῦ συνειδότος ᾐνίξατο. Καὶ γὰρ ἡνίκα ἐδίωκεν, ὑπὲρ θεοῦ τοῦτο ποιεῖν ὑπελάμβανε. Τοῦτο γὰρ καὶ ἐν πρὸς Φιλιππησίους (Γ', 6.) ἔφη· Κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην, τὴν ἐν νόμῳ, γενόμενος ἄμεμπτος.» Θεοδώρητος.

λειπτον. *Ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου.*] Εὐχαριστῶ τῷ θεῷ, ὅτι μέμνημαί σου, οὐχ ἁπλῶς δὲ, ἀλλ' ἐν ταῖς δεήσεσί μου, καὶ νυκτὸς καὶ ἡμέρας τὸν θεὸν παρακαλῶν ὑπὲρ σοῦ. *Ἐπιποθῶν σε ἰδεῖν.*] Οὐκ οὖν, φησὶ, τοσαύτης ἡδονῆς ἑκὼν ἐμαυτὸν ἀπεστέρησα, εἴγε ἐδυνάμην ἐλθεῖν. Ὅρα δὲ, ὅτι οὐ βούλεται αὐτὸν ἐκ προοιμίων λυπῆσαι, ὡς μὴ ἐρχόμενος, ἀλλ' ἐλπίδα δίδωσι τοῦ ἰδεῖν αὐτόν· πρὸς τῷ τέλει δὲ τὸ μὴ ἰδεῖν αὐτὸν ἔτι ἐν σαρκὶ δηλοῖ, λέγων· *Ἐγὼ γὰρ ἤδη σπένδομαι.* Ἡ δὲ τάξις αὕτη· Χάριν ἔχω τῷ θεῷ, ἐπειδὴ σου μέμνημαι, *ἐπιποθῶν σε ἰδεῖν, ἵνα χαρᾶς πληρωθῶ*, ὡς τῆς θέας μόνης χαρᾶς πληρωτικῆς ὑπαρχούσης. Εἶτα διὰ μέσου, *Μεμνημένος σου τῶν δακρύων.* Ἵνα γὰρ μὴ δόξῃ εἰκῆ φιλεῖν αὐτὸν, λέγει καὶ τὴν αἰτίαν· *Μεμνημένος σου τῶν δακρύων·* ὡς εἰ ἔλεγεν· Εἰ καὶ σφόδρα ἄφιλος φύσει ἤμην, ἀλλ' οὖν γε τὰ δάκρυά σου ἱκανὰ κάμψαι με, εἰς μνήμην ἐλθόντα. Ἴσως γὰρ, χωριζόμενος τοῦ Παύλου ὁ Τιμόθεος, οὕτως ἤλγει; ὡς καὶ δακρύειν (1). *Ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως.*] Ἐμεμνήμην σου, φησὶν, ἐν ταῖς προσευχαῖς μου, ὑπομιμνησκόμενος τῶν τε δακρύων σου καὶ τῆς ἀνυποκρίτου πίστεως (2). *Πρῶτον ἐν τῇ μάμμῃ σου, καὶ τῇ μητρί σου.*] Καὶ ἄλλο ἐγκώμιον, ὅτι οὐκ ἐξ Ἑλλήνων τὸ πρὸς μητρὸς αὐτοῦ γένος ἦν, ἀλλ' ἐξ Ἰουδαίων, πεπιστευκότων Χριστῷ. Διὰ δὲ τὸν αὐτοῦ πατέρα, ὅτι Ἕλλην ὑπῆρχε, καὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων, τῶν ὄντων ἐν τοῖς τόποις ἐκείνοις, ἔλαβεν αὐτὸν ὁ Παῦλος καὶ περιέτεμε (3). *Πέπεισμαι δὲ, ὅτι καὶ ἐν σοί.*] Τὰ τῶν προγόνων ἐγκώμια, ὅταν μὲν καὶ ἡμεῖς αὐτῶν μετέχωμεν, εἰς δόξαν ἡμῖν γίνεται· ὅταν δὲ μὴ, κα-

(1) « Ἀσαφῆ τὴν διάνοιαν ἡ συνθήκη πεποίηκε. Λέγει δὲ τοῦτο· Ἀναμιμνησκόμενός σου τῶν δακρύων, θυμηδίας ἐμφοροῦμαι πολλῆς, καὶ τῷ πόθῳ πυρσεύομαι, ἱμειρόμενός σε πάλιν ἰδεῖν· καὶ προσευχόμενος δὲ διηνεκῶς, ἐπὶ σοὶ τὸν θεὸν ἀνυμνῶ. Εἰκὸς δὲ αὐτῷ γενέσθαι τὰ δάκρυα συνταττομένῳ, καὶ τοῦ διδασκάλου χωριζομένῳ.» Θεοδώρητος. (2) « Οὐ μόνον τῶν δακρύων μεμνημένος, ἐπιποθῶ σε ἰδεῖν, ἀλλὰ καὶ τῆς ἀδόλου σου πίστεως. Μέγα γάρ σοι καὶ τοῦτο δικαίωμα πρὸς τὸ ἀγαπᾶσθαι ὑπ' ἐμοῦ » Θεοφύλακτος. (3) Πραξ. ΙϚ', 1. 3.

ταχρίνει μᾶλλον ἡμᾶς. Οὗτος δὲ μετεῖχε· *πέπεισμαι γάρ*, φησιν ὁ Παῦλος, *ὅτι καὶ ἐν σοί*· τουτέστιν, ὅτι ἡ τῶν προγόνων πίςις καὶ ἐν σοὶ ἐςιν, ὡς ἀκριϐῶς πέπεισμαι. Εἰκότως οὖν ἀνυπόκριτον ταύτην ἔχεις, ὡς ἄνωθεν τεθεμελιωμένην, καὶ σαλεύεσθαι οὐκ ἔχουσαν. *Δι' ἣν αἰτίαν*.] Ἐπειδὴ ταῦτα σοι σύνοιδα, φησίν· *Ἀναμιμνήσκω σε, ἀναζωπυρεῖν τὸ χάρισμα*.] Χαρίσματος ἦν πνευματικοῦ ἠξιωμένος, καὶ συμϐουλεύει αὐτῷ ὁ Παῦλος, τοῦτο σφοδρότερον καὶ ἐνεργότερον ἀποτελεῖν διὰ προθυμίας, διὰ προσοχῆς, διὰ νήψεως· τὰ γὰρ ἐναντία τούτων ἀπομαραίνει αὐτό, ὡς ἀλλαχοῦ φησι· *Τὸ πνεῦμα μὴ σϐέννυτε* (α). *Διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου*.] Ἅμα γὰρ αὐτῷ χεῖρας ὁ Παῦλος ἐπέθηκε, χειροτονῶν αὐτὸν ἐπίσκοπον, καὶ χάρισμα ἐπῆλθεν ἐπ' αὐτῷ, εἰς σημείων ποίησιν, εἰς διδασκαλίαν, εἰς προστασίαν τῆς ἐκκλησίας (1).

7 Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας, ἀλ-
8 λὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. Μὴ οὖν
ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπάθησον
9 τῷ εὐαγγελίῳ κατὰ δύναμιν θεοῦ, τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων·

Πῶς δὲ ἀναζωπυρήσω τὸ χάρισμα τοῦ θεοῦ; Ἐὰν στῇς πρὸς τοὺς πειρασμοὺς γενναίως. *Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας*.] Ἔνι γὰρ καὶ *πνεῦμα*, οἷον, χάρισμα, δειλίας, ὡς ἐν ταῖς Βασιλείαις φησί· *Καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς πνεῦμα*

(α) Α' Θεσσ. έ, 19.

(1) « Ταῦτα περὶ σοῦ πεπεισμένος, παρακαλῶ σε, πυρσεύειν τῇ προθυμίᾳ τὴν χάριν τοῦ πνεύματος, ἣν διὰ τῆς ἐμῆς ἐκομίσω χειροτονίας. Καθάπερ γὰρ τὸ ἔλαιον, τῆς λαμπάδος τὴν φλόγα σφοδροτέραν ἐργάζεται, οὕτως ἡ καλὴ τῆς ψυχῆς προθυμία, τοῦ παναγίου πνεύματος τὴν χάριν ἐφέλκεται. » Θεοδώρητος.

δειλίας (1)· ἔνθα συμφέρει πάντως τὸ δειλιᾷν. *Ἀλλὰ δυνάμεως.*] Ἀλλ' ἡμῖν, φησι, χάρισμα δυνάμεως δέδοται· δυνάμεως δὲ τῆς πρὸς τοὺς πειρασμούς. Τουτέστιν, οὐ διὰ τοῦτο ἐλάβομεν τὸ πνεῦμα, ἵνα ὑποστελλώμεθα, ἀλλ' ἵνα δυνατοὶ ὦμεν πρὸς τοὺς πειρασμοὺς, καὶ παῤῥησιαζώμεθα. *Καὶ ἀγάπης.*] Τῆς τε πρὸς αὐτὸν, καὶ τῆς πρὸς τοὺς ἀδελφούς. Καὶ τὸ ἀγαπᾷν γὰρ τὸν θεὸν ὡς πατέρα, ἐκ τοῦ πνεύματος ἔχομεν, τοῦ ποιοῦντος ἡμᾶς κράζειν· *Ἀϐϐᾶ*, ὁ πατὴρ (α). Καὶ τὸ μὴ σαλεύεσθαι ἐκ τῆς πρὸς τὸν πλησίον ἀγάπης, χάρισμά ἐστιν ἀπὸ θείας δυνάμεως γινόμενον· ὥσπερ αὖ τὸ σκανδαλίζεσθαι, ἀπὸ δειλίας καὶ μικροψυχίας. *Καὶ σωφρονισμοῦ.*] Περὶ ϐίον ὀρθόν. Ἢ ἵνα σώφρονες ὦμεν, καὶ ὑγιεῖς τὴν διάνοιαν, καὶ ἐν καταστάσει· ἢ ἵνα σωφρονισμὸν ἔχωμεν τὸ πνεῦμα, κἂν τις πειρασμὸς ἡμῖν ἐπιγένηται, πρὸς σωφρονισμὸν τοῦτον δεχώμεθα· ἢ ἵνα καὶ ἄλλοις ὦμεν σωφρονισταὶ καὶ παιδευταί. *Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν.*] Πολλοὶ τρισάθλιοι ἄνθρωποι, λογισμοῖς ἀνθρωπίνοις τὸ κατὰ τὴν οἰκονομίαν ἐξετάζοντες μυστήριον, αἰσχύνην εἶναι λέγουσιν, εἰ τὸν υἱὸν τοῦ θεοῦ σταυρωθέντα κηρύξαιεν, ἀγνοοῦντες, τί κατωρθοῦτο διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου τοῦ Κυρίου. Σὺ οὖν, φησὶ, *μὴ ἐπαισχυνθῇς τὸ μαρτύριον*, τουτέστι, τὸν σταυρὸν τοῦ Χριστοῦ, ἀλλὰ κήρυσσε παῤῥησίᾳ. *Μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ.*] Μηδὲ ὅτι ἔχεις δέσμιον διδάσκαλον ἐπαισχυνθῇς. Οὐ γὰρ ὡς κακοῦργος δέδεμαι, ἀλλ' *αὐτοῦ* εἰμὶ δέσμιος, τουτέστι, δι' αὐτόν. Εἰ γὰρ ὁ Χριστὸς οὐκ ἐπῃσχύνθη τὸν σταυρὸν, οὐδὲ ἐγὼ τὰ δεσμά. *Ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ.*] Καὶ μὴ μόνον μὴ ἐπαισχυνθῇς, ἀλλὰ καὶ συγ-

---

(1) Τὸ ῥητὸν τοῦτο οὐχ εὕρηται οὕτως αὐτολεξεὶ ἐν τοῖς βιϐλίοις τῶν βασιλειῶν. Ὁ Χρυσόστομος γράφει « Πολλοῖς γὰρ δίδωσι πνεῦμα δειλίας, οἷον ἐπὶ τῶν πολέμων [, ὡς] ἐν ταῖς βασιλείαις γέγονε. Καὶ ἔπεσέ, φησι, πνεῦμα δειλίας ἐπ' αὐτοὺς, τουτέστι, φόϐον αὐτοῖς ἐνέθηκεν. » Ἐπειδὴ δὲ οὗτος οὐ λέγει, ποῦ γέγραπται τὸ ῥητὸν, οὐ λέγουσι τοῦτο καὶ οἱ ἐξ αὐτοῦ ἐρανισθέντες Οἰκουμένιος καὶ Θεοφύλακτος. Οἱ ἐκδόται ἀναφέρονται εἰς Δ' Βασιλ. ΙΘ', 6. καὶ Ἡσ. ΛΖ', 7. Παρϐ. Ἐξοδ. ΙΕ', 16. Δευτ. ΚϚ', 36. (α) Ῥωμ. Η', 15. Γαλ. Δ', 6.

κακοπάθησον μετ' ἐμοῦ. Τουτέστιν, Εἰ δέοι καὶ σὲ τοιαῦτα παθεῖν διὰ τὸ εὐαγγέλιον, μὴ δειλιάσῃς. Τοῦτο γὰρ ᾐνίξατο καὶ ἄνω, ἔνθα φησίν· *Οὐ γὰρ ἐλάβομεν πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως* (1). *Κατὰ δύναμιν θεοῦ.*] Εἶτα καὶ προτρέπει αὐτόν. Μὴ γὰρ οἰκείᾳ, φησὶ, δυνάμει ἔχεις κακοπαθῆσαι; Ὁ θεὸς τὴν τοιαύτην ἔδωκέ τε καὶ δώσει δύναμιν· σὺ μόνον τὸ προθυμηθῆναι εἰσάγαγε. *Τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ.*] Εἶτα καὶ τῆς συμπράξεως τοῦ θεοῦ καὶ τῆς δυνάμεως, τῆς φέρειν γενναίως ποιούσης τοὺς πειρασμοὺς καὶ τὴν κακοπάθειαν, λέγει τὰς ἀποδείξεις. Ἔσωσεν ἡμᾶς, φησιν, ἐκ τοῦ θανάτου τῆς ἁμαρτίας, καὶ πόῤῥω ὄντας ἐκάλεσεν ἡμᾶς πρὸς ἑαυτὸν *κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν*· τουτέςιν, Οὐκ ἐπειδὴ ἄξιοι ἦμεν τῆς κλήσεως, ἀλλ' αὐτὸς οἰκείᾳ προθέσει καὶ χάριτι τοῦτο πεποίηκεν. Ὁ οὖν, φησί· (τοῦτο γὰρ τὸ ἀποτέλεσμα·) ἐχθροὺς ὄντας οὕτω διατεθεικὼς, πολλῷ μᾶλλον φίλοις γεγονόσι, καὶ ὑπὲρ αὐτοῦ κακοπαθεῖν βουληθεῖσι, δώσει δύναμιν εἰς τὸ περιγενέσθαι. *Τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ.*] Δείκνυσιν, ὅτι τὸ δοθῆναι ἡμῖν χάριτι τὴν σωτηρίαν διὰ τοῦ Χριστοῦ· (τοῦτο γὰρ λέγει, *ἐν Χριστῷ Ἰησοῦ*·) προτετυπωμένον ἦν ἄνωθεν *πρὸ χρόνων αἰωνίων*, ἤτοι, ἀνάρχως καὶ προαιωνίως.

10 Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν
11 διὰ τοῦ εὐαγγελίου, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ
12 ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν· δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι

---

(1) « Τῶν κηρύκων τὸ πάθος, τοῦ εὐαγγελίου προσηγόρευσε πάθος, ἐπειδὴ χάριν ἐκείνου τὰς παντοδαπὰς τιμωρίας ὑπέμενον. Παρεγγυᾷ τοίνυν αὐτῷ, ταῦτα φέρειν γενναίως, καὶ παραθαῤῥύνει τῇ μνήμῃ τῆς θείας δυνάμεως.» Θεοδώρητος.

τὴν παραθήκην (1) μου φυλάξαι εἰς ἐκείνην τὴν
13 ἡμέραν. Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν
παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ, τῇ ἐν Χρι-
14 στῷ Ἰησοῦ. Τὴν καλὴν παραθήκην (2) φύλαξον διὰ
πνεύματος ἁγίου, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας.] Ἤδη μὲν πάλαι τὸ σωθῆναι ἡμᾶς προετετύπωτο· νῦν δὲ ἐκ τῆς ἐνανθρωπήσεως τοῦ σωτῆρος ἡμῶν θεοῦ γέγονε καταφανές· ἡ γὰρ τοιαύτη βουλὴ τοῦ θεοῦ, τὸ σωθῆναι τὸν κόσμον διὰ τῆς πίστεως, νῦν, καὶ οὐκ ἄλλοτε γέγονε καταφανής (3). *Καταργήσαντος μὲν τὸν θάνατον.*] Τῷ τὴν ἁμαρτίαν συγχωρῆσαι, καὶ ἀνάστασιν δωρήσασθαι. *Φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν.*] Τουτέστι, φανερώσαντος. Ἀξία δέ τῆς ζωῆς ἡ λέξις, *φωτίζειν*. *Διὰ τοῦ εὐαγγελίου.*] Δι' αὐτοῦ γὰρ ἥ τε αἰώνιος ζωὴ καὶ ἡ ἀνάστασις δήλη γέγονεν (4). *Εἰς ὃ ἐτέθην ἐγώ.*] Πρῶτον μὲν τὸ ὂν λέγει· ἔπειτα δὲ καὶ τοῦτο αἰνίττεται· ὅτι χρὴ καί σε τοῖς ἔθνεσι πλησιάζειν, καὶ μὴ καταπίπτειν· ἀλλ' ἐμὲ μιμεῖσθαι, τὸν διὰ τὴν διδασκαλίαν δεδεμένον. *Δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω.*] Ποίαν; Διὰ τὸ εἶναι κήρυξ καὶ ἀπόστολος τῶν ἐθνῶν· ὡς εἰ ἔλεγεν· Οὐχ ὡς κακοῦργος δέδεμαι, καὶ εἰς φυλακὰς ἕλκομαι. Ἄλλως τε, καὶ ἀξιόπιστον τὸν λόγον ποιεῖ. *Ἀλλ' οὐκ ἐπαισχύνομαι.*] Καύχησις γὰρ μεγίστη, τὸ ὑπὲρ Χριστοῦ πάσχειν. Ὁρᾷς, πῶς ἀλείφει πρὸς πειρασμὸν τὸν μαθητήν; δεικνὺς, ὡς, εἴ τις μὴ αἰσχυνόμενος ὑποςαλῇ, αὐτὸς ὁ κίνδυνος ῥᾴων ἔςαι τῇ τοῦ Χριςοῦ βοηθείᾳ. *Ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι.*] *Παραθήκην*, φησὶ, τὴν πίστιν, ἣν παρέθετο αὐτῷ ὁ Χριστὸς

(1) Ἐν ἄλλοις, παρακαταθήκην. (2) Ἐν ἄλλοις, παρακαταθήκην.

(3) « Εἰ γὰρ καὶ προώριστο ἡ χάρις, ἀλλὰ νῦν ἐφανερώθη, ὅτε ἐπεφάνη ὁ Σωτήρ. » Θεοφύλακτος. (4) « Ἐν μὲν τῷ οἰκείῳ σώματι κατήργησεν ἐμπράκτως τὸν θάνατον, ἀφθαρτίσας αὐτό· ἡμᾶς δὲ ἐφώτισε διὰ τοῦ εὐαγγελίου, ἐλπίζειν τὴν ζωὴν καὶ τὴν ἀφθαρσίαν· οὐ γὰρ ἤδη ἡμεῖς ἠφθαρτίσθημεν ἐνεργείᾳ, ἀλλὰ μέλλομεν· καὶ τὴν ἐλπίδα ταύτην τὸ εὐαγγέλιον ἡμῖν ἐβεβαίωσεν. » Θεοφύλακτος.—« Ἐνανθρωπήσας γὰρ ὁ μονογενὴς Λόγος, ἔπαυσε μὲν τοῦ θανάτου τὴν δυναστείαν, ἔδωκε δὲ ἡμῖν τῆς αἰωνίου ζωῆς τὴν ἐπαγγελίαν. Τοῦτο γὰρ εἶπε, φωτίσαντος, ἀντὶ τοῦ, προμηνύσαντος. » Θεοδώρητος.

κηρύσσειν. Ἢ τοὺς πιστοὺς λέγει, οὓς αὐτῷ ὁ Θεὸς παρέθετο διδάξαι· ἢ οὓς αὐτὸς τῷ Θεῷ παρέθετο, ὡς καὶ ἀλλαχοῦ φησι· *Παρατίθεμαι ὑμᾶς τῷ Κυρίῳ* (α)· εἷς δὲ τῶν παρατεθέντων καὶ ὁ Τιμόθεος. Φησὶν οὖν· Οἶδα, ὅτι ἐκεῖνος, ᾧ πεπίςευκα, καὶ πέπεισμαι, δύναται φυλάξαι τὴν παραθήκην ἀσάλευτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. *Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων.*] Οἷον, εἰκόνα, ὁμοίωσιν, μίμησιν. *Ὑγιαινόντων* δὲ *λόγων*, τῶν περὶ πίςιν καὶ βίον· ὡς οἵγε περὶ ἄλλων, οὐχ ὑγιαίνουσιν (1). *Ὧν παρ' ἐμοῦ ἤκουσας.*] Οὐ διὰ γραμμάτων μόνον τὰ πρακτέα ὑπέθετο τῷ μαθητῇ, ἀλλὰ καὶ ςόμα πρὸς ςόμα ἐντέταλτο αὐτῷ. Οὕτω γὰρ καὶ ἐπὶ πάντων ἐποίει. Διὸ μηδεὶς νομιζέτω ἐλλιπῶς ἔχειν τὰς ἐπιστολὰς, ὅτι μὴ περὶ πάντων διαλαμβάνουσιν, ὅπου γε ἀγράφως πολλὰ παρέθετο. *Ἐν πίστει καὶ ἀγάπῃ.*] Ἐν πίςει γὰρ καὶ ἀγάπῃ, τῇ διὰ Χριστοῦ δοθείσῃ αὐτῷ, οἱ λόγοι ἐγίνοντο καὶ αἱ διδαχαί (2). *Τὴν καλὴν παραθήκην φύλαξον.*] *Παραθήκην* φησὶ, τὴν πίστιν, καὶ τὴν ἐπιμέλειαν τῆς ἐμπιστευθείσης αὐτῷ ἐκκλησίας (3). Εἶτα δείκνυσιν, ὅτι οὐκ ἀνθρωπίνη ἰσχὺς ἀρκεῖ τὰ τοσαῦτα φυλάξαι· πολλὰ γὰρ τὰ κωλύματα. Ὑποδείκνυσιν οὖν ὁδὸν φυλακῆς· Φύλαττε γάρ, φησι, *διὰ πνεύματος ἁγίου, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν*· ὡς εἰ εἶπε· Σπούδασον ἔχειν τὸ πνεῦμα παρὰ σοὶ μένον, καὶ μὴ ἀπελάσῃς αὐτὸ διὰ φαύλης ἀναστροφῆς, καὶ φυλάξεις τὴν παραθήκην. Ἐὰν γὰρ μὴ Κύριός, φησι, φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων (6).

(α) Πραξ. Κ', 32.

(1) « Μιμοῦ, φησι, τοὺς ζωγράφους· καὶ καθάπερ ἐκεῖνοι, τοῖς ἀρχετύποις προσέχοντες, σὺν ἀκριβείᾳ ἐκείνων ζωγραφοῦσιν εἰκόνας· οὕτω καὶ σὺ οἷον τι ἀρχέτυπον ἔχε τὴν παρ' ἐμοῦ περὶ πίστεως καὶ ἀγάπης γεγενημένην διδασκαλίαν. » Θεοδώρητος.

(2) « Οἱ λόγοι μου καὶ περὶ πίστεως καὶ περὶ ἀγάπης διαγορεύουσιν· ὅ ἐστι περὶ δογμάτων καὶ περὶ βίου· κἂν τι δέῃ δογματίσαι ἐνάρετον, ἢ εἰπεῖν, ἢ πρᾶξαι, ἐκεῖθεν σοι λαβεῖν ἔξεστι. » Θεοφύλακτος. (3) « Τὰς περὶ πίστεως, τὰς περὶ βίου παρατεθείσας σοι ἐντολάς, ἢ τὸ χάρισμα, ὃ ἔλαβες, ὡς καὶ ἀνωτέρω εἶπε. » Θεοφύλακτος. (6) Ψαλμ. ΡΚΣ', 1.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ἁρμοζούσης μεταδόσεως τῶν θείων διδαγμάτων.

15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ
16 Ἀσίᾳ, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. Δῴη
ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ· ὅτι πολλά-
κις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύν-
17 θη· ἀλλὰ γενόμενος ἐν Ῥώμῃ, σπουδαιότερον ἐζή-
τησέ με, καὶ εὗρε· (δῴη αὐτῷ ὁ Κύριος, εὑρεῖν
ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·) καὶ ὅσα
ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

Ἐξηγεῖται τοὺς πειρασμοὺς, οὐχ ἵνα καταβάλῃ τὸν μαθητὴν, ἀλλ' ἵνα διδάξῃ, ἐπὶ τοῖς ὁμοίοις καρτερῶς φέρειν. Συλληφθέντα γὰρ αὐτὸν παρὰ Νέρωνος, οἱ φίλοι κατέλιπον οἱ ἐν τῇ Ἀσίᾳ. Ἦσαν γὰρ ἐν Ῥώμῃ πολλοὶ ἐκ τῆς Ἀσίας ἑπόμενοι τῷ Παύλῳ, ἢ ἄλλως πιστοί. Πάντες δὲ ἀπεσχοίνισαν ἑαυτοὺς μετὰ τὴν ὑπὸ Νέρωνος σύλληψιν. *Οἱ ἐν τῇ Ἀσίᾳ.*] Τουτέστιν, οἱ ἐκ τῆς Ἀσίας ἐνδημοῦντες τῇ Ῥώμῃ. *Δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ.*] Ὅρα φιλοσοφίαν! Τοὺς μὲν καταλιπόντας, οὐ κατηράσατο, ἀλλὰ μόνον τὰ κατ' αὐτοὺς διηγήσατο· τῷ δὲ συμπράξαντι, πολλὰ ἐπεύχεται· καὶ οὐκ αὐτῷ μόνῳ, ἀλλὰ καὶ παντὶ τῷ οἴκῳ αὐτοῦ. Οὕτως ἦσαν ἐνάρετοι, καὶ οὕτως αὐτοὺς Ὀνησιφόρος ἐπαίδευσεν! *Ὅτι πολλάκις με ἀνέψυξε.*] Καθάπερ ἀθλητήν τινα ὑπὸ τοῦ αὐχμοῦ τῆς πάλης κατεχόμενον, ἀναψύξεως ἠξίωσε· καί οὐχ ἅπαξ, ἀλλὰ πολλάκις. Ὦ μακάριε Ὀνησιφόρε, ὃς ἠξιώθης ἀναψύξαι Παῦλον! εἴη ἡμῖν μερὶς μετὰ σοῦ. *Καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη.*] Τοὺς κινδύνους ἀφεὶς, τὴν αἰσχύνην προέταξε, πείθων τὸν μαθητὴν, θαῤῥεῖν, ὡς αἰσχύνης μόνης τικτομένης ἐκ τοῦ πράγματος, καὶ οὐ κινδύνου προσόντος, καίτοιγε καὶ κίνδυνος προσῆν· ὁ γὰρ Νέρων

ἐμαίνετο κατὰ Παύλου, ὡς κατηχήσαντός τινα τῶν οἰκείων αὐτῷ. *Σπουδαιότερον ἐζήτησέ με.*] Οὐ μόνον, φησὶν, οὐκ ἔφυγέ μου τὴν συντυχίαν· (καίτοι κινδύνου ὄντος συντυγχάνειν μοι μετὰ τὸ ἐγκλεισθῆναι με·) ἀλλὰ καὶ σπουδαιότερον τοῦ ὀφείλοντος ἐζήτησέ με, ἕως εὗρε με· ὃ μεγάλης ἀνδρείας καὶ πίστεως. Οἱ κοινωνοῦντες δὲ τῶν πόνων τοῖς ἁγίοις, κοινωνήσουσι καὶ τῶν στεφάνων, ὡς καὶ αὐτός φησι· *Καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει* (α). *Δῴη αὐτῷ ὁ Κύριος, εὑρεῖν ἔλεος παρὰ Κυρίου.*] Οἱ τὰ Μαρκίωνος φρονοῦντες, ἐπιπηδῶσιν ἐνταῦθα τῇ Γραφῇ, ὡς δύο Κυρίων ὄντων· ἀλλ' οὐκ ἔστι τοῦτο· *εἷς γὰρ Κύριος*, ἀλλαχοῦ φησιν αὐτὸς οὗτος ὁ Παῦλος (β)· καὶ πάλιν· *Ἡμῖν δὲ εἷς Κύριος, Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα* (γ). Τί οὖν ἐροῦμεν; Συνήθης ἡ σύνταξις αὕτη τῇ θείᾳ Γραφῇ, ὡς ἐκεῖ· *Καὶ ἔβρεξε Κύριος θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ* (δ), τουτέστι, παρ' ἑαυτοῦ. Οὕτω καὶ ἐνταῦθα· ὡς εἰ ἔλεγε· Παράσχῃ αὐτῷ ὁ Κύριος, εὑρεῖν ἔλεος παρ' αὐτῷ. Εἰ δὲ καὶ τὸν πατέρα καὶ τὸν υἱὸν δηλοῦσθαι ἐνταῦθα δέξῃ, οὐδὲ τοῦτο ἄτοπον. Καὶ ὁ πατὴρ γὰρ Κύριος, καὶ ὁ υἱὸς Κύριος, καὶ τὸ πνεῦμα Κύριος· ἀλλ' εἷς Κύριος ταῖς τρισὶν ὑποστάσεσιν ἐμφαινόμενος. Εἰ δὲ Ὀνησιφόρος ἐλέους δεῖται πρὸς τὸ σωθῆναι, ὁ τοσοῦτος, τί πάθωμεν ἡμεῖς; *Καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε.*] Συνήθης ἐστί, φησι, τῇ ἀγαθοεργίᾳ· οὐχ ἅπαξ ἐποίησεν, ἀλλ' ἀεὶ διηκόνει, ἐν Ἐφέσῳ, ἐν Ῥώμῃ. Τοιοῦτον γὰρ εἶναι δεῖ τὸν χριστιανὸν, ἐν ἔργῳ δηλαδὴ ἀεί.

ΚΕΦ. II, 1 Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χά-
2 ριτι, τῇ ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ
διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

Σὺ οὖν, *τέκνον μου.*] Πολὺ φιλοστόργως τὸ, *μοῦ*, πρόσκειται.

(α) Φιλιπ. Δ', 14. (β) Ἐφεσ. Δ', 5. (γ) Α' Κορ. Η, 6.
(δ) Γενεσ. ΙΘ', 24.

Εἰ τέκνον μου εἶ, φησι, τὸν πατέρα μιμοῦ· οἶδε γὰρ θάρσος ἐμβάλλειν μαθητῇ, διδασκάλου πειρασμός. Διό φησιν, *ἐνδυναμοῦ*. Ἂν γάρ τί σοι, φησὶ, τοιοῦτο προσπέσῃ, μὴ καταπέσῃς, πρὸς ἐμὲ ὁρῶν. *Ἐνδυναμοῦ ἐν τῇ χάριτι.*] Ἐνδυναμοῦ δέ, φησι, μὴ μόνον τῷ ἐμῷ παραδείγματι, ἀλλὰ μάλιστα διὰ τῆς χάριτος, τῆς *ἐν Χριστῷ Ἰησοῦ*, ἤτοι, τῆς διὰ Χριστοῦ δοθείσης· εἰ γὰρ μὴ αὐτὸς τῷ ἰδίῳ αἵματι ἐδικαίωσεν, οὐκ ἂν ἡ χάρις τοῦ πνεύματος παρεγένετο. Ἔχε οὖν, φησι, τὸ πνεῦμα συμμαχοῦν. *Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων.*] *Ἃ ἤκουσας*, οὐχ ἃ συνεζήτησας· ἡ γὰρ πίστις ἐξ ἀκοῆς. Ἤκουσας δὲ οὐ κρύφα, ἀλλὰ μετὰ παῤῥησίας, πολλῶν παρόντων. Περὶ τοῦ κηρύγματος δὲ ταῦτα λέγει. Ἢ, *Διὰ πολλῶν μαρτύρων*, νόμου καὶ προφητῶν. Τούτους γὰρ ὁ ἀπόστολος ἐποιεῖτο μάρτυρας τοῦ ἰδίου κηρύγματος. Οὕτως ὁ Κλήμης ἐν Ζ' τῶν Ὑποτυπώσεων. *Ταῦτα παράθου πιστοῖς ἀνθρώποις.*] Οὐκ εἶπεν, *εἰπὲ*, ἀλλὰ, *παράθου*, καθάπερ ἐπὶ θησαυροῦ· τὸ γὰρ παρατιθέμενον, ἐν ἀσφαλείᾳ παρακατατίθεται. Ποιεῖ δὲ διὰ τούτου τὸν μαθητὴν προσεκτικώτερον. *Πιστοῖς*, φησιν, οὐ συζητητικοῖς, οὐδὲ συλλογιστικοῖς· πιστοῖς δε, τοῖς μὴ προδιδοῦσι τὰ παρατιθέμενα. *Οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.*] Τί γὰρ ὄφελος, εἰ πιστοὶ μέν εἰσιν, οὐχ ἱκανοὶ δὲ εἰς ἑτέρους ἐξάγειν τὰ πιστευθέντα; Δεῖ γὰρ καὶ πιστοὺς καὶ διδακτικοὺς εἶναι τοὺς διδασκάλους.—*Πιστοῖς ἀνθρώποις.*] Ἤγουν, ἐπισκόποις, πρεσβυτέροις, οὓς ἔμελλεν ὁ Τιμόθεος χειροτονεῖν. Καὶ γὰρ, ὡς ἡγοῦμαι, περὶ ἐπισκόπων καὶ πρεσβυτέρων, τῶν παρ' αὐτοῦ χειροτονεῖσθαι μελλόντων, ταῦτα αὐτῷ παραγγέλλει· οὐκ ἂν γὰρ περὶ λαϊκῶν τοιαῦτα ἔγραψε· τοῦτο γὰρ ἄτοπον· ὅπουγε αὐτὸς ὁ Παῦλος καὶ Ἕλλησι καὶ Ἰουδαίοις ἐπέστελλεν. Οἷον γὰρ ἦν, εἰ μὴ εὗρέ τινα πιστὸν καὶ διδακτικὸν, οὐκ ἂν κατήχει εἰς τὴν πίστιν, αὐτοῦ τοῦ Παύλου καὶ τοῖς φονῶσιν Ἰουδαίοις καὶ Ἕλλησιν ἀπαρατηρήτως κηρύσσοντος τὸν λόγον;

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ἀφρόντιδος ἐν τῷ νῦν βίῳ πολιτείας, ἐπὶ ταῖς ἀπόνοις τροφαῖς.

3 Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ
4 Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς
τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι
5 ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν
6 μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ
πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης.] Βαβαὶ, ὅσον τὸ ἀξίωμα, στρατιώτην εἶναι Χριστοῦ! Δεῖγμα δὲ στρατιώτου τὸ κακοπαθεῖν. Ὥστε τὸ μὴ κακοπαθεῖν, οὐ στρατιώτου. Οὐ τοίνυν χρὴ δυσχεραίνειν, εἰ κακοπαθεῖ τις, ἐν στρατιώταις ταχθείς. *Οὐδεὶς στρατευόμενος ἐμπλέκεται.*] Εἰ οὖν, φησιν, ὁ τῷ ἐπιγείῳ βασιλεῖ στρατευόμενος, οὐκ ἐμπλέκεται πράγμασι, τοῖς ἀφέλκουσιν αὐτὸν τῶν ὅπλων, πόσῳ μᾶλλον ὁ τῷ οὐρανίῳ βασιλεῖ ἑαυτὸν ἀναθεὶς καὶ στρατολογηθείς; *Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.*] Οὐ γὰρ ἀρκεῖ μόνον, φησὶ, τὸ ἀλείψασθαι, ἢ εἰς σκάμμα εἰσελθεῖν, ἢ συμπλακῆναι τῷ ἀντιπάλῳ, ἀλλὰ δεῖ καὶ ἐγκρατεύεσθαι, καὶ νικῆσαι. Οὗτος γὰρ νόμος ἀθλήσεως (1). *Στρατιώτου* ἐμνήσθη, δεικνὺς, ὡς πρόθυμον καὶ τολμητίαν εἶναι δεῖ τὸν τοῦ Χριστοῦ δοῦλον· *ἀθλητοῦ δὲ*, δεικνὺς, ὅτι ἀσκήσεως αὐτῷ χρεία διηνεκοῦς. *Τὸν κοπιῶντα γεωργόν.*] Οὐ τὸν ἀμελῆ, ἀλλὰ τὸν κοπιῶντα· καὶ γὰρ καὶ διδάσκαλος ὁ κοπιῶν περὶ τοὺς

---

(1) « Οὐχ ἐὰν εἰς τὸν ἀγῶνα εἰσέλθῃ, ἀρκεῖ τοῦτο, οὐδὲ ἐὰν ἀλείψηται, οὐδὲ ἐὰν συμπλακῇ, ἀλλ' ἐὰν μὴ καὶ τοὺς περὶ βρωμάτων καὶ πομάτων καὶ σωφροσύνης ἀθλητικοὺς νόμους φυλάξῃ, καὶ τοὺς ἐν τῷ τρόπῳ τῆς πάλης. Οὐ γὰρ ἁπλῶς καὶ ὡς θέλει ἕκαστος, ἐφεῖται αὐτῷ παλαίειν, ἀλλὰ νόμοι καὶ περὶ τούτου ἀθλητικοί.» Θεοφύλακτος.

« Καὶ ἡ ἀθλητικὴ νόμους ἔχει τινάς, καθ' οὓς προσήκει τοὺς ἀθλητὰς ἀγωνίζεσθαι· ὁ δὲ παρὰ τούτους παλαίων, τῶν στεφάνων διαμαρτάνει. » Θεοδώρητος.

μαθητὰς, ἀμοιβὰς ἕξει παρὰ Θεοῦ ὑπὲρ τῆς τῶν μαθητῶν ὠφελείας. *Δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.*] Ὡς τῶν διδασκάλων, πρῶτον ἐν ἑαυτοῖς κατορθούντων ἅπερ διδάσκουσι. Τοῦτο γάρ ἐστι τὸ, *Δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν*, ὧν πρὸ τῶν ἄλλων ἑαυτοῖς διὰ τῶν ἀρετῶν γεωργοῦσιν. Τὸ μὲν τοῦ στρατιώτου καὶ ἀθλητοῦ παράδειγμα, καὶ μαθηταῖς ἁρμόζει· τὸ δὲ τοῦ γεωργοῦ, διδασκάλοις μόνοις. Ὥσπερ γάρ, φησιν, ὁ γεωργὸς, τῆς γῆς καὶ τῶν καρπῶν ποιεῖται φροντίδα, οὕτω καὶ σὺ, τῶν μαθητῶν καὶ τοῦ κηρύγματος. Καὶ ὅρα τὴν ἀντίδοσιν! Τῆς ὠφελείας, φησὶ, τῶν μαθητῶν, πρῶτος ὁ διδάσκαλος ἀπολαύει παρὰ Θεῷ, ὥσπερ τῶν καρπῶν ὁ γεωργός (1).

7 Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶ-
8 σι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νε-
κρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου·
9 ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος· ἀλλ'
10 ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπο-
μένω διὰ τοὺς ἐκλεκτοὺς, ἵνα καὶ αὐτοὶ σωτηρίας
τύχωσι, τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

Επειδὴ πάντα ἐν παραβολαῖς εἶπε, τὰ τοῦ στρατιώτου, τὰ τοῦ ἀθλητοῦ, τὰ τοῦ γεωργοῦ, φησί· *Νόει ἃ λέγω*· τουτέστι, Νόει, τίνος χάριν λέγω ταῦτα. Εἶτα ἐπεύχεται, ὡς γνησίῳ τέκνῳ. *Δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσιν.*] Ἵνα καὶ ταῦτα νοῇς, ὡς χρὴ, καὶ τἄλλα πράττῃς, ὡς δεῖ. *Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον.*] Ἅμα καὶ πρὸς αἱρετικοὺς ἀσφαλέστερον ποιεῖ καὶ διεγείρει, δεικνὺς, ὡς καὶ αὐτὸς ὁ διδάσκαλος Χριστὸς διὰ παθημάτων ἦλθε, καὶ διὰ θανάτου τὸν θάνατον κατηγωνίσατο. *Ἐκ σπέρματος Δαυΐδ.*]

(1) « Ὁ γεωργὸς οὐχ ἑαυτοῦ ἐπιμελεῖται, ἀλλὰ τῆς γῆς, καὶ ἀμοιβὴν οὐ μικρὰν λαμβάνει τὴν ἀπὸ τῆς καρποφορίας. Οὕτω καὶ ὁ διδάσκαλος οὐκ ἀνόνητα πονεῖ, ἀλλὰ πρὸ τῶν ἄλλων αὐτὸς ἀπολαύσει τῶν οἰκείων ἱδρώτων, τοῦ Θεοῦ δαψιλῶς αὐτὸν ἀμειβομένου. Ἵνα τοίνυν μὴ δυσχεραίνῃ τις πρὸς τὸ μέλλον τῆς ἀντιμισθίας, ἤδη, φησὶν, ἀπολαμβάνεις, ἐν αὐτῷ τῷ κόπῳ ἡ ἀντίδοσις· εἰ μηδὲν ἄλλο, ἡ ὠφέλεια γοῦν τῶν ψυχῶν μέγα σοι κέρδος ἐντεῦθεν ἤδη. » Θεοφύλακτος.

Ἤδη γὰρ ἐξ ἐκείνου τινὲς τῶν αἱρετικῶν τὴν οἰκονομίαν ἠρνοῦντο, οἱ αἰσχύνην ἐνόμιζον τὸ τὸν υἱὸν τοῦ Θεοῦ παθεῖν· καὶ διὰ τοῦτο ἴσως τὴν φαντασίαν εἰσῆγον, ἀγνοοῦντες, ὅτι τῆς ἄκρας αὐτοῦ φιλανθρωπίας καὶ ἀγαθότητος τοῦτο μάλιστα δεῖγμα καθέστηκε. *Κατὰ τὸ εὐαγγέλιόν μου.*] Ἐπειδὴ καὶ οἱ ψευδαπόστολοι εὐηγγελίζοντο κακῶς, Ὡς τὸ ἐμὸν κήρυγμά, φησιν, ὑπογράφει (1). *Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος.*] *Ἐν ᾧ*, εὐαγγελίῳ, *κακοπαθῶ*. Τὸ ἀληθὲς τοῦ εὐαγγελίου παρίστησι τὰ Παύλου παθήματα. Τίς γὰρ μὴ ἀληθῆ κηρύσσων, καὶ ἐφ' οἷς οὐ πεπληροφόρηται, ἕλοιτ' ἂν τοιαῦτα πάσχειν; *Ἀλλ' ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται.*] Ἐμοῦ δεδεμένου, φησὶν, οὐ συνδέδεται τὸ κήρυγμα, ἀλλὰ περιπατεῖ. Τῶν γὰρ χειρῶν καὶ τῶν ποδῶν δεσμουμένων, ἡ γλῶσσα λαλεῖ, καὶ κηρύττει τὸ εὐαγγέλιον· γλώσσης γὰρ δεσμὸς, δηλεία μόνον καὶ ἀπιστία. Τοῦτο δέ φησι καὶ εἰς προτροπὴν τῶν λελυμένων. Εἰ γὰρ ἐγὼ φησὶ, δεδεμένος κηρύσσω, ποία συγγνώμη τοῖς λελυμένοις καὶ ἀμελοῦσι; *Διὰ τοὺς ἐκλεκτούς.*] Οὐχ ὑπὲρ ἐμαυτοῦ, φησὶ, πάσχω, ἀλλὰ διὰ τοὺς πιστοὺς, οὓς ὁ Θεὸς ἐξελέξατο· ἐπειδὴ γὰρ αὐτοὺς ὁ Θεὸς ἐξελέξατο, δεῖ καὶ ἐμὲ πάντα πάσχειν ὑπὲρ αὐτῶν, ἐπειδὴ καὶ ὁ Θεὸς ὑπὲρ ἡμῶν ἔπαθεν, ὡς εἶναι ἀντιμισθίαν τὸ πρᾶγμα· *ἵνα καὶ αὐτοὶ*, ὡς καὶ ἡμεῖς, φησὶ, *σωτηρίας τύχωσιν.* Ὡς εἰ ἔλεγεν· Ἐξὸν ἦν μοι ζῆν ἀκινδύνως, εἰ τὸ ἐμὸν ἐσκόπουν μόνον· ἀλλ' ὑπὲρ τῶν ἀλλοτρίων ταῦτα πάσχω ἀγαθῶν, ἵνα ἄλλοι τύχωσι σωτηρίας. Εἶτα, ἵνα μή τις εἴπῃ αὐτῷ· Τί λέγεις; Εἰ σαυτῷ οὐ δυνάμενος σωτηρίαν περιποιῆσαι, ἀλλ' ἰδοὺ ἀποθνήσκειν μέλλεις ἐν δεσμοῖς, πῶς

(1) « Σίμων ἤρξατο κατ' ἐκεῖνον τὸν καιρὸν τὰς αἱρετικὰς κατασπείρειν ἀκάνθας. Οὗτος δὲ, καὶ οἱ ἐκ τούτου πάντες, τῆς σαρκὸς ἠρνήσαντο τὴν ἀνάληψιν, καὶ φαντασίᾳ γεγενῆσθαι τὴν ἐνανθρώπησιν ἔφασαν. Οὗ δὴ χάριν ὁ θεῖος ἀπόστολος, τὰ περὶ τῆς θείας φύσεως ἐπὶ τοῦ παρόντος σιγήσας, περὶ μόνης αὐτῷ τῆς οἰκονομίας ἐπέστειλεν, ἀεὶ μεμνῆσθαι τῆς ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα γεννήσεως παρεγγυήσας, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως. Ἀμφότερα δὲ τέθεικε, τὴν γέννησιν καὶ τὸ πάθος· καὶ τὸ γένος δέ γε προστέθεικεν, ἐπειδὴ ταῦτα πάντα προφανῶς ἠρνήθησαν οἱ τῆς ἀληθείας ἐχθροί. Τοῦτο δὲ, φησὶν, ἐγὼ κηρύττων τὸ εὐαγγέλιον, τὰ τῶν κακούργων ὑπομένω πάθη. » Θεοδώρητος.

ἑτέροις προξενεῖς; Φησίν· Οὐ περὶ ταύτης λέγω τῆς προσκαίρου σωτηρίας, ἀλλὰ τῆς ἐν Χριστῷ Ἰησοῦ, τουτέστι, τῆς διὰ Χριστοῦ δωρηθείσης, τῆς αἰωνίου, τῆς μετὰ δόξης ἐσομένης· ἡ γὰρ τοῦ κόσμου σωτηρία, ἀδοξίαν ἔχει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ὑπομονῆς, ἐπ' ἐλπίδι ζωῆς.

11 Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν, καὶ συζή-
12 σομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρ-
13 νούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς· εἰ ἀπιστοῦμεν,
ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύ-
14 ναται. Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώ-
πιον τοῦ Κυρίου, μὴ λογομαχεῖν, εἰς οὐδὲν χρή-
15 σιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. Σπούδασον,
σεαυτὸν δόκιμον παραστῆσαι τῷ θεῷ, ἐργάτην ἀνε-
παίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

Π*ιστὸς ὁ λόγος.*] Ἤτοι, ἀληθὴς, ἀναμφίλεκτος, ψεύδους ἐλεύθερος, ὅτι οἱ ἐκλεκτοὶ ἐνδόξου καὶ αἰωνίας τεύξονται σωτηρίας. Ἐπειδὴ γάρ τινες διαμφέβαλλον περὶ τῆς μελλούσης ζωῆς καὶ δόξης, ταύτης ἐδεήθη τῆς βεβαιώσεως. Ὅτι δὲ πιςὸς ὁ λόγος, καὶ ἀπὸ λογισμῶν αὐτὸν κατασκευάζει ἀνθρωπίνων. *Εἰ γὰρ συναπεθάνομεν.*] Τουτέςι, *τῷ Χριστῷ*. Θάνατον δὲ λέγει, τόν τε διὰ τοῦ βαπτίσματος, τόν τε διὰ τῶν παθημάτων, τοῦτον δὴ τὸν αἰσθητόν. *Καὶ συζήσομεν.*] Εἰ ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν, ἐν τοῖς χρηςοῖς οὐκ ἔςι τοῦτο; Οὐδεὶς γὰρ τοὺς τῶν σκυθρωπῶν κοινωνήσαντας, τῶν χρηστῶν ἀποστερεῖ, οὐδὲ ἄνθρωπος, πόσῳ μᾶλλον ὁ Χριστὸς, ἡ αὐτοαγαθότης καὶ φιλανθρωπία. *Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν.*] Οὐκ ἀρκεῖ τὸ ἅπαξ εἰς θάνατον ἐκδοῦναί τινα ἑαυτὸν, ἀλλὰ τὸ διὰ παντός. *Καθ' ἡμέραν*

γάρ, φησὶν, ἀποθνήσκω (α). Πολλῆς οὖν δεῖ ὑπομονῆς εἰς τοῦτο, ἵνα καὶ τὸ συμβασιλεῦσαι ἡμῖν περιγένηται. *Εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς.*] Εἶτα καὶ ἀπὸ τῶν ἐκ τοῦ ἐναντίου συμβησομένων κατασκευάζει τὸν λόγον. Οὐ γὰρ ἐν τοῖς χρηστοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις αἱ ἀμοιβαί. *Ὅς γὰρ*, φησὶν, *ἀρνήσεταί με, ἀρνήσομαι κἀγὼ αὐτόν* (β). Τὸν δέγε ἀρνηθέντα ὑπὸ Χριστοῦ, ἐννόει τί παθεῖν εἰκός. *Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει.*] Εἰ ἀπιστοῦμεν, ὅτι ἀνέστη, ἢ ὅτι θεός ἐστιν, *ἐκεῖνος πιστὸς*, τουτέστιν, ἀληθὴς μένει. Εἰπὼν γὰρ, ὅτι ἀναστήσεται, καὶ ὅτι θεός ἐστιν· (ἐν πολλοῖς γὰρ τοῦτο ἐσήμαινεν·) ἀληθής ἐστιν· ἀνέστη γὰρ, καὶ θεός ἐστιν. *Ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.*] Εἰς τὸ μὴ εἶναι θεὸς ἢ ἐγηγέρθαι· ὡς εἰ εἶπεν· Οὐδὲν παραλλαγεὶς ἔσται διὰ τὴν ἡμετέραν ἄρνησιν, ἀλλὰ πιστὸς μένει καὶ ἀληθὴς εἰς τὰ περὶ ἑαυτοῦ, καὶ *ἀρνήσασθαι*, τουτέστι, ψεύσασθαι ἑαυτὸν οὐ *δύναται*, ἐν τῷ μὴ ἐγηγέρθαι ἢ μὴ εἶναι θεός. Ἐπαγγειλάμενος γὰρ περὶ ἑαυτοῦ, οὐ δύναται ἑαυτὸν ψεύσασθαι, καὶ μὴ πληρῶσαι τὰ ἐπηγγελμένα. Οὔτε γὰρ πιστεύοντες, θεὸν αὐτὸν ἀποφαίνομεν, οὔτε ἀπιστοῦντες, τῆς θείας αὐτὸν ἐκβάλλομεν φύσεως· ἀλλὰ καὶ πιστευόντων ἡμῶν, καὶ ἀπιστούντων, αὐτὸς θεός ἐστι. Ἡμεῖς τοίνυν, πιστεύοντες, τὴν ὠφέλειαν καρπούμεθα. Τὸ δὲ, *Οὐ δύναται*, ἀντὶ τοῦ, Οὐκ ἐνδέχεται. Ὥστε διὰ τὴν ἡμετέραν σωτηρίαν ἀπαιτεῖ ἡμῶν τὴν εἰς αὐτὸν συγκατάθεσιν. Οὐ γὰρ καταβλάπτεται ἐκ τῆς ἡμετέρας ἀρνήσεως. *Ταῦτα ὑπομίμνησκε.*] Ἵνα μή τις νομίσῃ, τούτων δεῖσθαι τῶν λόγων αὐτὸν τὸν Τιμόθεον, φησί· *Ταῦτα ὑπομίμνησκε τοὺς ἄλλους. Διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου.*] Φοβερὸν δὲ τὸ ἐπὶ μάρτυρι θεῷ λέγειν. *Μὴ λογομαχεῖν.*] Ἐπειδὴ λιχνείαν ἔχει τὸ πρᾶγμα, καὶ ἀεὶ βούλεται ἡ ἀνθρωπίνη ψυχὴ συζητεῖν καὶ λογομαχεῖν, Σύ, φησι, διαμαρτύρου

(α) Α' Κορ. ΙΕ, 31. (β) Ματθ. Ι, 33.

αὐτοῖς ἐνώπιον τοῦ θεοῦ, *μὴ λογομαχεῖν*· ἀντὶ τοῦ, Παράγγελλε, μάρτυρα παραλαμβάνων τὸν θεὸν, ἵνα εἰδῶσιν, ὅτι, ἐὰν σοῦ καταφρονῶσιν, ἐκεῖνος αὐτοὺς κρινεῖ. *Εἰς οὐδὲν χρήσιμον.*] Οὐ μόνον γὰρ τὸ περὶ ζητήματα καὶ λογισμοὺς καὶ μάχας εἱλεῖσθαι οὐδὲν ὄφελος ἔχει, ἀλλὰ καὶ εἰς βλάβην γίνεται τοῖς ἀσθενεστέροις τῶν ἀκουόντων. Καταστρέφεται γὰρ ἡ πίστις αὐτῶν, ὥσπερ τις πύργος, ὑπὸ μοχλῶν τινων τῶν συζητήσεων. *Σπούδασον, σεαυτὸν δόκιμον παραστῆσαι.*] Οἷον, ἀνεπίληπτον. *Ἐργάτην ἀνεπαίσχυντον.*] Ἑρμηνεύει, πῶς ἂν δόκιμος γένοιτο· Εἰ ἐργάτης δηλονότι ἀνεπαίσχυντος εἴη· τουτέστιν, Εἰ μηδὲν τῶν εἰς εὐσέβειαν ἡκόντων ἐπαισχύνεται ποιεῖν. Οὕτω γὰρ εὐδοκιμήσει παρὰ τῷ δεσπότῃ, πάντα ὑφιστάμενος ὑπὲρ αὐτοῦ, πάντα ἐργαζόμενος. Πανταχοῦ δὲ πολλὴν περὶ τῆς αἰσχύνης ταύτης ποιεῖται σπουδήν. Εἰκὸς γάρ τινας ἀπολλυμένους ἐπαισχύνεσθαι τὸ κήρυγμα, ὡς τῶν ἀποστόλων κακῶς πασχόντων, καὶ ὡς τοῦ Χριστοῦ μετὰ τοῦ σταυροῦ κηρυσσομένου· ἢ γοῦν ὡς εὐτελῶν ὄντων τῶν κηρύκων, οἷον, ὡς σκηνοῤῥάφου τοῦ Παύλου, καὶ ἁλιέων τῶν ἀμφὶ τὸν Πέτρον. Σὺ οὖν, φησὶ, μὴ ἐπαισχύνου. *Ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.*] Μαχαίρας δίκην τέμνε τὰ περισσὰ καὶ νόθα δόγματα, ἃ οἱ ἀπολλύμενοι προσετρίψαντο τῷ κηρύγματι, καὶ εἰς τὸ εὐθὲς ἄγε διὰ τοῦ πνεύματος (1).

16 Τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο· ἐπὶ πλεῖον
17 γὰρ προκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς
γάγγραινα νομὴν ἕξει· ὧν ἐστιν Ὑμέναιος καὶ Φι-
18 λητὸς, οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγον-
τες, τὴν ἀνάστασιν ἤδη γεγονέναι· καὶ ἀνατρέπουσι
19 τήν τινων πίστιν. Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ
θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· Ἔγνω Κύ-

---

(1) « Ὀρθοτομοῦντα. Κατ' εὐθεῖαν τέμνοντα, ὡς μηδὲν νόθον ἢ περιττὸν ἔχειν.» Σχόλιον ἀρχαῖον.

ριος τοὺς ὄντας αὐτοῦ· καί· Ἀποςήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου (α).

Τὰς *δὲ βεβήλους κενοφωνίας.*] Τὰς ἀκαθάρτους, τὰς μιαρὰς ματαιολογίας· Ἢ, εἴτι νέον ἐν τῷ κηρύγματι ἐξ ἐπινοίας νεωτέρας ἐπεισαχθὲν, πάντως φαῦλον καὶ βέβηλον (1). Τὸ δὲ, *περιΐστασο*, ἢ παραιτοῦ, ἢ περισσῶς ἵστασο εἰς τὸ παῦσαι καὶ κωλῦσαι (2). *Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας.*] Εἴτι γὰρ νόθον εἰσήχθη, φησὶν, ἀεὶ βαδίζει πρὸς ἀτοπίαν, καὶ μείζονα τὴν ἐπίδοσιν ὡσημέραι λαμβάνει. *Ὡς γάγγραινα.*] *Ἡ γάγγραινα*, ἕλκος σηπτικὸν, καὶ νεμόμενον τὸν τόπον, σηπεδόνας ἐργαζόμενον· ἣν τινες ἕρπην φασὶν (3). *Ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός.*] *Ὧν*, ἤτοι, τῶν τὰς βεβήλους κενοφωνίας φερόντων. *Λέγοντες, τὴν ἀνάστασιν ἤδη γεγονέναι.*] Καλῶς ἄνω φησὶν, *Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας.* Ὅρα γὰρ, ὅσα τίκτεται ἐκ τοῦ λέγειν, *τὴν ἀνάστασιν ἤδη γεγονέναι*, κακά. Εἰ γὰρ ἤδη ἡ ἀνάστασις γέγονεν, οὐ τοῦτο μόνον ζημιούμεθα, ὅτι ἀπεστερήμεθα τῆς παρουσίας τοῦ Χριστοῦ· οὗ τί ἂν γένοιτο ἀνιαρέστερον; ἀλλ' ὅτι καὶ τὰ τῆς κρίσεως ἀνήρηται, καὶ τὰ τῆς ἀντιδόσεως. Εἰ γὰρ ἤδη γέγονεν ἡ ἀνάστασις, γέγονε καὶ ἡ ἀνταπόδοσις. Οὐκοῦν ἀπέλαυσαν μὲν οἱ ἀγαθοὶ τῶν θλίψεων καὶ τῶν ὀδυνῶν· οὐ κολάζονται δὲ οἱ πονηροί· καλῶς γε οἱ ἐν τρυφῇ ὄντες πολλῇ. Ψεύδεται ἄρα ὁ ταῦτα ἐπαγγειλάμενος Χριστός. Εἰ δὲ ἀνάστασις οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται (6), οὔτε κριτὴς καθεδεῖται ζώντων καὶ νεκρῶν. *Καὶ ἀνατρέπουσι τὴν τινων πίστιν.*] Οὐκ εἶπεν, ὅτι τὴν πάντων

(α) Ἀριθ. ΙϚʹ, 5. Ματθ. Ζʹ, 23. (1) Ἡ ἑρμηνεία αὕτη ἀναφέρεται εἰς τὴν ἀνάγνωσιν, καινοφωνίας. Ἴδ. Αʹ Τιμ. Ϛʹ, 20. (2) «Ἔδειξε σαφῶς, ὡς ὀρθοτομίαν ἐκάλεσε τὴν τῆς ἀληθείας διδασκαλίαν. Φεύγειν γὰρ αὐτῷ παρῄνεσε τὰ μυσαρὰ καὶ μάταια δόγματα.» Θεοδώρητος. (3) «Γάγγραινα, νόσημά ἐςι σηπεδόνας ἐργαζόμενον, καὶ τὰ κύκλῳ ἐπινεμόμενον.» Θεοφύλακτος. «Πάθος ἐστὶν ἡ γάγγραινα ἕρπον, καὶ τὸ ὑγιαῖνον τοῦ σώματος λυμαινόμενον. Τούτῳ τοὺς τἀναντία τῇ ἀληθείᾳ διδάσκειν ἐπιχειροῦντας ἀπείκασε. Διαφθείρουσι γὰρ πολλάκις καὶ τοὺς τοῦ πάθους ἀπηλλαγμένους.» Θεοδώρητος.

(6) Αʹ Κορ. ΙΕʹ, 13.

πίστιν, ἀλλὰ, *τήν τινων*, τουτέστι, τῶν ἀφελεστέρων καὶ ἀσθενεστέρων. *Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν.*] Ἀνατρέπουσι μὲν τῶν ἀσθενεστέρων τὴν πίστιν, *ὁ μέντοι στερεὸς θεμέλιος*, ἤγουν, οἱ ἀπερίτρεπτοι τῶν πιστῶν, *ἕστηκεν*, *ἔχων τὴν σφραγῖδα ταύτην*, ἤτοι τὸ γνώρισμα τοῦτο (1)· *Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ*. Πάλαι γὰρ προεγνώθησαν ὑπὸ θεοῦ, ὡς αὐτοῦ ὄντες ὁλοτελῶς καὶ ἀμετένεκτοι· δεῖγμα γὰρ τοῦ γνωσθῆναι παρὰ Κυρίου, τὸ μὴ ἀνατετράφθαι καὶ ἀποστῆναι ὑπὸ τῆς ἀσεβείας· Καί· *Ἀποστήτω ἀπὸ ἀδικίας.*] Εἶτα καὶ ἄλλο γνώρισμα, τὸ, *ἀποστήτω ἀπὸ ἀδικίας*, τουτέστι, τῆς ἐν δόγμασι πλάνης, ἢ ἁπλῶς πάσης ἀδικίας, *πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου*, ὡς ὀνομάζειν χρή. Οἱ γὰρ ἀπερίτρεπτοι, φησὶν, ὥσπερ στῆλαί τινες ἔμψυχοι ἵστανται, ταῦτα διὰ τῶν οἰκείων ἔργων φέροντες τὰ ἐπιγράμματα.

20 Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ
καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ
21 μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν. Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν, ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

Ἐν μεγάλῃ οἰκίᾳ, καὶ τὰ ἑξῆς.] *Μεγάλῃ* μὲν *οἰκίᾳ* τὸν κόσμον ἀπείκασεν, οὐ τὴν ἐκκλησίαν· (ἐν ταύτῃ γὰρ οὐδὲν ξύλινον σκεῦος εἶναι βούλεται, οὐδὲ ὀστράκινον, ἀλλὰ πάντα χρυσᾶ καὶ ἀργυρᾶ, ἔνθα σῶμα Χριστοῦ, ἔνθα παρθένος μὴ ἔχουσα σπίλον ἢ ῥυτίδα·) *σκεύεσι* δὲ *χρυσοῖς*, τοὺς εὐσεβείᾳ καὶ ἀρετῇ διαλάμποντας· *ἀργυροῖς* δὲ, τοὺς μετὰ πίστεως καὶ δικαιοσύνης τὸν πολιτικὸν βίον ἀσπαζομένους· *ξυλίνοις* δὲ καὶ *ὀστρακίνοις*, τοὺς δυσσεβείᾳ καὶ πονηρίᾳ συζῶντας. Ἐπειδὴ

(1) « Παρασαλεῦσαι οὐ δύνανται τὴν τῆς ἀληθείας κρηπῖδα· ὁ θεὸς γὰρ τοῦτον τέθεικε τὸν θεμέλιον. Σφραγὶς δὲ τοῦ θεμελίου, τῆς ἀναστάσεως ἡ ἐλπίς. Ὁ γὰρ τὴν κοινὴν ἐκβάλλων ἀνάστασιν, ἀρνεῖται τοῦ Χριστοῦ τὴν ἀνάστασιν· ὁ δὲ ταύτην ἀρνούμενος, καὶ τὸ πάθος ἐκβάλλει· ὁ δὲ τοῦτο ἐκβάλλων, συναναιρεῖ καὶ τῆς παρθένου τὴν γέννησιν. Εἰκότως τοίνυν σφραγῖδα τοῦ θεμελίου, τῆς ἀναστάσεως τὴν πίστιν ἐκάλεσε. » Θεοδώρητος,

δὲ πολλοὶ ταράττονται, Διὰ τί εἰσιν ἐν τῷ κόσμῳ οἱ πονηροὶ, καὶ οὐκ ἀπόλλυνται· ἀφεὶς τὰς ἄλλας αἰτίας ὁ Παῦλος, νῦν ταύτην φησί· Διότι καὶ ἐν μεγάλῃ οἰκίᾳ σκεύη εἰσὶ διάφορα. Ὥσπερ οὖν ἐν οἰκίᾳ μεγάλῃ διάφορα σκεύη, οὕτω καὶ ἐν τῷ κόσμῳ διάφοροι ἄνθρωποι, οὐ τοῦ Θεοῦ οὕτω πεποιηκότος· ἐπεὶ πῶς ἴσχυσαν ἐκκαθᾶραι ἑαυτοὺς οἱ κακοί; τοῦτο γὰρ προϊὼν ἐγκελεύεται τοὺς ἑαυτοὺς εἰς τοῦτο ἄγοντας. *Ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν.*] Τὰ μὲν χρυσᾶ καὶ ἀργυρᾶ, ἤτοι, οἱ ἐνάρετοι, εἰς τιμήν· τὰ δὲ ξύλινα καὶ ὀστράκινα, τουτέστιν, οἱ φαῦλοι, εἰς ἀτιμίαν. Οὐκ εἶπε δὲ, *εἰς χρῆσιν*, καὶ, *εἰς ἀχρηστίαν*· διότι καὶ οἱ φαῦλοι, εἰ καὶ μὴ πρὸς ἀρετὴν, ἀλλά γε πρὸς τὴν τοῦ κόσμου ἁπλῶς σύστασιν χρησιμεύουσι, καὶ πρός τινας δὲ οἰκονομίας, ὡς ὁ Φαραώ. *Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτόν.*] Εἰ τὸ ὀστράκινον εἶναί τινα, ἄτιμόν ἐστι καὶ ἀκάθαρτον· (εἶπε γὰρ, *Ἐάν τις ἐκκαθάρῃ ἑαυτόν*·) πῶς αὐτὸς περὶ τῶν ἀποστόλων φησίν· *Ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι* (α); Καὶ φαμὲν, ὅτι ἐκεῖ περὶ αὐτῆς τῆς φύσεως τοῦ σώματος διαλέγεται, οὐχ ὡς περὶ ἀκαθάρτου, ἀλλ᾽ ὡς περὶ πηλίνου καὶ γηΐνου· ἐκ τούτων γὰρ τὸ ὄστρακον· ἢ τὸ ὀστράκινον ἐκεῖ δέξαι, ὡς πρὸς τὴν σύγκρισιν τοῦ ἐν αὐτῷ θησαυροῦ· ὧδε μέντοι περὶ ἀρετῆς καὶ φαυλότητος διαλέγεται, ὀστρακίνους, τοὺς φαύλους, καὶ χρυσοῦς, τοὺς ἐναρέτους, λέγων· οἱ δὲ τοιοῦτοι δύνανται ἀπὸ προαιρέσεως μεταβληθῆναι καὶ ἐπὶ τὸ χρηστὸν καὶ ἐπὶ τὸ φαῦλον. *Ἔσται σκεῦος εἰς τιμὴν, ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ.*] Ἐπὶ μὲν τῶν χρυσῶν καὶ ὀστρακίνων ἐν οἰκίᾳ σκευῶν, ἀεὶ τὰ σκεύη ὡσαύτως ἔχει· ἐπὶ δὲ τῶν τοιουτομόρφων ἀνθρώπων, ἔστιν ἀπὸ σπουδῆς τὸ ὀστράκινον γενέσθαι χρυσοῦν, καὶ τὸ χρυσοῦν ἀπὸ ῥαθυμίας γενέσθαι ὀστράκινον. Ὁ Παῦλος ὀστράκινος ἦν, ἀλλ᾽ ἐγένετο χρυσοῦς· ὁ Ἰούδας αὖ χρυσοῦς ἦν, ἀλλ᾽ ἐγένετο ὀστράκινος. Ἐὰν οὖν τις, φησὶν,

---

(α) Β᾽ Κορ. Δ᾽, 7.

ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, τῶν οἷον ξυλίνων καὶ ὀστρακωδῶν ἀνθρώπων, ὡς μηδὲν ἔχειν τῆς ἐκείνων μοίρας, εὔχρηστος τῷ δεσπότῃ γίνεται, ὡς ἐκείνων δηλαδὴ ἀχρήςων ὄντων. *Εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.*] Τουτέστι, κἂν μὴ τοῦτο πράττειν ᾖ καιρὸς, δεῖ μέντοι ἡτοιμᾶσθαι καὶ ἐπιτηδείως ἔχειν καὶ πρὸς διωγμοὺς, καὶ πρὸς λύπας, καὶ πρὸς μαρτύριον.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ θείας διδασκαλίας καὶ βίου καθαροῦ καὶ εἰρηνικοῦ, καὶ κατὰ τῶν ἐναντίων.

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε· δίωκε δὲ δι-
καιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπι-
23 καλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. Τὰς δὲ
μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς,
24 ὅτι γεννῶσι μάχας· δοῦλον δὲ Κυρίου οὐ δεῖ μά-
χεσθαι, ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας, διδακτι-
25 κὸν, ἀνεξίκακον, ἐν πρᾳότητι παιδεύοντα τοὺς
ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς με-
26 τάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ
τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ᾽ αὐ-
τοῦ εἰς τὸ ἐκείνου θέλημα.

Τὰς *δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε.*] Οὕτω δείξας τῆς γνώμης ἐξηρτημένην τὴν τοῦ κρείττονος αἵρεσιν, παραίνεσιν αὐτῷ περὶ τῶν πρακτέων προσφέρει. *Νεωτερικαὶ δὲ ἐπιθυμίαι*, οὐχ αἱ τῆς πορνείας μόναι, ἀλλὰ καὶ πᾶσα ἄτοπος ἐπιθυμία, κἂν δυναστείας ἐρᾷ τις, κἂν χρημάτων· ἀνόητοι γὰρ αὗται αἱ ἐπιθυμίαι καὶ φαντασίαι, καὶ φρενῶν ἀβεβαίων. Ὅρα, πῶς καὶ γέρων νεωτερίζεται. *Δίωκε δὲ δικαιοσύνην.*] *Δικαιοσύνην*, τὴν καθόλου ἀρετὴν λέγει. *Πίστιν.*] Τὴν ἀληθῆ καὶ βεβαίαν πρὸς

τοὺς φιλουμένους συνδιάθεσιν. *Ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον.*] Τουτέστιν, ἐκείνοις θάῤῥει μόνοις, τοῖς ἀνυπούλως καὶ ἀδόλως ἐπικαλουμένοις τὸν Κύριον, τοῖς εἰρηνικοῖς, τοῖς ἀμάχοις, μετ' ἐκείνων ἀναμίγνυσο, μετ' ἐκείνων δίωκε τὰ εἰρημένα. *Ἐκ καθαρᾶς καρδίας.*] Ἔνι γὰρ καὶ ἐν ὑποκρίσει εὐλαβείας ἐπικαλεῖσθαι. *Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ.*] Τοιαῦται δὲ αἱ κατὰ φιλοτιμίαν, καὶ οὐ κατά τινα χρείαν γινόμεναι διαλέξεις. Εἰσὶ γὰρ καὶ φρόνιμοι ζητήσεις, αἱ περὶ τῶν ἁγίων Γραφῶν, ἃς οὐ δεῖ παραιτεῖσθαι, ὡς μὴ γεννώσας δηλαδὴ μάχας. Διὰ τί δὲ, *Παραιτοῦ*, καὶ μὴ μᾶλλον εἶπε, Νίκα αὐτὰς καὶ ἀπέλεγχε; Ὅτι οὐδὲν ἔχει τὸ πρᾶγμα χρηστὸν ἀποτέλεσμα· μάχας γὰρ γεννῶσι. *Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι.*] Εἰρηνικοὺς γὰρ εἶναι χρὴ τοὺς Χριστοῦ δούλους. *Ἀλλ' ἤπιον εἶναι πρὸς πάντας.*] Εἰ ἤπιον εἶναι δεῖ καὶ πρᾶον, πῶς λέγει· *Ἔλεγχε αὐτοὺς ἀποτόμως* (α)· καὶ· *Ἔλεγχε μετὰ πάσης ἐπιταγῆς* (β)· καὶ· *Μηδείς σου τῆς νεότητος καταφρονείτω* (γ); Ὅτι ἔνι μετὰ πρᾳότητος καθάψασθαι μᾶλλον, ἢ μετὰ θρασύτητος ἐντρέψαι. *Διδακτικόν.*] Πρὸς τοὺς μαθεῖν βουλομένους· αἱρετικὸν δὲ ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ (δ). *Ἀνεξίκακον.*] Μάλιστα τοῦτο ἔχειν χρὴ, καὶ ἀναμένειν τὴν ἐπιστροφὴν, καὶ ἀεὶ λέγειν, καὶ μὴ εὐθὺς ἐκκόπτειν. Ὅρα γὰρ καὶ τὸ παρεπόμενον· *Ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους.*] Μάλιστα γὰρ θρασύτης ἀγριοῖ, πρᾳότης δὲ, πείθειν οἶδε. Τίς γὰρ πεισθείη τῷ θρασυνομένῳ, ᾧ πολλάκις καὶ ἀντιπάσχει ὁ παραινούμενος; Μετὰ θρασύτητος οὖν καὶ μάχης οὐκ ἄν τι τῶν χρησίμων δυνηθείη συνιδεῖν ἡ ψυχή· διότι τὸν μέλλοντά τι τῶν χρησίμων μαθεῖν, χρὴ πρὸ τῶν ἄλλων ἁπάντων ἡδέως ἔχειν πρὸς τὸν διδάσκοντα. Πῶς δ' ἂν ἡδέως ἔχοι πρὸς τὸν θρασυνόμενον καὶ ὑβρίζοντα; Πῶς οὖν ἀλλαχοῦ λέγει, μετὰ

(α) Τιτ. Α', 13. (β) Τιτ. Β', 15. (γ) Α' Τιμ. Δ', 12.
(δ) Τιτ. Γ', 10.

πρώτην καὶ δευτέραν νουθεσίαν παραιτεῖσθαι τοὺς αἱρετικούς; ἰδοὺ γὰρ καὶ ὧδε εἰπὼν, *ἀντιδιατιθεμένους*, τοὺς αἱρετικοὺς ἐσήμανε. Καὶ φαμὲν, ὅτι τοὺς μὲν ὡμολογημένους καὶ ἀνίατα νοσοῦντας, παραιτεῖσθαι χρή· οὗτοι δὲ, περὶ ὧν ὁ λόγος, ἀμφίβολοι ἦσαν, καὶ δῆλον ἐκ τοῦ εἰπεῖν, *Μή ποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας*· τὸ γὰρ, *μή ποτε*, ἐπὶ τῶν ἀδήλων ἔθος ἡμῖν λέγειν. Ὥστε τῶν μὲν προδήλως ἀνιάτων, ἀφίςασθαι χρή· τοὺς δὲ ἀμφιβόλους, πειρᾶσθαι διορθοῦν. Ὅρα δὲ πῶς διδάσκων ταπεινοφρονεῖν, οὐκ εἶπε, Μήποτε δυνηθῇς, ἀλλὰ, *Μήποτε δῷ αὐτοῖς Κύριος μετάνοιαν*, τῶν διδασκάλων καταστέλλων τὸ φρόνημα, ἐπὶ τὸν θεὸν ἀνάγων τὸ γεγονός. Κἂν γένηταί τι, φησὶ, τοῦ θεοῦ ἐστιν ἔργον, οὐ τῆς σῆς μόνον πραότητος. *Καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος.*] Τίς δὲ ἡ ἐπίγνωσις τῆς ἀληθείας; Τὸ ἀνανῆψαι ἐκ τοῦ διαβόλου καὶ τῶν νόθων δογμάτων πρὸς τὴν ὀρθότητα τῆς πίστεως. Ὅρα δὲ, ὡς ἐπὶ μέθης ἢ μανίας, *ἀνανήψωσιν*, εἶπεν, *ἐκ τῆς τοῦ διαβόλου παγίδος*. Ὥσπερ γὰρ τὸ στρουθίον, κἂν ἐκ τοῦ ἄκρου τοῦ ποδὸς κατέχηται ὑπὸ τῆς παγίδος, ὑπὸ τὴν ἐξουσίαν ἐστὶ τοῦ τὴν παγίδα στήσαντος· οὕτω καὶ ἡμεῖς, κἂν ψιλόν τι παρατραπῶμεν ἀπὸ τοῦ δόγματος, ὑπὸ τὴν παγίδα ἐσμὲν τοῦ διαβόλου. *Ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.*] Ἀνανήψωσιν, ὄντες ἐζωγρημένοι, τουτέςι, τῇ πλάνῃ ἐνειλημμένοι, καὶ ἀποκεκλεισμένοι εἰς τὸ τοῦ διαβόλου θέλημα· τοὺς γὰρ ἐναλόντας τοῖς πονηροῖς δόγμασιν, εἰς τὸ οἰκεῖον θέλημα ἐνειλημμένους ἔχει ὁ διάβολος.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Πρόῤῥησις περὶ κακίας ἀνθρώπων πλεοναζούσης, ἀπατηλῆς ἐλεγχομένης.

ΚΕΦ. III, 1 Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέ-

2 ραις ἐνστήσονται καιροὶ χαλεποί. Ἔσονται γὰρ οἱ
ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερή-
φανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι,
3 ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς,
4 ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυ-
5 φωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες
μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημέ-
νοι. Καὶ τούτους ἀποτρέπου.

Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις.] Ἐπειδὴ πολλοὶ πονηροὶ κατὰ τοὺς τότε καιροὺς ἦσαν, ἵνα μὴ θορυβῆται ὁ Τιμόθεος ἐπὶ τούτοις, προεῖπε μὲν αὐτῷ, ὅτι *ἐν μεγάλῃ οἰκίᾳ*, καὶ τὰ ἑξῆς· λέγει δὲ νῦν, ὅτι καὶ μετὰ ταῦτα ἔσονται. Ἀλλὰ μὴν καὶ ἐπὶ Μωσέως Ἰαννῆς καὶ Ἰαμβρῆς ἦσαν, ὡς αὐτὸς προϊὼν λέγει. Ὥστε οὐ καινοφανὲς τὸ πρᾶγμα, οὐδὲ μέχρι σοῦ στήσεται. Μὴ τοίνυν δυσχέραινε. *Καιροὶ δὲ χαλεποὶ*, τουτέστι, πάνυ πονηροί. Οὐ περὶ ἡμερῶν δὲ τοῦτο νοητέον· τίς γὰρ πονηρία ἡμέρας; ἀλλὰ περὶ τῶν ἐν ταῖς ἡμέραις πονηρῶν καὶ πραγμάτων καὶ ἀνθρώπων. Καὶ ἡμεῖς γὰρ ἐν τῇ συνηθείᾳ οὕτω λέγομεν καιροὺς καλοὺς καὶ κακοὺς, ἐκ τῶν ἐν αὐτοῖς γινομένων. *Φίλαυτοι.*] Τοῦτο ἡ ῥίζα τῶν κακῶν, τὸ μὴ τὰ τοῦ πλησίον, ἀλλὰ τὰ ἑαυτοῦ σκοπεῖν μόνον. *Φίλαυτος* γὰρ, ὁ ἑαυτὸν μόνον φιλῶν· ἐξ οὗ συμβαίνει τὸ μηδὲ ἑαυτὸν φιλεῖν· οἱ γὰρ τοιοῦτοι ἀμελοῦντες τῶν ἀδελφῶν, τὰ ἑαυτῶν πρῶτον διαφθείρουσιν. *Φιλάργυροι, ἀλαζόνες.*] Ἀπὸ φιλαυτίας ἡ φιλαργυρία τίκτεται· ταύτης δὲ γεννήματα, ἀλαζονεία καὶ ὑπερηφανία· εἶτα ἐκ τούτων ἡ βλασφημία· ἀλλήλων γὰρ ἔχεται τὰ κακὰ, ὥσπερ καὶ τὰ καλά· ἐκ γὰρ ἀγάπης, ἅπαν τίκτεται καλόν. *Γονεῦσιν ἀπειθεῖς.*] Οἶδε γὰρ ἡ ἀλαζονεία, καὶ κατὰ τῆς φύσεως ἐξανίστασθαι. *Ἀχάριστοι.*] Οἱ φιλάργυροι, καὶ ἀχάριστοι. Τότε γὰρ εὐχαριστοῦσι μόνον, ὅταν αὐτῶν πληρώσωσι τὴν ἐπιθυμίαν, ὅπερ οὐδέποτέ ἐστιν αὐτοὺς κορεσθῆναι. Ὁ δὲ τοιοῦτος, καὶ *ἀνόσιος*. Ὁ γὰρ τῷ εὐεργέτῃ θεῷ χάριν οὐκ εἰδὼς,

πῶς ἑτέροις εἴσεται χάριν; *Ἄστοργοι.*] Οἷον, ἄφιλοι πρὸς τοὺς οἰκείους. *Ἄσπονδοι.*] Μηδενὶ σπενδόμενοι, εἴγε μηδὲ τῷ εὐεργέτῃ. *Διάβολοι.*] Οἷον, κακήγοροι· ὁ γὰρ μηδὲν ἀγαθὸν ἑαυτῷ συνειδὼς, πάντας διαβάλλει, ἑαυτῷ τινὰ παραμυθίαν ἐπινοῶν. *Ἀκρατεῖς.*] Τουτέστι, γλώσσης καὶ γαστρὸς, καὶ τῶν ἄλλων ἁπάντων. *Ἀνήμεροι.*] Ὠμοί τινες καὶ ἀπάνθρωποι. *Ἀφιλάγαθοι.*] Τουτέστιν, ἐχθροὶ παντὸς ἀγαθοῦ. *Προδόται.*] Φιλίας καὶ ἑταιρίας. *Προπετεῖς.*] Οἷον, θρασεῖς, οὐδὲν βεβηκὸς ἔχοντες. *Τετυφωμένοι.*] Οἷον, ἀπονοίας πλήρεις. *Φιλήδονοι μᾶλλον ἢ φιλόθεοι.*] Ἀντικαταλλασσόμενοι τοῦ θείου πόθου τὸ αἰσχρόν. *Ἔχοντες μόρφωσιν εὐσεβείας.*] Ἐξ ὧν μὲν λέγουσιν, εὐσεβεῖς εἰσίν· ἐξ ὧν δὲ πράττουσιν, ἐναντίοι τῶν λόγων εὑρίσκονται καὶ ἐλέγχονται (1). *Καὶ τούτους ἀποτρέπου.*] Ὡς ἐκείνους, περὶ ὧν ἄνω διεξῆλθε μᾶλλον. Εἰ δὲ ἐν ὑστέροις καιροῖς ἔσονται, πῶς φησι, *Καὶ τούτους ἀποτρέπου;* Εἰκὸς μὲν καὶ τότε τοιούτους εἶναί τινας, εἰ καὶ μὴ μεθ' ὑπερβολῆς, ἀλλ' ὅμως εἶναι· ὡς ἂν εἰ ἔλεγε· Τοὺς τοιούτους καὶ νῦν εὑρισκομένους ἀποτρέπου· ὥσπερ καὶ ἐπιφέρει· *Ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας.* Ἢ, Τιμοθέῳ γράφων, τοὺς μετὰ τὸν Τιμόθεον συμβουλεύει, ἀποτρέπεσθαι τοὺς τοιούτους. Οὐ γὰρ ἂν οὗτος τὰς ἐσχάτας ἡμέρας εἶχεν ἐπιφθάσαι, ἀλλὰ τὰς εὐθὺς μετὰ τὴν Παύλου τελευτήν, ἐν αἷς περιεῖναι ἔτι ὁ Τιμόθεος ἔμελλεν.

6 Ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας,
καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρ-
7 τίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μαν-
θάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλ-
8 θεῖν δυνάμενα. Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς

(1) « Τουτέστι, σχηματίζονται μόνον τὴν εὐσέβειαν καὶ ὑποκρίνονται, διὰ δὲ τῶν ἔργων ἀρνοῦνται ταύτην. Σημείωσαι δὲ, ὅτι ἡ δύναμις καὶ τὰ οἱονεὶ νεῦρα τῆς εὐσεβείας, ἐν τοῖς ἔργοις δείκνυνται. Τὴν δὲ μόρφωσιν ἀλλαχοῦ ὁ ἀπόστολος ἐπὶ καλοῦ παρέλαβε, λέγων· Ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως (Ῥωμ. Β', 20.)· ὁ γὰρ διδάσκαλος μόρφωσιν γνώσεως ἔχει, τουτέστι, πλάττει καὶ μορφοῖ τὴν γνῶσιν ἐν τοῖς μαθηταῖς ». Θεοφύλακτος.

ἀντέστησαν Μωϋσῇ, οὕτω καὶ οὗτοι ἀνθίστανται
τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν,
9 ἀδόκιμοι περὶ τὴν πίστιν. Ἀλλ' οὐ προκόψουσιν
ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶ-
σιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο.

Ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας.] Ὅρα, πῶς τὸ λαθραῖον αὐτῶν καὶ ἀναίσχυντον τῆς ἐπιβουλῆς ἐδήλωσε διὰ τοῦ, *ἐνδύνοντες*. *Καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις.*] Ὁρᾷς αὐτοὺς τῇ τοῦ ὄφεως ἀπάτῃ κεχρημένους, ᾗ κατὰ τοῦ Ἀδὰμ ἐχρήσατο; Εἰκὸς γὰρ ἦν καὶ τούτους, διὰ τῶν γυναικῶν καὶ τοὺς ἄνδρας ἀπατᾷν. *Γυναικάρια* δὲ εἰπὼν μόνον, τὸ εὐεξαπάτητον ᾐνίξατο. Ὁ τοίνυν ἀπατώμενος, κἂν ἀνὴρ ᾖ, οὐδὲν διαφέρει κατὰ τοῦτο γυναικός. Τὸ δὲ, *σεσωρευμένα ἁμαρτίαις*, τὸ πλῆθος δηλοῖ καὶ τὴν σύγχυσιν τῶν ἁμαρτιῶν. Οὐ γὰρ ἁπλῶς, φησι, γυναῖκας ἀπατῶσιν· (εἰσὶ γὰρ καὶ γυναῖκες ἀνδρείας φύσεως, ὥσπερ καὶ ἄνδρες, γυναικείας·) ἀλλὰ τὰς *σεσωρευμένας ἁμαρτίαις*, τὰς ἐχούσας σωρὸν ἁμαρτημάτων· ἔνθεν γὰρ αὐταῖς καὶ τὰ τῆς ἀπάτης. *Ἀγόμενα ἐπιθυμίαις ποικίλαις.*] Οὐ τῆς φύσεως κατηγόρησεν, ἀλλὰ τῆς τοιᾶσδε γυναικός. Ἐνταῦθα δὲ πολλὰς ᾐνίξατο ἐπιθυμίας, σωματικάς τε καὶ ψυχικάς. Ὅρα δὲ καὶ τὸ, *ἀγόμενα*, ὡς ἐπὶ ἀλόγων. *Πάντοτε μανθάνοντα.*] Οὐ συγγινώσκων αὐταῖς ταῦτα φησὶν, ἀλλὰ καὶ σφόδρα μεμφόμενος. Ἐπειδὴ γὰρ ἑαυτὰς ἐσώρευσαν ἁμαρτίαις, ἐπωρώθη αὐτῶν εἰκότως ἡ διάνοια. Ὥστε τὸ μὴ δύνασθαι μαθεῖν, οὐ φυσικὸν, ἀλλὰ προαιρετικὸν αὐταῖς. *Ἰαννῆς καὶ Ἰαμβρῆς.*] Οὗτοι ἦσαν οἱ ἐπὶ τοῦ Φαραὼ μάγοι (1). Πῶς δὲ τὰ ὀνόματα αὐτῶν οἶδεν ὁ Παῦλος, τῆς Γραφῆς μὴ λεγούσης; Φαμὲν, ὅτι ἢ ἐξ ἀγράφου παραδόσεως, ἢ ἐκ Πνεύματος ἁγίου εἰκὸς ἦν εἰδέναι ταῦτα τὸν Παῦλον. *Οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ.*] Τῇ ἀληθινῇ πί-

(1) Ἐξοδ. Ζ', 11.

στει (1). *Ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν.*] Ὅταν τις τὸν νοῦν φθαρῇ ἐν τοῖς πάθεσι, τότε ἀδόκιμος περὶ τὴν πίστιν γίνεται. *Ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον.*] Πῶς οὖν ἄνω εἰρηκὼς, *Ἐπὶ πλεῖον προκόψουσιν ἀσεβείας* (α), ὧδε λέγει, *οὐ προκόψουσιν*; Ἐκεῖ λέγει, ὅτι ἀρξάμενοι τῶν πονηρῶν δογμάτων καὶ τοῦ πλανᾷν, οὐδαμοῦ στήσονται, ἀλλ' ἀεὶ χείρονα ἐπινοήσουσιν· ὧδε δὲ, ὅτι οὐκ ἀπατήσουσιν ἐπὶ πολὺ, οὐδὲ πλείονας τῷ ψεύδει συναρπάσουσι. Παρὰ οὖν τοῖς εὐεξαπατήτοις αὐτοῖς ἡ ἰσχύς. *Ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσι.*] Πόθεν τοῦτο; Ἐκ τῶν πάλαι, φησὶ, πιστώθητι· εὐέλεγκτον γὰρ ἡ κακία.—ΑΛΛΩΣ. Εἰ ἀπιστεῖς, μάθε ἀπὸ τῶν τοῖς μάγοις ἐκείνοις συμβάντων. Καὶ γὰρ ἐκεῖνοι ἠλέγχθησαν κατὰ φαντασίαν θαυματοποιοῦντες καὶ ἀπατῶντες, ὅτε Μωσῆς ἐτερατούργησεν ἀληθῶς. Ὥστε πάντα τὰ τῆς ἀπάτης, πρὸς καιρὸν ἀνθεῖ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Προτροπὴ τῆς ἑαυτοῦ μιμήσεως ἐξ ἐναντίου τοῖς φαύλοις, ἐν ὑπομονῇ θεοῦ.

10 Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγω-
γῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ
11 ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμα-
σιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν
Λύστροις· οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων
με ἐρρύσατο ὁ Κύριος.

Σὺ *δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ.*] Ἐκεῖνοι μὲν, φησι, τοιοῦτοι· σὺ δὲ οἶδας τὰ ἡμέτερα ἀκριβῶς, ὅτι οὐ τοι-

---

(1). « Εἴωθε, φησι, παραφύεσθαι τῷ σίτῳ ζιζάνια· ἀεὶ τοὺς ἀντιπάλους ἔσχον τῆς ἀληθείας οἱ κήρυκες. Τί Μωσέως ἐν εὐσεβείᾳ περιφανέστερον; Ἀλλ' ὅμως ἔσχε κἀκείνους γόητας ἄνδρας, ἄντικρυς παρατατομένους πρὸς τὴν ἀλήθειαν. Τὰ μέντοι τούτων ὀνόματα οὐκ ἐκ τῆς θείας Γραφῆς μεμάθηκεν ὁ θεῖος ἀπόστολος, ἀλλ' ἐκ τῆς ἀγράφου τῶν Ἰουδαίων διδασκαλίας. Εἰκὸς δὲ ἦν αὐτῷ καὶ τὴν χάριν ἀποκαλύψαι τοῦ Πνεύματος.» Θεοδώρητος. (α) Β' Τιμ. Β', 16.

αὐτά. Οὐ γὰρ ἁπλῶς συνεγένου, ἀλλὰ *παρηκολούθηκας*, τουτέστι, μακρὸν συνεγένου μοι χρόνον, καὶ πᾶσι προσεῖχες τοῖς ἐμοῖς. Δεῖ οὖν σε, ἐν ἕξει γενόμενον τῶν εὐσεβῶν διδαγμάτων, ἀπερίτρεπτον εἶναι. *Τῇ διδασκαλίᾳ.*] Τῇ περὶ τὰ δόγματα. *Τῇ ἀγωγῇ.*] Τῇ περὶ τὸν βίον. Πῶς ἠγόμην, φησὶν, ἐν τῇ πολιτείᾳ. *Τῇ προθέσει.*] Οἷον, τῇ προθυμίᾳ, καὶ τῷ ἀνδρείῳ παραστήματι τῆς ψυχῆς. Οὐ γὰρ ἔλεγον μόνον, φησὶν, ἀλλὰ καὶ ἐποίουν. *Τῇ πίστει.*] Τῇ ἐν τοῖς δόγμασι τῆς ἀληθείας ἑδραιότητι· ἢ τῇ ἐν τοῖς κινδύνοις, τῇ μὴ ἀπογινώσκειν ποιούσῃ, ἀλλὰ πιστεύειν τῷ θεῷ, ὅτι ἐξελεῖται. *Τῇ μακροθυμίᾳ.*] Πῶς, φησιν, οὐδέν με τῶν πειρασμῶν ναρκότερον εἰργάζετο. *Τῇ ἀγάπῃ.*] Ὅπως φιλοστόργως περὶ πάντας διάκειμαι. *Τῇ ὑπομονῇ.*] Τῇ πρὸς τοὺς διωγμούς. *Τοῖς διωγμοῖς, τοῖς παθήμασιν.*] Οὐ μόνον ἐδιωκόμην, φησὶν, ἀλλὰ καὶ ἔπασχον. Εἶτα λοιπὸν ἐνίων αὐτὸν ἀναμιμνήσκει, ταύτῃ θαῤῥαλεώτερον τὸν μαθητὴν ποιῶν. Οἶδε γὰρ, οἶδεν ἡ συνεχὴς μνήμη τῶν πειρασμῶν, παραθαῤῥύνειν ψυχήν. *Οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις.*] Τούτων μόνον ἐμνήσθη, ἢ ὡς νεαρωτέρων, ἢ ὡς καὶ τῷ Τιμοθέῳ ἐγνωσμένων, ὅπερ καὶ ἄμεινον. Οὐκ ἀπαριθμεῖται δὲ κατ' εἶδος τοὺς πειρασμούς· οὐ γὰρ αὐτῷ ὁ λόγος πρὸς φιλοτιμίαν ὁρᾷ, ἀλλὰ πρὸς ὁδηγίαν τοῦ μαθητοῦ. Ἀντιόχειαν δὲ, τὴν Πισιδίας λέγει (1). Τῶν δὲ Λύστρων ἡγοῦμαι κατά τινα εὐτελισμὸν, ἐσχάτων αὐτὸν μνησθῆναι, ἐξ ὧν ἦν ὁ Τιμόθεος (1)· ὡσεὶ εἶπε· Ναὶ εἰς τὰς πολυανθρώπους πόλεις ἔπαθον, ἅπερ ἔπαθον· τί δὲ καὶ ἐν Λύστροις; πόθεν εὑρέθησαν οἱ κακοῦντές με ἐν Λύστροις ἄνθρωποι; *Οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐῤῥύσατο ὁ Κύριος.*] Δύο ἐνταῦθα λέγει εἰς προτροπὴν ἐπιτήδεια, ὅτι τε καὶ ἐγώ, φησι, προθυμίαν παρειχόμην, ὥστε ὑπομένειν, καὶ ὁ θεὸς οὐ κατελίμπανέ με. Ὥστε καὶ σὺ προθυμοῦ, καὶ οὐκ ἐγκαταλειφθήσῃ.

---

(1) Πραξ. ΙΓ', 14, καὶ ἑξῆς. ΙΔ', 1-22.

(1) Πραξ. Ιϛ', 1.

12 Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ
13 Ἰησοῦ, διωχθήσονται. Πονηροὶ δὲ ἄνθρωποι καὶ
γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες
14 καὶ πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπι-
15 στώθης, εἰδὼς, παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ
βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε
σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως, τῆς ἐν Χριστῷ
16 Ἰησοῦ. Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος
πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθω-
17 σιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ
ὁ τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν
ἐξηρτισμένος (1).

Καὶ *πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν διωχθήσονται*] Καὶ τοῦτο μεγίστη παραμυθία. Καὶ τί λέγω, φησὶ, περὶ ἐμαυτοῦ μόνου; Πάντες γὰρ οἱ θέλοντες εὐσεβῶς ζῆν, καὶ κατὰ τὸ εὐαγγέλιον, διωχθήσονται. Διωγμοὺς δὲ ἐνταῦθα λέγει, οὐ μόνον τοὺς παρὰ τῶν εἰδωλολατρῶν, ἀλλὰ καὶ τὰς θλίψεις, καὶ τοὺς πειρασμούς. Στενὴ γὰρ καὶ τεθλιμμένη ἡ ὁδὸς τῆς ζωῆς (α). *Ἐν Χριστῷ Ἰησοῦ.*] Αὕτη γὰρ μόνη εὐσεβὴς ζωὴ, ἡ ἐν Χριστῷ Ἰησοῦ. *Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον.*] Μηδέν σε, φησὶ, θορυβείτω, εἰ ἐκεῖνοι μὲν ἐν εὐθυμίᾳ, σὺ δὲ ἐν πειρασμοῖς. Οὕτως ἡ φύσις ἐςὶ τῶν πραγμάτων· ἐπειδὴ οὐκ ἔστιν ἡ νῦν ζωὴ τῶν εὐσεβῶν, ἀλλὰ τῶν πονηρῶν· οὐδὲ γὰρ ἔνι, πολεμοῦντα καὶ πυκτεύοντα, ἐν ἀνέσει ζῆν. Ἡ δὲ *προκοπὴ*, τῶν μέσων ἐστὶ, καὶ ἐπὶ τὸ βέλτιον καὶ ἐπὶ τὸ χεῖρον. Οὗτοι τοιγαροῦν *ἐπὶ τὸ χεῖρον προκόψουσιν.* Ἑρμηνεύων γὰρ, τί ἐςι τὸ *χεῖρον*, εἶπε, τὸ πλανᾷν καὶ πλανᾶσθαι. *Σὺ δὲ μένε ἐν οἷς ἔμαθες.*] Σὺ δέ, φησιν, ἀπερίτρεπτος ἔσο, καὶ μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ἐν ἀνθρώπῳ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ (β). Οὐχ ἁπλῶς δὲ ἔμαθες, ἀλλὰ *καὶ ἐπιστώθης*, τουτέστι, μετὰ πληροφορίας ἔμαθες.

---

(1) Παρ' ἄλλοις, ἐξηρτυμένος.

(α) Ματθ. Ζ', 14.

(β) Ψαλμ. ΛϚ', 1. 7.

Ὥστε κἂν ἐναντία ὁρᾷς τῶν πιστευθέντων, μὴ θορυβοῦ. *Εἰδὼς, παρὰ τίνος ἔμαθες.*] Δύο αἰτίας λέγει τοῦ δεῖν αὐτὸν ἀπερίτρεπτον μένειν· ὅτι τε οὐ παρὰ τοῦ τυχόντος ἔμαθες, ἀλλὰ παρὰ Παύλου, ἴσον δὲ εἰπεῖν, ὅτι παρὰ τοῦ Χριστοῦ· καὶ ὅτι οὐ χθὲς καὶ πρώην ἔμαθες, ἀλλ' *ἀπὸ βρέφους*, καὶ διὰ βάθους ἡ ῥίζα σοι κεῖται τῆς γνώσεως τῶν Γραφῶν. Ὥστε οὐκ ἀφίησί σε ἀνόητόν τι παθεῖν, καὶ οἷον οἱ πολλοί. Ὁ γὰρ τὰς Γραφὰς εἰδὼς, ὡς εἰδέναι χρὴ, οὐκ ἂν περιτραπείη ποτέ. *Ἱερὰ δὲ γράμματα*, τὴν θείαν λέγει Γραφήν. *Τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως, τῆς ἐν Χριστῷ Ἰησοῦ.*] Οὐχ ὥσπερ ἡ ἔξω γνῶσις σοφίζει τὸν ἄνθρωπον εἰς ἀπάτην καὶ σοφίσματα καὶ λογομαχίας, ἐξ ὧν ἀπώλεια ψυχῆς, οὕτω καὶ ἡ θεία γνῶσις· ἀλλ' αὐτὴ σοφίζει *εἰς σωτηρίαν*. Ποίαν; Οὐ τὴν δι' ἔργων, οὐ τὴν διὰ λόγων, ἀλλὰ τὴν *διὰ τῆς ἐν Χριστῷ πίστεως*. Αἱ γὰρ ἅγιαι Γραφαὶ, καὶ ἡ ἐξ αὐτῶν σοφία, εἰς πίστιν ἄγουσι τοῦ Χριστοῦ. *Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος.*] Πολλοὺς εἰρηκὼς παραμυθίας τρόπους, νῦν καὶ τὸν μέγιστον λέγει, τὸν ἐκ τῆς ἀναγνώσεως τῶν Γραφῶν· λυπηρὸν γὰρ μέλλει αὐτῷ λέγειν, ὅτι δηλαδὴ τελειοῦται. Ἵνα οὖν μὴ καταπέσῃ ὁ Τιμόθεος, ὡς στερούμενος τοῦ αὐτὸν συνιστῶντος, Ἔχεις, φησὶ, τὰς Γραφὰς ἀντ' ἐμοῦ δυναμένας ὠφελεῖν σε (1). Εἰ δὲ Τιμοθέῳ δεῖ ἀναγινώσκειν, πόσῳ μᾶλλον ἡμῖν; *Πρὸς διδασκαλίαν.*] Ὠφελεῖ, φησι, ἐπειδὴ τὰ χρηστὰ διδάσκει δόγματα καὶ πράγματα. *Πρὸς ἔλεγχον.*] Εἰς τὸ τὰ ψευδῆ ἐλέγχειν. *Πρὸς ἐπανόρθωσιν.*] Εἰς τὸ διορθοῦσθαι τοὺς ἀδελφούς. *Πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ.*] Πρὸς τὸ παιδεῦσαι καὶ ἐναγαγεῖν εἰς δικαιο-

---

(1) « Ζητοῦσι δέ τινες, πῶς εἶπε, Πᾶσα γραφὴ θεόπνευστος. Ἆρα οὖν καὶ αἱ τῶν Ἑλλήνων γραφαὶ θεόπνευστοι; Καὶ βιαζόμενοί τινες, σίζουσιν εἰς τὸ, θεόπνευστος· καί φασιν, ὅτι Πᾶσα γραφὴ, ἥτις ἐστὶ θεόπνευστος, ἐκείνη καὶ ὠφέλιμος. Ἔδει δὲ αὐτοὺς συνιδεῖν, ὅτι, εἰπὼν ἀνωτέρω, Τὰ ἱερὰ γράμματα οἶδας, λέγει νῦν, ὅτι Πᾶσα γραφή. Ποία; Περὶ ἧς διελέγετο, περὶ ἧς εἶπεν. ὅτι ἱερά. Πᾶσα οὖν ἡ τοιαύτη, θεόπνευστος καὶ ὠφέλιμος πρὸς πάντα, ἃ ἑξῆς ἐπιφέρει. » Θεοφύλακτος.—« Θεόπνευστον Γραφὴν, τὴν πνευματικὴν ὠνόμασεν. Ἡ γὰρ τοῦ θείου Πνεύματος χάρις διὰ τῶν προφητῶν καὶ τῶν ἀποστόλων ἐφθέγξατο. » Θεοδώρητος.

σύνην. *Ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος.*] Ἐκ γὰρ δὴ τούτων, φησὶ, παραγίνεταί τινι τὸ ἄρτιον εἶναι· ἄρτιος δέ ἐστιν, ὁ τέλειος καὶ ὑγιὴς, καὶ ἀεὶ ἴσος, καὶ μήτε τοῖς λυπηροῖς συστελλόμενος καὶ ταπεινούμενος, μήτε τοῖς χρηστοῖς ἐπαιρόμενος καὶ φυσιούμενος, ἀλλ' ἀεὶ ὡσαύτως ἔχων ἐν πράγμασιν ἀνίσοις. *Πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.*] Οὐχ ἁπλῶς μετέχων ἀγαθῶν πράξεων, ἀλλ', *ἐξηρτισμένος*, τουτέστι, τετελειωμένος· οὐ πρὸς τόδε μὲν, πρὸς τόδε οὔ, ἀλλὰ πρὸς πᾶν.

ΚΕΦ. IV, 1 Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ
θεοῦ, καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος
κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν
2 αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ· κήρυξον τὸν λόγον,
ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον,
παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.

Διαμαρτύρομαι οὖν ἐγώ.] Ἐκεῖνον, φησὶ, τὸν μέλλοντα εὐθύνας ἀπαιτεῖν, μάρτυρα ποιοῦμαι, ὅτι οὐδὲ τοῦτο ἔκρυψα ἀπὸ σοῦ. Ἡ συνεχὴς διαμαρτυρία, ἤτοι παραγγελία, τρία τίκτει· φοβερωτέραν τε τὴν παραγγελίαν καὶ ἀπαραίτητον ποιεῖ, καὶ τὸ σωτηριῶδες τοῦ λόγου παρατίθεται· οὐ γὰρ εἰ μὴ τοιοῦτος ἦν, ἔδει αὐτὸν μετὰ τοσαύτης ἀνυπερθέσεως κηρυχθῆναι· καὶ ὅτι τὸ οἰκεῖον πληροῖ ὁ παραγγέλλων, μηκέτι ὑποκείμενος τῇ, ὡς εἰκὸς, γινομένῃ περὶ τὸ κήρυγμα ἀμελείᾳ (1). *Τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς.*] Ἢ ἁμαρτωλοὺς λέγει καὶ δικαίους, ἢ τοὺς προαπελθόντας, καὶ τοὺς ἔτι ζῶντας· ὅτι πολλοὶ καταλειφθήσονται ζῶντες τότε· ὃ καὶ ἀλλαχοῦ φησι· *Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα* (α). *Κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ.*] Πότε μέλλοντος κρίνειν; Ἐν τῇ

(1) «Δεδιὼς ὁ θεῖος ἀπόστολος τὰς εὐθύνας, βαρύνει συνεχῶς τῇ διαμαρτυρίᾳ τὸν μαθητήν· ἀλλὰ καὶ ἐξ ἀγάπης τοῦτο ποιεῖ, λαμπρὸν αὐτὸν καὶ περίβλεπτον ἀποφῆναι βουλόμενος, καὶ προτρέπων μετὰ παῤῥησίας κηρύττειν.» Θεοδώρητος.

(α) Α' Κορ. ΙΕ', 51.—«Νεκρῶν καὶ ζώντων κριτὴν τὸν Κύριον κέκληκεν, ἐπειδὴ καὶ τοὺς νεκροὺς ἀνίστησι, καὶ εἰς τὸ κριτήριον ἄγει, καὶ τοὺς κατὰ τὸν τῆς συντελείας καιρὸν εὑρισκομένους ἐνδύων τὴν ἀφθαρσίαν, ἀπαιτεῖ τὰς εὐθύνας. Πάντες γάρ, φησιν, οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα·» Θεοδώρητος.

ἐπιφανείᾳ αὐτοῦ, τῇ μετὰ βασιλείας καὶ δόξης γενησομένῃ. Οὐχ οὕτω γὰρ ἥξει εὐτελὴς, ὡς ἦλθε πρότερον. *Κήρυξον τὸν λόγον.*] Τί δὲ ἐςὶν ὃ διαμαρτύρομαι; Μὴ κατακρύψῃς τὸν λόγον, ἀλλὰ κήρυξον. *Ἐπίστηθι.*] Οἷον, αἰφνίδιον ἐπισκόπει, ἐφόρα, μή τις ἁμαρτάνῃ· καὶ τοῦτο ποίει, *εὐκαίρως, ἀκαίρως*· τουτέστι, Μὴ ἔςω σοι καιρὸς πρὸς τοῦτο ὡρισμένος, ἀλλ' ἐν ἑκάστῳ καιρῷ, κἂν μὴ προσῆκον ᾖ, ἐπισκόπει (1). Καὶ ἐὰν εὕρῃς ἡμαρτηκότα, ἁμαρτάνοντα, ἢ μέλλοντα ἁμαρτεῖν, μὴ ὑποςαλῇς, ἀλλ' *ἔλεγξον.* Οὐδὲν γὰρ δεῖ πρὸ ἐλέγχου ποιεῖν. Καὶ μετὰ τὸ ἐλέγξαι καὶ ἀποδεῖξαι τὸ πταῖσμα, *ἐπιτίμησον*, μέμψαι, ἐγκάλεσον. Εἶτα μετὰ τὴν πληγὴν, ἐπίθες φάρμακον· *παρακάλεσον* γάρ φησιν· ἵνα μὴ τῇ περισσοτέρα λύπῃ καταποθῇ ὁ τοιοῦτος (2). *Ἐν πάσῃ μακροθυμίᾳ.*] Μακροθυμίας γὰρ δεῖται τὸ πρᾶγμα, ὥστε μὴ ἁπλῶς τοῖς λέγουσι πείθεσθαι, διὰ δὲ πάσης ἐρεύνης ἔρχεσθαι καὶ θήρας τοῦ ἀληθοῦς. *Καὶ διδαχῇ.*] Τὴν ἐπιτίμησιν μετὰ τοῦ νουθετεῖν, φησιν, ὡς τέκνῳ ἐπίθες, μὴ ὡς ἐχθρὸν τιμωρούμενος. *Οἶδε* γὰρ ἔσθ' ὅτε παραίνεσις καὶ πλέον ἰσχύσαι τῆς ἐπιτιμήσεως (3).

---

(1) «Μετ' ἐπιμονῆς καὶ ἐπιστασίας λάλησον, μὴ ἅπαξ, ἀλλ' ἀεί. Μὴ ἔστω σοι καιρὸς ὡρισμένος, ἀλλὰ καὶ εὐκαίρως, τουτέστιν, ἐν εἰρήνῃ, ἐν ἀδείᾳ, καὶ ἐπ' ἐκκλησίας ὤν· ἀλλὰ καὶ ἀκαίρως, τουτέςιν, ἐν κινδύνοις ὤν, καὶ ἔξω τῆς ἐκκλησίας, λάλει καὶ κήρυττε. Τὸ εὔκαιρον γὰρ καὶ τὸ ἄκαιρον πρὸς τὴν ὑπόληψιν τῶν πολλῶν εἶπεν· οἴονται γὰρ εὐκαιρίαν μὲν τὴν ἄνεσιν· ἀκαιρίαν δὲ, τὸν κινδυνώδη καιρόν. Καὶ αὖ καιρὸν διδασκαλίας, τὸ ἐν ἐκκλησίᾳ εἶναι· ἀκαιρίαν δὲ, τὸ ἔξω ταύτης. Ἢ καὶ ἄλλως· Μὴ ἀναμένῃς τὸν καιρὸν τοῦ πτώματος· ἀλλὰ καὶ πρὶν ἢ πέσῃ, δίδαξον.» Θεοφύλακτος.—«Οὐδὲν ἀκαίρως γινόμενον, ἐπαινούμενον. Οὐ τοίνυν ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὸν κηρύττειν παρεγγυᾷ, ἀλλὰ πάντα καιρὸν ἐπιτήδειον εἰς τοῦτο νομίζειν. Τοῦτο γὰρ καὶ αὐτὸς διετέλει ποιῶν, καὶ ἐν δεσμωτηρίῳ, καὶ ἐν πλοίῳ, καὶ παρακειμένης τραπέζης. Καὶ μαρτυρεῖ τὰ ἐν Φιλίπποις, τὰ ἐν Τρῳάδι, τὰ ἐν τῇ θαλάττῃ.» Θεοδώρητος. (2) «Τοῦτο καὶ οἱ σοφοὶ ποιοῦσι τῶν ἰατρῶν. Τὸ γὰρ κεκρυμμένον πάθος τέμνουσι πρῶτον, καὶ τοῖς αὐςηροτέροις χρῶνται φαρμάκοις· εἶθ' οὕτω τὰ ἤπια ἐπιπάττουσιν. Ἔοικε τοίνυν ὁ μὲν ἔλεγχος τῇ τομῇ· ἡ δὲ ἐπιτίμησις, τοῖς στίφουσι τῶν φαρμάκων· τοῖς ἠπίοις δὲ, ἡ παράκλησις.» Θεοδώρητος.

(3) «Τὸ, Ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ, πᾶσι τοῖς προειρημένοις σύνταξον. Καὶ ἐλέγχειν γὰρ ἐν πάσῃ μακροθυμίᾳ δεῖ, ὥστε μὴ πᾶσιν ἁπλῶς πιστεύειν, καὶ ἐν διδαχῇ, διδάσκοντας ὅπως ἥμαρτε, καὶ τίς ἡ ἁμαρτία. Καὶ ἐπιτιμᾷν ὡσαύτως ἐν μακροθυμίᾳ, μὴ ὡς ἐχθρῷ ποινὴν ἐπιτιθέντας, ἀλλ' ὡς τέκνῳ, παιδείαν. Καὶ ἐν διδαχῇ, τουτέστι, διδάσκοντας αὐτὸν τὸ κέρδος τοῦ ἐπιτιμίου. Ἡ δὲ παράκλησις καὶ μάλιστα χρήζει καὶ μακροθυμίας καὶ διδαχῆς. Οὐκ ἐν τῇ τυχούσῃ δὲ μακροθυμίᾳ, ἀλλ' ἐν πάσῃ, τουτέστι, τῇ παντοιοτρόπως δεικνυμένῃ, καὶ δι' ἔργων, καὶ διὰ λόγων, καὶ διὰ σχημάτων.» Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν καινοτομησάντων, οἷς ἀντιτάττει τὸν Τιμόθεον.

3 Ἔσται γὰρ καιρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας
οὐκ ἀνέξονται· ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας
ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν
4 ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀπο-
5 στρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. Σὺ
δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγ-
γελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

Ἔσται γὰρ καιρός.] Ὥστε πρὶν ἢ ἐκτραχηλισθῆναι, προκατάλαβε αὐτοὺς εἴκοντάς σοι. Διὰ γὰρ τοῦτο εἶπεν ἀνωτέρω, *εὐκαίρως, ἀκαίρως*, ἕως οὗ ἀνέχονται, ἕως ἔτι ἔχεις πειθομένους, πάντα πράττε. Δεῖ γὰρ αὐτοὺς ἐθίσαι πρὸς πειθὼ, πρὶν ἀποσκιρτήσωσιν. Ὅρα δὲ ἀτοπίαν τῶν διδασκάλων· ὅτι πρόφασεις αὐτοῖς προστασίας αἱ τῶν λαῶν ἐπιθυμίαι. *Ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους.*] Τὸ ἀδιάκριτον πλῆθος τῶν διδασκάλων, διὰ τοῦ, *ἐπισωρεύσουσι διδασκάλους*, ἐδήλωσε, καὶ διὰ τοῦ ὑπὸ τῶν λαῶν χειροτονεῖσθαι, οὐδὲν κατὰ λόγον ποιούντων, ἀλλὰ τοὺς συντρέχοντας ταῖς ἑαυτῶν ἐπιθυμίαις, καὶ τὰ πρὸς ἡδονὴν αὐτοῖς καὶ λέγοντας καὶ ποιοῦντας, τούτους χειροτονούντων. *Κνηθόμενοι τὴν ἀκοήν.*] Οἷον, τερπόμενοι τὴν ἀκοὴν, καὶ γαργαλιζόμενοι, καὶ ἀεὶ ἐπιθυμοῦντες τὰ πρὸς χάριν ἀκούειν. *Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν.*] Ὁρᾷς, ὅτι οὐχ ὡς ἀγνοοῦντες σφάλλονται, ἀλλ' ἑκόντες; *Ἀποστρέψουσι* γὰρ *τὴν ἀκοήν*, φησιν, ἀπὸ τῆς ἀληθείας, καὶ *ἐκτραπήσονται ἐπὶ τοὺς μύθους*, τὰ μυθώδη παιδεύματα, τὰ τέρψιν, οὐκ ὄνησιν ἔχοντα. Ὥστε ἑκούσιον τὸ κακόν (1). Ταῦτα δὲ προλέγει, οὐχ ἵνα λυπήσῃ, ἀλλὰ διδά-

(1) « Ταῦτα δὲ λέγει, οὐχ ἵνα εἰς ἀθυμίαν ἐμβάλῃ τὸν μαθητὴν, ἀλλ' ἵνα πείσῃ, τῷ μὲν παρόντι τῆς ἀδείας καιρῷ εἰς δέον κεχρῆσθαι· ὅταν δὲ ἐκβῇ, γενναίως

σκων, δεῖν τοὺς μαθητὰς, ἕως ὅτε πειθήνιοι καὶ εἰκτικοὶ τυγχάνωσι, πλασθῆναι καλῶς καὶ ἀχθῆναι· ἵνα, ὅταν ταῦτα ἀποβαίη, μὴ ἀθυμῶσιν. Ἡτοιμάσθην γὰρ, φησι, καὶ οὐκ ἐταράχθην (α). *Σὺ δὲ νῆφε ἐν πᾶσιν.*] Ἐγρηγορότα ἔχε τὸν λογισμόν. Διὰ οὖν τὸ νήφειν καὶ διεγηγέρθαι, ταῦτα εἶπε. *Κακοπάθησον.*] Ἀγώνισαί, φησι, κοπίασον, προκατάλαβε τῶν μαθητῶν τὰς ἀκοὰς ἐν χρηστοῖς καὶ ἀληθέσι δόγμασι, πρὶν ἢ τὴν λύμην ἐκείνην ὑπεισελθεῖν, ἕως οὐ πάρεισιν οἱ λύκοι, ἵνα ἐν ἀσφαλείᾳ τὰ πρόβατα καταστήσῃς. *Ἔργον ποίησον εὐαγγελιστοῦ.*] Ἄρα τοῦτο τὸ ἔργον τοῦ εὐαγγελιστοῦ, τὸ κακοπαθεῖν καὶ παρ' ἑαυτοῦ, καὶ παρὰ τῶν ἔξωθεν (1). *Τὴν διακονίαν σου πληροφόρησον.*] Καὶ γὰρ καὶ ὁ Τιμόθεος διηκόνει τῷ κηρύγματι· ἐκήρυσσε γάρ. Πλήρωσον οὖν, φησὶν, ὃ ἐνήρξω, καὶ κατάσπειρον αὐτοῖς, ἕως ὑγιαίνουσι, τὸ κήρυγμα.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς ἑαυτοῦ μελλούσης ἀναλύσεως ἐπὶ δόξῃ αἰωνίᾳ.

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς
7 ἀναλύσεως ἐφέστηκε· τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα.
8 Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

Ἐγὼ γὰρ ἤδη σπένδομαι.] Ἐγὼ γὰρ, φησιν, ἤδη θυσίαν ἐμαυ-

φέρειν. Ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγε· Παραδώσουσιν ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς (Ματθ. Ι', 17.) καὶ αὐτὸς οὗτος ὁ Παῦλος· Ἐγὼ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς (Πραξ. Κ', 29.).» Θεοφύλακτος.

(α) Ψαλμ. ΡΙΗ', 60.

(1) «Φέρε μεθ' ἡδονῆς τοὺς ὑπὲρ τῆς εὐσεβείας κινδύνους.» Θεοδώρητος.

τὸν προσφέρω Χριστῷ. Οὐκ εἶπε δὲ, *θύομαι*, ἀλλὰ, *σπένδομαι*, τὸ πλεῖον λέγων καὶ ἱερώτερον· τῆς μὲν γὰρ θυσίας μέρος τι μόνον τῷ Θεῷ εἰς θυμίαμα ἀφιεροῦτο· ἡ δὲ σπονδὴ, ἅπασα αὐτῷ ἀφιέρωτο. Τοῦτο δὲ ποιεῖν καὶ αὐτὸς τοῖς μαθηταῖς ἐπιτάσσει, λέγων· Παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν (α). Ἑαυτὸν γὰρ ἱερουργεῖ, ὁ ὑπὲρ Χριστοῦ θυόμενος. Ἢ τὸ, *σπένδομαι*, νόει, οἷον καταλύω τὸν πρὸς πάντας πόλεμον, οὔτε πολεμῶν, οὔτε πολεμούμενος· τελειοῦμαι γάρ. *Ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως.*] *Ἀνάλυσιν* λέγει τὸν θάνατον, ἢ διὰ τὸ ἀναλύειν ἐξ ἧς ἐλήφθημεν γῆς, ἢ διὰ τὸ ἐπιστρέφειν πρὸς τὸν δημιουργήσαντα Χριστόν. *Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι.*] Ταῦτα λέγει, οὐ μεγαληγορῶν, ἄπαγε! ἀλλὰ τὸν μαθητὴν παραμυθούμενος, ὡς ἂν μὴ ἀλγῇ ὑπὲρ αὐτοῦ, ἅτε ἐπὶ στεφάνους ἀπιόντος καὶ ἀντιδόσεις ἀγαθῶν· ὡς εἰ ἔλεγεν· Χαίρειν σε μᾶλλον δεῖ ἤπερ ἀλγεῖν, ὅτι τοιαύτης ἐπιτυγχάνω τελευτῆς. Πᾶς γὰρ ὁ ὑπὲρ Χριστοῦ ἀγὼν, καλὸς, κἂν ἁλύσεις ἔχῃ, κἂν διωγμοὺς, κἂν θανάτους. Εἰ οὖν καλὸς, φησιν, ἐπιλαβοῦ δῆτα καὶ σὺ αὐτοῦ. *Τὸν δρόμον τετέλεκα.*] Περιέδραμε γὰρ τὴν οἰκουμένην, πάντας εἰς θεογνωσίαν ἄγων. Ὥστε με, φησὶν, ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ (β). *Τὴν πίστιν τετήρηκα.*] Πολλοὶ γὰρ αὐτὴν συλῆσαι παρ' αὐτοῦ ἤθελον, φίλοι ψευδεῖς, ἐχθροὶ, Ἕλληνες, Ἰουδαῖοι· ἀλλ' αὐτὸς πρὸς ἅπαντας ἀντέστη, νήφων καὶ ἐγρηγορὼς ἀεὶ, καὶ τὸν κλέπτην ἐπιτηρῶν. *Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.*] Εἶτα καὶ ἀπὸ τῶν ἐπάθλων παραμυθεῖται αὐτόν. Τίς γὰρ ἂν ἀλγήσειεν ἐπὶ τῷ ἀπολαμβάνοντι στέφανον; *Δικαιοσύνην* δὲ κἀνταῦθα, τὴν καθόλου ἀρετὴν λέγει. *Ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.*] Μὴ γάρ μοι, φησὶ, τὰ ὧδε εἴπῃς, τὰ πρόσκαιρα· ἐγὼ γὰρ τὰ ἐκεῖ ζητῶ. Ὅρα δὲ πῶς ὡς χρέος αὐτὸν ἀπαιτεῖ· οὐ γὰρ εἶπε, *δώσει μοι*, ἀλλ', *ἀποδώσει μοι*, του-

(α) Ῥωμ. ΙΒ', 10. (β) Ῥωμ. ΙΕ', 19.

τέστι, τὸν ἐποφειλόμενον, τὸν κεχρεωστημένον. Τοῦτο δηλοῖ καὶ διὰ τοῦ, *ὁ δίκαιος κριτής*· δίκαιος γὰρ ὤν, πάντως τοῖς πόνοις τὴν ἀντιμισθίαν ὁρίσει. Ὥστε ὀφειλὴ ὁ στέφανος καὶ διὰ τὸ δίκαιον τοῦ κριτοῦ. *Οὐ μόνον δὲ ἐμοί.*] Ἐνταῦθα καὶ αὐτὸν διανίστησι τὸν Τιμόθεον· ὅτι, φησί, καί σοι ἀποδώσει. *Εἰ γὰρ πᾶσι τοῖς ἀγαπῶσι τὴν ἐπιφάνειαν αὐτοῦ στέφανον* δίδωσι, πολλῷ μᾶλλον σοί. Τίς δὲ ἀγαπᾷ τὴν ἐπιφάνειαν αὐτοῦ; Ὁ ἄξια πράττων ἀμοιβῶν χρηστῶν (1).

9 Σπούδασον ἐλθεῖν πρός με ταχέως. Δημᾶς γάρ με
10 ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην· Κρήσκης εἰς Γαλατίαν,
11 Τίτος εἰς Δαλματίαν· Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ. Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι
12 εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα εἰς
13 Ἔφεσον. Τὸν φελόνην (2), ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

Σπούδασον ἐλθεῖν πρός με ταχέως.] Τί δή ποτε τὴν Ἐφεσίων ἐκκλησίαν ἐμπεπιστευμένον τὸν Τιμόθεον, πρὸς ἑαυτὸν καλεῖ; Ὅτι ἐν φυλακῇ ὢν αὐτὸς, ἀπελθεῖν πρὸς αὐτὸν οὐκ ἠδύνατο. Βούλεται οὖν, ἐλθεῖν τὸν Τιμόθεον πρὸς αὐτὸν, διά τε τὸ μόνος εἶναι, καὶ διὰ τὸ ποθεῖν ἴσως πρὸ τῆς τελευτῆς τινὰ αὐτῷ ἐντείλασθαι. Οὐ λέγει δὲ, Σπούδασον ἐλθεῖν πρός με ἐν ὅσῳ ζῶ· οὐδὲ γὰρ λυπῆσαι αὐτὸν ἤθελεν. *Ἀγαπήσας τὸν νῦν αἰῶνα.*] Τοῦ ἀσφαλοῦς καὶ τοῦ ἀκινδύνου γενόμενος, ὡς ἐνόμισεν· εἵλετο γὰρ μᾶλλον οἴκοι τρυφᾶν, ἢ μετ᾽ ἐμοῦ ταλαιπωρεῖσθαι. Οὐ τοῦτον δὲ διαβαλεῖν θέλει, ἀλλ᾽ ἡμᾶς στηρίξαι, ὥστε μὴ μαλακίζεσθαι ἐν τοῖς κινδύνοις· ἅμα δὲ καὶ τὸν Τιμόθεον μᾶλλον ἐφέλκεσθαι βουλόμενος. *Κρήσκης εἰς Γαλατίαν, Τίτα*

(1) « Ἀγάπης καιρὸς ἀεί· ἀγαπᾷ δὲ τοῦ δεσπότου τὴν ἐπιφάνειαν, ὁ τοῖς ἐκείνου νόμοις ἀκολουθῶν, καὶ κατ᾽ ἐκείνους πολιτευόμενος. Οὕτως γὰρ μετὰ χρηστῆς ἐλπίδος προσμένει τὸ θεῖον κριτήριον. » Θεοδώρητος.

(2) Παρ᾽ ἄλλοις, φαιλόνην, φελώνην, φαιλώνην, φαινόλην.

εἰς Δαλματίαν.] Οὗτοι γνώμῃ αὐτοῦ ἀπεληλύθεισαν, ἢ διὰ τὸ κήρυγμα, ἢ δι' ἄλλην τινὰ χρείαν. Διὸ οὐ λέγει περὶ αὐτῶν τὸ, *ἐγκατέλιπον.* Τέως δ' Τίτος τῶν θαυμασίων ἦν. Τούτῳ καὶ ἐπισκοπὴν ἐπεπιστεύκει τῆς Κρήτης. *Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ.*] Λουκᾶς οὗτός ἐστιν ὁ τὸ εὐαγγέλιον γράψας, καὶ τὰς πράξεις τῶν ἀποστόλων. Φιλομαθὴς δὲ ὢν ὁ ἅγιος, καὶ καρτερικὸς, ἀδιασπάστως εἴχετο τοῦ Παύλου. *Ἔστι γάρ μοι εὔχρηστος.*] Οὐκ εἰς τὴν ἐμὴν ἀνάπαυσίν, φησιν, ἀλλ' *εἰς διακονίαν* τοῦ εὐαγγελίου. Καὶ γὰρ καὶ ἐν δεσμοῖς ὢν, οὐκ ἔληγε κηρύττων ὁ θεῖος Παῦλος. Ἆρα οὖν καὶ τὸν Τιμόθεον τούτου χάριν ἐκάλει, ἵνα μετὰ τὴν αὐτοῦ τελείωσιν παραμυθῆται τοὺς ἀδελφούς. *Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον.*] Ὅρα διὰ πάντων τὴν μόνωσιν. *Τὸν φελόνην, ὃν ἀπέλιπον.*] Ἱμάτιόν τι λέγει ἐνταῦθα· ζητεῖ δὲ τοῦτο, ὥστε μὴ δεηθῆναι παρ' ἑτέρων λαβεῖν. Πανταχοῦ γὰρ πολὺς αὐτῷ τούτου λόγος, τοῦ μὴ δεῖσθαι ἑτέρων. Τινὲς δὲ φελόνην τὸ γλωσσόκομόν φασιν, ἔνθα τὰ βιβλία ἔκειτο. Τί δὲ αὐτῷ τῶν βιβλίων ἔδει, μέλλοντι ἀποδημεῖν πρὸς τὸν Θεόν; Καὶ μάλιστα ἔδει, ἵνα αὐτὰ τοῖς πιστοῖς παράθηται, ὥστε ἀντὶ τῆς αὐτοῦ διδασκαλίας ἔχειν αὐτά (1). *Βιβλία* δὲ εἶπε κατὰ κοινοῦ, ὡς ἂν καὶ ἐν ἑτέρῳ σχήματι τυχὸν ἔχων βιβλία. Γέλωτος δὲ ἄξιοι οἱ ἐνταῦθα εἰρηκότες, φελόνην τὸν ἀπόστολον οὐ τὸ ἔνδυμα καλεῖν, ἀλλά τι εἶδος βιβλίου, οἳ οὐ προσέσχον τῇ ἐπαγωγῇ. Περιττὸν γὰρ ἦν εἰπεῖν, *καὶ τὰ βιβλία,* εἴπερ δὴ κἀκεῖνο βιβλίου εἶδος ἦν, δυνάμενον τοῖς λοιποῖς συσσημαίνεσθαι. *Μάλιστα τὰς μεμβράνας.*] Ἴσως αὗται ὠφελιμώτερά τινα περιεῖχον. *Μεμβράνας* δὲ Ῥωμαϊκώτερον, τὰ εἰλητὰ ἐκάλεσεν, ὡς ἀπὸ τῆς ἐν Ῥώμῃ συνηθείας ἀδιαφόρως τῇ λέξει καταχρησάμενος, ἀφ' ἧς δὴ καὶ ἔγραφε τὴν ἐπιστολήν. Ἐν εἰλητοῖς γὰρ εἶχον τὸ πάλαι τὰς θείας Γραφάς· ὥσπερ οὖν καὶ ἄχρι τῆς δεῦρο οἱ Ἰουδαῖοι ἔχουσι.

---

(1) Χρυσοσ. Τομ. ΙΑ'. Σελ. 721.

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξα-
το· ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐ-
15 τοῦ· ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε
16 τοῖς ἡμετέροις λόγοις. Ἐν τῇ πρώτῃ μου ἀπολο-
γίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγ-
17 κατέλιπον· (μὴ αὐτοῖς λογισθείη·) ὁ δὲ Κύριός μοι
παρέστη, καὶ ἐνεδυνάμωσέ με, ἵνα δι' ἐμοῦ τὸ κή-
ρυγμα πληροφορηθῇ, καὶ ἀκούσῃ πάντα τὰ ἔθνη·
18 καὶ ἐῤῥύσθην ἐκ στόματος λέοντος· καὶ ῥύσεταί με
ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς
τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο.] Ἀποδείκνυσιν αὐτῷ καὶ τὰς ἀπὸ τῶν εὐτελῶν θλίψεις γενναίως φέρειν· τὸ γὰρ ἀδικεῖσθαι λυπηρὸν, μάλιστα δὲ παρὰ τῶν εὐτελῶν (1). *Ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ.*] Θάῤῥει, φησίν· οὐκ ἀτιμωρητὶ ταῦτα αὐτῷ προχωρήσει· ἀλλ' *ἀποδῴη αὐτῷ ὁ Κύριος*, ἀντὶ τοῦ, ἀποδώσει· πρόῤῥησις γάρ ἐστι τῶν μελλόντων μᾶλλον, ἢ ἀρά· οὐκ ἐπειδὴ Παῦλος ἔχαιρε τῇ τιμωρίᾳ, τοῦτο εἴρηκεν· ἀλλὰ διὰ τοὺς ἀσθενεστέρους ἐν τοῖς πιστοῖς ἔδει τοὺς ἄγαν ἐναντιουμένους πάσχειν κακῶς, ἵνα μὴ ἀδυναμίαν καταγνῶσι τοῦ κηρύγματος. *Ὃν καὶ σὺ φυλάσσου.*] Οὐκ εἶπε, τιμώρησον, κόλασον· (καὶ γὰρ ἐξῆν τοῦτο ποιεῖν Τιμοθέῳ διὰ τοῦ πνεύματος·) ἀλλὰ, φυλάσσου. Ὁρᾷς, ὅτι οὐκ ἐπιτρέχει τῇ τιμωρίᾳ; Τὸ δὲ, *φυλάσσου*, οἷον, παραιτοῦ, ἔκκλινε, ἀναχώρει ἀπ' αὐτοῦ. *Λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.*] Τουτέστι, πολεμεῖ καὶ ἐναντιοῦται

(1) « Μέμνηται τοῦ πειρασμοῦ τούτου, οὐχ ἵνα ἐκεῖνον διαβάλῃ, ἀλλ' ἵνα τὸν μαθητὴν πείσῃ, γενναίως φέρειν καὶ τοὺς παρά τινων εὐτελῶν καὶ ἀτίμων προσαγομένους πειρασμούς. Πολλοὶ γὰρ ὑπὸ μὲν ἀξιολόγων τινῶν πειραζόμενοι, φέρουσι, παραμυθίαν ἔχοντες τὴν τῶν πειραζόντων ὑπεροχήν· τὸ δὲ ὑπὸ εὐτελῶν καὶ ἀπεῤῥιμμένων πάσχειν, μεγάλην φέρει τὴν ἀνίαν. Διὸ καὶ ὁ Παῦλός φησι, Πολλά μοι κακὰ ἐνεδείξατο, ἀντὶ τοῦ, ἔθλιψέ με ὑπερβαλλόντως, ἢ καὶ διαφόρως. Καὶ ἄλλως γὰρ οἱ ἄσημοι καὶ ἄτιμοι, ἐλάχιστα τῆς ὑπολήψεως τῶν πολλῶν φροντίζοντες, ἐπειδὰν ἄρξωνταί τινας κακοῦν, οὐδόλως φείδονται. » Θεοφύλακτος.

τοῖς τοῦ κηρύγματος λόγοις. *Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ.*] Παρέστη πρότερον τῷ Νέρωνι, καὶ διέφυγε τὸν θάνατον, ὥστε καὶ κηρύσσειν ἔκτοτε· ἀλλ' ὅτε τὸν οἰνοχόον αὐτοῦ κατήχησε, τότε, ὑπερζέσας Νέρων τῇ μανίᾳ, αὐτὸν ἀποτέμνει. Οὐδὲ γὰρ οὕτω πρὸς τὰ εἴδωλα ζῆλον εἶχεν ὁ Νέρων· οὕτως ἦν φαῦλος ἐν πᾶσιν! *Ἀλλὰ πάντες με ἐγκατέλιπον.*] Οἱ Ἰουδαῖοι, φησὶν, οἱ ἀδελφοί (1). *Μὴ αὐτοῖς λογισθείη.*] Ὁρᾷς αὐτὸν, μὴ μόνον μὴ βουλόμενον τιμωρεῖσθαι, ἀλλὰ καὶ συγχώρησιν εὐχόμενον, καίτοι δεινὰ ἐπεπόνθει; Οὐ γὰρ ἴσον τὸ ἀπ' ἀλλοτρίων προδίδοσθαι, ὅσον τὸ ἀπὸ τῶν οἰκείων (2). *Ὁ δὲ Κύριός μοι παρέστη.*] Δείκνυσιν, ὅτι τὸν παρ' ἀνθρώπων ἐγκαταλιμπανόμενον, ὁ Κύριος οὐκ ἀφίησι δεινόν τι παθεῖν. *Καὶ ἐνεδυνάμωσέ με.*] Τουτέςι, παῤῥησίαν μοι ἐχαρίσατο, καὶ οὐκ ἀφῆκε με καταπεσεῖν. Ὁρᾷς προτροπὴν πρὸς τὸν μαθητὴν, καὶ πάλιν ἑτέραν παραμυθίαν; *Ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ.*] Ὅρα τὴν πολλὴν αὐτοῦ ταπεινοφροσύνην! Οὐ γὰρ ὡς ἄξιός, φησι, τυχεῖν ἐπικουρίας, ἐβοηθήθην, ἀλλὰ διὰ τὸ κήρυγμα, ἵνα δι' ἐμοῦ *πληροφορηθῇ*, τουτέστι, βεβαιωθῇ, ἢ πληρωθῇ καὶ εἰς πέρας ἔλθῃ. *Καὶ ἀκούσῃ πάντα τὰ ἔθνη.*] Ἵνα πᾶσι, φησὶ, κατάδηλος γένηται καὶ τοῦ κηρύγματος ἡ δύναμις, καὶ τῆς περὶ ἐμὲ προνοίας ἡ κηδεμονία. *Ἐκ στόματος λέοντος.*] *Λέοντα*, τὸν Νέρωνα λέγει, διὰ τὸ ὠμὸν αὐτοῦ καὶ θηριῶδες. Ὅρα

---

(1) « Ἀθυμίαν ἐμφαίνει τὸ, πάντες με ἐγκατέλιπον· ὡσανεὶ ἔλεγε· Καὶ οἱ οἰκεῖοι με προέδωκαν, καὶ πάσης ἐστερήθην παραμυθίας. Ὥστε καὶ σὺ, ἐν δεινοῖς καταληφθεὶς, ἔχε παραμυθίαν τὰ κατ' ἐμέ.» Θεοφύλακτος.

(2) « Ὁρᾷς, πῶς φείδεται τῶν οἰκείων; Καίτοι ἔργον εἰργάσαντο δεινὸν οἱ οἰκεῖοι, οἱ συνεργοὶ, ἐγκαταλιπόντες αὐτόν· οὐ γάρ ἐστιν ἴσον, παρὰ τῶν ἔξωθεν καταφρονηθῆναι, καὶ παρὰ τῶν οἰκείων· ἀλλ' ὅμως εὔχεται, μὴ λογισθῆναι αὐτοῖς τοῦτο, παρὰ θεῷ δηλαδὴ, ἄλλως ἁμάρτημα ὂν μέγα, καὶ ἄξιον λογίζεσθαι.» Θεοφύλακτος.

« Τὴν πατρικὴν περὶ αὐτῶν ἔδειξεν εὐσπλαγχνίαν· οὐ γὰρ κακοηθείας ἦν, ἀλλὰ δειλίας ἡ ὑποχώρησις.» Θεοδώρητος.

δὲ πῶς παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν, εἰς αὐτὸν τὸν φάρυγγα τοῦ λέοντος ἐμπεσών. *Καὶ ῥύσεταί με ὁ Κύριος.*] Εἰ ῥύσεται, πῶς, φησὶν, *Ἐγὼ ἤδη σπένδομαι;* Ἀλλ' ὅρα· τότε μὲν ἐκ τοῦ Νέρωνος ἐῤῥύσατο· νῦν δὲ οὐκέτι ἐκ τοῦ Νέρωνος· (τὸ ἱκανὸν γὰρ τῷ εὐαγγελίῳ ἐγεγόνει·) ἀλλ' *ἀπὸ παντὸς ἔργου πονηροῦ*, ἤτοι, ἀπὸ παντὸς ἁμαρτήματος· τουτέστιν, οὐκ ἀφήσει με καταγνωσθέντα ἔν τινι ἀπελθεῖν. *Καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.*] Τουτέςιν, ἐξαρπάσει με πάσης ἁμαρτίας, ἐκεῖ δὲ φυλάξει· τοῦτο γὰρ σημαίνει τὸ, *σώσει εἰς τὴν βασιλείαν αὐτοῦ*, τὸ ἐνταῦθα δι' αὐτὸν ἀποθανεῖν· ὁ μισῶν γὰρ τὴν ψυχὴν αὐτοῦ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν (α). Ἄρα ἡ ὄντως σωτηρία αὕτη ἐστὶν, ὅταν ἐκεῖ διαλάμπωμεν. *Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.*] Ὅρα δοξολογίαν τοῦ υἱοῦ, ὡς καὶ τοῦ πατρός. Οὗτος γὰρ ὁ Κύριος, ἤγουν, ὁ υἱός.

19 Ἄσπασαι Πρίσκιλλαν (1) καὶ Ἀκύλαν, καὶ τὸν
20 Ὀνησιφόρου οἶκον. Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ.
Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.
21 Σπούδασον, πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε
Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ Κλαυδία,
22 καὶ οἱ ἀδελφοὶ πάντες. Ὁ Κύριος Ἰησοῦς Χριστὸς
μετὰ τοῦ πνεύματός σου. Ἡ χάρις μεθ' ἡμῶν (2).
Ἀμήν.

Ἄσπασαι Πρίσκιλλαν καὶ Ἀκύλαν.] Οὗτοί εἰσιν, ὧν συνεχῶς μέμνηται τῶν σκηνοποιῶν, παρ' οἷς καὶ αὐτὸς κατήχθη (3). Τῆς δὲ γυναικὸς ὡς πιςοτέρας καὶ σπουδαιοτέρας πρώτης μέμνηται· καὶ γὰρ καὶ τὸν Ἀπολλὼ αὕτη κατήχησε (4)· ἢ καὶ ἀδιαφόρως τοῦτο ποιεῖ. Τὸν δὲ ἀσπασμὸν ποιεῖται, ὁμοῦ μὲν παραμυθούμενος, ὁμοῦ δὲ καὶ τιμὴν καὶ ἀγάπην ἐνδεικνύμενος διὰ τού-

---

(α) Ἰωάν. ΙΒ', 25. (1) Παρ' ἄλλοις, Πρίσκαν.
(2) Παρ' ἄλλοις, μεθ' ὑμῶν. (3) Πραξ. ΙΗ', 2. 3. (4) Πραξ. ΙΗ', 26.

του· τὸ δὲ μεῖζον, καὶ πολλῆς μεταδιδοὺς χάριτος. Ἀρκεῖ γὰρ καὶ ἀσπασμὸς μόνος τοῦ μακαρίου καὶ ἁγίου ἐκείνου πολλῆς ἐμπλῆσαι χάριτος] τὸν [προσαγορευόμενον. *Καὶ τὸν Ὀνησιφόρου οἶκον.*] Ὁ γὰρ Ὀνησιφόρος ἐν Ῥώμῃ ἦν. Τοὺς οὖν ἐν τῷ οἴκῳ αὐτοῦ ἀσπάζεται, ταύτῃ διεγείρων πρὸς τὸν ὅμοιον τῷ Ὀνησιφόρῳ ζῆλον. *Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ· Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.*] Ἐπειδὴ τούτων οὐκ ἐμνήσθη, νῦν μέμνηται, ἵνα δείξῃ, ὅτι πάντοθεν μεμόνωται, καὶ χρῄζει τοῦ Τιμοθέου. Ἡ δὲ Μίλητος ἐγγύς ἐστιν Ἐφέσου. Ἄρα οὖν ἢ ὅτε ἀπέπλεεν ἐπὶ τὴν Ἰουδαίαν, ἀφῆκεν αὐτὸν ἐν Μιλήτῳ ὁ Παῦλος, ἢ μετὰ τὸ γενέσθαι ἐν Ῥώμῃ, πάλιν ἀνῆλθεν εἰς ταῦτα τὰ μέρη, οὐκ ἔχομεν εἰπεῖν. Ἵνα τί δέ μὴ ἰάσατο τὸν Τρόφιμον, ἀλλ' εἴασεν αὐτὸν ἀσθενοῦντα; Ὅτι οὐ πάντα ἐποίουν οἱ ἅγιοι, ἵνα μὴ νομισθῶσι κρείττονες ἢ κατὰ ἀνθρώπου φύσιν (1). *Σπούδασον, πρὸ χειμῶνος ἐλθεῖν.*] Ἕως οὗ, φησί, ζῶ· ἵνα μὴ τῷ χειμῶνι ἐπισχεθείς, οὐκ εἴδῃς με. *Καὶ Λῖνος.*] Τοῦτον φασὶ τὸν Λῖνον, δεύτερον τῆς Ῥώμης ἐπίσκοπον γεγονέναι μετὰ τὸν Πέτρον. *Καὶ Κλαυδία.*] Ὁρᾷς, πῶς καὶ γυναῖκες διάπυροι ἦσαν καὶ θερμαί, καὶ ἐσταυρωμέναι τῷ κόσμῳ; Καὶ γὰρ οὐδὲν ἐλαττοῦται τὸ γένος τοῦτο τῶν ἀνδρῶν, ἐὰν θέλῃ. *Καὶ οἱ ἀδελφοὶ πάντες.*] Οἱ ὀνομαστὶ μνησθέντες θερμότεροι τὴν πίστιν ἦσαν. *Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου.*] Διπλῆ ἡ βοήθεια, ἥ τε τοῦ Χριστοῦ, καὶ ἡ τοῦ Πνεύματος τοῦ ἁγίου· ὡς εἰ ἔλεγε· Μετὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, οὗ νῦν ἔχεις, ἔστω καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ σοῦ. Τούτου δέ σοι ὑπάρξαντος, οὐκ ἀλγήσεις ἐπὶ τῇ ἐμῇ ἀναλύσει. Ἢ, ὅτι οὐκ ἔνι τῆς παρουσίας εὐπορῆσαι τοῦ Χριστοῦ τὸν μὴ χάριτι πνευματικῇ κατεστεμμένον· ἵνα ᾖ ὡς πρὸς ταύτην τὴν ἑρμηνείαν, *τοῦ πνεύματός σου*, τουτέστι, τῆς πνευματικῆς χά-

(1) « Ἵνα μὴ οἱ ἄνθρωποι αὐτοὺς θεοποιήσωσι.» Θεοφύλακτος.

ριτος. *Ἡ χάρις μεθ' ἡμῶν.*] Καὶ ἑαυτῷ λοιπὸν ἐπεύχεται, ἢ ὥστε ἀεὶ εὐάρεστον εἶναι παρὰ τῷ θεῷ, καὶ χάριν ἔχειν παρ' αὐτῷ· ἢ ὥστε ἀεὶ χάρισμα ἔχειν πνευματικόν.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἡ πρὸς Τιμόθεον, τῆς Ἐφεσίων ἐκκλησίας ἐπίσκοπον χειροτονηθέντα, δευτέρα ἐπιστολὴ ἐγράφη ἀπὸ Ῥώμης, ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρι Ῥώμης Νέρωνι.

Η
ΠΡΟΣ ΤΙΤΟΝ
ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ
ΠΡΟΣ ΤΙΤΟΝ
ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιςέλλει ἀπὸ Νικοπόλεως· ἐκεῖ γὰρ παρεχείμαζεν· ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Εἰς μὲν τὴν Κρήτην ἀπέλιπε τὸν Τίτον, ἵνα καταστήσῃ κατὰ πόλεις κληρικούς· πολλῶν δὲ ὄντων ἐκεῖ τῶν ἐπιχειρούντων προφάσει τοῦ νόμου ἀπατᾷν τοὺς λαοὺς, μαθὼν ὁ Παῦλος γράφει. Καὶ πρῶτον μὲν, εὐχαριςῶν τῷ θεῷ διὰ τὴν αὐτοῦ εὐλάβειαν, σημαίνει τὴν ἐν Χριστῷ πίστιν μὴ νεωτέραν εἶναι, ἀλλ' ἐξ αἰῶνος ἡτοιμάσθαι καὶ ἐπηγγέλθαι παρὰ τοῦ θεοῦ ταύτην. Ἔπειτα δὲ περὶ τῆς καταστάσεως τῶν κληρικῶν, καὶ τοῦτον διδάσκει, πῶς, καὶ ὁποίους αὐτοὺς εἶναι δεῖ. Καὶ ἐπιτιμᾷν δὲ ἐντέλλεται αὐτῷ τοῖς ἀντιλέγουσι τῇ ὑγιαινούσῃ πίστει, μάλιστα δὲ τοῖς ἐκ περιτομῆς· εἰδέναι τε τοὺς Κρῆτας, ὅτι ἀργοί εἰσι, καὶ χρήζουσιν ἐπιτιμίας. Διδάξας τε πάντα τὰ βρώματα καθαρὰ εἶναι τοῖς καθαροῖς, καὶ ὁποίας εἶναι δεῖ τὰς πρεσβύτιδας, τὰς ὀφειλούσας σωφρονίζειν τὰς νέας, παραινεῖ, πῶς δεῖ τοὺς δούλους τοῖς ἰδίοις δεσπόταις ὑποτάσσεσθαι. Καὶ τέλος ὑπομνήσας, ὅτι ἡ τοῦ πνεύματος χάρις οὐκ ἐξ ἔργων ἡμᾶς ἐδικαίωσεν, ἀλλὰ τῇ ἰδίᾳ φιλανθρωπίᾳ· καὶ παραγγείλας τὰς νομικὰς μάχας ἐκτρέπεσθαι, ὡς ἀνασχύντους οὔσας, δηλοῖ αὐτῷ μετὰ τὸ πέμψαι πρὸς αὐτὸν Ἀρτεμᾶν, ἵνα ἔλθῃ πρὸς αὐτόν· ἐνετείλατό τε αὐτῷ, ὥστε διδάσκειν καὶ τοὺς αὐτοῦ καλῶν ἔργων προΐστασθαι. Καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

ΑΛΛΗ.

Τῶν τῷ Παύλῳ συνόντων δικιμώτατος ὁ Τίτος ὤν, ἐπίσκοπος τῆς Κρήτης, μεγίστης οὔσης, δι' αὐτὸ τοῦτο κεχειροτόνητο, καὶ τοσούτων ἐπισκόπων κρίσιν καὶ χειροτονίαν ἐπετράπη. Καὶ τὰ ἐλλείποντα δὲ ἀναπληρῶσαι, ὡς δόκιμος πάντως, προςάττεται δι' αὐτῆς τῆς ἐπιστολῆς, ἣν γράφει Παῦλος αὐτῷ πρὶν ἢ δεθῇ, καὶ ἐν ἀδείᾳ ὤν· οὐδαμοῦ γὰρ πειρασμῶν ἐνταῦθα μέμνηται. Ὅθεν δοκεῖ μοι καὶ προτέρα εἶναι τῆς πρὸς Τιμόθεον δευτέρας ἐπιςολῆς· ἐκείνην γὰρ πρὸς τῷ τέλει ὢν ἔγραψε. Συνεχῶς δὲ μνημονεύει ἐνταῦθα τῆς χάριτος, δι' ἧς ἐσώθημεν, ἱκανὴν τοῦτο εἰδὼς παράκλησιν· ὁ γὰρ ἀναμνησθεὶς, τίς ὢν πρότερον, τίνων ἠξιώθη μετὰ ταῦτα δωρεῶν καὶ χάριτος, σπουδάσει πάντως, μὴ παροργίσαι τὸν εὐεργέτην. Ἀποτείνεται δὲ καὶ πρὸς Ἰουδαίους· εἰ δὲ ὁλόκληρον τὸ γένος ὑβρίζει, μὴ θαυμάσῃς· οὐ γὰρ ὡς ὑβριστὴς, ἀλλ' ὡς ἐραστὴς τοῦ θεοῦ καὶ ζηλωτὴς τοῦτο ποιεῖ· ὥσπερ καὶ ὁ Χριστὸς μυρία ἐλοιδόρει τοῖς Γραμματεῦσιν, οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὅτι τοὺς ἄλλους ἀπώλλυον. Βραχεῖαν δὲ ποιεῖ τὴν ἐπιστολὴν, ἵνα κἀντεῦθεν τὴν ἀρετὴν τοῦ Τίτου μάθωμεν· ὁ τοιοῦτος γὰρ οὐ δεῖται πολλῶν λόγων, ἀλλ' οἷον ὑπομνήσεώς τινος.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΤΙΤΟΝ

ΕΠΙΣΤΟΛΗ·

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦ. Ι, 1 ΠΑΥΛΟΣ, δοῦλος θεοῦ, ἀπόστολος δὲ
Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν θεοῦ καὶ
2 ἐπίγνωσιν ἀληθείας, τῆς κατ' εὐσέβειαν, ἐπ' ἐλπίδι
ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ
3 χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν
λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ'
4 ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν θεοῦ, Τίτῳ, γνησίῳ
τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις, ἔλεος, εἰρήνη
ἀπὸ θεοῦ πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ
σωτῆρος ἡμῶν.

Παῦλος, *δοῦλος θεοῦ, ἀπόστολος δὲ Χριστοῦ.*] Ἀδιαφόρως ταῦτα τίθησι· ποτὲ μὲν ἑαυτὸν δοῦλον Χριστοῦ λέγων, ἀπόστολον δὲ θεοῦ· νῦν δὲ τὸ ἀνάπαλιν. Οὐδεμίαν γὰρ οἶδε διαφορὰν μεταξὺ πατρὸς καὶ υἱοῦ. *Κατὰ πίστιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας.*] *Κατὰ πίστιν*, διὰ πίστιν· τουτέστι, διὰ τὸ πιστευθῆναί μοι τοὺς ἐκλεκτοὺς τοῦ θεοῦ πρὸς τὸ διδάξαι ἐγενόμην ἀπόστολος. Ἢ οὕτως· Ἀπόστολος εἰμὶ πρὸς τὸ πιστεῦσαι τοὺς ἐκλεκτοὺς δι' ἐμοῦ, καὶ ἐπιγνῶναι τὴν ἀλήθειαν τῆς εὐσεβείας, τὸν Χριστόν. Ἢ οὕτω· Τὸ γενέσθαι με ἀπόστολον, καὶ πιστευθῆναί μοι τοὺς ἐκλεκτοὺς, οὐχ

ἁπλῶς ὑπῆρξέ μοι, ἀλλ᾽ ἐπειδὴ ἐπέγνων τὴν τῆς εὐσεβείας ἀλήθειαν. Τίς δὲ αὕτη ἡ ἀλήθεια; Ὁ Χριστός. Καλῶς δὲ, *τῆς κατ᾽ εὐσέβειαν ἀληθείας*, ὡς οὔσης καὶ ἄλλης ἀληθείας, οὐ μὴν δὲ κατ᾽ εὐσέβειαν, ὡς τοῦ εἰδέναι τέχνην τινά. *Ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου.*] Ἤρκει μὲν καὶ αὐτὸ καθ᾽ ἑαυτὸ τὸ ἐπιγνῶναι τὴν ἀλήθειαν ἀντὶ μυρίων ἀμοιβῶν· νῦν δὲ ὁ μεγαλόδωρος θεὸς καὶ ὑπὲρ τούτου αὐτοῦ ἀμοιβὰς δίδωσι, ζωὴν αἰώνιον· εἰς ἐπίγνωσιν γὰρ ἀληθείας, φησὶ, τῆς ἐπ᾽ ἐλπίδι γινομένης ζωῆς αἰωνίου. Τὸ δὲ, *αἰωνίου*, εἶπεν ὡς πρὸς τὰ Ἰουδαϊκά· ἐκεῖνα γὰρ τῆς παρούσης εἶχεν ἐπαγγελίαν ζωῆς. *Ὁ ἀψευδὴς θεός.*] Εἰ ἀψευδὴς, πληρώσει πάντως ἃ ἐπηγγείλατο καὶ μετὰ θάνατον. *Πρὸ χρόνων αἰωνίων.*] Οὐκ ἐξ ὑστέρας βουλῆς ἢ μεταμελείας, φησὶ, τοῦτο ὥρισεν ὁ θεὸς, ἀλλ᾽ ἐξ ἀρχῆς· μέγιστον δὲ ἀξίωμα, τὸ ἐξ ἀρχῆς ἡμᾶς ἠγαπῆσθαι. *Ἐφανέρωσε δὲ καιροῖς ἰδίοις.*] Τί ἐφανέρωσεν ἐν καιροῖς ἰδίοις καὶ προσήκουσιν; Ἣν πρὸ χρόνων αἰωνίων ἐπηγγείλατο ζωήν. Ὁ γὰρ *λόγος αὐτοῦ*, τουτέστιν, ὁ Χριστὸς, ἔστι τε ζωὴ, καὶ ζωῆς δοτήρ. Διὰ τοῦτο εἰπὼν, ὅτι ἐπηγγείλατο ζωὴν, οὐκέτι ἐπήγαγεν, Ἐφανέρωσε δὲ καιροῖς ἰδίοις ἣν ἐπηγγείλατο ζωὴν, ἀλλὰ, *τὸν λόγον αὐτοῦ* διὰ τοῦ κηρύγματος, ὡς τοῦ λόγου αὐτοῦ, τουτέστι, τοῦ Χριστοῦ, τῆς ζωῆς ἐκείνης αἰτίου τε ὄντος καὶ δοτῆρος (1). Τὸ δὲ, *ἐν κηρύγματι*, ἀντὶ τοῦ, φανερῶς καὶ μετὰ παῤῥησίας. *Ὃ ἐπιστεύθην ἐγώ.*] Ὅπερ κήρυγμα ἐπιστεύθην ἐγώ. Ἐκ δὲ τοῦ εἰπεῖν, *ἐπιστεύθην*, καὶ, *κατ᾽ ἐπιταγὴν θεοῦ*, δηλοῖ, δεῖν ἐξ ἀνάγκης καὶ ἀπαραιτήτως καὶ θέλοντα καὶ μὴ, κηρύσσειν. Τοῦτο καὶ σὺ, φησι, ποίει, ὦ Τίτε. *Τίτῳ, γνησίῳ τέκνῳ.*] Ἐςι γὰρ εἶναι μὲν τέκνον διὰ

---

(1) Ὁ Θεοφύλακτος, τὸν λόγον αὐτοῦ, ἑρμηνεύει, εὐαγγέλιον. Λέγει γάρ· «Τί δὲ ἐφανέρωσε; Τὸν λόγον, φησὶν, αὐτοῦ, τουτέστι, τὸ εὐαγγέλιον. — Σκόπει δὲ, ὅτι ἡ μὲν ἀκολουθία ἀπῄτει εἰπεῖν οὕτως· Ἐφανέρωσε δὲ καιροῖς ἰδίοις αὐτὴν, τουτέστι, τὴν αἰώνιον ζωήν· ὁ δὲ οὐχ οὕτως ἐπήγαγεν, ἀλλ᾽, ἐφανέρωσε τὸν λόγον αὐτοῦ· εἰκότως· τὸ γὰρ εὐαγγέλιον πάντα περιέχει, καὶ τὰ πρὸς τὸ παρὸν ἡμῖν δοθέντα, οἷον, τὴν εὐσέβειαν, τὴν πίστιν, τὴν ἀλήθειαν· καὶ τὰ ἐν τῷ μέλλοντι, ἤγουν, τὴν ζωὴν τὴν αἰώνιον.»

τὸ βεβαπτίσθαι παρ' αὐτοῦ· οὐ γνήσιον δὲ, διὰ τὸ εἶναι ἁμαρτωλὸν *Κατὰ κοινὴν πίστιν.*] Τοῦ εἶναί σε τέκνον ἐμὸν γνήσιον, αἰτία, φησὶν, ἡ κοινὴ πίστις. Ἐπαινεῖ δὲ τὸν Τίτον, ὡς οὐδὲν αὐτοῦ πλέον κατὰ τὴν πίστιν ἔχων.—ΑΛΛΩΣ. Τέκνον ὁ Τίτος τοῦ Παύλου, καθὸ ἐδιδάσκετο παρ' αὐτοῦ τὴν πίστιν· *κατὰ δὲ κοινὴν πίστιν*, ἤγουν, ἀπὸ τοῦ βαπτίσματος, ἀδελφὸς τοῦ Παύλου· εἷς γὰρ πατὴρ, ὁ Χριστὸς, καὶ μία μήτηρ, ἡ κολυμβήθρα (1).—*Χάρις, ἔλεος.*] Εἰκότως χάριν καὶ ἔλεον ἐπεύχεται τῷ Τίτῳ διδασκάλῳ ὄντι. Εἰ γὰρ μὴ; φησὶ, μετὰ τῶν οἰάκων τούτων, τουτέστι, χάριτος, ἐλέου, καὶ εἰρήνης, κυβερνήσεις τὸν λαὸν, ἀνατραπήσεται τὸ τῆς ἐκκλησίας σκάφος.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ διδασκάλων ἐπιτηδείων εἰς διακονίαν, καὶ ἔλεγχον ἀπειθῶν.

5 Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λεί-
ποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν
6 πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἐστὶν
ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πι-
στὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα.

Τ*ούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ.*] Ὁρᾷς αὐτοὺς ὥσπερ οἰκίαν μίαν τὴν οἰκουμένην διανειμαμένους, καὶ ἕκαστον πράττοντά τι; Ὅρα δὲ τὸν ἀθλητὴν τοῦ Χριστοῦ! Ἔνθα μὲν κιν-

(1) «Ἡ φυσικὴ γέννησις οὐ χρῄζει τῆς τοῦ τικτομένου συγκαταθέσεως· ὁ δὲ τῆς πίστεως τόκος, καὶ τοῦ γεννῶντος καὶ τοῦ γεννωμένου τὴν συμφωνίαν ζητεῖ. Κἂν γὰρ γνησίως ὁ κηρύττων πιστεύῃ, ὁ δὲ ἀκούων μὴ πιστῶς τὰ μαθήματα δέχοιτο, υἱὸς χρηματίζειν οὐ δύναται τοῦ κηρύττοντος· γνωμικὴ γὰρ ἡ τοιαύτη συγγένεια. Τὸ τοίνυν, Γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, τὴν ἀρετὴν τοῦ μακαρίου Τίτου δηλοῖ. Κοινωνήσας γὰρ τῷ ἀποστόλῳ τῆς πίστεως, καλεῖν αὐτὸν ἠξιώθη πατέρα.» Θεοδώρητος.

δυνεύειν ἐνῆν, αὐτὸς παραγίνεται· ἔνθα δὲ τιμή τις ἦν τὸ γινόμενον, τοὺς μαθητὰς πέμπει. Τοῦτον γὰρ ἐπὶ τὸ κατὰ πόλιν καταστῆσαι ἐπισκόπους κατέλιπεν, ἐπίσκοπον αὐτὸν πρότερον ποιήσας. *Ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ.*] Ὅρα, πῶς οὐκ αἰσχύνεται τῷ μαθητῇ γράφων, ἵνα ἐπιδιορθώσῃ τὰ παρ' ἐμοῦ ἐλλειφθέντα· ἑνὸς γὰρ ἐγένετο μόνου, τῆς σωτηρίας τῶν ἁπάντων (1). *Καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους.*] Οὐ γὰρ ἐβούλετο πᾶσαν τὴν νῆσον τὴν Κρήτην, μεγάλην οὖσαν, ἐπιτετράφθαι ἑνὶ ἐπισκόπῳ, ἀλλ' ἑκάστην πόλιν ἔχειν ἴδιον ποιμένα· οὕτω γὰρ καὶ ὁ πόνος κουφότερος, καὶ ἡ ἐπιμέλεια ἀκριβεστέρα. Πρεσβυτέρους δὲ, τοὺς ἐπισκόπους καλεῖ (2). *Εἴ τις ἐστὶν ἀνέγκλητος.*] Κατηγορίας, φησὶ, καθαρὸς αὐτῷ ὁ βίος τυγχανέτω, καὶ μηδεὶς ἐχέτω ἀφορμὴν ἐπισκῶψαι αὐτοῦ τὴν ζωήν. *Μιᾶς γυναικὸς ἀνήρ.*] Αὐτὴν, φησιν, εἰδέτω τὴν νομίμην γυναῖκα μόνην (3). Διὰ τούτου τοὺς τὸν γάμον βδελυσσομένους αἱρετικοὺς ἐπιστομίζει· δύναται γάρ τις καὶ μετὰ γάμου ἐπισκοπῆς προνοεῖν· τὸν δὲ δευτερόγαμον, ὡς ὄντα ὑπὸ κατάγνωσιν, κωλύει. *Τέκνα ἔχων πιστά.*] Ὁ γὰρ τὰ οἰκεῖα τέκνα μὴ ῥυθμίσας, πῶς ἑτέρους διευθυνεῖ; Πρόδηλον γὰρ ὅτι, εἰ ἐξ ἀρχῆς καλῶς ἀνῆγε τοὺς παῖδας καὶ ἐπιμελῶς, οὐκ ἂν ἀπέβησαν ἀνυπότακτοι. Οὐ γὰρ φύσει εἰσὶ τὰ ἁμαρτήματα, ἵνα τοσαύτης ἐπιμελείας περιγένωνται. Οὐκ εἶπε δὲ ἁπλῶς, Μὴ ἄσωτα, ἀλλὰ μηδὲ διαβολὴν ὅλως ἔχοντα ἐπὶ ἀσωτίᾳ, μηδὲ πονηρᾶς ὄντα ὑπολήψεως.

7 Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ
οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ
8 πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλά-

(1) «Πρὸς γὰρ τὸ κοινὸν κέρδος ἑώρα, οὐ πρὸς τὴν οἰκείαν τιμήν.» Θεοφύλακτος.

(2) «Καὶ ἐντεῦθεν δῆλον, ὡς τοὺς πρεσβυτέρους ἐπισκόπους ὠνόμαζον. Εἰρηκὼς γὰρ, ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ἐπήγαγε· Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι. Ἐν ἑκάστῃ δὲ πόλει, οὐκ ἐπισκόπους, ἀλλὰ πρεσβυτέρους ἔθος εἶναι πολλούς.» Θεοδώρητος. Ἴδ. Φιλιπ. Α΄, 1.

(3) Ἴδ. Α΄ Τιμ. Γ΄, 2.

9 γαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι.] Τὸ γενικὸν λέγει· τὸ γὰρ, *ἀνέγκλητον*, τουτέστι, ἀκατηγόρητον, πάντα περιέχει τὰ ῥηθησόμενα. *Ὡς θεοῦ οἰκονόμον.*] Ἐπεὶ οὖν, φησι, τὸ ἀξίωμα μέγα, μεγάλης δεῖται καὶ φυλακῆς. Ὁ θεὸς αὐτὸν ἐπέστησε τῷ οἰκείῳ οἴκῳ· τὸν τόπον ἐπέχει τοῦ θεοῦ· δεῖ οὖν αὐτὸν διηκριβῶσθαι πάντοθεν. *Μὴ αὐθάδη.*] Ὁ γὰρ ἑαυτοῦ μὴ κρατῶν, πῶς ἂν ἑτέρων κρατήσειεν; *Μὴ ὀργίλον.*] Πῶς γὰρ ἑτέρους παιδεύσει κρατεῖν τοῦ πάθους τῆς ὀργῆς, ἑαυτὸν μὴ παιδεύσας; *Μὴ πάροινον.*] Τουτέστιν, ὑβριστήν. *Μὴ πλήκτην.*] Πλήττοντα τὴν συνείδησιν τῶν ἀδελφῶν. *Μὴ αἰσχροκερδῆ.*] Οἷον ἀκτήμονα· ὡς παντοίου κέρδους, κἂν δίκαιον εἶναι δοκῇ, αἰσχροῦ ὄντος ἐπισκόπῳ. *Φιλόξενον.*] Μὴ μόνον μὴ κερδαίνοντα ἀπ' ἄλλων, ἀλλὰ καὶ τὰ αὐτοῦ τοῖς ξένοις προϊέμενον. *Φιλάγαθον.*] Τὸν ἐπιεικῆ οὕτω φησὶ, τὸν μέτριον, τὸν μὴ φθονοῦντα. *Σώφρονα.*] Τουτέστι, καθαρόν. *Δίκαιον.*] Τὰ πρὸς ἀνθρώπους, τουτέστιν, ἀπροσωπόληπτον. *Ὅσιον.*] Καθαρὸν πάθους, εὐλαβῆ περὶ τὰ θεῖα, μηδὲν τῶν τῷ θεῷ ὀφειλομένων ἐλλείποντα. *Ἐγκρατῆ.*] Μὴ περὶ σιτία μόνον, ἀλλὰ καὶ γλώττης, καὶ χειρῶν, καὶ ὀφθαλμῶν ἀκολάστων κυριεύοντα· τοῦτο γὰρ καὶ κυρίως ἐγκράτεια. *Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου.*] *Ἀντεχόμενον*, ἀντὶ τοῦ, φροντίζοντα, ἔργον τοῦτο ἔχοντα. *Πιστοῦ δὲ λόγου*, ἢ τοῦ ἀληθοῦς, ἢ τοῦ διὰ πίστεως χορηγουμένου, καὶ οὐκ ἀπὸ λογισμῶν. Διὰ τοῦτο δὲ εἶπε, *τοῦ κατὰ τὴν διδαχὴν*, δηλῶν, ὅτι καὶ χωρὶς τῆς ἔξω σοφίας διδάσκειν δύναται. Οὐ γὰρ ἐπιδείξεως χρεία, ἀλλὰ διδαχῆς καὶ ὠφελείας (1). *Ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν.*]

(1) « Οὐ γὰρ χρεία κόμπου ῥημάτων, ἀλλὰ Γραφῶν ἐμπειρίας, καὶ νοημάτων

τοῦτο δὲ ἔσται ἀπό τε φρονήσεως, καὶ τῆς τῶν Γραφῶν εἰδήσεως. *Ὑγιαίνουσα δὲ διδασκαλία* ἐστὶν, ἡ καὶ δόγματα ἀληθῆ καὶ βίον ὀρθὸν διδάσκουσα. *Καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.*] Ὁ γὰρ μὴ εἰδὼς μάχεσθαι τοῖς ἐχθροῖς, καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ (α), οὐδὲν ποιήσει τῶν δεόντων (1).

ΚΕΦΑΛΑΙΟΝ Β'.

Κατὰ τῶν σαρκικὰς καθάρσεις πρεσβευόντων, καὶ ὑπὲρ πνευματικῆς ἀρετῆς.

10 Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι
11 καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς· οὓς δεῖ
ἐπιστομίζειν· οἵτινες ὅλους οἴκους ἀνατρέπουσι,
διδάσκοντες, ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν.

Εἰσὶ *γὰρ πολλοὶ καὶ ἀνυπότακτοι.*] Τὴν ῥίζαν εἶπε πάντων τῶν κακῶν, τὴν ἀνυποταξίαν, ἐξ ἧς καὶ τὰ λοιπὰ φύεται· ὁ γὰρ ἀνυπότακτος, αὐτὸς μὲν εἴκειν οὐ βούλεται, ἄρχειν δὲ καὶ ἐπιστατεῖν ἑτέρων ἐπιθυμεῖ. Εἶτα δεῖ τὸν ἄρχοντα τὴν ἐκκλησιαστικὴν ἀρχὴν, καὶ διδάσκειν· ὁ δὲ πρὶν μαθεῖν διὰ τὸ ἀνυπότακτος γεγενῆσθαι διδάσκων, εἰκότως *ματαιολόγος* καὶ *φρεναπάτης* εὑρίσκεται. *Μάλιστα οἱ ἐκ περιτομῆς.*] Τούτοις καὶ ὁ Χριστὸς φιλαρχίαν ὠνείδιζεν, ὅτι καὶ μετὰ τὴν πίστιν οὐκ ἀπέθεντο τὸ νόσημα. *Οὓς δεῖ ἐπιστομίζειν.*] Τουτέστιν, ἐλέγχειν σφοδρῶς, ὥστε ἀποκλείειν

δυνάμεως· ἐκ τούτων γὰρ ἡ διδαχὴ εὐοδοῦται, ὥσπερ καὶ ἡ τοῦ Παύλου αὐτοῦ.» Θεοφύλακτος. (α) Β' Κορ. Ι, 5. (1) «Οὐκ εὔγλωττον εἶναι νομοθετεῖ, ἀλλὰ τῶν θείων λογίων εἰδήμονα· ὁ γὰρ ταῦτα σαφῶς ἐπιστάμενος, καὶ τοῖς πιστεύουσι τὴν ὀνησιφόρον προσφέρει διδασκαλίαν, καὶ τῶν ἐναντίων ἐλέγχει τὸ ψεῦδος.» Θεοδώρητος.

αὐτοῖς τὰ στόματα. Εἰ γὰρ τῶν ἄλλων προστασίαν καὶ ὁδηγίαν ὁ ἐπίσκοπος ἐγκεχείρισται, ἀγνοεῖ δὲ τοὺς ματαιολόγους καὶ φρεναπάτας ἐλέγχειν καὶ ἐπιστομίζειν, τῆς τῶν ἀπολλυμένων βλάβης αἴτιος γίνεται. Καλῶς δὲ τὸ, *ἐπιστομίζειν*, οἷον μήτε λαλεῖν ἐᾶν ἐκ τῆς τῶν ἐλέγχων ἰσχύος, ἵνα καὶ οἱ ἀκούοντες ὠφελῶνται. *Διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν.*]Οὐδὲν γάρ ἐστιν ὃ μὴ πείθει παρανομεῖν τοῦτο τὸ πάθος.

12 Εἶπέ τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης· Κρῆτες
13 ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐ-
14 τοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.

Εἶπέ τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης.] Ζητεῖται, τί δή ποτε ἐξ Ἑλλήνων ἤγαγε μαρτυρίαν, καὶ ἐπαινεῖ αὐτὴν, καὶ ταῦτα μὴ καλῶς ἔχουσαν; Τίς δὲ ἡ μαρτυρία; Οἱ Κρῆτες τύμβον κατεσκεύασαν τῷ Διΐ. Λέγει οὖν τις τῶν ποιητῶν·

Κρῆτες ἀεὶ ψεῦσται· καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο· σὺ δ᾽ οὐ θάνες· ἐσσὶ γὰρ αἰεί (1).

Ταύτῃ τῇ χρήσει νῦν ὁ Παῦλος προσμαρτυρεῖ ἀλήθειαν. Πῶς οὖν τοῦτο ποιεῖ; Εἰ γὰρ ἀληθὴς ἡ μαρτυρία, καὶ ὁ Ζεὺς ἄρα ἀθάνατός ἐστιν. Ἀλλὰ φαμὲν, ὅτι πρὸς τοῦτο εἶπε τὴν μαρ-

(1) Ὁ ἴδιος τῶν Κρητῶν προφήτης, ὁ εἰπὼν τὸ, Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαὶ, ἐστὶν ὁ Ἐπιμενίδης, ὁ ἐκ Κνωσσοῦ, πόλεως τῆς Κρήτης, ἐν τοῖς μάλιστα, ὡς λέγει ὁ Θεοφύλακτος, τῶν παρ᾽ Ἕλλησι σοφῶν θειασμοῖς καὶ ἀποτροπιασμοῖς προσέχων, καὶ μαντικὴν δοκῶν κατορθοῦν. Ἐν τούτου τῷ Περὶ χρησμῶν συγγράμματι εὕρηκεν ἔτι ὁ Ἱερώνυμος, ὡς αὐτὸς οὗτος διαβεβαιοῖ, τὸν παρὰ τοῦ Παύλου ἀναφερόμενον ἑξάμετρον στίχον. Ἰδ. καὶ Σωκράτ. Ἐκκλ. ἱστορ. βιβλ. Γ΄. Κεφ. ιϛ΄. Νικηφ. Ἐκκλ. ἱστ. βιβλ. Ι΄. Κεφ. κϛ΄. Κλημ. Ἀλεξ. Στρωμ. Α΄. ιδ΄. Οὓς δὲ φέρουσιν ὅ,τε Οἰκουμένιος καὶ ὁ Θεοφύλακτος ἐν τοῖς ἑαυτῶν ὑπομνήμασι δύο στίχους, εἰσὶ τοῦ Κυρηναίου ποιητοῦ Καλλιμάχου ἐκ τοῦ εἰς τὸν Δία ὕμνου αὐτοῦ, καὶ οὐχὶ τοῦ Ἐπιμενίδου. Ὁ δὲ Καλλίμαχος καλεῖ τοὺς Κρῆτας ψεύστας, οὐχὶ διὰ μόνον τὸ ψεῦδος, τὸ περὶ τοῦ Διὸς, οὗ τινος τὸν τάφον ἐκαυχῶντο ὅτι ἔσωζον παρ᾽ ἑαυτοῖς, ἀλλὰ διότι ἐψεύδοντο καὶ κατὰ τοῦτο, ὡς καὶ κατὰ τὴν λοιπὴν αὐτῶν διαγωγὴν, ἐξ οὗ καὶ τὸ « Κρῆτες ἀεὶ ψεῦσται », ὡς καὶ τὸ «Πρὸς Κρῆτα κρητίζειν», ἤγουν, Πρὸς ψεύστην ψεύδεσθαι.

τυρίαν μόνον ἀληθῆ εἶναι, ὅτι ψεύστας αὐτοὺς ἐκάλεσεν. Ὅθεν φησίν· *Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής*, δηλαδὴ ἡ περὶ τοῦ ὅτι ψεῦσται εἰσὶ λέγουσα. Ναὶ τοῦτο, εἴποι τις, οὕτως ἔχει. Διὰ τί δὲ ἐξ Ἑλλήνων ἤγαγε τὴν μαρτυρίαν; Καὶ φαμὲν, ὅτι μάλιστα τοῦτο αὐτοὺς ἐνέτρεπεν, ὅτι οἴκοθεν καὶ ἐκ τῶν ἰδίων τὴν τῆς ὕβρεως μαρτυρίαν προέβαλλεν. Ἐπειδὴ γὰρ τοῖς παρ' ἡμῖν οὐ πείθονται, τοὺς ἰδίους αὐτοῖς ἐπέστησε κατηγόρους. Εἴωθε δὲ τοῦτο ποιεῖν ὁ Παῦλος, ὥσπερ καὶ τοῖς Ἀθηναίοις ἀπὸ τοῦ Ἀράτου διελέχθη (1)· ἃ ἐκεῖνος τῷ ψευδωνύμῳ θεῷ, τῷ Διΐ, ἐπιτίθησι, ταῦτα αὐτὸς τῷ ἀληθεῖ Θεῷ ἐπιμαρτυρῶν· ἐπεὶ καὶ μᾶλλον ἀπὸ τῶν οἰκείων ἐπιστομίζονται· ὥσπερ καὶ τοῖς Ἰουδαίοις ἀεὶ ἀπὸ τῶν προφητῶν διαλέγεται, καὶ οὐκ ἀπὸ τῶν εὐαγγελίων. Τοῦτο καὶ ὁ Θεὸς ποιεῖ, ἑκάστους ἀπὸ τῶν αὐτοῖς συνήθων καὶ πιστευομένων ἐφελκόμενος· οἷον τοῖς μάγοις δι' ἀστέρος ἐμήνυσε τὸν Χριστὸν, ὡς περὶ ἀστρονομίαν ἀσχολουμένους ἀπὸ τῶν ἰδίων πειθῶν (2)· καὶ πάλιν τοὺς μάντεις, ἀπὸ τῶν βοῶν τῶν συρόντων τὴν κιβωτόν (3)· οὐχ ὅτι ἀληθεύουσιν οἱ μάντεις, ἀλλ' ἀπὸ τῶν οἰκείων στομάτων αὐτοὺς ἐλέγχει· καὶ τὸν Σαοὺλ ἀπὸ τῆς ἐγγαστριμύθου· ἐπειδὴ αὐτῇ ἐπίστευεν ἐκεῖνος (4)· καὶ τὸν Βαλαὰμ συγχωρεῖ εὐλογεῖν καὶ προφητεύειν (5). Ταῦτα δὲ συγκαταβάσεις εἰσὶ πρὸς τὴν ἡμῶν ὠφέλειαν. Εἰ δὲ ὁ Χριστὸς, καὶ ὕστερον οἱ ἀπόστολοι, ἐκώλυον τοὺς δαίμονας λαλεῖν, οὐκ ἐναντία εἰσί· σημεῖα γὰρ ἐγίνετο, πείθειν δυνάμενα, καὶ οὐ χρεία ἦν τοὺς ἀνθρώπους, οἷς ἐπίστευον, ἐξ αὐτῶν πείθεσθαι. *Κακὰ θηρία.*] Οἷον, ἄγρια. *Γαστέρες ἀργαί.*] Γαστρίμαργοι, λαίμαργοι· ἢ ἄνθρωποι ἄεργοι, ἐσθίειν, ἀλλ' οὐκ ἐργάζεσθαι θέλοντες. *Δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως.*] Ἐπεὶ οὖν, φησιν, ἴταμοί τινες εἰσὶ, πληκτικώτερον ἔλεγχε αὐτούς· οὗτοι γάρ, φησιν, οὐκ ἂν ἀπὸ ἐπιεικείας

(1) Πραξ. ΙΖ', 28. (2) Ματθ. Β', 2. (3) Α' Βασιλ. ς'.
(4) Α' Βασιλ. ΚΗ', 7. (5) Ἀριθ. ΚΓ', ΚΔ'.

πεισθεῖεν (1). *Ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει.*] *Ὑγιαίνειν ἐν τῇ πίστει* ἐστὶν, ὅταν μηδὲν ἔξωθεν ἐπεισάγῃ τις αὐτῇ, μήτε νόθον, μήτε ἀλλότριον, μήτε Ἰουδαϊκὸν, μήτε Ἑλληνικόν. *Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις.*] Διπλῷ λόγῳ μῦθοι εἰσὶ τὰ Ἰουδαϊκὰ, ὅτι τε παρῆλθεν αὐτῶν ὁ καιρὸς, καὶ λοιπὸν ἄχρηστα, καὶ ὅτι, καὶ ἐν ᾧ ἤκμαζον, τύπος ἦν ἀληθείας, καὶ οὐκ ἀλήθεια. *Καὶ ἐντολαῖς ἀνθρώπων.*] Ὁρᾷς τίνας καλεῖ μύθους; Τὰς ἐντολὰς τῶν ἀνθρώπων, ὡς καὶ ἐν τῷ Ἡσαΐᾳ (2), καὶ ἐν τῷ εὐαγγελίῳ γέγραπται (3), τά τε ἄλλα δηλαδὴ καὶ τὰς περὶ τὰ βρώματα παρατηρήσεις, καὶ δῆλον ἐκ τῶν ἑπομένων.

15 Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις, οὐδὲν καθαρὸν, ἀλλὰ μεμίανται
16 αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγα-
Κεφ. II, 1 θὸν ἀδόκιμοι. Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ·

Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς.] Τί δήποτε οὖν ὁ Ἰουδαίοις δοθεὶς νόμος εἶχεν ἀκαθάρτων παρατήρησιν; Καὶ φαμὲν, ὅτι οὐκ ἐπειδὴ ἀκάθαρτα ἦν, οὕτως ἐνομοθέτησεν ὁ Θεὸς, ἀλλὰ ταύτῃ τὴν πολλὴν τρυφὴν καὶ ἀδιαφορίαν τῶν Ἰουδαίων ὑποτεμνόμενος. Τὸ γὰρ καθαρὸν καὶ ἀκάθαρτον, κυρίως ἀπὸ τῆς τῶν λαμβανόντων διανοίας γίνεται· ἐπεὶ κατὰ φύσιν

---

(1) « Ἐπειδή, φησι, καὶ ψεῦσταί εἰσιν, ὅπερ ἐστὶ δολιότητος, καὶ ἀναίσχυντοι, καὶ γαστρίμαργοι, σφοδροῦ αὐτοῖς δεῖ καὶ πληκτικοῦ λόγου· ἐπεὶ ἡ πρᾳότης τούτους οὐκ ὠφελεῖ. Ὥσπερ γὰρ ὁ τὸν ἐπιεικῆ πλήττων, ἀναιρεῖ, οὕτως ὁ τὸν ἀναιδῆ κολακεύων, διαφθείρει, μὴ ἐῶν ἐπιγνῶναι ἑαυτόν. Ἐνταῦθα δὲ οὐ τοὺς ἀλλοτρίους, ἀλλὰ τοὺς οἰκείους φησὶ δεῖν ἐλέγχειν. » Θεοφύλακτος.

« Τὸ μέντοι, ἔλεγχε αὐτοὺς ἀποτόμως, οὐκ ἐναντίον ἐστὶ τοῦ, ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους (Β´ Τιμ. Β´, 25)· τοῖς γὰρ μηδέπω πεπιστευκόσιν, ἠπίως καὶ πρᾴως δεῖ προσφέρειν τὴν θείαν διδασκαλίαν· τοὺς δέ γε πιστεύειν ὑπισχνουμένους, καὶ τἀναντία ποιεῖν τῇ πίστει πειρωμένους, τοῖς αὐστηροτέροις προσήκει θεραπεύειν φαρμάκοις ». Θεοδώρητος.

(2) Ἡσ. ΚΘ´, 13. (3) Ματθ. ΙΕ´, 7, 8.

πάντα καθαρὰ τοῖς μὴ ἀκριβολογουμένοις· τοῖς δὲ μὴ τοιούτοις, πάντα ἀκάθαρτα, μὴ ὄντα ἀκάθαρτα· ἀκάθαρτος γὰρ μόνη ἡ ἁμαρτία. *Τοῖς δὲ μεμιασμένοις.*] Ὥστε παρὰ τὴν μεμιασμένην γνώμην ἀκάθαρτα γίνεται· ὥσπερ καὶ τῷ ἀῤῥώστῳ πάντα ἀηδῆ διὰ τὴν νόσον. *Ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.*] Βρῶμα μέν, φησιν, ἀκάθαρτον οὐδέν· ὁ νοῦς δὲ αὐτῶν καὶ ἡ συνείδησίς ἐστιν ἀκάθαρτος, καὶ συναχρειοῖ τὰ βρώματα τῇ ἰδίᾳ ὑπονοίᾳ. *Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται.*] Τοῦτο ὄντως ἀκάθαρτον! Ἄνευ γὰρ ἔργων, νεκρὰ ἡ πίστις (α)· ὁ δὲ νεκρὸς, βδελυκτὸς, καὶ πρὸς πᾶν ὁ,τιοῦν ἀδόκιμος. *Σὺ δὲ λάλει ἃ πρέπει.*] Ἀλλ' εἰ καὶ οὗτοι τοιοῦτοι, φησὶ, σὺ μὴ διὰ τοῦτο ὀκνήσῃς, ἀλλὰ τὸ σαυτοῦ ποίει, καὶ δίδασκε, κἂν μηδεὶς ὁ πειθόμενος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Παραινέσεις, ἃς δεῖ παραινεῖν καθ' ἡλικίαν ἑκάστοις.

2 Πρεσβύτας νηφαλίους εἶναι, σεμνοὺς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ·
3 πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας,
4 καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας, φι-
5 λάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνὰς, οἰκουροὺς, ἀγαθὰς (1), ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται.

Πρεσβύτας νηφαλίους εἶναι.] Μάλιστα γὰρ τῷ γήρᾳ τὸ βραδὺ καὶ νωχελὲς ἕπεται. Ὅθεν τοῦτο ἐπανορθῶν, φησι· Νηφάλιοι ἔστωσαν, τουτέστι, διεγηγερμένοι καὶ νήφοντες ἀεὶ,

(α) Ἰακ. Β', 17. (1) Παρ' ἄλλοις, οἰκουροὺς ἀγαθάς.

καὶ σύνεσιν ἔχοντες τῇ ἡλικίᾳ κατάλληλον. *Εἶναι.*] Εἶναι δεῖ· ἀπὸ κοινοῦ γὰρ τὸ, *Δεῖ*. *Σεμνούς.*] Καὶ κατὰ τὸ σχῆμα κοσμίους. *Σώφρονας.*] Φρονίμους φησί· *σωφροσύνη* γάρ ἐστιν, οἱονεὶ σαοφροσύνη, ἡ τῶν φρενῶν σωτηρία. Οὐ γὰρ ἂν ἐπὶ γεγηρακότων τὴν ἐπὶ τῇ ἀσελγείᾳ σωφροσύνην ἀπήτησεν, ὡς ὁμολογουμένου τούτου γε. *Ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ.*] Ὥστε αὐτοὺς καὶ γνησίως πιστεύειν, καὶ τῇ περὶ τὸν πέλας ἀγάπῃ λάμπειν, καὶ φέρειν γενναίως τὰ παρὰ τῶν τῆς ἀληθείας δυσμενῶν προσφερόμενα. Καλῶς δὲ τὸ, *τῇ ὑπομονῇ*· τὸ γὰρ ἀκρόχολον τῷ γήρᾳ παρέπεται. *Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς.*] Τὰς γεγηρακυίας οὕτως ἐκάλεσεν, ἃς καὶ ἀπ' αὐτοῦ τοῦ σχήματος καὶ τῆς καταστολῆς δεῖ κοσμίας φαίνεσθαι. *Κατάστημα* γὰρ ταὐτὸν τῷ, καταστολή (1). Τινὲς δὲ τὰς ἐν ἐκκλησίᾳ διακόνους φασὶν, ἃς καὶ ἀπ' αὐτῆς τῆς ἀμφιάσεως ἀπαιτεῖ φαίνεσθαι *ἱεροπρεπεῖς*, τουτέστι, ταῖς ἱεραῖς ἐμπρεπούσας ὑπηρεσίαις (2). *Μὴ διαβόλους.*] Τουτέστι, μὴ καταλάλους, ὅπερ αἱ γραΐδες εἰώθασι. *Μὴ οἴνῳ πολλῷ δεδουλωμένας.*] Ἐπειδὴ γὰρ ψυχρὸν τὸ γῆρας, ποθεῖ τὸν οἶνον· εἶτα μὴ δυνάμενον ἀντέχειν, ὡς ἀσθενὲς, καταπαλαίεται, οὐχ ὑπὸ τοῦ συμμέτρου, ἀλλ' ὑπὸ τοῦ πολλοῦ. *Καλοδιδασκάλους.*] Τουτέστι, τὰ καλὰ διδασκούσας. Καὶ πῶς ἀλλαχοῦ κωλύει τὰς γυναῖκας διδάσκειν (3); Καὶ φαμὲν, ὅτι ἐνταῦθα μὲν περὶ παραινετικοῦ λέγει λόγου, ἐπὶ οἴκου γινομένου, καὶ ἰδίᾳ πρὸς γυναῖκας· ἐκεῖ δὲ περὶ τοῦ μὴ προκαθῆσθαι δημοσίᾳ καὶ δημηγορεῖν. Καὶ ὅτι τῆς ἐν οἰκίᾳ μόνης διδαχῆς αὐταῖς μετέδωκε, δηλοῖ τὸ ἐπαγόμενον· *Ἵνα σωφρονίζωσι τὰς νέας.*] Οὐ περὶ τῶν ἰδίων θυγατέρων μόνων τοῦτο φησὶν, ἀλλὰ καθόλου τὴν νεότητα ὑποτάσσει τῷ γήρᾳ. *Φιλάνδρους εἶναι.*] Τοῦτο τὸ κεφάλαιον τῶν ἐν οἰκίᾳ ἀγαθῶν· ἐξ αὐτοῦ

(1) Α' Τιμ. Β', 9. (2) «Τὰς γεγηρακυίας οὕτως ὠνόμασεν, οὐ τὰς λειτουργίας τινὸς ἠξιωμένας. Ἱεροπρεπῆ δὲ τὴν τῆς σεμνότητος εὐκοσμίαν ἐκάλεσε.» Θεοδώρητος. (3) Α' Τιμ. Β', 12.

καὶ τὰ λοιπὰ τίκτεται. *Φιλοτέκνους.*] Ἡ γὰρ τὴν ῥίζαν, ἤτοι, τὸν πατέρα, ἀγαπῶσα, καὶ τοὺς κλάδους, ἤτοι, τὰ τέκνα ἀγαπήσει. *Σώφρονας, ἁγνάς.*] Ἡ γὰρ φιλοῦσα τὸν ἄνδρα, καὶ σώφρων ἔσται, καὶ ἁγνὴ, τουτέστι, καὶ σώματι καὶ διανοίᾳ καθαρὰ ἀπὸ τῆς τῶν ἀλλοτρίων καὶ μίξεως καὶ ἐπιθυμίας. *Οἰκουρούς.*] *Οἰκουρούς* φησι, τὰς οἰκονομικάς. Αἱ δὲ τοιαῦται, καὶ τῶν οἴκων ἐπιμελοῦνται, καὶ οὔτε περὶ τρυφὴν, οὔτε περὶ ἐξόδους ἀκαίρους ἀσχολοῦνται. *Ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν.*] Εἶπε τοῦτο καὶ ἀλλαχοῦ (1). *Ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται.*] Εἰ γὰρ εἴη ἄπιστος ἀνὴρ, γυναῖκα ἔχων πιστὴν μὲν, ἀνυπότακτον δὲ καὶ φαύλην, τὴν πίστιν αὐτὴν βλασφημήσει, τοιαύτας ἔχουσαν γυναῖκας. Ὁρᾷς, ὅτι προηγουμένως τοῦ κηρύγματος φροντίζων, οὐχὶ τῶν κοσμικῶν πραγμάτων, ταῦτα γράφει (2);

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν·
7 περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν
ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα
8 (3), λόγον ὑγιῆ, ἀκατάγνωστον· ἵνα ὁ ἐξ ἐναντίας
ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον.

Ὁρᾷς, πῶς προσηκόντως διέταξε, ταῖς μὲν νεωτέραις, τὰς πρεσβύτιδας διδασκάλους ἐπιστήσας, γυναῖκας γυναιξί· τοῖς δὲ νεωτέροις, αὐτὸν τὸν Τίτον, ἄνδρα ἀνδράσι; Τί δὲ δεῖ παρακαλεῖν τούτους ἢ νουθετεῖν; *Σωφρονεῖν*, φησιν. Οὐδὲν γὰρ οὕτω τῇ νεότητι πολέμιον, ὡς ὁ τῶν σωμάτων ἔρως (4). *Σεαυτὸν παρεχόμενος τύπον.*] Διδασκέτωσαν μὲν καὶ αἱ πρεσβύτεραι τὰς νεωτέρας, καὶ σὺ δὲ αὐτὸς, τοὺς νεωτέρους· πλὴν κοινὸν ἅπασι διδασκαλεῖον καὶ ὑπόδειγμα ἀρετῆς ἡ τοῦ σοῦ βίου λαμπρότης ἔστω, οἷά τις εἰκὼν ἀρχέτυπος εἰς μέσον πᾶ-

(1) Ἐφεσ. Ε', 22. Κολοσ. Γ', 18. (2) «Τὸ προφάσει θεοσεβείας καταλιμπάνειν τοὺς ἄνδρας, βλασφημίαν ἔφερε τῷ κηρύγματι.» Θεοδώρητος.

(3) Παρ' ἄλλοις προστίθεται ἐνταῦθα καὶ, ἀφθαρσίαν.

(4) «Αὕτη γὰρ ἡ ἀρετὴ [ἡ σωφροσύνη] διαφερόντως κοσμεῖ τὴν νεότητα· ἐπειδὴ καὶ τῆς ἐπιθυμίας ταύτῃ σφοδρότερον τὸ πάθος πολεμεῖ.» Θεοδώρητος.

σι προκειμένη τοῖς βουλομένοις ἐναπομάξασθαί τι τῶν ἐν αὐτῇ καλῶν. *Ἐν τῇ διδασκαλίᾳ.*] Τὸ, *παρεχόμενος*, ἀπὸ κοινοῦ. Ἐν τῇ οὖν διδασκαλίᾳ παρεχόμενος *ἀδιαφθορίαν*· τουτέστιν, ἵνα μὴ ὦσι διεφθαρμένα καὶ ψευδῆ ἃ διδάσκεις, ἀλλ' ὑγιῆ, καὶ τοῦ ὀρθοῦ λόγου. Γράφεται δὲ καὶ *ἀδιαφορίαν*, τουτέστιν, ἀτυφίαν, ἵνα μὴ ὡς ἄρχων τις· μηδὲ ὡς ὑποτελέσι διαλέγηται, ἀλλ' ἠπίως, ὡς τέκνοις. *Σεμνότητα.*] Ἵνα μηδὲν νεώτερον καὶ διαχέον τοὺς ἄφρονας ἔχῃ ἡ διδασκαλία, ἀλλὰ πάντα σεβάσμια καὶ ἄξια θεοῦ. *Λόγον ὑγιῆ, ἀκατάγνωστον.*] Τουτέστιν, ὀρθόδοξον, μηδὲν ἐπιλήψιμον ἔχοντα. Τούτων γὰρ προσόντων τῇ διδασκαλίᾳ, *ἐντραπήσεται ὁ ἐξ ἐναντίας*, ἤτοι ὁ διάβολος, ἢ ὁ αἱρετικός, μηδεμίαν εὑρίσκων λαβὴν καθ' ἡμῶν (1).

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ δούλων, ὡς ἂν καὶ αὐτοὶ τῆς Χριστοῦ χάριτος ἀξίως δουλεύοιεν.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν
10 εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν· ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι.] Νουθέτει τοὺς δούλους, ὑποτάσσεσθαι τοῖς ἰδίοις δεσπόταις. Ὥστε ὁ τῶν ἀνδρῶν τὰς γυναῖκας διαζευγνὺς προφάσει ἐγκρατείας, καὶ δούλους δεσποτῶν ἀφιστῶν προσχήματι εὐσεβείας, οὐκ ἔστιν ἀκατάγνωστος· πολλὰς γὰρ λαβὰς πᾶσι δίδωσι, καὶ τὰ πάντων

(1) « Ὅταν καὶ τὰ λεγόμενα τῇ ἀληθείᾳ κοσμῆται, καὶ τὰ γινόμενα συμφωνῇ τοῖς λεγομένοις, ἐμφράττεται καὶ αὐτῶν τῶν φιλολοιδόρων τὰ στόματα ». Θεοδώρητος.

στόματα κατὰ τῆς πίστεως ἀνοίγει. Οὐ χρὴ οὖν προφάσει εὐλαβείας αἴρειν δούλους ἀπὸ δεσποτῶν. *Ἐν πᾶσιν εὐαρέστους εἶναι.*] Τὸ, *ἐν πᾶσιν*, ἀντὶ τοῦ, τοῖς τῇ σωματικῇ τῶν δεσποτῶν ἁρμόττουσι δικαίοις καὶ νομίμοις θεραπείᾳ. Οὔτε γὰρ, εἰ κελεύει δεσπότης δυσσεβεῖν, ὑπακούειν τῷ δούλῳ προστάττει· καὶ τοῦτο δηλοῖ τὰ ἐπαγόμενα. *Μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν.*] Ὅρα, ὅτι ἐκεῖνα ἀπαιτεῖ τοὺς δούλους, ἃ μάλιστα πάντων ἀναπαύει τοὺς δεσπότας· οἷον, τὸ μὴ ἀντιλέγειν, ἀλλὰ πειθηνίους εἶναι, τὸ μὴ κλέπτειν καὶ ἀποστερεῖν τὰ αὐτῶν, ἀλλὰ πιστοὺς εἶναι. Ταῦτα γὰρ μάλιστα δούλοις ἁρμόδια. *Ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν.*] Εἰκότως ἔλεγεν ἀλλαχοῦ· *Ὡς τῷ Κυρίῳ δουλεύοντες, καὶ οὐκ ἀνθρώποις* (α). Κἂν γὰρ τῷ δεσπότῃ, φησὶ, διακονῇς μετ' εὐνοίας, ἀλλ' ἡ τιμὴ εἰς Θεὸν ἀνατρέχει, καὶ ἀπὸ τοῦ φόβου ἐκείνου ἡ πρὸς τὸν δεσπότην εὔνοια τὴν ἀρχὴν ἔχει. Εἰ γὰρ φαῦλοι ὦσι, φησὶ, τὸν χριστιανισμὸν ἐνυβρίζουσι. *Τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημεῖται*, φησὶν, *ἐν τοῖς ἔθνεσι* (β). Τὰ δὲ εἰρημένα ποιοῦντες, κοσμοῦσι τὸ κήρυγμα, πιστῶς δουλεύοντες.

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος, πᾶ-
12 σιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα, ἀρνησάμενοι
τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρό-
νως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν
13 αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπι-
φάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆ-
14 ρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ
ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας,
καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

Ἐπεφάνη γὰρ ἡ χάρις.] Ἐπειδὴ πολὺ καὶ μέγα ἀπήτησε παρὰ τῶν δούλων, φημὶ δὴ τὸ κοσμεῖν τὴν τοῦ Κυρίου διδα-

(α) Ἐφεσ. ϛ', 7. (β) Ῥωμ. Β', 24. Ἡσ. ΝΒ', 5.

σκαλίαν διὰ τῆς αὐτῶν ἐναρέτου πολιτείας, εἶτα καὶ αἰτίαν τοῦ χρῆναι αὐτοὺς τοιούτους εἶναι τίθησι. Καὶ γὰρ καὶ αὐτοῖς ἡ χάρις ἐπέφανεν, εἰ καὶ δοῦλοί εἰσι· *πᾶσι γάρ*, φησιν, *ἀνθρώποις*· καὶ ἐχαρίσατο καὶ αὐτοῖς ἄφεσιν πολλῶν ἁμαρτημάτων· καὶ ὀφείλουσι λοιπὸν καὶ αὐτοὶ πρὸς δόξαν τοῦ εὐεργέτου πολιτεύεσθαι (1). *Παιδεύουσα ἡμᾶς.*] Καὶ ἐντεῦθεν ἐντρέπει αὐτούς. Οἱ τοίνυν Θεοῦ, φησι, παιδευτοῦ τυχόντες, πῶς οὐκ ὀφείλομεν ἄξια τῆς αὐτοῦ πράττειν διδαχῆς; *Ἵνα ἀρνησάμενοι.*] Ἡ δὲ ἐπιφάνεια τοῦ σωτῆρος ἡμῶν θεοῦ, τουτέστιν, ἡ μετὰ σαρκὸς ἐπιδημία, οὐ μόνον τῶν προτέρων ἀπήλλαξεν ἁμαρτημάτων, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀσφαλεστέρους ἐποίησεν. *Ἵνα γάρ*, φησιν, *ἀρνησάμενοι τὴν ἀσέβειαν, σωφρόνως ζήσωμεν*· τοῦτο δὲ καὶ πρὸς τὸ μέλλον ὠφελεῖ. Τὸ δὲ, *ἀρνησάμενοι*, τὴν πολλὴν ἀποχὴν σημαίνει. *Τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας.*] *Ἀσέβειαν* μὲν, τὴν εἰδωλολατρείαν ὀνομάζει, καὶ τὰ πονηρὰ δόγματα· *κοσμικὰς* δὲ *ἐπιθυμίας*, τὴν πλεονεξίαν, τὴν τρυφὴν, καὶ τὰς ἄλλας, ὅσαι τε ψυχικαὶ, καὶ ὅσαι σαρκικαὶ, καὶ ὅσαι ἁπλῶς μὴ διαβαίνουσι μεθ' ἡμῶν εἰς τὸν οὐρανὸν, ἀλλ' ἐν τῷ κόσμῳ τούτῳ χρησιμεύουσι, καὶ αὐτῷ συγκαταλύονται. Διὰ τοῦτο οὖν ἦλθεν ὁ Χριστὸς, ἵνα ἀρνησώμεθα καὶ τὰ ἀσεβῆ δόγματα, καὶ τὸν ἐναγῆ βίον, μετὰ τῆς αὐτῆς διαθέσεως ἀμφότερα μισήσαντες. *Σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν.*] Τὸ, *Σωφρόνως*, οὐ τὴν πρὸς τὰ σώματα καὶ τὸν τούτων ἔρωτα ἀποχὴν δηλοῖ μόνον, ἀλλὰ καὶ πρὸς πᾶν πάθος. *Ἐν τῷ νῦν αἰῶνι.*] Οὗτος γὰρ ἔχει τὸν ἀγῶνα· ὁ δὲ μέλλων, τὰς ἀντιδόσεις. *Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης.*] Ἰδοὺ καὶ τὰ ἔπαθλα, ἡ δευτέρα ἐπιφάνεια, ἡ ὄντως μακαρία· οὐδὲν γὰρ ὄντως ἐκείνης μακαριώτερον τῆς ἐπιφανείας. Καλῶς δὲ εἶπε, *τῆς δόξης*· ἡ γὰρ δευτέρα ἐπιφάνεια μετὰ δόξης ἔσαι, τῆς πρώ-

(1) « Τούτου χάριν ἐνηνθρώπησεν ὁ μονογενὴς τοῦ Θεοῦ υἱὸς, ἵνα πάντας ἀνθρώπους, καὶ δεσπότας καὶ οἰκέτας, ἀξιώσῃ τῆς σωτηρίας. » Θεοδώρητος.

της ἐν εὐτελείᾳ γεγονυίας. *Τοῦ μεγάλου θεοῦ.*] Ποῦ νῦν εἰσὶν οἱ τῶν ἀνοσίων δογμάτων εὑρεταὶ, οἵ φασιν, ὅτι οὐ θεός ὁ Χριστός; ἢ ὅτι ἐλάττων τοῦ πατρός; Ὧδε γὰρ φανερῶς, καὶ θεὸν μέγαν τὸν Χριστὸν ὁμολογεῖ· τὸ δὲ, *μέγας*, οὐ πρός τινα θεὸν μικρὸν ἀντιδιαιρεῖται, ἄπαγε! ἀλλ' ἀπολύτως οὕτω μέγας, οὗ μεῖζόν τι οὐκ ἄν τις ἐπινοήσειεν. Εἰ δὲ ἐχθροὺς ὄντας ἡμᾶς ἔσωσε, τί οὐ δώσει ἡμῖν τότε, εὐδοκιμοῦντας ἡμᾶς εὑρών; *Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν.*] Καὶ τοῦτο τῆς αὐτοῦ ἐξουσίας δεῖγμα, τὸ δοῦναι ἑαυτόν· καὶ οὐχ ἵνα τοῦδε μὲν λυτρώσηται, τοῦδε δὲ, οὔ· ἀλλ' *ἀπὸ πάσης ἀνομίας*. Ὥστε δυσωπηθῶμεν τὴν λύτρωσιν. *Καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον.*] Διὰ τοῦ λουτροῦ τοῦ θείου βαπτίσματος, καὶ τῆς ἐργασίας τῶν θείων καὶ καθαρτικῶν ἐντολῶν αὐτοῦ. *Περιούσιος* δὲ, ὁ οἰκεῖος, ἐκ μεταφορᾶς τῶν περὶ τὴν οὐσίαν καὶ τὸν πλοῦτον τοῦ δεσπότου στρεφομένων οἰκετῶν· οἷον, ἐξειλεγμένον, ἐξαίρετον, οἰκεῖον, ἐκ περιουσίας ἀγαπώμενον, μηδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιπούς. *Ζηλωτὴν καλῶν ἔργων.*] Ὁρᾷς, ὅτι καὶ τῶν παρ' ἡμῖν χρεία; *Ζηλωτὴν*, φησι, τουτέστι, μετὰ πολλῆς προθυμίας ἐπ' αὐτὴν ἰόντα τὴν ἀρετὴν, καὶ ζῆλον ἐνδεικνύμενον ἐν πᾶσι τοῖς καλοῖς καὶ μίμησιν διάπυρον. Τὸ μὲν γὰρ τῶν πάλαι ἁμαρτημάτων ἀπαλλάξαι, τῆς αὐτοῦ μόνης γέγονε φιλανθρωπίας· τὸ δὲ κατεργάσασθαι τὴν ἀρετὴν, καὶ αὐτοῦ καὶ ἡμῶν (1).

---

(1) «Τούτου χάριν τὸν ὑπὲρ ἁπάντων ἡμῶν κατεδέξατο θάνατον, ἵνα, τῆς ἁμαρτίας λύσας τὴν τυραννίδα, τῆς πικρᾶς ἡμᾶς ἐκείνης ἐλευθερώσῃ δουλείας, καὶ λαὸν οἰκεῖον ἀποφήνῃ, τῶν ἐπαινουμένων ἔργων ἐραστήν τε καὶ ζηλωτήν.» Θεοδώρητος.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ ἀρχόντων ὑπακοῆς, πρεπούσης τῇ ἐπιεικείᾳ τοῦ Χριστοῦ.

15 Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ
πάσης ἐπιταγῆς. Μηδείς σου περιφρονείτω. Ὑπο-
ΚΕΦ. III, 1 μίμνησκε αὐτοὺς, ἀρχαῖς καὶ ἐξουσίαις
ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν
2 ἑτοίμους εἶναι· μηδένα βλασφημεῖν, ἀμάχους εἶ-
ναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρᾳότητα
πρὸς πάντας ἀνθρώπους.

Λάλει πρῶτον, καὶ *παρακάλει*, τουτέστιν, ἡμερώτερον δίδασκε· εἶτα *ἔλεγχε*· καὶ οὐχ ἁπλῶς, ἀλλὰ *μετὰ πάσης ἐπιταγῆς*· τουτέστι, μετὰ σφοδρότητος, μετὰ ἀποτομίας, μετὰ αὐθεντίας. Ἐπειδὴ γὰρ τὸ τούτων ἦθος σκληρότερον ἦν, διὰ τοῦτο ἀποτόμως ἐλέγχεσθαι αὐτούς φησι. Ὁρᾷς, πῶς βούλεται καὶ μετὰ ἐξουσίας εἶναι τὸν ἐπίσκοπον; *Μηδείς σου περιφρονείτω.*] Τουτέστι, καταφρονείτω, εὐκαίρως πάντως στύφοντος· ὡς ὅγε ἀκαίρως ἐπιπλήττων, μᾶλλον καταφρονεῖται. *Πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι.*] Οἷον, ηὐτρεπισμένους. Πανταχοῦ τοὺς πιστοὺς, ταῖς ἀρχαῖς ὑποτάσσεσθαι βούλεται. Δείκνυσι δὲ καὶ πῶς ἂν ὑποταγεῖεν, δηλαδὴ εἰ πρὸς πᾶν ἔργον ἀγαθὸν παρεσκευασμένοι ὦσιν. Ὅθεν δῆλον, ὅτι οἱ πρὸς τὰ κακὰ παρεσκευασμένοι, οὗτοι ἀπειθοῦσι ταῖς ἀρχαῖς. Ἢ καὶ ὅτι ἕτοιμοι ἔστωσαν, ἵνα πρὸς τὰ καλὰ πείθωνται, μὴ πρὸς ἀσέβειαν ἢ ἄλλο τι ψυχοβλαβές (1). *Μηδένα βλασφημεῖν.*] Κἂν κακῶς τις πράττῃ, κἂν ἔν τινι σφάλληται, μηδὲ τοῦτον βλασφήμει, τουτέστι, μὴ λοιδόρει, μὴ

(1) « Οὐδὲ γὰρ εἰς ἅπαντα δεῖ τοῖς ἄρχουσι πειθαρχεῖν· ἀλλὰ τὸν μὲν δασμὸν καὶ τὸν φόρον εἰσφέρειν, καὶ τὴν προσήκουσαν ἀπονέμειν τιμήν· εἰ δὲ δυσσεβεῖν κελεύσειεν, ἄντικρυς ἀντιλέγειν ». Θεοδώρητος.

ἀγόρευε κακῶς· τὸ γὰρ στόμα ἡμῶν καθόλου καθαρὸν εἶναι λοιδορίας χρή. Σὺ γάρ, φησι, τί κρίνεις τὸν ἀδελφόν; τί παρασπᾷς τὴν κρίσιν τοῦ θεοῦ; *Βλασφημίαν* γὰρ, τὴν πρὸς τὸν ἀδελφὸν λοιδορίαν λέγει. *Πρᾳότητα πρὸς πάντας.*] Καὶ Ἰουδαίους καὶ Ἕλληνας, καὶ φίλους καὶ ἐχθροὺς, καὶ εὐνοοῦντας καὶ ἐπηρεάζοντας.

3 Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοὶ,
4 μισοῦντες ἀλλήλους. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ
5 φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων, τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος
6 ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ
7 Χριστοῦ, τοῦ σωτῆρος ἡμῶν, ἵνα, δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

Η*μεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι.*] Ἐν μὲν τῇ πρὸς Κορινθίους ἀπὸ τῶν μελλόντων φοβεῖ, ὥστε μὴ κρίνειν, λέγων· *Ὁ δοκῶν ἑστάναι, βλεπέτω, μὴ πέσῃ* (α). Ἐνταῦθα δὲ, ἀπὸ τῶν παρελθόντων σωφρονεστέρους ποιεῖ, λέγων· Μηδενὶ ὀνειδείσῃς· καὶ γὰρ καὶ ἡμεῖς ποτε κακοὶ ἦμεν, μὴ ὅτι καὶ ἐσμέν. Ὁπότε οὖν καὶ σὺ ἦσθα τοιοῦτος, καὶ χάριτι Χριστοῦ ἐσώθης, καὶ οὐκ ἐξ οἰκείων κατορθωμάτων, πῶς τολμᾷς ἄλλῳ ὀνειδίσαι; Πότε δὲ ἦμεν τοιοῦτοι; Ὅτε ἦμεν ἐν πλάνῃ, ὅτε εἰδώλοις προσεκυνοῦμεν. Δῆλον γὰρ, ὅπως διάγουσιν Ἕλληνες ἀσεβῶς. Μοιχεῖαι γὰρ παρ' αὐτοῖς, πορνεῖαι, φόνοι, παννυχίδες αἰσχραί· καὶ ταῦτα ὡς εἰς τιμὴν θεῶν ἐπιτελοῦσιν! *Ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες.*] Τουτέστι, μνησικακίᾳ καὶ φθόνῳ διατρίβοντες ἀεὶ, καὶ οἷον βίον ταῦτα ἔχοντες. *Στυ-*

(α) Α' Κορ. Ι', 12.

γητοί, μισοῦντες ἀλλήλους.] Ὅταν γάρ τις εἰς ἄκρον ἔλθῃ κακίας, πάντας μισεῖ· εἰκότως οὖν καὶ παρὰ πάντων μισεῖται (1). *Καὶ ἡ φιλανθρωπία ἐπεφάνη.*] Διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ. *Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ.*] Οὐκ ἐπειδή, φησιν, ἡμεῖς οὕτως εὐσεβῶς ἐζῶμεν, ὥστε προτρέψασθαι αὐτὸν ἐνανθρωπῆσαι· ἀλλ' ὅτι αὐτὸς ἀναξίους ἡμᾶς ὄντας, ἐλεῆσαι ἠβουλήθη. *Ὧν ἐποιήσαμεν ἡμεῖς.*] Οὐ γὰρ ἐποιήσαμεν. *Ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς.*] Οὔτε ἐποιήσαμεν ἔργα δικαιοσύνης, οὔτε ἐσώθημεν ἐκ τούτων· ἀλλὰ τὸ πᾶν ἡ ἀγαθότης αὐτοῦ ἐποίησεν. *Διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου.*] Ὢ τοῦ θαύματος! Οὕτως ἦμεν ἐν τῇ κακίᾳ βεβαπτισμένοι, ὡς μηδὲ δύνασθαι καθαρθῆναι, ἀλλ' ἀναγεννήσεως δεηθῆναι· τοῦτο γὰρ ἡ *παλιγγενεσία* καὶ *ἀνακαίνωσις*, ἡ δευτέρα γέννησις καὶ νέα πλάσις. Ὥσπερ γὰρ οἰκίαν παμπάλαιον οὐχ ὑποστηρίζομεν, ἀλλὰ μέχρι τῶν θεμελίων καθαιροῦντες, ἐκ καινῆς κτίζομεν· οὕτω καὶ ὁ θεὸς, οὐκ ἐπεσκεύασεν ἡμᾶς, ἀλλ' ἄνωθεν κατεσκεύασε. Πῶς; Διὰ πνεύματος ἁγίου. Ἵνα γὰρ μὴ ζητῇς τὸν τρόπον, τὸ πνεῦμά, φησι, κατώρθωσε τὸ πᾶν. Ποῖον Πνεῦμα; *Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς*, φησι, *πλουσίως διὰ Ἰησοῦ Χριστοῦ.* Οὐ μόνον γὰρ δι αὐτοῦ ἀνέπλασεν, ἀλλὰ καὶ δαψιλῶς τοῦτο μετέδωκεν, ἵνα κἀκεῖνο διὰ τούτου δειχθῇ. Καὶ εἰκότως· ἐπειδὴ γὰρ ἐκαθάρισε, τότε καὶ τοῦ Πνεύματος ἐπλήρωσεν ἡμᾶς ἀφθόνως· τοῦτο γὰρ τὸ, *ἐξέχεεν*· εἰς γὰρ ἀκαθάρτους οὐκ εἰσέρχεται τὸ καθαρόν. Ταῦτα δὲ *διὰ Ἰησοῦ Χριστοῦ* ἐγένετο· αὐτὸς γὰρ ἡμῖν μεσίτης καὶ πρόξενος πάντων τῶν ἀγαθῶν· *Ἵνα, δικαιωθέντες τῇ ἐκείνου χάριτι,*

(1) «Ἀναμνησθῶμεν τῆς προτέρας ἡμῶν ἀναστροφῆς· λογισώμεθα, πόσοις κακοῖς ὑπεκείμεθα· καὶ ὅτι τοιούτους ὄντας, τῆς σωτηρίας ἠξίωσεν ὁ τῶν ὅλων θεός. Φέρωμεν τοίνυν καὶ ἡμεῖς τῶν ἔτι πλανωμένων τὴν μοχθηρίαν. Ἑαυτὸν μέντοι συνέταξεν ὁ θεῖος ἀπόστολος, οὐχ ὡς ἅπασι τοῖς ἐγκλήμασιν ὑποκείμενον, ἀλλ' ὡς διώκτην γεγενημένον. Οὐδὲ γὰρ τοῖς ἄλλοις πᾶσι πάντες ὑπέκειντο· ἀλλ' οἱ μὲν τόδε ἦσαν, οἱ δὲ τόδε· ἀλλ' ὅμως τῆς σωτηρίας ἀπήλαυσαν.» Θεοδώρητος.

κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.] Πολλῆς, φησὶν, ἐδεόμεθα χάριτος πνευματικῆς, ἵνα μὴ μόνον δικαιωθῶμεν τῶν πάλαι ἁμαρτιῶν, ἀλλὰ καὶ κληρονόμοι γενώμεθα ζωῆς αἰωνίου, τῆς νῦν ἐν ἐλπίδι οὔσης ἡμῖν. Ἢ οὕτω· κληρονόμοι γενώμεθα τῆς αἰωνίου ζωῆς, καθὼς καὶ ἐλπίζομεν (1).

8 Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε
διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι, καλῶν ἔργων προΐ-
στασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. Ταῦτά ἐστι τὰ
9 καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις· μωρὰς δὲ ζη-
τήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας
νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι.

Ἐπειδὴ περὶ μελλόντων ἐλάλησε, καὶ τοῖς πολλοῖς ἀδήλων, τὸ ἀξιόπιστον τῷ λόγῳ προστιθέμενος, ἐπάγει· *Πιστὸς ὁ λόγος*, τουτέστιν, ἀληθὴς, καὶ πάντως ἐκβησόμενος. Ὡς εἰ ἔλεγε· Δῆλον ἀπὸ τῶν προλαβόντων· ὁ γὰρ τοσαῦτα δοὺς, καὶ ταῦτα δώσει. *Καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι.*] Καὶ περὶ τῶν ἄνω εἰρημένων, καὶ περὶ τούτων. Ποίων; *Ἵνα φροντίζωσί*, φησι, *καλῶν ἔργων προΐστασθαι*, τουτέστιν, Ἵνα ἔργον καὶ σπούδασμα διηνεκὲς ἔχωσι, βοηθεῖν τοῖς ἀδικουμένοις· χηρῶν, ὀρφανῶν, καταπονουμένων, ἐπιδεομένων, μὴ χρήμασι μόνον, ἀλλὰ καὶ σπουδῇ προνοεῖσθαι· τοῦτο γὰρ δηλοῖ τὸ, *καλῶν ἔργων* προΐστασθαι (2). *Ταῦτά ἐστι τὰ καλά.*] Ἡ φροντὶς καὶ ἡ προστασία ἔργων καλῶν· ἢ αὐτὰ τὰ καλὰ ἔργα (3). *Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας.*] Τὸ, *γενεαλογίας*, ἢ περὶ Ἑλλήνων φησὶν, οἳ τοὺς θεοὺς αὐτῶν γενεαλο-

(1) « Πάλιν, χάριτι, λέγει, οὐκ ὀφειλῇ. Τοῦτο δὲ καὶ ταπεινοφροσύνην διδάσκει· οὐ γὰρ αὐτοί τι κατωρθώσαμεν· καὶ εὐέλπιδας ποιεῖ περὶ τῶν μελλόντων. Εἰ γὰρ οὕτως ἀπεγνωσμένους χάριτι ἔσωσε· πολλῷ μᾶλλον δικαιωθεῖσι τὰ μέλλοντα δώσει. Ἵνα, φησί, κληρονόμοι γενώμεθα ζωῆς αἰωνίου, καθὰ καὶ ἐλπίζομεν. Ἢ, ὅτι ἤδη κληρονόμοι ἐσμὲν, ὅσον γε τῇ ἐλπίδι. » Θεοφύλακτος.

(2) « Οὐκ ἀρκεῖ γὰρ ἡ πίστις πρὸς σωτηρίαν, ἀγαθῶν ἔργων γεγυμνωμένης. » Θεοδώρητος. (3) « Τὸ πιστεύειν τῷ Θεῷ, καὶ κατὰ τοὺς αὐτοῦ πολιτεύεσθαι νόμους. » Θεοδώρητος.

γοῦσιν, ὁ δεῖνα, λέγοντες, ἐγέννησε τόνδε· ἢ περὶ Ἰουδαίων, τῶν μηδὲν μὲν κατορθούντων, ἐπὶ τὰ γένη δὲ καταφευγόντων, καὶ ἐξ αὐτῶν μέγα φρονούντων. Ὁ Ἀβραὰμ, φασὶ, καὶ ὁ Ἰσαὰκ, καὶ ὁ Ἰακὼβ πρόγονοι ἡμῶν. *Μωρὰς δὲ*, τὰς οἷον ἀνωφελεῖς. Τί γὰρ ὄφελος τῷ ἁμαρτάνοντι ἔχειν πατέρα τὸν Ἀβραάμ; βλάβη μέντοι, ὅτι ἐκ τούτων ὁρμώμενοι, ἀδόκιμοι γεγόνασι. *Περιΐστασο*.] Οἷον, παραιτοῦ. Οὐδὲ γὰρ δεῖ, ἀφιέναι τὰ ἀναγκαῖα ἔργα, καὶ δαπανᾷν τὸν καιρὸν εἰς ματαιολογίας καὶ μάχας ἀκερδεῖς. Τί γὰρ κέρδος, μάχεσθαι, ἔνθα οὐ μέλλει τις αἰχμαλωτισθῆναι εἰς Χριστόν; Πῶς οὖν αὐτῷ ἀνωτέρω κελεύει τοὺς ἀντιλέγοντας ἐπιστομίζειν, εἰ ὅλως ὑποστέλλεσθαι αὐτῶν χρὴ καὶ παραιτεῖσθαι; Καὶ φαμὲν, ὅτι τοὺς ἐπὶ λύμη τινῶν διδάσκοντας, ἐπιστομίζειν χρή· ὅταν δὲ πρὸς σὲ μάχωνται οὐ περὶ δογμάτων, περιΐστασθαι καὶ παραιτεῖσθαι χρή. *Εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι*.] Οὐδὲν γάρ, φησιν, ἕξουσι πέρας χρηστόν.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Παραινέσεις περὶ τοῦ ἐκκλίνειν τοὺς αἱρετικοὺς ζητητάς.

10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νου-
11 θεσίαν παραιτοῦ· εἰδὼς, ὅτι ἐξέστραπται ὁ τοιοῦ-
12 τος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος. Ὅταν
πέμψω Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικὸν, σπούδασον
ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα
13 παραχειμάσαι. Ζηνᾶν, τὸν νομικὸν, καὶ Ἀπολλὼ
σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.
14 Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι, καλῶν ἔργων
προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ

15 ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

Καίτοι ἀλλαχοῦ φησι, *Μή ποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν* (α). Πῶς οὖν ὧδε, παραιτεῖσθαι κελεύει; Ἐκεῖ μὲν περὶ τῶν ἐλπίδα ἐχόντων διορθώσεως λέγει· ὧδε δὲ, περὶ τῶν ἀνίατα νοσούντων. *Ὢν αὐτοκατάκριτος.*] Οὔτε γὰρ ἔχει πρὸς ἀπολογίαν προβάλλεσθαι, ὅτι οὐδείς μοι εἶπεν, οὐδείς μοι παρῄνεσεν, οὐδείς με ἐδίδαξεν. Ὅταν οὖν μετὰ τὴν παραίνεσιν τοῖς αὐτοῖς ἐπιμένῃ, αὐτοκατάκριτός ἐστι. Τὸ δὲ, *αὐτοκατάκριτος*, ἢ ἀναπολόγητός ἐστιν, ἢ αὐτὸς ἀφ' ἑαυτοῦ καὶ *τῆς οἰκείας* συνειδήσεως κατακρινόμενος (1). *Σπούδασον ἐλθεῖν πρός με.*] Τί δή ποτε ἐπιστήσας αὐτὸν τῇ Κρήτῃ, πάλιν καλεῖ πρὸς ἑαυτόν; Ἵνα πλέον ῥυθμίσῃ, καὶ τὰ πρακτέα συμβουλεύσῃ. Ἡ δὲ Νικόπολις, τῆς Θρᾴκης ἐστὶ πόλις.—Τῆς Θρᾴκης ἐστὶν ἡ Νικόπολις, τῇ δὲ Μακεδονίᾳ πελάζει. Δῆλον τοίνυν ὡς κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ διέτριβεν, ἔγραψε τὴν ἐπιστολήν (Θεοδωρήτου.)—*Ζηνᾶν, τὸν νομικόν.*] Τὸν τῶν Ἰουδαϊκῶν νόμων ἔμπειρον· τοιοῦτος γὰρ ὁ Ζηνᾶς· ὁ δὲ Ἀπολλὼς οὗτος, μέγας τις ἦν καὶ λόγιος καὶ δυνατὸς ἐν ταῖς Γραφαῖς (β). Οὔπω δὲ ἦσαν οὗτοι ἐγχειρισθέντες ἐκκλησίας. *Ἵνα μηδὲν αὐτοῖς λείπῃ.*] Ἐν πάσῃ ἀφθονίᾳ τῶν ἀναγκαίων κατάστησον αὐτοὺς, τροφῆς ἴσως καὶ ἐνδυμάτων. *Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι.*] Ἢ περὶ διδασκαλίας λέγει, ἢ περὶ μεταδόσεως· ὡς εἰ εἶπεν· Αὐτοὶ πρὸς τοὺς δεομένους φιλάνθρωπον ὁράτωσαν, καὶ ἐπισπάσθωσαν αὐτοὺς, κἄν τε διδασκαλίας δέωνται, κἄν τε ἀναγκαίων (2). *Ἵνα μὴ ὦσιν ἄκαρ-*

(α) Β' Τιμ. Β', 25. (1) «Ὅταν δὶς καὶ τρὶς τοῖς τὰ ἐναντία διδάσκειν ἐπιχειροῦσι τὴν προσήκουσαν προσενέγκῃς διδασκαλίαν, εἶτα τοῖς πονηροῖς δόγμασιν ἐπιμένοντας ἴδῃς, μηκέτι τὰς πρὸς αὐτοὺς διαλέξεις ποιοῦ· ἀνόνητος γὰρ ὁ πόνος.» Θεοδώρητος. (β) Πραξ. ΙΗ, 24.

(2) «Ὡσανεὶ τοῦτο φησίν· Ἐνῆν μοι καὶ ἑτέρως ἀνενδεεῖς ποιῆσαι τοὺς ῥηθέντας, ἀλλ' οὐ βούλομαι, ὡς ἂν οἱ ἡμέτεροι, τουτέστιν, οἱ περὶ σὲ, μάθωσιν ἐκ

ποι.] Αὐτοὺς γὰρ μᾶλλον τοὺς διδόντας, ἢ τοὺς λαμβάνοντας ὠφελεῖν βούλεται. *Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει.*] Ἢ τοὺς αὐτὸν πιστῶς καὶ ἀδόλως φιλοῦντας λέγει, ἢ καθόλου τοὺς ἀγαπῶντας αὐτὸν πιστοὺς, ἤτοι, χριστιανούς. Ἢ, *ἐν πίστει*, οἷον διὰ τῆς πίστεως. *Ἡ χάρις μετὰ πάντων ὑμῶν.*] Ἐπεύχεται, φυλάττεσθαι αὐτοῖς τὴν δωρεὰν τοῦ θεοῦ, ἢ ἵνα ἡ φιλανθρωπία τοῦ θεοῦ μετ' αὐτῶν ἀεὶ ᾖ, χάριτι αὐτοὺς τηροῦσα· ἢ καὶ μεθ' ἡμῶν εἴη, τῶν μάλιστα δεομένων αὐτῆς, καὶ φρουροίη καὶ ψυχὰς ἡμῶν καὶ σώματα ἐν ἁγίῳ Πνεύματι· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

τοῦ τούτους ἐφοδιάσαι, καλῶν ἔργων προΐστασθαι, τουτέστι, κήδεσθαι τῶν δεομένων, καὶ ἐν χρήμασι, καὶ ἐν ῥήμασι, καὶ πᾶσι τρόποις· οὐχ ἵνα οἱ δεόμενοι κερδάνωσιν ἐκ τούτων, ἀλλ' ἵνα αὐτοὶ καρποὺς ἔχωσιν ἐκ τῆς πρὸς τοὺς ὁμογενεῖς φιλανθρωπίας.» Θεοφύλακτος.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΣ.

Ἡ πρὸς Τίτον, τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐπιστολὴ ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας.

Η
ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ
ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ
ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ
ΕΠΙΣΤΟΛΗΣ.

Ταυτην ἐπιστέλλει ἀπὸ Ῥώμης· ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ὀνήσιμος, ὁ οἰκέτης Φιλήμονος, ἔφυγε· καὶ ἀπελθὼν πρὸς τὸν ἀπόστολον, κατηχήθη παρ' αὐτοῦ, καὶ γέγονεν αὐτῷ χρήσιμος εἰς διακονίαν. Περὶ τούτου τοίνυν γράφει Φιλήμονι, παρατιθέμενος αὐτῷ τὸν Ὀνήσιμον, ἵνα προσέχῃ αὐτῷ γνησίως, καὶ μηκέτι ἔχῃ αὐτὸν ὡς δοῦλον, ἀλλ' ὡς ἀδελφόν· Προετρέψατο δὲ αὐτὸν καὶ ξενίαν αὐτῷ ἑτοιμάσαι, ἵνα, ἐὰν ἔλθῃ, εὕρῃ ποῦ μείνῃ. Καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Ἰςέον δὲ, ὅτι οὗτος ὁ Ὀνήσιμος καὶ μαρτυρίου ἠξιώθη ἐν τῇ Ῥωμαίων πόλει, Τερτύλλου τὸ τηνικαῦτα τὴν ἔπαρχον ἐξουσίαν διέποντος, τῇ τῶν σκελῶν κλάσει τὴν ψῆφον ὑπομείνας τοῦ μαρτυρίου.

ΑΛΛΗ.

Ο Φιλήμων θαυμάσιός τις ἦν ἀνὴρ, Φρὺξ μὲν τὸ γένος, πόλιν δὲ εἶχε τὰς Κολοσσὰς, πιστὸς δὲ τὸν τρόπον, καὶ ταῖς χρείαις τῶν ἁγίων κοινωνῶν. Τούτου δοῦλος Ὀνήσιμος ἀπέδρα, κεκλοφὼς αὐτόν. Ὃς, παραγενόμενος ἐν Ῥώμῃ πρὸς τὸν Παῦλον, κατηχήθη παρ' αὐτοῦ, καὶ βαπτισθεὶς, ἐν δεσμοῖς ὄντος τοῦ Παύλου, θαυμάσιος γέγονε. Τοῦτον ἀποπέμπει πρὸς τὸν Φι-

λήμονα, παραθετικὴν αὐτῷ ταύτην ποιήσας τὴν ἐπιστολήν. Φασὶ δέ τινες, μὴ χρῆναι ταύτην συναριθμεῖσθαι ταῖς λοιπαῖς ἐπιστολαῖς, ὑπὲρ εὐτελοῦς γραφεῖσαν πράγματος. Ἀλλ' ὅρα, πόσα ἐκ ταύτης τὰ χρήσιμα! Πρῶτον, παιδεύει καὶ ὑπὲρ εὐτελῶν εἶναι σπουδαίους. Δεύτερον, ὅτι, εἰ δοῦλος οὕτως ἰταμὸς ἐπέστρεψεν, οὐ δεῖ τῶν ἐλευθέρων ἀπογινώσκειν. Τρίτον, ὅτι οὐ προσήκει, προφάσει εὐλαβείας, δούλους ἀποσπᾶν, ἀκόντων τῶν δεσποτῶν. Τέταρτον· ὅτι οὐ χρὴ ἡμᾶς τοὺς δούλους ἐπαισχύνεσθαι ἐναρέτους ὄντας, ὁπότε Παῦλος τέκνον καλεῖ τὸν Ὀνήσιμον. Πῶς οὖν τὴν τοσαύτην ὠφέλειαν ἔχουσαν ἐπιστολὴν, οὐκ ἔδει συγκαταριθμεῖσθαι ταῖς λοιπαῖς;

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

ΕΠΙΣΤΟΛΗ

ΠΡΟΟΙΜΙΟΝ.

1 ΠΑΥΛΟΣ, δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος,
ὁ ἀδελφὸς, Φιλήμονι, τῷ ἀγαπητῷ καὶ συνεργῷ
2 ἡμῶν, καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συ-
στρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ·
3 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, πατρὸς ἡμῶν, καὶ
Κυρίου Ἰησοῦ Χριστοῦ.

Παῦλος, δέσμιος.] Εὐθέως ἐκ προοιμίων παιδεύει τὸν δεσπότην, μὴ ἐπαισχύνεσθαι τὸν δοῦλον, σύνδουλον νῦν γεγονότα. Πάντα γὰρ διὰ τὸν Χριστὸν καλὰ, καὶ τὰ δεσμὰ, οἷς καὶ αὐτὸς χαίρει, ὥστε καὶ ὀνομάζεσθαι ἀπ' αὐτῶν. Ἅμα δὲ καὶ δυσωπεῖ, δεικνὺς, ὅτι δίκαιον τῷ διὰ Χριστὸν δεσμίῳ δοθῆναι τὴν χάριν. *Καὶ Τιμόθεος, ὁ ἀδελφός.*] Συμπαραλαμβάνει τῆς ἱκεσίας κοινωνὸν καὶ τὸν Τιμόθεον, ἵνα τὴν τῶν πλειόνων ἱκεσίαν δυσωπηθῇ. *Φιλήμονι, τῷ ἀγαπητῷ.*] Εἰ ἀγαπητὸς, καὶ δώσει τὴν χάριν· εἰ συνεργὸς, οὐ καθέξει τὸν δοῦλον, ἀλλὰ πάλιν ἀποστελεῖ αὐτὸν πρὸς ὑπηρεσίαν τοῦ κηρύγματος, οὗ καὶ αὐτὸς ἐργάτης ἐστί. Καὶ γὰρ καὶ τὸ ἔργον τοῦ δεσπότου Φιλήμονος ἀναπληρώσει, ἀποδοθεὶς ὁ Ὀνήσιμος. *Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ.*] Ἴσως ἡ Ἀπφία γαμετὴ ἦν τοῦ Φιλήμονος, καὶ Ἄρχιππος φίλος (1). *Τῷ συστρατιώτῃ ἡμῶν.*] Εἰ συ-

(1) « Ὁ δὲ Ἄρχιππος τὴν διδασκαλίαν αὐτῶν ἐπεπίστευτο. » Θεοδώρητος.

στρατιώτης, καὶ ἐν τούτῳ ἀγωνιεῖται. Οὗτος δὲ ἦν, περὶ οὗ γράφει Κολοσσαεῦσιν· *Εἴπατε Ἀρχίππῳ· Βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ* (α). *Καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ.*] *Ἐκκλησίαν*, πάντας τοὺς ἐν τῇ οἰκίᾳ πιστοὺς λέγει, συμπαραλαβὼν καὶ δούλους. Ὅρα δὲ ταπεινοφροσύνην, ὅπως καὶ τούτους παρακαλεῖ, συλλαβέσθαι αὐτῷ τῆς ἱκεσίας (1)! *Χάρις ὑμῖν.*] Πῶς δὲ ἔσται ἡ χάρις τοῦ θεοῦ ἐν ὑμῖν; Ἐὰν καὶ ὑμεῖς τοῖς ὀφειλέταις χαρίσησθε. Πῶς δὲ ἡ εἰρήνη; Ἐὰν καὶ ὑμεῖς καταλλαγῆτε τῷ δούλῳ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἔπαινος Φιλήμονος, καὶ εὐχαριστία ὑπὲρ αὐτοῦ.

4 Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε, μνείαν σου ποι-
5 ούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου τὴν
ἀγάπην καὶ τὴν πίστιν, ἣν ἔχεις πρὸς τὸν Κύ-
6 ριον Ἰησοῦν, καὶ εἰς πάντας τοὺς ἁγίους· ὅπως
ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται, ἐν
ἐπιγνώσει παντὸς ἀγαθοῦ, τοῦ ἐν ἡμῖν, εἰς Χρι-
7 στὸν Ἰησοῦν. Χαρὰν (2) γὰρ ἔχομεν πολλὴν καὶ
παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα
8 τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ. Διὸ πολ-
λὴν ἐν Χριστῷ παῤῥησίαν ἔχων ἐπιτάσσειν σοι τὸ
9 ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοι-
οῦτος ὤν, ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέ-
σμιος Ἰησοῦ Χριστοῦ·

Εὐχαριστῶ τῷ θεῷ πάντοτε, μνείαν σου ποιούμενος.] Ὁσάκις, φησὶ, μνείαν σου ποιήσωμαι· (ἀεὶ δὲ μνείαν σου ποιοῦμαι

(α) Κολοσ. Δ', 17. (1) « Πρὸς δὲ τούτοις καὶ πᾶσαν τὴν οἰκίαν, ἣν ἐκκλησίαν ὠνόμασεν, ὡς εὐσεβείᾳ λαμπρυνομένην· ἵνα καὶ οἱ οἰκέται, τῆς ἀποστολικῆς ἀξιωθέντες τιμῆς, συνεργοὶ τῆς παρακλήσεως γένωνται. » Θεοδώρητος.
(2) Παρ' ἄλλοις, χάριν.

ἐν ταῖς προσευχαῖς μου·) τοσαυτάκις εὐχαριστῷ τῷ θεῷ ὑπὲρ σοῦ. Διὰ τί; *Ἀκούων σου*, φησί, *τὴν ἀγάπην καὶ τὴν πίστιν.*] Εἰ μὴ μεγίστη ἦν ἡ ἀγάπη καὶ ἡ πίστις αὐτοῦ, οὐκ ἂν ἀπὸ Φρυγίας εἰς Ῥώμην ἠκούετο. Ἐπεὶ οὖν πάντας τοὺς *ἁγίους*, ἤτοι, τοὺς πιστοὺς, ἀγαπᾷς, ὀφείλεις καὶ τὸν Ὀνήσιμον ἀγαπῆσαι· (πιστὸς γάρ ἐστι·) ἵνα καὶ τὸν Κύριον φανῇς ἀγαπῶν. *Ὅπως ἡ κοινωνία τῆς πίστεως.*] Συνάπτει τὸν Φιλήμονα πρὸς ἑαυτὸν, ὡς εἰ ἔλεγεν· Ἡ κοινή σοί τε καὶ ἡμῖν πίστις, καὶ ἡ ἑνοποιός. Τίνος δὲ ἕνεκεν εὐχαριστεῖς τῷ θεῷ; *Ὅπως*, φησὶν, *ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται.* Πῶς δὲ ἔσται ἐνεργὴς καὶ ἔμπρακτος, καὶ οἷον ζῶσα ἡ πίστις σου. *Ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ·* ἤτοι, διὰ τοῦ ἐπιγνῶναί σε, καὶ πράττειν πᾶν ἀγαθὸν, ἐν τῷ ἅπαν εἶδος ἀρετῆς ἐπέρχεσθαι. Τότε γὰρ ἡ πίστις ἐνεργής ἐστι, καὶ οἷον ζῇ, ὅταν πᾶν ἀγαθὸν ἔργον μετερχώμεθα, ὥσπερ καὶ νεκρά ἐστι, χωρὶς ἔργων οὖσα. Τὸ δὲ, *τοῦ ἐν ὑμῖν*, ἀντὶ τοῦ, τοῦ ὄντος καὶ νῦν ἐν ὑμῖν. Δείκνυσι δὲ διὰ τούτου ὁ θεῖος Παῦλος, ὅτι ὁ Φιλήμων καὶ νῦν πᾶν ἀγαθὸν ἐν ἑαυτῷ ἔχει. *Εἰς Χριστὸν Ἰησοῦν.*] Ὁ γὰρ ποιῶν τοῖς δεομένοις ἀγαθὸν, καὶ μάλιστα ἁγίοις, Χριστῷ ποιεῖ (1)· ὥστε καὶ νῦν εἰ τὸν Ὀνήσιμον δέξῃ, καὶ χάριν ἐμοὶ ταύτην καταθήσεις, Χριστῷ δίδως αὐτήν. *Χαρὰν γὰρ ἔχομεν πολλήν.*] Οὐ μόνον, φησὶν, ἡδόμεθα· ἀλλὰ τοσαύτη ἡ ἡδονὴ, ὥστε καὶ παράκλησιν ἡμῖν μεγίστην ἐν τοῖς δεσμοῖς ἐμποιεῖν *ἐπὶ τῇ ἀγάπῃ σου*, ὅπερ ἐστὶ, τῇ φιλανθρώπῳ καὶ μεταδοτικῇ σου προαιρέσει. *Ὅτι τὰ σπλάγχνα τῶν ἁγίων.*] Ὅρα! Θέλων εἰπεῖν· Εἰ ἄλλοις παρέχεις χάριτας, πολλῷ μᾶλλον ἐμοὶ παράσχῃς· οὕτω μὲν οὐ λέγει· ἄλλως δὲ εὐφυεστέρως. Οἶδε γὰρ τὴν μνήμην τῶν πρὸς ἄλλους εὐεργεσιῶν, πειθηνίους μᾶλλον ποιοῦσαν τοὺς παρακαλουμένους. *Ἀναπέπαυται διὰ σοῦ.*] Ἀναπαύονται γάρ,

---

(1) Ματθ. ΚΕ', 40, 45.

φησιν, ἐπὶ τῇ σῇ ἀγάπῃ. *Διὸ πολλήν.*] Ἐπειδὴ, φησὶ, τοιοῦτος εἶ πρὸς πάντας τοὺς ἁγίους, ὥστε καὶ ἀναπαύειν αὐτῶν τὰς καρδίας, *παῤῥησίαν ἔχω ἐπιτάσσειν σοι ἐν Χριστῷ*, τουτέστι, διὰ τὸν Χριστόν· ἐπιτάσσειν δέ σοι πρᾶγμα πρέπον· τοῦτο γὰρ *τὸ ἀνῆκον*. *Ἐπιτάσσειν* δὲ εἶπον, οὐκ ἐπειδὴ ἄρχω σου, ἀλλὰ διὰ τὴν ἀγάπην, ἣν ἀγαπῶ σε, καὶ ἀγαπῶμαι ὑπὸ σοῦ, ἐπιτάσσειν μὲν δοκῶ, οὐκ ἐπιτάσσω δέ. Εἰ γὰρ καὶ φαίνωμαι ἐπιτάσσειν σοι, δι' ἀγάπην οὐκ ἐπιτάσσω, παρακαλῶ δὲ μᾶλλον. Οὕτω περὶ πολλοῦ τὸ πρᾶγμα ποιοῦμαι (1). *Τοιοῦτος ὢν, ὡς Παῦλος πρεσβύτης.*] Παρακαλῶ δὲ, τοιοῦτός τις ὑπάρχων, οἷός τις ὤφειλεν εἶναι πρὸς τὸ πεῖσαι. *Παῦλος.*] Ἤρκει δὲ αὐτὸ τοῦτο μόνον πρὸς τὸ πεῖσαι (2)· *Νυνὶ δὲ καὶ δέσμιος* ὑπὲρ Χριστοῦ. Ὁρᾷς, ὅσαι πρὸς τὸ πεῖσαι ἀφορμαί (3);

ΚΕΦΑΛΑΙΟΝ Β'.

Σύστασις Ὀνησίμου, φυγάδος οἰκέτου, καὶ παράκλησις ὑπὲρ αὐτοῦ, σωθέντος διὰ πίστεως.

10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα
11 ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον, τὸν ποτέ σοι
ἄχρηστον, νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέ-
12 πεμψα· σὺ δὲ αὐτὸν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα,

(1) «Δυνάμενός, φησι, θαῤῥεῖν σοι, ὡς θερμῶς πεπιστευκότι, καὶ διδασκαλικῶς κελεύειν, τοῦτο μὲν οὐ ποιῶ· παράκλησιν δὲ προσφέρω». Θεοδώρητος.

(2) «Βλέπε, τίς ὁ αἰτῶν· ἀρκεῖ δὲ ἡ τοῦ ὀνόματος μνήμη καταιδέσαι καὶ τὸν λίαν ἀντίτυπον· ὁ γὰρ Παῦλον ἀκούσας, τῆς οἰκουμένης ἀκούει τὸν κήρυκα, γῆς καὶ θαλάσσης τὸν γεωργὸν, τῆς ἐκλογῆς τὸ σκεῦος, καὶ τἄλλα, ἃ μυρίων δεῖται γλωσσῶν εἰς διήγησιν. Προσέθηκε δὲ καὶ τὸ, πρεσβύτης, ἐπιδεικνὺς πολιὰν ἐν πόνοις βλαστήσασαν, καὶ ταύτῃ τὸν λόγον ἀξιοπιστότερον ἐργαζόμενος.» Θεοδώρητος.

(3) «Αἰδέσθητι Παῦλον, αἰδέσθητί μου τὸ γῆρας, αἰδέσθητι τὰ δεσμὰ, ἅπερ ὡς κήρυξ τῆς ἀληθείας περίκειμαι». Θεοδώρητος.

13 προσλαβοῦ. Ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κα-
τέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς
14 τοῦ εὐαγγελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν
ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγα-
θόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.

Παρακαλῶ οὖν σε περὶ τοῦ ἐμοῦ τέκνου.] Προκαταλεαίνει τὸν Φιλήμονα, ἐγκωμιάζων τὸν οἰκέτην, *τέκνον* αὐτὸν καλῶν. Διατί δὲ αὐτὸν οὕτω καλεῖ; Ὅτι αὐτὸν κατήχησά, φησι, καὶ ἐβάπτισα· τοῦτο γὰρ τὸ, *ἐγέννησα*· ἐν τοῖς δεσμοῖς ὑπάρχων. Διὰ τούτων οὖν προκαταστείλας τὸν θυμὸν αὐτοῦ, οὕτως ἐξονομάζει τὸ ὄνομα. *Ὀνήσιμόν*, φησι, *τόν ποτέ σοι ἄχρηστον*. Οἶδε γὰρ, ὅτι ὁμολογούμενον τὸ ἁμάρτημα σβεννύει τὸν θυμὸν τοῦ δεσπότου. *Νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον.*] Διότι εὐλαβὴς καὶ ἅγιος γέγονεν, ἀμφοτέροις, φησὶν, ἐστὶν εὔχρηστος. Εἰ γὰρ Παύλῳ, τῷ τοσαύτην ἀκρίβειαν ἀπαιτοῦντι, εὔχρηστος, δῆλον ὅτι καὶ τῷ Φιλήμονι. *Ὃν ἀνέπεμψα.*] Τῷ παραδοῦναι αὐτὸν τῷ δεσπότῃ, μᾶλλον τὸν θυμὸν ἔσβεσεν. *Σὺ δὲ αὐτὸν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ.*] Τί λέγω, *αὐτὸν προσλαβοῦ*; Τοῦτον προσλαμβανόμενος, τὰ ἐμὰ σπλάγχνα προσλήψῃ. Οὕτω γὰρ αὐτὸν ἀγαπῶ, φησι, καὶ ἐν τῇ ψυχῇ περιφέρω, ὡς καὶ σπλάγχνα αὐτὸν καλεῖν. Τὸ δὲ, *προσλαβοῦ*, οἷον, μετὰ ἀγάπης δέξαι. *Ἵνα ὑπὲρ σοῦ διακονῇ μοι.*] Ὁρᾷς, πῶς κατὰ μικρὸν εἰς τὸν τόπον αὐτὸν ἤγαγε τοῦ δεσπότου; *Ἵνα γάρ*, φησιν, *ὑπὲρ σοῦ μοι διακονῇ*. Ἐνταῦθα δὲ δείκνυσιν, ὅτι τὸ τοῦ δεσπότου συμφέρον βούλεται μᾶλλον. Εἰ γὰρ σύ, φησι, χρεωστεῖς διακονεῖν μοι, οὗτος δὲ ἀντὶ σοῦ τοῦτο ποιεῖ, σὸν ὄφελος τὸ γινόμενον. *Ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου.*] Ἐν τοῖς ὑπὲρ τοῦ εὐαγγελίου δεσμοῖς. *Χωρὶς δὲ τῆς σῆς γνώμης.*] Τοῦτο μάλιστα αὐτὸν ἐχαύνου, ὅτι πρᾶγμα, οὕτως ἀναγκαῖον αὐτῷ, παρὰ γνώμην αὐτοῦ οὐκ ἐποίησεν. *Ἵνα μὴ ὡς κατὰ ἀνάγκην.*]

Οὐκ εἶπε, Κατὰ ἀνάγκην, ἀλλ', *Ὡς κατὰ ἀνάγκην*, ὡς εἰ εἶπεν· Ἤδειν, ὅτι καὶ παρὰ γνώμην σου κατέχων αὐτὸν, οὐκ ἐλύπουν σε· ἀλλ' ἵνα μὴ δόξῃ τοῖς πολλοῖς, ὅτι κατὰ ἀνάγκην, οὐκ ἠβουλήθην (1).

15 **Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώ-**
16 **νιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ**
δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοὶ, πόσῳ
17 **δὲ μᾶλλον σοὶ, καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ. Εἰ οὖν**
ἐμὲ ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν, ὡς ἐμέ.
18 **Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει.**
19 **Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ, ἐγὼ ἀποτίσω·**
ἵνα μὴ λέγω σοι, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.
20 **Ναὶ, ἀδελφὲ, ἐγώ σου ὀναίμην ἐν Κυρίῳ· ἀνάπαυ-**
σόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.

Ἐπειδὴ ὁ Ὀνήσιμος ἀπὸ κακούργου γνώμης ἔφυγε, μεταστρέφει ὁ Παῦλος τὴν φυγὴν (1), ἐπὶ τὸ ἀμφίβολον, ὡς εἰ εἶπεν· Τάχα γὰρ κατ' οἰκονομίαν ἔφυγεν. *Διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν.*] Εὐφήμῳ ὀνόματι, τὴν φυγὴν *χωρισμὸν* εἶπεν, ἵνα μὴ τῇ μνήμῃ τῆς φυγῆς παρεγείρῃ τὸν δεσπότην. Εἶτα καὶ τὸν χρόνον συστέλλει, καταπαύων τὴν ὀργήν· *πρὸς ὥραν* γὰρ, λέγει, τοῦ ἔτους δηλαδὴ, τουτέστι, πρὸς βραχὺν χρόνον, ἐχωρίσθη. *Ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς.*] *Ἀπέχῃς*, ἤγουν, ἀπολάβῃς. *Ἀλλ' ὑπὲρ δοῦλον.*] Ὁρᾷς, ὅτι πρὸς πολλὰ ὠφέλησεν ἡ φυγή; Ἀντὶ γὰρ ὥρας φυγῆς, ἔχεις αὐτὸν αἰώνιον·

---

(1) « Σὲ βούλομαι τὸ ἐντεῦθεν προσπορίσασθαι κέρδος, ἵνα τῇ συγκαταθέσει τῆς γνώμης τὴν ὠφέλειαν καρπώσῃ. Καὶ ἐντεῦθεν δῆλον, ὡς Κολοσσαεῦσιν αὐτὸς τὸ σωτήριον προσενήνοχε κήρυγμα· ὡς μαθητῇ γὰρ οἰκείῳ, τῷ Φιλήμονι γράφει. Ἐνταῦθα μὲν γὰρ ὑπὲρ τοῦ Ὀνησίμου παρακαλεῖ· ἐκεῖ δὲ, ὡς γνώμῃ τοῦ Φιλήμονος λαβὼν αὐτὸν, ὑπουργὸν τῷ Τυχικῷ συνέπεμψεν, ὡς τοῦ εὐαγγελίου γενόμενον ὑπουργόν. « Τὰ κατ' ἐμὲ γάρ, φησι, πάντα γνωρίσει ὑμῖν Τυχικός — σὺν Ὀνησίμῳ, τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν, πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε (Κολοσ. Δ', 7—9.).» Δεξάμενος γὰρ ὁ Φιλήμων τὰ γράμματα, ἔπεμψε τῷ ἀποστόλῳ τὸν Ὀνήσιμον· ὁ δὲ τοῦτον σὺν τῷ Τυχικῷ ἀπέστειλε πρὸς τοὺς Κολοσσαεῖς. » Θεοδώρητος.

(1) « Ὡς πρὸς συμφέρον γενομένην. » Θεοφύλακτος.

(ὥρα γὰρ μία ὁ τῆς φυγῆς καιρὸς ὡς πρὸς τὸν αἰῶνα·) καὶ ἀντὶ δούλου ἀχρήστου, χρηστὸν ἀδελφὸν ἀπείληφας. *Πόσῳ δὲ μᾶλλόν σοι.*] Εἰ ἐμοὶ, πολλῷ μᾶλλόν σοι, καὶ ἐν ταῖς κοσμικαῖς ὑπηρεσίαις· τοῦτο γὰρ τὸ, *ἐν σαρκί*· καὶ ἐν ταῖς πνευματικαῖς· τοῦτο γὰρ τὸ, *ἐν Κυρίῳ. Εἰ οὖν ἐμὲ ἔχεις κοινωνόν.*] Τουτέστιν, Εἰ τὰ αὐτά μοι φρονεῖς, καὶ βούλει. *Προσλαβοῦ αὐτὸν ὡς ἐμέ.*] Βαβαὶ τοῦ μεγέθους τοῦ ῥήματος! *Προσλαβοῦ αὐτὸν ὡς ἐμέ!* Ὡς ἐμὲ δέξαι αὐτόν. Τίνα οὐκ ἂν κατεδυσώπησε; Τίς γὰρ οὐκ ἂν ἠθέλησε, Παῦλον προσδέξασθαι (1); *Εἰ δέ τι ἠδίκησέ σε.*] Οὐκ εἶπεν, Ἔκλεψεν, ἀλλ' ὑποτέμνεται τὸ ῥῆμα. *Ἠδίκησε* γάρ, φησι, *ἢ ὀφείλει. Τοῦτο ἐμοὶ ἐλλόγει.*] Εἰκὸς γὰρ ἦν αὐτὸν καταναλῶσαι τὰ κλαπέντα· διό, φησι, *τοῦτο ἐμοὶ ἐλλόγει*· τουτέστιν, ἐμοὶ αὐτὰ λόγισαι εἰς χρέος, ἐμὲ ἔχε ὀφειλέτην. *Ἐγὼ Παῦλος ἔγραψα.*] Χαριέντως ταῦτά φησι, μετὰ χάριτος πνευματικῆς γράφων, καὶ ὡς ἂν εἰ τοῦτο λέγων· Πρὸς ἀσφάλειαν πλείονα, ὅτι ἀποδώσω τὸ χρέος, ἰδιόχειρα πεποίηκα τὰ γράμματα. *Ἵνα μὴ λέγω σοι, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.*] Ἵνα μὴ δόξῃ αὐτὸν ὑβρίζειν, ὅτι οὐκ ἐθάῤῥησεν ὑπὲρ κλοπῆς οἰκέτου ἐν παῤῥησίᾳ αὐτὸν παρακαλέσαι· (τοῦτο γὰρ ὠμόν τινα, καὶ πρὸς τὸν διδάσκαλον ἄσπλαγχνον ἐδείκνυ τὸν Φιλήμονα·) δείκνυσιν, ὅτι καὶ σφόδρα αὐτῷ θαῤῥεῖ. Οὐ μόνον γάρ, φησι, τὰ σαυτοῦ, ἀλλὰ πρὸς τούτοις καὶ σαυτόν μοι προσοφείλεις. *Ναί, ἀδελφέ.*] Ἦλθε πάλιν ἀπὸ τοῦ χαρίεντος ἐπὶ τὸ σπουδαῖον. *Ναί,* φησιν, *ἀδελφέ.* Τί; Προσλαβοῦ αὐτόν. *Ἐγώ σου,* φησὶν, *ὀναίμην,* τουτέστιν, ἀπολαύσαιμι τῶν σῶν χαρίτων, οὐκ ἐν κοσμικοῖς πράγμασιν, ἀλλ' ἐν τοῖς κατὰ Χριστόν.—Τὸ, *Ἐγώ σου ὀναίμην ἐν Κυρίῳ,* ἀντὶ τοῦ, Ἀπολαύσαιμί σου τῶν ἐν Χριστῷ κατορθωμάτων, εἴδοιμί σε πλουτοῦντα ἐν ἅπα-

---

(1) « Τί τῶν λόγων τούτων πιθανώτερον; τί δὲ βιαιότερον; Εἰ λόγου τινός, φησὶν, ἀξιοῖς τὴν ἐμὴν κοινωνίαν, ὡς ἐμὲ δέξαι τὸν δεξάμενον τὴν ξένην μεταβολήν. » Θεοδώρητος.

σι τοῖς πνευματικοῖς ἀγαθοῖς (Θεοδωρήτου).—*Ἀνάπαυσόν μου τὰ σπλάγχνα.*] Ἀνάπαυσόν μου, φησὶ, την περὶ σὲ ἀγάπην, ἢ τὴν καρδίαν μου, διὰ τὸν Χριστόν. Οὐκ ἐμοὶ γὰρ τὴν χάριν δίδως, ἀλλὰ τῷ Χριστῷ.

21 Πεποιθὼς τῇ ὑπακοῇ σου, ἔγραψά σοι, εἰδὼς, ὅτι
22 καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. Ἅμα δὲ καὶ ἑτοίμαζέ
μοι ξενίαν· ἐλπίζω γὰρ, ὅτι διὰ τῶν προσευχῶν
23 ὑμῶν χαρισθήσομαι ὑμῖν. Ἀσπάζονταί σε Ἐπα-
24 φρᾶς, ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, Μάρ-
κος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.
25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ
τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

Πεποιθὼς τῇ ὑπακοῇ σου.] Οὐκ ἐπιτάττων, φησὶν, οὐδὲ αὐθαδιζόμενος, ἔγραψά σοι, ἀλλὰ θαῤῥῶν τῇ ὑπακοῇ σου. Ποῖον σίδηρον ταῦτα οὐκ ἐμάλαξεν; *Εἰδὼς, ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις.*] Τοῦτο εἶπεν, ἐκεῖνον πᾶσι τρόποις ἐνάγων, δέξασθαι τὸν Ὀνήσιμον, εἰ καὶ διὰ μηδὲν ἄλλο, διὰ μέντοι τὸ μὴ διαφθεῖραι τὴν ἑαυτοῦ δόξαν, ἣν εἶχε παρὰ τῷ ἀποστόλῳ. *Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν.*] Ὅπερ ἴσως ἂν ὑπενόησεν ὁ Φιλήμων, ὅτι εἰ μὴ διὰ Ὀνήσιμον, οὐδὲ λόγου με ἠξίου, τοῦτο νῦν θεραπεύει, ὅτι οὐ διὰ Ὀνήσιμον ἔγραψα μόνον· ἀλλὰ καὶ διὰ τοῦτο ἔγραψά, φησιν, ἵνα ἑτοιμάσῃς μοι ξενίαν. Ἔμελλε δὲ καὶ φοβεῖσθαι αὐτὸς, μὴ δεχόμενος τὸν Ὀνήσιμον, ὅτι ἥξει ὁ ἀπόστολος, καὶ γνωσθήσεται παρακουσθείς. *Ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.*] Δύο ταῦτα μανθάνομεν ἐντεῦθεν· ἓν μὲν, ὅτι πολλὴ ἡ τῶν εὐχῶν δύναμις, εἴγε καὶ ὁ τηλικοῦτος Παῦλος δεῖται τῆς ἐκ τούτων βοηθείας· ἕτερον δὲ, ὅτι δεῖ ταπεινοφρονεῖν, εἴγε ὁ Παῦλος τῶν ἐκείνων εὐχῶν ἔχρῃζεν. *Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου.*] Οὗτος παρὰ Κολοσσαέων ἦν ἀποσταλεὶς πρὸς τὸν Παῦλον. Ὥστε εἶναι δῆλον, ὅτι ἀπὸ Κολοσσαέων ἦν ὁ Φιλήμων. *Συναιχμάλωτον* δὲ αὐτὸν καλεῖ, δεικνὺς καὶ αὐτὸν ἐν πολλῇ θλίψει ὄντα.

Ἄλλως δὲ καὶ ἐντρέπει τὸν Φιλήμονα, εἴγε ὁ Ἐπαφρᾶς καὶ συναιχμάλωτος ἦν Παύλῳ· αὐτὸς δὲ μηδὲ τὴν περὶ Ὀνησίμου χάριν παράσχῃ αὐτῷ. *Συναιχμάλωτος δέ ἐστί*, φησιν, οὐ διά τι ἀνθρώπινον, ἀλλὰ διὰ τὸν Χριστὸν Ἰησοῦν, συγκακοπαθῶν ὑπὲρ τοῦ εὐαγγελίου. *Δημᾶς.*] Περὶ τούτου ἔγραψε Τιμοθέῳ· *Δημᾶς με ἐγκατέλιπεν* (α).—Ὁ Δημᾶς τὴν μὲν ἀρχὴν εὐδόκιμος ἦν, ὥσπερ οὖν καὶ ἐνταῦθα μαρτυρεῖται ὡς Παύλου συνεργός· ὕστερον δὲ ῥαθυμήσας, ἀπέστη τοῦ Παύλου, ὥσπερ δὴ καὶ ἐν τῇ πρὸς Τιμόθεον Β′ ἐπιστολῇ γράφει Παῦλος. Ὥστε εἰ μὲν πρώτη ἐστὶν ἡ πρὸς Τιμόθεον ἐπιστολὴ, πάντως νῦν μετέγνω· εἰ δὲ ὑστέρα, μετὰ ταῦτα ἐῤῥαθύμησε. Τινὲς δέ φασι, τοῦτον καὶ εἰς ἑλληνισμὸν πάλιν ἐκλῖναι, ὡς καὶ εἰδώλων γενέσθαι ἱερέα. —*Λουκᾶς.*] Ὁ τελευταῖος ἐνταῦθα ταχθεὶς, γέγονε πρῶτος· ἐν γὰρ τῇ πρὸς Τιμόθεον δευτέρᾳ φησί· *Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ* (ϐ). *Συνεργοὺς* δὲ αὐτοὺς καλεῖ, δεικνὺς, ὅτι καὶ οὗτοι σὺν ἐμοὶ παρακαλοῦσί σε, καὶ ἄξιος ἂν εἴης δοῦναι τοῖς τοσούτοις τὴν χάριν.

Ὁρᾷς, πόσα ὠφελούμεθα ἐκ τῆς ϐραχείας ταύτης καὶ σαφοῦς δοκούσης ἐπιστολῆς; Οὕτως ἄρα οὐδὲν τῶν τῆς Γραφῆς ἀνεξέταστον δεῖ καταλιπεῖν, ἀλλ᾽ ἐκ πάντων, ὡς Πνεύματι λαληθέντων, ἐπιζητεῖν πνευματικόν τινα νοῦν καὶ ὠφέλιμον. Πάντως δὲ ὁ ταῦτα λαλήσας Παράκλητος δώσει τοῖς καλῶς ζητοῦσι τοῦ ζητουμένου τὴν εὕρεσιν· ὑφ᾽ οὗ καὶ ἡμεῖς φωτιζόμενοι, ὁδηγοίμεθα ἀεὶ πρὸς τὴν ἀλήθειαν τοῦ κατὰ θεὸν λόγου καὶ ϐίου, μήτε ψευδοδοξίαις ὑπαγόμενοι, μήτε τῷ ψεύδει τῆς τοῦ κόσμου ἡδονῆς δελεαζόμενοι· καὶ οἵ τε δοῦλοι ἑαυτοὺς διὰ τῆς πίστεως καὶ τῆς ἀρετῆς ἐξευγενίζοιμεν· οἵ τε δεσπόται, δούλους ὁρῶντες ἁγίους καὶ ἀποστόλους, σπουδάζοιμεν,


(α) Β′ Τιμ. Δ′, 10.
(ϐ) Β′ Τιμ. Δ′, 11.

μὴ πολλῷ τούτων ἀτιμότεροι εὑρεθῆναι ἐν τῇ βασιλείᾳ τοῦ δεσπότου, καὶ δι' ἡμᾶς δούλου φανέντος Χριστοῦ, τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ,


ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.



Εὑρίσκεται

Ἐν Ἀθήναις, Παρ' αὐτῷ τῷ ἐκδότῃ, καὶ Παρὰ τῷ τυπογράφῳ Νικολάῳ Ἀγγελίδῃ.





Εὑρίσκεται

Ἐν Ἀθήναις, Παρ' αὐτῷ τῷ ἐκδότῃ, καὶ
Παρὰ τῷ τυπογράφῳ Νικολάῳ Ἀγγελίδῃ.



